ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ
ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

14

ΥΠΟΜΝΗΜΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ Γ

(ΟΜΙΛΙΑΙ ΝΕ΄–ΠΗ΄)

ΚΕΙΜΕΝΟΝ – ΜΕΤΑΦΡΑΣΙΣ – ΣΧΟΛΙΑ

Ὑπὸ

ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ


Θεολόγου

Ἐπόπται

ΠΑΝ. Κ. ΧΡΗΣΤΟΥ, Καθηγητής Πανεπιστημίου
ΘΕΟΔ. Ν. ΖΗΣΗΣ, Καθηγητής Πανεπιστημίου

Ἐπιμεληταὶ

ΒΑΣ. Δ. ΦΑΝΟΥΡΓΑΚΗΣ, Δρ. Θεολογίας
ΕΛΕΥΘ. Γ. ΜΕΡΕΤΑΚΗΣ, π. Θεολογίας



ΕΠΕ

ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»
ΘΕΣΣΑΛΟΝΙΚΗ 1981

ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

14

ΥΠΟΜΝΗΜΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ Γ

(ΟΜΙΛΙΑΙ ΝΕ΄–ΠΗ΄)

ΚΕΙΜΕΝΟΝ — ΜΕΤΑΦΡΑΣΙΣ

ΟΜΙΛΙΑ ΝΕ΄

Ἰω. 8, 48 - 59

«Ἀπεκρίθησαν οὖν οἱ Ἰουδαῖοι, καὶ εἶπον αὐτῷ· Οὐ καλῶς λέγομεν ἡμεῖς ὅτι Σαμαρείτης εἶ σύ, καὶ δαιμόνιον ἔχεις; Ἀπεκρίθη ὁ Ἰησοῦς· Ἐγὼ δαιμόνιον οὐκ ἔχω, ἀλλὰ τιμῶ τὸν Πατέρα».

1. Ἀναίσχυντον ἡ κακία καὶ ἰταμόν, καί, ὅταν καταδύεσθαι δέῃ, τότε μᾶλλον ἀγριοῦται, ὅπερ καὶ ἐπὶ τῶν Ἰουδαίων γέγονε· δέον γὰρ ἐπὶ τοῖς ῥηθεῖσι κατανυγῆναι, θαυμάσαντας τὴν παρρησίαν καὶ τὴν τῶν εἰρημένων ἀκολουθίαν, οἱ δε καὶ ὑβρίζουσι, Σαμαρείτην καλοῦντες, καὶ δαιμονῶντα λέγοντες, καί φασιν· «Οὐχὶ καλῶς ἐλέγομεν ὅτι Σαμαρείτης εἶ σύ, καὶ δαιμόνιον ἔχεις;». Ὅταν γὰρ ὑψηλόν τι εἴπῃ, μανία τοῦτο δοκεῖ παρὰ τοῖς λίαν ἀναισθήτοις εἶναι· καίτοι γε οὐδαμοῦ ὁ Εὐαγγελιστὴς εἶπεν ἔμπροσθεν ὅτι Σαμαρείτην ἐκάλεσαν, ἀλλ' εἰκὸς ἐκ τῆς ῥήσεως ταύτης πολλάκις παρ' αὐτῶν εἰρῆσθαι τοῦτο. «Δαιμόνιον ἔχεις», φησί. (Καίτοι τίς ὁ δαιμόνιον ἔχων; ὁ τιμῶν τὸν Θεόν, ἢ ὁ τὸν τιμῶντα ὑβρίζων;). Τί οὖν ὁ Χριστός, ἡ πραότης, ἡ ἐπιείκεια; «Ἐγὼ δαιμόνιον οὐκ ἔχω, ἀλλὰ τιμῶ τὸν Πατέρα τὸν πέμψαντά με». Ἔνθα μὲν διδάξαι αὐτοὺς ἐχρῆν καὶ τὸν πολὺν αὐτῶν κατασπάσαι τῦφον, καὶ παιδεῦσαι μὴ μέγα φρονεῖν ἐπὶ τῷ Ἀβραάμ, σφοδρὸς ἦν, ἔνθα δὲ ὑβριζόμενον αὐτὸν ἔδει ἐνεγκεῖν, πολλῇ πραότητι κέχρηται· ὅτε μὲν γὰρ ἔλεγον ὅτι Πατέρα τὸν Θεὸν ἔχομεν

ΟΜΙΛΙΑ ΝΕ΄

'Ιω. 8, 48 - 59

«'Απεκρίθησαν λοιπὸν οἱ 'Ιουδαῖοι καὶ εἶπον εἰς αὐτόν· Καλὰ δὲν λέγομεν ἡμεῖς, ὅτι σὺ εἶσαι Σαμαρείτης καὶ ὅτι ἔχεις δαιμόνιον; 'Απεκρίθη ὁ 'Ιησοῦς· 'Εγὼ δὲν ἔχω δαιμόνιον, ἀλλὰ τιμῶ τὸν Πατέρα μου».

1. Ἡ κακία εἶναι ἀναίσχυντον πρᾶγμα καὶ θρασὺ καὶ τότε ποὺ πρέπει νὰ κρύπτεται, τότε περισσότερον ἐξαγριώνεται, πρᾶγμα ποὺ ἀκριβῶς συνέβη καὶ μὲ τοὺς 'Ιουδαίους· διότι, ἐνῷ ἔπρεπε νὰ ἐκπλαγοῦν ἀπὸ τὰ λόγια καὶ νὰ θαυμάσουν τὸ θάρρος καὶ τὸ ἀποτέλεσμα τῶν λόγων, αὐτοὶ ὅμως τὸν ὑβρίζουν, ὀνομάζοντές τον Σαμαρείτην καὶ λέγοντες ὅτι ἔχει δαιμόνιον, καὶ λέγουν· «Καλὰ δὲν ἐλέγομεν ὅτι εἶσαι Σαμαρείτης καὶ ὅτι ἔχεις δαιμόνιον;». Διότι, ὅταν εἰπῇ κάτι τὸ ὑψηλόν, θεωρεῖται ἀπὸ τοὺς πάρα πολὺ ἀναισθήτους ὅτι εἶναι τρέλλα, μολονότι βέβαια πουθενὰ προηγουμένως δὲν εἶπεν ὁ εὐαγγελιστής, ὅτι τὸν ἀπεκάλεσαν Σαμαρείτην, ἀλλὰ γίνεται φανερὸν ἀπὸ τοὺς λόγους αὐτοὺς ὅτι αὐτὸ ἐλέχθη ἀπὸ αὐτοὺς πολλὰς φοράς. «Δαιμόνιον ἔχεις», λέγει. (Καὶ πράγματι ποῖος εἶναι αὐτὸς ποὺ ἔχει δαιμόνιον; αὐτὸς ποὺ τιμᾷ τὸν Θεόν, ἢ ἐκεῖνος ποὺ ὑβρίζει αὐτὸν ποὺ τιμᾷ αὐτόν;). Τί λέγει λοιπὸν ὁ Χριστός, ἡ πραότης, ἡ ἐπιείκεια; «'Εγὼ δὲν ἔχω δαιμόνιον, ἀλλὰ τιμῶ τὸν Πατέρα μου ποὺ μὲ ἀπέστειλεν». Εἰς τὴν περίπτωσιν ποὺ ἐχρειάζετο νὰ τοὺς διδάξῃ καὶ νὰ καταρρίψῃ τὴν μεγάλην ἀλαζονείαν των καὶ νὰ τοὺς διδάξῃ νὰ μὴ ὑπερηφανεύωνται ἐξ αἰτίας τοῦ 'Αβραάμ, ἦτο αὐστηρός, ὅπου ὅμως ἔπρεπεν, ὑβριζόμενος αὐτός, νὰ ὑπομείνῃ αὐτό, δείχνει πολλὴν πραότητα. Πράγματι, ὅταν

καὶ τὸν Ἀβραάμ, σφόδρα αὐτῶν καθήψατο, ὅτε δὲ αὐτὸν δαιμονῶντα ἐκάλουν, ὑφειμένως τῷ λόγῳ κέχρηται, παιδεύων ἡμᾶς τὰ μὲν εἰς τὸν Θεὸν ἐκδικεῖν, τὰ δὲ εἰς ἡμᾶς παρορᾶν

«Ἐγὼ οὐ ζητῶ τὴν δόξαν τὴν ἐμήν». Ταῦτα εἶπον, φησί, δεικνὺς ὅτι οὐ προσῆκεν ὑμῖν τὸν Θεὸν καλεῖν πατέρα, ἀνδροφόνοις οὖσιν. Ὥστε τῇ τιμῇ τῇ πρὸς ἐκεῖνον ταῦτα ἐφθεγξάμην, καὶ δι' ἐκεῖνον ταῦτα ἀκούω, καὶ δι' αὐτὸν ἀτιμάζετέ με. Ἀλλ' οὐδέν μοι μέλει τῆς ὕβρεως ταύτης· ἐκείνῳ γὰρ εὐθύνας ὀφείλετε τῶν λεχθέντων, δι' ὃν ταῦτα ἀκούω νῦν. «Ἐγὼ οὐ ζητῶ τὴν δόξαν τὴν ἐμήν». Διὰ τοῦτο, ἀφεὶς τὸ κολάζειν ὑμᾶς, ἐπὶ παραίνεσιν τρέπομαι, καὶ συμβουλεύω ταῦτα ποιεῖν, ἐξ ὧν οὐ μόνον τὴν κόλασιν διαφεύξεσθε, ἀλλὰ καὶ τῆς αἰωνίου ζωῆς ἐπιτεύξεσθε. «Ἀμήν, ἀμὴν λέγω ὑμῖν Ἐάν τίς μου τὸν λόγον τηρήσῃ, οὐ μὴ θεωρήσει θάνατον εἰς τὸν αἰῶνα». Ἐνταῦθα οὐ τὴν πίστιν μόνον φησίν, ἀλλὰ καὶ τὸν βίον τὸν καθαρόν. Καὶ ἄνω μὲν ἔλεγε· «Ζωὴν αἰώνιον ἕξει», ἐνταῦθα δέ· (φησί), «Θάνατον οὐ μὴ θεωρήσει», ἅμα δὲ καὶ αἰνίττεται ὅτι οὐδὲν δύναται αὐτῷ ποιῆσαι· εἰ γὰρ ὁ τὸν λόγον αὐτοῦ τηρῶν οὐκ ἀποθανεῖται, πολλῷ μᾶλλον αὐτός. Τοῦτο γοῦν συνειδότες καὶ αὐτοί, λέγουσι· «Νῦν ἐγνώκαμεν ὅτι δαιμόνιον ἔχεις. Ἀβραὰμ ἀπέθανε, καὶ οἱ προφῆται ἀπέθανον», τουτέστιν, οἱ τὸν λόγον ἀκούσαντες τοῦ Θεοῦ ἀπέθανον, καὶ οἱ τὸν σὸν ἀκούσαντες οὐκ ἀποθανοῦνται; «Μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἀβραάμ;». Ὢ τῆς κενοδοξίας! πάλιν ἐπὶ τὴν συγγένειαν αὐτοῦ καταφεύγουσι· καίτοι ἀκόλουθον ἦν εἰπεῖν· 'Μὴ σὺ μείζων εἶ τοῦ Θεοῦ;' 'ἢ οἱ ἀκούσαντές σου, τοῦ Ἀβραάμ;',

---

1. Ἰω. 3, 15-16· 6, 40

μὲν ἔλεγον, ὅτι ἔχομεν Πατέρα τὸν Θεὸν καὶ τὸν Ἀβραάμ, τοὺς ἐπέπληξε πάρα πολὺ αὐστηρά, ὅταν ὅμως τὸν ὠνόμαζον δαιμονιζόμενον, χρησιμοποιεῖ εἰς τοὺς λόγους του πολλὴν ἐπιείκειαν, διδάσκων ἡμᾶς νὰ ὑπερασπίζωμεν μὲν αὐτὰ ποὺ ἀφοροῦν τὸν Θεόν, νὰ παραβλέπωμεν ὅμως αὐτὰ ποὺ ἀφοροῦν ἡμᾶς.

«Ἐγὼ δὲ ζητῶ τὴν ἰδικήν μου δόξαν». Αὐτά, λέγει, τὰ εἶπον διὰ νὰ δείξω ὅτι δὲν ταιριάζει εἰς σᾶς νὰ ὀνομάζετε τὸν Θεὸν Πατέρα, τὴν στιγμὴν ποὺ εἶσθε ἀνθρωποκτόνοι. Ὥστε αὐτὰ τὰ εἶπα ἐξ αἰτίας τῆς τιμῆς μου πρὸς ἐκεῖνον καὶ ἐξ αἰτίας ἐκείνου ἀκούω αὐτὰ καὶ ἐξ αἰτίας αὐτοῦ μὲ ἀτιμάζετε. Ἀλλ' ὅμως δὲν δίδω καθόλου σημασίαν εἰς τὴν ὕβριν αὐτήν, διότι διὰ τὰ λόγια σας αὐτὰ θὰ δώσετε λόγον εἰς ἐκεῖνον, χάριν τοῦ ὁποίου ἀκούω τώρα αὐτά. «Ἐγὼ δὲν ἐπιζητῶ τὴν ἰδικήν μου δόξαν». Διὰ τοῦτο, ἀποφεύγων νὰ σᾶς τιμωρήσω, ἔρχομαι εἰς τὸ νὰ σᾶς συμβουλεύσω, καὶ σᾶς συμβουλεύω νὰ πράττετε αὐτά, διὰ τῶν ὁποίων ὄχι μόνον θ' ἀποφύγετε τὴν τιμωρίαν, ἀλλὰ καὶ θὰ ἐπιτύχετε τὴν αἰώνιον ζωήν. «Ἀλήθεια, ἀλήθεια σᾶς λέγω. Ἐὰν κάποιος φυλάξῃ τὸν λόγον μου δὲν θὰ ἴδῃ θάνατον εἰς τὸν αἰῶνα». Ἐδῶ δὲν ἐννοεῖ μόνον τὴν πίστιν, ἀλλὰ καὶ τὸν καθαρὸν βίον. Καὶ προηγουμένως μὲν ἔλεγε· «Θὰ ἔχῃ ζωὴν αἰώνιον»[1], ἐνῷ ἐδῶ λέγει· «Δὲν θὰ ἴδῃ θάνατον», συγχρόνως δὲ καὶ ὑπαινίσσεται, ὅτι δὲν ἠμποροῦν νὰ κάμουν τίποτε ἐναντίον του· διότι, ἐὰν δὲν θ' ἀποθάνῃ αὐτὸς ποὺ τηρεῖ τὰς ἐντολάς του, πολὺ περισσότερον αὐτός. Αὐτὸ λοιπὸν κατανοήσαντες καὶ αὐτοί, λέγουν· «Τώρα εἴμεθα ἀπολύτως βέβαιοι ὅτι ἔχει δαιμόνιον. Ὁ Ἀβραὰμ ἀπέθανε καὶ οἱ προφῆται ἀπέθανον», δηλαδὴ ἐκεῖνοι ποὺ ἤκουσαν τὸν λόγον τοῦ Θεοῦ ἀπέθανον, καὶ αὐτοὶ ποὺ ἤκουσαν τὸν ἰδικόν σου λόγον δὲν θ' ἀποθάνουν; «Μήπως σὺ εἶσαι μεγαλύτερος ἀπὸ τὸν πατέρα μας τὸν Ἀβραάμ;». Πόσον μεγάλη κενοδοξία! πάλιν καταφεύγουν εἰς τὴν συγγένειαν αὐτοῦ· ἂν καὶ βέβαια φυσικὸν ἦτο νὰ εἰποῦν. Μήπως σὺ εἶσαι μεγαλύτερος ἀπὸ τὸν Θεόν; ἢ αὐτοὶ ποὺ ἤκουσαν τὸν λόγον σου μεγαλύ-

ἀλλ᾽ οὐ λέγουσι τοῦτο, ἐπειδὴ καὶ τοῦ Ἀβραὰμ ἐλάττονα αὐτὸν εἶναι ἐνόμιζον.

Τὸ μὲν οὖν πρῶτον ἔδειξεν ἀνδροφόνους, καὶ ταύτῃ αὐτοὺς ἀπήγαγε τῆς συγγενείας, ὡς δὲ ἐνέμειναν, ἑτέρως αὐτὸ μεθοδεύει πάλιν, δεικνὺς ὅτι ἀνόνητα πονοῦσι, καὶ περὶ μὲν τοῦ θανάτου οὐδὲν αὐτοῖς διελέχθη, οὐδὲ ἀπεκάλυψεν, οὐδὲ εἶπε ποῖον λέγει θάνατον, τέως δὲ πείθει ὅτι τοῦ Ἀβραὰμ κρείττων ἐστίν, ἵνα καὶ τούτῳ δυσωπήσῃ. «Μάλιστα μὲν γάρ, εἰ καὶ ὁ τυχών, φησίν, ἤμην, οὐκ ἔδει ἀποθανεῖν οὐδὲν ἀδικήσαντα, ὅταν δὲ καὶ τὴν ἀλήθειαν λέγω καὶ μηδεμίαν ἁμαρτίαν ἔχω, καὶ παρὰ τοῦ Θεοῦ ἀπεσταλμένος ὦ, καὶ Ἀβραὰμ ὦ κρείττων, πῶς οὐ μαίνεσθε καὶ ἀνόνητα πονεῖτε, ἐπιχειροῦντες ἀνελεῖν; Τί οὖν ἐκεῖνοι; «Νῦν ἐγνώκαμεν ὅτι δαιμόνιον ἔχεις». Ἀλλ᾽ οὐχ ἡ Σαμαρεῖτις οὕτως· οὐ γὰρ εἶπεν αὐτῷ, «Δαιμόνιον ἔχεις», ἀλλὰ τοσοῦτον μόνον· «Μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἰακώβ;»· οὗτοι μὲν γὰρ ἦσαν ὑβρισταὶ ἀλάστορες, ἐκείνη δὲ μαθεῖν ἐβούλετο. Διὸ καὶ ἠπόρησε, καὶ μετὰ τῆς προσηκούσης συμμετρίας ἀπεκρίνατο, καὶ Κύριον αὐτὸν καλεῖ (τὸν γὰρ πολλῷ μείζονα ἐπαγγελλόμενον, καὶ ἀξιόπιστον ὄντα οὐχ ὑβρίζεσθαι ἔδει, ἀλλὰ καὶ θαυμάζεσθαι)· οὗτοι δὲ δαιμονῶντα αὐτὸν λέγουσιν. Ἐκεῖνα μὲν γάρ, τὰ τῆς Σαμαρείτιδος, ἀπορούσης ἦν, ταῦτα δὲ ἀπιστούντων καὶ διεστραμμένων. «Μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἀβραάμ;». Ὥστε τοῦτο μείζονα εἶναι ποιεῖ τοῦ Ἀβραάμ. Ὅταν οὖν ὑψωθέντα ἴδητε, ὁμολογήσετε ὅτι μείζων ἐστί. Διὰ τοῦτο ἔλεγεν· «Ὅταν ὑψώσητέ με, τότε γνώσεσθε ὅτι ἐγώ εἰμι».

2. Ἰω. 4, 12.
3. Ἰω. 8, 28.

τεροι ἀπὸ τὸν 'Αβραάμ;', ἀλλ' ὅμως δὲν τὸ λέγουν αὐτό, ἐπειδὴ τὸν ἐθεωροῦσαν κατώτερον καὶ ἀπὸ τὸν 'Αβραάμ.

Κατ' ἀρχὴν λοιπὸν ἔδειξεν ὅτι εἶναι ἀνθρωποκτόνοι καὶ μὲ τὸν τρόπον αὐτὸν τοὺς ἀπέκλεισεν ἀπὸ τὴν συγγένειαν, ἐπειδὴ ὅμως ἐπέμειναν, μεθοδεύει πάλιν τὸ ἴδιο πρᾶγμα μὲ ἄλλον τρόπον, δεικνύων ὅτι ἄδικα κοπιάζουν, καὶ περὶ μὲν τοῦ θανάτου τίποτε δὲν εἶπεν εἰς αὐτούς, οὔτε ἐφανέρωσεν, οὔτε εἶπε ποῖον θάνατον ἐννοεῖ· κατὰ πρῶτον τοὺς πείθει ὅτι εἶναι ἀνώτερος ἀπὸ τὸν 'Αβραάμ, ὥστε καὶ μὲ τὸν τρόπον αὐτὸν νὰ τοὺς κάνῃ νὰ νοιώσουν ἐντροπήν. Διότι, λέγει, πράγματι καὶ ἂν ἀκόμη ἤμουν ὁ τυχών, δὲν ἔπρεπε ν' ἀποθάνω, ἀφοῦ δὲν διέπραξα κανὲν ἀδίκημα, ὅταν ὅμως καὶ τὴν ἀλήθειαν λέγω καὶ δὲν ἔχω καμμίαν ἁμαρτίαν, καὶ εἶμαι ἀπεσταλμένος ἀπὸ τὸν Θεὸν καὶ εἶμαι ἀνώτερος ἀπὸ τὸν 'Αβραάμ, πῶς δὲν εἶσθε παράφρονες καὶ δὲν κοπιάζετε εἰς τὰ χαμένα, ἐπιχειροῦντες νὰ μὲ φονεύσετε; Τί λέγουν λοιπὸν ἐκεῖνοι; «Τώρα εἴμεθα ἀπολύτως βέβαιοι ὅτι ἔχει δαιμόνιον». 'Αλλ' ὅμως ἡ Σαμαρείτις δὲν ὡμίλησεν ἔτσι· διότι δὲν εἶπεν εἰς αὐτόν, «Δαιμόνιον ἔχεις», ἀλλὰ αὐτὸ μόνον· «Μήπως σὺ εἶσαι ἀνώτερος ἀπὸ τὸν πατέρα μας τὸν 'Ιακώβ;»[2]· διότι αὐτοὶ μὲν ἦσαν ἄθλιοι ὑβρισταί, ἐνῷ ἐκείνη ἤθελε νὰ μάθῃ. Διὰ τοῦτο καὶ ἠπόρησε καὶ ἀπήντησε μὲ τὴν πρέπουσαν μετριοφροσύνην καὶ τὸν ἀποκαλεῖ Κύριον (διότι ἐκεῖνος ποὺ ὑπόσχεται πολὺ πιὸ μεγαλύτερα πράγματα καὶ εἶναι ἀξιόπιστος δὲν ἔπρεπε νὰ ὑβρίζεται, ἀλλὰ καὶ νὰ θαυμάζεται)· αὐτοὶ ὅμως τὸν ὀνομάζουν δαιμονισμένον. Διότι τὰ μὲν λόγια ἐκεῖνα, δηλαδὴ τῆς Σαμαρείτιδος, ἦσαν λόγια γυναικὸς ποὺ εὑρίσκετο εἰς ἀπορίαν, ἐνῷ αὐτὰ ἦσαν λόγια ἀπίστων καὶ διεστραμμένων. «Μήπως σὺ εἶσαι ἀνώτερος ἀπὸ τὸν πατέρα μας τὸν 'Αβραάμ;». Ὥστε αὐτὸ τὸν κάνει νὰ εἶναι ἀνώτερος ἀπὸ τὸν 'Αβραάμ. Ὅταν λοιπὸν τὸν ἰδῆτε ὑψωμένον, θὰ ὁμολογήσετε ὅτι εἶναι ἀνώτερος. Διὰ τοῦτο ἔλεγεν· «Ὅταν θὰ μὲ ὑψώσετε, τότε θὰ γνωρίσετε ὅτι ἐγὼ εἶμαι»[3].

Καὶ θέα σύνεσιν. Πρῶτον αὐτοὺς ἀποσχίσας τῆς συγγενείας, δείκνυσιν ἑαυτὸν ἐκείνου μείζονα ὄντα, ἵνα ἐκ πολλῆς τῆς ὑπεροχῆς μείζων θεωρηθῇ καὶ τῶν προφητῶν. Ἐπειδὴ γὰρ ἀεὶ προφήτην ἔλεγον αὐτόν, διὰ ταῦτα ἔλεγεν· «Ὁ λόγος ὁ ἐμὸς οὐ χωρεῖ ἐν ὑμῖν». Ἐκεῖ μὲν οὖν ἔλεγεν ὅτι ἐγείρει τοὺς νεκρούς, ἐνταῦθα δέ· «Οὐ μὴ θεωρήσει θάνατον ὁ πιστεύων», ὃ πολλῷ μεῖζον ἦν τοῦ μὴ συγχωρῆσαι κρατηθῆναι θανάτῳ· διὸ μᾶλλον ἠγριαίνοντο. Τί οὖν ἐκεῖνοι; «Τίνα σεαυτὸν ποιεῖς;». Καὶ τοῦτο ὑβριστικῶς· Σύ, φησί, χαρίζῃ σαυτῷ. Πρὸς τοῦτο οὖν ὁ Χριστός· «Ἐὰν ἐγὼ δοξάζω ἐμαυτόν», φησίν, «ἡ δόξα μου οὐδέν ἐστι».

2. Τί λέγουσιν ἐνταῦθα οἱ αἱρετικοί; Ἤκουσε· «Μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν τοῦ Ἀβραάμ;» καὶ οὐκ ἐθάρρησεν εἰπεῖν αὐτοῖς ὅτι ναί, ἀλλὰ συνεσκιασμένως αὐτὸ ποιεῖ. Τί οὖν; οὐδέν ἐστιν ἡ δόξα αὐτοῦ; Πρὸς ἐκείνους οὐδέν ἐστιν. Ὥσπερ γὰρ λέγει, «Ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής», πρὸς τὴν ἐκείνων ὑπόνοιαν, οὕτω καὶ ἐνταῦθά φησιν· «Ἔστιν ὁ δοξάζων με». Καὶ διὰ τί μὴ εἶπεν, «Ὁ Πατὴρ ὁ πέμψας με», ὡς ἄνω ἔλεγεν, ἀλλ' «ὃν ὑμεῖς λέγετε ὅτι Θεὸς ὑμῶν ἐστι, καὶ οὐκ οἴδατε αὐτόν»; Ἐβούλετο γὰρ δεῖξαι, ὅτι οὐ μόνον Πατέρα αὐτὸν οὐκ ἴσασιν, ἀλλ' οὐδὲ Θεόν. «Ἐγὼ δὲ οἶδα αὐτόν». Ὥστε οὐ τὸ λέγειν, «Ἐγὼ οἶδα αὐτὸν» κόμπος ἐστίν, ἀλλὰ τὸ εἰπεῖν μὴ εἰδέναι, ψεῦδος· ὑμεῖς δέ, λέγοντες εἰδέναι αὐτόν, ψεύδεσθε. Ὥσπερ οὖν ὑμεῖς, εἰδέναι λέγοντες, ψεύδεσθε, οὕτως ἐγώ, ἐὰν εἴπω μὴ εἰδέναι. «Ἐὰν ἐγὼ δοξάζω ἐμαυτόν». Ἐπειδὴ ἔλεγον, «Τίνα σεαυτὸν ποιεῖς;», φησίν· «Ἐὰν ἐγὼ ποιῶ, ἡ δόξα μου οὐδέν ἐστιν». Ὥσπερ οὖν ἐγὼ αὐτὸν οἶδα ἀκρι-

4. Ἰω. 8, 37.
5. Ἰω. 5, 31.

Καὶ πρόσεχε σύνεσιν. Κατ' ἀρχήν, ἀφοῦ ἀπέκλισεν αὐτοὺς ἀπὸ τὴν συγγένειαν μὲ τὸν Ἀβραάμ, ἀποδεικνύει τὸν ἑαυτόν του ὅτι εἶναι ἀνώτερος ἀπὸ ἐκεῖνον, ὥστε νὰ θεωρηθῇ εἰς πολὺ μεγάλον βαθμὸν ἀνώτερος καὶ τῶν προφητῶν. Διότι, ἐπειδὴ ἀπεκάλουν αὐτὸν συνεχῶς προφήτην, διὰ τοῦτο ἔλεγεν· «Ὁ λόγος μου δὲν ἔχει θέσιν μέσα σας»[4]. Ἐκεῖ λοιπὸν ἔλεγεν, ὅτι ἀνιστᾷ τοὺς νεκρούς, ἐνῷ ἐδῶ· «Δὲν θὰ ἴδῃ θάνατον ἐκεῖνος ποὺ πιστεύει», πρᾶγμα ποὺ ἦτο πολὺ πιὸ μεγαλύτερον ἀπὸ τὸ νὰ μὴ ἐπιτρέψῃ νὰ κυριευθῇ ἀπὸ τὸν θάνατον· διὰ τοῦτο περισσότερον ἐξηγριώνοντο. Τί λέγουν λοιπὸν ἐκεῖνοι; «Ποῖος νομίζεις ὅτι εἶσαι;». Καὶ αὐτὸ τὸ ἔλεγον μὲ ὑβριστικὴν διάθεσιν. Σύ, λέγει, ὑψώνεις τὸν ἑαυτόν σου. Εἰς αὐτὸ ἀπαντᾷ ὁ Χριστός· «Ἐὰν ἐγὼ δοξάζω τὸν ἑαυτόν μου», λέγει, «ἡ δόξα μου δὲν ἔχει καμμίαν ἀξίαν».

2. Τί λέγουν ἐδῶ οἱ αἱρετικοί; Ἤκουσε· «Μήπως σὺ εἶσαι ἀνώτερος ἀπὸ τὸν πατέρα μας τὸν Ἀβραάμ;», καὶ δὲν εὗρε τὸ θάρρος νὰ εἰπῇ εἰς αὐτούς, ναί, ἀλλὰ τὸ κάμνει αὐτὸ κατὰ τρόπον κεκαλυμμένον. Τί λοιπόν; δὲν ἔχει καμμίαν ἀξίαν ἡ δόξα του; Δι' ἐκείνους δὲν ἔχει καμμίαν ἀξίαν. Διότι, ὅπως ἀκριβῶς λέγει, «Ἡ μαρτυρία μου δὲν εἶναι ἀληθινή»[5], σύμφωνα μὲ τὴν σκέψιν των, ἔτσι καὶ ἐδῶ λέγει· «Ὑπάρχει ἐκεῖνος ποὺ μὲ δοξάζει». Καὶ διατί δὲν εἶπεν, «Ὁ Πατήρ μου ποὺ μὲ ἀπέστειλεν», ὅπως προηγουμένως ἔλεγεν, ἀλλὰ «αὐτὸν ποὺ σεῖς λέγετε ὅτι εἶναι Θεός σας καὶ δὲν τὸν γνωρίζετε»; Διότι ἤθελε νὰ δείξῃ, ὅτι ὄχι μόνον δὲν τὸν γνωρίζουν ὡς Πατέρα, ἀλλ' οὔτε καὶ ὡς Θεόν. «Ἐγὼ ὅμως τὸν γνωρίζω». Ὥστε δὲν εἶναι κομπασμὸς τὸ ὅτι λέγω «Ἐγὼ τὸν γνωρίζω», ἀλλὰ τὸ νὰ εἰπῶ ὅτι δὲν τὸν γνωρίζω, εἶναι ψεῦδος· σεῖς ὅμως, λέγοντες ὅτι τὸν γνωρίζετε, ψεύδεσθε. Ὅπως ἀκριβῶς λοιπὸν σεῖς, λέγοντες ὅτι τὸν γνωρίζετε, ψεύδεσθε, ἔτσι καὶ ἐγώ, ἐὰν εἰπῶ ὅτι δὲν τὸν γνωρίζω. «Ἐὰν ἐγὼ δοξάζω τὸν ἑαυτόν μου». Ἐπειδὴ ἔλεγον, «Ποῖος νομίζεις ὅτι εἶσαι;», λέγει· «Ἐὰν ἐγὼ δοξάζω τὸν ἑαυτόν μου, ἡ δόξα μου δὲν ἔχει καμμίαν ἀξίαν». Ὅπως ἀκριβῶς λοιπὸν ἐγὼ γνωρίζω αὐ-

6ῶς, οὕτως αὐτὸν ἀγνοεῖτε ὑμεῖς. Καθάπερ οὖν ἐπὶ τοῦ Ἀβραὰμ οὐ τὸ πᾶν ἀνεῖλεν, ἀλλά φησιν, «Οἶδα ὅτι σπέρμα Ἀβραάμ ἐστε», ὥστε μείζονα ποιῆσαι τὴν κατηγορίαν, οὕτως ἐνταῦθα οὐ τὸ πᾶν ἀνεῖλεν, ἀλλὰ τί; «Ὃν ὑμεῖς λέγετε». Δοὺς τὴν διὰ τῶν ῥημάτων καύχησιν, μεῖζον ἐποίησε τὸ ἔγκλημα. Πῶς δὲ οὐκ οἴδατε αὐτόν; Ὅτι τὸν πάντα ὑπὲρ αὐτοῦ καὶ λέγοντα καὶ ποιοῦντα, ὥστε αὐτὸν δοξασθῆναι, ὑβρίζετε, καίτοι παρ' ἐκείνου ἀποσταλέντα. Ἀλλὰ τοῦτο ἀμάρτυρον· ἀλλὰ τὸ ἑξῆς κατασκευαστικόν. «Καὶ τὸν λόγον αὐτοῦ τηρῶ». Ἐνταῦθα δέ, εἴ γέ τι εἶχον, ἠδύναντο ἐλέγξαι· μεγίστη γὰρ ἦν ἀπόδειξις τὸ παρ' ἐκείνου ἀπεστάλθαι.

«Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν, καὶ εἶδε καὶ ἐχάρη». Πάλιν δείκνυσιν αὐτοὺς ὄντας ἀλλοτρίους ἐκείνου, εἴ γε, ἐφ' οἷς ἐκεῖνος ἔχαιρεν, οὗτοι ἀλγοῦσι. Τὴν δὲ ἡμέραν ἐνταῦθά μοι δοκεῖ λέγειν τὴν τοῦ Σταυροῦ, ἣν ἐν τῇ τοῦ κριοῦ προσφορᾷ καὶ τῇ τοῦ Ἰσαὰκ προδιετύπωσε. Τί οὖν ἐκεῖνοι; «Τεσσαράκοντα ἔτη οὔπω ἔχεις, καὶ Ἀβραὰμ ἑώρακας;». Ὡς ἐγγὺς τῶν τεσσαράκοντα ἐτῶν λοιπὸν εἶναι τὸν Χριστόν. Λέγει αὐτοῖς· «Πρὶν Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι. Καὶ ἔλαβον λίθους, ἵνα βάλωσιν ἐπ' αὐτόν». Ὁρᾷς πῶς τὸ μείζονα εἶναι τοῦ Ἀβραὰμ κατεσκεύασεν; Ὁ γὰρ χαρείς, ἵνα ἴδῃ τὴν ἡμέραν, καὶ περισπούδαστον αὐτὸ θέμενος, εὔδηλον ὅτι τὴν ἐπὶ εὐεργεσίᾳ γενομένην, καὶ ὡς μείζονος. Ἐπειδὴ γὰρ ἔλεγον· «Ὁ τοῦ τέκτονος υἱός», καὶ οὐδὲν πλέον ἐφαντάζοντο, κατὰ μικρὸν αὐτοὺς ἐνάγει πρὸς ὑψηλὴν διάνοιαν. Ὅτε μὲν οὖν ἤκουσαν ὅτι «οὐκ οἴδατε τὸν Θεόν», οὐκ ἤλγησαν, ὅτε δὲ ἤκουσαν, «Πρὶν Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι», ὡς τῆς εὐγενείας αὐτῶν ταπεινουμένης, ἠγρίαινον καὶ ἐλί-

6. Ἰω. 8, 37.
7. Τὸ χωρίον ἔχει, «πεντήκοντα ἔτη
8. Ματθ. 13, 55.

τόν ἀκριβῶς, ἔτσι σεῖς ἀγνοεῖτε αὐτόν. Ὅπως ἀκριβῶς λοιπόν εἰς τὴν περίπτωσιν τοῦ Ἀβραάμ, δὲν ἀπέκλεισε το πᾶν, ἀλλὰ λέγει, «Γνωρίζω ὅτι εἶσθε ἀπόγονοι τοῦ Ἀβραάμ»[6], ὥστε νὰ κάμῃ μεγαλυτέραν τὴν κατηγορίαν, ἔτσι καὶ ἐδῶ δὲν ἀπέκλεισε τὸ πᾶν, ἀλλὰ τί; «Διὰ τόν ὁποῖον σεῖς λέγετε». Μὲ τὸ νὰ παρουσιάσῃ τὴν καύχησιν μὲ τὰ λόγια, ἔκαμε μεγαλυτέραν τὴν κατηγορίαν. Πῶς δὲ δὲν γνωρίζετε αὐτόν; Διότι αὐτὸν ποὺ λέγει καὶ κάμνει ὅλα ὑπὲρ αὐτοῦ, ὥστε νὰ δοξασθῇ αὐτός, σεῖς τὸν ὑβρίζετε, ἂν καὶ ἀπεστάλη ἀπὸ ἐκεῖνον. Ἀλλ' αὐτό εἶναι ἀνεπιβεβαίωτον˙ ὅμως τὸ ἀποδεικνύει τὸ ἑξῆς˙ «Καὶ τόν λόγον αὐτοῦ τηρῶ». Ἐδῶ δέ, ἐὰν εἶχον κάποιαν ἀντίρρησιν, ἠμποροῦσαν νά τὸν ἐλέγξουν˙ διότι ἦτο μεγίστη ἀπόδειξις τό ὅτι ἀπεστάλη ἀπὸ ἐκεῖνον.

«Ὁ Ἀβραὰμ ὁ πατέρας σας ἔνοιωσεν ἀγαλλίασιν διά νὰ ἰδῇ τὴν ἰδικήν μου ἡμέραν, καὶ τὴν εἶδε καὶ ἐχάρη». Πάλιν δείχνει ὅτι αὐτοὶ εἶναι ξένοι πρὸς τόν Ἀβραάμ, ἀφοῦ, δι' ἐκεῖνα ποὺ ἐκεῖνος ἔχαιρεν, αὐτοὶ νοιώθουν λύπην. Ἐδῶ δὲ νομίζω ὅτι ἐννοεῖ τὴν ἡμέραν τοῦ σταυροῦ, τὴν ὁποίαν προεικόνισεν ὁ Ἀβραὰμ μὲ τὴν θυσίαν τοῦ κριοῦ καὶ τοῦ Ἰσαάκ. Τί λέγουν λοιπὸν ἐκεῖνοι; «Δὲν εἶσαι ἀκόμη σαράντα ἐτῶν[7] καὶ ἔχεις ἰδεῖ τὸν Ἀβραάμ;». Ὥστε ὁ Χριστὸς εὑρίσκετο πλέον κοντὰ εἰς τὰ σαράντα χρόνια. Λέγει εἰς αὐτούς˙ «Προτοῦ νὰ γεννηθῇ ὁ Ἀβραάμ, ἐγὼ ὑπάρχω. Καὶ ἐπῆραν λίθους διὰ νὰ τοὺς ρίψουν ἐπάνω του». Βλέπεις πῶς ἀπέδειξεν ὅτι εἶναι ἀνώτερος ἀπό τόν Ἀβραάμ; Διότι αὐτὸς ποὺ ἐχάρη διὰ νὰ ἰδῇ τὴν ἡμέραν καὶ ἔδειξε τόσην φροντίδα δι' αὐτό, εἶναι φανερὸν ὅτι ἐθεώρει αὐτὴν ὡς ἡμέραν ποὺ τοῦ ἐδόθη ὡς εὐεργεσία καὶ ὅτι ἦτο μεγαλύτερος αὐτός ποὺ ἐφάνη τὴν ἡμέραν ἐκείνην. Διότι, ἐπειδὴ ἔλεγον, «Ὁ υἱὸς τοῦ ξυλουργοῦ»[8], καὶ τίποτε ἐπὶ πλέον δὲν τὸν ἐθεωροῦσαν, σιγὰ - σιγὰ ὁδηγεῖ τὴν σκέψιν των πρὸς τὰ ὑψηλότερα. Ὅταν μὲν ἤκουσαν, «δὲν γνωρίζετε τὸν Θεόν», δὲν ἐλυπήθησαν, ὅταν ὅμως ἤκουσαν, «Πρὸ τοῦ νὰ γεννηθῇ ὁ Ἀβραάμ, ἐγὼ ὑπάρχω», ἐπειδὴ μὲ τοὺς λόγους αὐτοὺς ἐταπεινώνετο ἡ καταγωγή των, ἐξη-

θαζον. «Εἶδε τὴν ἡμέραν τὴν ἐμήν, καὶ ἐχάρη». Δείκνυσιν ὅτι οὐκ ἄκων ἐπὶ τὸ πάθος ἔρχεται, εἴ γε ἐπαινεῖ τὸν ἡσθέντα ἐπὶ τῷ σταυρῷ· τοῦτο γὰρ σωτηρία τῆς οἰκουμένης ἦν. Οἱ δὲ λίθους ἔβαλον· οὕτω πρὸς φόνους ἕτοιμοι ἦσαν, καὶ δι' ἑαυτῶν ταῦτα ἔπραττον, μηδὲν ἐξετάζοντες.

Διὰ τί δὲ μὴ εἶπε, 'Πρὸ τοῦ 'Αβραὰμ γενέσθαι ἐγὼ ἤμην', ἀλλ' «ἐγώ εἰμι»· Ὥσπερ ὁ Πατὴρ αὐτοῦ ταύτῃ κέχρηται τῇ λέξει, τῇ «εἰμί», οὕτω καὶ αὐτός· τοῦ διηνεκῶς γὰρ εἶναι σημαντικὴ αὕτη, παντὸς ἀπηλλαγμένη χρόνου· διὰ τοῦτο καὶ βλάσφημον αὐτοῖς εἶναι δοκεῖ τὸ ῥῆμα. Εἰ δὲ τὴν πρὸς 'Αβραὰμ σύγκρισιν οὐκ ἤνεγκαν (καίτοι γε μικρὰν οὖσαν), εἰ συνεχῶς ἑαυτὸν ἐξίσου τῷ Πατρί, ἆρα ἂν διέλιπον αὐτὸν βάλλοντες; Εἶτα φεύγει πάλιν ἀνθρωπίνως καὶ κρύπτεται, ἱκανὴν διδασκαλίαν αὐτοῖς παραθέμενος· καί, τὰ αὐτοῦ πληρώσας, ἐξῆλθεν ἐκ τοῦ ἱεροῦ, καὶ ἀνεχώρησεν ἐπὶ τὴν ἴασιν τοῦ τυφλοῦ, διὰ τῶν ἔργων πιστούμενος ὅτι πρὸ τοῦ 'Αβραὰμ ἐστιν. 'Αλλ' ἴσως ἐρεῖ τις· Τίνος ἕνεκεν οὐκ ἐξέλυσεν αὐτῶν τὴν δύναμιν; οὕτω γὰρ ἂν ἐπίστευσαν. Παραλελυμένον ἐθεράπευσε, καὶ οὐκ ἐπίστευσαν, ἀλλὰ μυρία εἰργάσατο, καὶ ἐν αὐτῷ δὲ τῷ πάθει ἔρριψεν αὐτοὺς ὑπτίους, καὶ ἐσκότωσεν αὐτῶν τὰς ὄψεις, καὶ οὐκ ἐπίστευσαν, καὶ πῶς ἂν ἐπίστευσαν, εἰ τὴν δύναμιν αὐτῶν ἐξέλυσε; Ψυχῆς γὰρ ἀπεγνωκυίας χεῖρον οὐδέν, κἂν σημεῖα ἴδῃ, κἂν τέρατα, μένει τὴν αὐτὴν ἀναισχυντίαν ἔχουσα· καὶ γὰρ ὁ Φαραώ, μυρίας δεχόμενος πληγάς, ὅτε ἐκολάζετο μόνον, ἐσωφρονίζετο, καὶ μέχρι τῆς ἐσχάτης ἡμέρας τοιοῦτος ἔμεινε, διώκων οὓς ἀπέλυσε. Διὰ τοῦτο ἄνω καὶ κάτω ὁ Παῦλός φησι· «Μὴ σκληρυνθῇ τις ἐξ ὑμῶν ἀπάτῃ τῆς ἁμαρτίας». Καθάπερ γὰρ οἱ στῦλοι τοῦ σώματος νε-

---

9. 'Ιω. 18, 6.
10. 'Εξ. κεφ. 7 - 14.

γριώνοντο καὶ τὸν ἐλιθοβολοῦσαν. «Εἶδε τὴν ἰδικήν μου ἡμέραν καὶ ἐχάρη». Δείχνει μὲ αὐτὰ τὰ λόγια, ὅτι βαδίζει πρὸς τὸ πάθος ὄχι χωρὶς νὰ τὸ θέλῃ, ἐφ' ὅσον ἐπαινεῖ ἐκεῖνον ποὺ ἔνοιωσε χαρὰν διὰ τὸν σταυρόν· διότι αὐτὸ ἦτο σωτηρία τῆς οἰκουμένης. Ἐκεῖνοι ὅμως ἔρριπτον λίθους· τόσον πολὺ ἕτοιμοι ἦσαν διὰ φόνους καὶ ὅλα αὐτὰ τὰ ἔκαμνον ἀπὸ μόνοι των, χωρὶς καμμίαν περίσκεψιν.

Διατί ὅμως δὲν εἶπε, Πρὶν νὰ γεννηθῇ ὁ Ἀβραάμ, ἐγὼ ὑπῆρχον', ἀλλὰ «ἐγὼ ὑπάρχω»; Ὅπως ἀκριβῶς ὁ Πατὴρ του χρησιμοποιεῖ αὐτὴν τὴν λέξιν «ὑπάρχω», ἔτσι καὶ αὐτός· διότι αὐτὴ δηλώνει τὸ συνεχές, ἀπηλλαγμένη ἀπὸ κάθε χρόνον· διὰ τοῦτο καὶ ὁ λόγος αὐτὸς φαίνεται εἰς αὐτοὺς βλάσφημος. Ἐὰν ὅμως δὲν ἠνέχθησαν τὴν σύγκρισίν του πρὸς τὸν Ἀβραὰμ (ἂν καὶ βέβαια ἦτο μικρά), ἐὰν συνεχῶς ἐξίσωνε τὸν ἑαυτόν του μὲ τὸν Πατέρα, ἆρά γε θὰ ἦτο δυνατὸν νὰ ἔπαυον νὰ τὸν κτυποῦν; Εἰς τὴν συνέχειαν φεύγει πάλιν ἀνθρωπίνως καὶ κρύπτεται, ἀφοῦ ἀρκετὰ τοὺς ἐδίδαξεν· καί, ἀφοῦ ἔκαμεν ὅ,τι ἀφοροῦσεν αὐτόν, ἐβγῆκεν ἀπὸ τὸ ἱερὸν καὶ ἀνεχώρησε διὰ τὴν θεραπείαν τοῦ τυφλοῦ, ἐπιβεβαιώνων μὲ τὰ ἔργα ὅτι ὑπάρχει πρὶν ἀπὸ τὸν Ἀβραάμ. Ἀλλ' ἴσως εἰπῇ κάποιος· Πρὸς ποῖον σκοπὸν δὲν διέλυσε τὴν δύναμίν των; διότι ἔτσι θὰ ἦτο δυνατὸν νὰ πιστεύσουν. Παράλυτον ἐθεράπευσε καὶ δὲν ἐπίστευσαν, ἄλλα ἀμέτρητα θαύματα ἔκαμε καὶ κατὰ τὸ πάθος του ἀκόμη τοὺς ἔρριψεν ὑπτίους[9], καὶ ἐπεσκότωσε τοὺς ὀφθαλμούς των, καὶ δὲν ἐπίστευσαν, καὶ πῶς ἦτο δυνατὸν νὰ πιστεύσουν, ἐὰν διέλυε τὴν δύναμίν των; Διότι τίποτε δὲν ὑπάρχει χειρότερον ἀπὸ ἀπεγνωσμένην ψυχήν· καὶ ἂν ἀκόμη ἰδῇ θαύματα, καὶ ἂν ἀκόμη ἰδῇ τέρατα, ἐξακολουθεῖ νὰ δεικνύῃ τὴν ἰδίαν ἀναισχυντίαν. Καθ' ὅσον καὶ ὁ Φαραώ, ἂν καὶ ἐδέχετο μυρίας πληγάς, μόνον ὅταν ἐτιμωρεῖτο, ἐσωφρονίζετο, καὶ μέχρι τὴν τελευταίαν ἡμέραν τέτοιος παρέμεινε, καταδιώκων αὐτοὺς ποὺ ἠλευθέρωσε[10]. Διὰ τοῦτο καὶ ὁ Παῦλος συνεχῶς λέγει· «Νὰ μὴ σκληρυνθῇ κανείς σας ἀπὸ τὴν ἀπατηλὴν ἁμαρτίαν». Διότι, ὅπως ἀκριβῶς τὰ μέλη τοῦ σώματος νεκρώ-

κροῦνται λοιπόν, καὶ οὐδεμίαν αἴσθησιν ἔχουσιν, οὕτω καὶ ψυχή, ὅταν πολλοῖς κατασχεθῇ πάθεσι, νεκροῦται πρὸς τὴν ἀρετήν. Κἂν εἰτιοῦν προσενέγκῃς, οὐ λαμβάνει τοῦ πράγματος αἴσθησιν, ἀλλά, κἂν κόλασιν, κἂν ὁτιοῦν ἀπειλήσῃς, ἀνάλγητος μένει.

3. Διὸ δὴ δέομαι, ἕως ἐλπίδας ἔχομεν σωτηρίας, ἕως δυνάμεθα ἐπιστρέψαι, πάντα ποιεῖν· οἱ γὰρ ἀπηλγηκότες, καθάπερ τῶν κυβερνητῶν οἱ ἀπογνόντες τῇ πνεούσῃ τὸ σκάφος παραδιδόντες, οὐδὲν παρ' ἑαυτῶν εἰσφέρουσιν, οὕτω καὶ οὗτοι πειρῶνται λοιπόν. Ὅ τε γὰρ βάσκανος εἰς ἓν ὁρᾷ μόνον, τὴν ἐπιθυμίαν πληρῶσαι τὴν ἑαυτοῦ, κἂν κολάζεσθαι μέλλῃ, κἂν ἀναιρεῖσθαι, τοῦ πάθους γίνεται μόνου· καὶ ὁ ἀκόλαστος καὶ ὁ φιλοχρήματος. Εἰ δὲ τῶν παθῶν τοσαύτη ἡ τυραννίς, πολλῷ μᾶλλον τῆς ἀρετῆς· εἰ δι' ἐκεῖνα θανάτου καταφρονοῦμεν, πολλῷ μᾶλλον διὰ ταύτην· εἰ ἐκεῖνοι τῆς ψυχῆς καταφρονοῦσι τῆς ἑαυτῶν, πολλῷ μᾶλλον ὑπὲρ τῆς σωτηρίας τῆς ἡμετέρας τοῦτο ποιεῖν χρή· τίς γὰρ ἡμῖν ἔσται λόγος, ὅταν, τῶν ἀπολλυμένων οὕτω σπουδαζόντων ὑπὲρ τῆς ἑαυτῶν ἀπωλείας, ἡμεῖς ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας μηδὲ τοσαύτην ἐπιδειξώμεθα σπουδήν, ἀλλ' ἀεὶ φθόνῳ τηκόμενοι διαμένωμεν; Οὐδὲν γὰρ βασκανίας χεῖρον· ἵνα ἕτερον ἀπολέσῃ, καὶ ἑαυτὸν προσαπολλύει. Βασκάνου ὀφθαλμὸς ἐκτήκεται λύπῃ, θανάτῳ συζῇ διηνεκεῖ, πάντας ἐχθροὺς ἡγεῖται, τοὺς οὐδὲν ἠδικηκότας· ἀλγεῖ ὅτι ὁ Θεὸς τιμᾶται, χαίρει ἐφ' οἷς ὁ διάβολος χαίρει.

Ὁ δεῖνα τετίμηται παρὰ ἀνθρώποις; Ἀλλ' οὐκ ἔστιν αὕτη τιμή, μὴ βασκάνῃς. Ἀλλὰ παρὰ Θεῷ τετίμηται; Ζήλωσον καὶ γένου ὅμοιος. Ἀλλ' οὐ βούλει; Τί τοίνυν καὶ

11. Ἑβρ. 3, 13.

νονται εἰς τὸ τέλος καὶ δὲν αἰσθάνονται τίποτε, ἔτσι καὶ ἡ ψυχή, ὅταν κυριευθῇ ἀπὸ πολλὰ πάθη, νεκρώνεται ὡς πρὸς τὴν ἀρετήν. Καὶ ὅ,τι δήποτε καὶ ἂν τῆς προσφέρῃς, δὲν αἰσθάνεται αὐτὸ ποὺ τῆς προσφέρεται, ἀλλὰ καὶ ἂν ἀκόμη τὴν ἀπειλήσῃς μὲ τιμωρίαν, καὶ ἂν ἀκόμη μὲ ὅ,τι δήποτε ἄλλο, παραμένει ἀναίσθητος.

3. Διὰ τοῦτο λοιπὸν σᾶς παρακαλῶ, ἕως ὅτου ἔχομεν ἀκόμη ἐλπίδας διὰ σωτηρίαν, ἕως ὅτου ἠμποροῦμεν νὰ ἐπιστρέψωμεν, νὰ πράττωμεν τὰ πάντα· διότι οἱ ἀδιάφοροι, ὅπως ἀκριβῶς οἱ ἀπελπισμένοι κυβερνῆτες παραδίδουν τὸ σκάφος εἰς τοὺς ἀνέμους καὶ δὲν καταβάλλουν καμμίαν προσπάθειαν, ἔτσι καὶ αὐτοὶ ἐνεργοῦν πλέον. Διότι καὶ ὁ φθονερὸς εἰς ἕνα καὶ μόνον ἀποβλέπει, νὰ ἐκπληρώσῃ τὴν ἐπιθυμίαν του, καὶ εἴτε πρόκειται νὰ τιμωρηθῇ, εἴτε νὰ θανατωθῇ, αὐτὸς γίνεται μόνον δοῦλος τοῦ πάθους· τὸ ἴδιο καὶ ὁ ἀκόλαστος καὶ ὁ φιλοχρήματος. Ἐὰν δὲ εἶναι τόσον μεγάλη ἡ τυραννὶς τῶν παθῶν, πολὺ περισσότερον εἶναι τῆς ἀρετῆς· ἐὰν ἐξ αἰτίας ἐκείνων περιφρονοῦμεν τὸν θάνατον, πολὺ περισσότερον δι' αὐτήν· ἐὰν ἐκεῖνοι περιφρονοῦν τὴν ψυχήν των ἐξ αἰτίας ἐκείνων, πολὺ περισσότερον πρέπει νὰ τὸ κάμνωμεν αὐτὸ ἡμεῖς διὰ τὴν σωτηρίαν μας· διότι ποίαν ἀπολογίαν θὰ ἔχωμεν, ὅταν ἐπιδεικνύουν τόσην φροντίδα διὰ τὴν ἀπώλειάν των αὐτοὶ ποὺ καταστρέφονται, ἡμεῖς νὰ μὴ ἐπιδείξωμεν οὔτε τόσην φροντίδα διὰ τὴν σωτηρίαν μας, ἀλλὰ νὰ παραμένωμεν συνεχῶς λειώνοντες ἀπὸ τὸν φθόνον; Διότι τίποτε δὲν ὑπάρχει χειρότερον ἀπὸ τὸν φθόνον· διὰ νὰ καταστρέψῃ ἄλλον, καταστρέφει μαζὶ καὶ τὸν ἑαυτόν του. Ὁ ὀφθαλμὸς τοῦ φθονεροῦ λειώνει ἀπὸ τὴν λύπην, ζῇ διαρκῶς μὲ τὸν θάνατον, θεωρεῖ ὅλους ἐχθρούς, ποὺ δὲν τὸν ἠδίκησαν εἰς τίποτε· λυπεῖται ποὺ ὁ Θεὸς τιμᾶται, χαίρεται δι' αὐτὰ ποὺ χαίρεται ὁ διάβολος.

Ὁ τάδε τιμᾶται ἐκ μέρους τῶν ἀνθρώπων; Ἀλλ' αὐτὴ δὲν εἶναι τιμή, μὴ φθονήσῃς. Ἀλλὰ τιμᾶται ἐκ μέρους τοῦ Θεοῦ; Ζήλεψέ τον καὶ γίνε ὅμοιός του. Ἀλλὰ δὲν θέλεις; Διατί λοιπὸν ἐπὶ πλέον καταστρέφεις καὶ τὸν ἑαυτόν

σαυτὸν προσαπολλύεις; τί καὶ ὃ ἔχεις ῥίπτεις; Οὐ δύνασαι γενέσθαι ἴσος ἐκείνῳ, οὐδὲ λαβεῖν τι καλόν; τί καὶ κακὸν προσλαμβάνεις; δέον συνήδεσθαι, ἵνα, κἂν κοινωνῆσαι τῶν πόνων μὴ δυνηθῇς, ἐκ τοῦ συνήδεσθαι κερδάνῃς· ἀρκεῖ γὰρ πολλαχοῦ καὶ προαίρεσις μέγα ποιῆσαι ἀγαθόν. Ὁ γοῦν Ἰεζεκιὴλ φησι διὰ τοῦτο τοὺς Μωαβίτας κολάζεσθαι, διὰ τὸ ἐπιχαίρειν τοῖς Ἰσραηλίταις· καὶ ἄλλους τινὰς σώζεσθαι, ὅτι ἔστενον ἐπὶ τοῖς ἑτέρων κακοῖς. Εἰ δὲ τοῖς στενάζουσιν ἐπὶ τοῖς ἑτέρων κακοῖς ἔστι τις παραμυθία, πολλῷ μᾶλλον τοῖς ἡδομένοις ἐπὶ ταῖς ἑτέρων τιμαῖς.

Ἐνεκάλει τοῖς Μωαβίταις, ὅτι ἐπέχαιρον τοῖς Ἰσραηλίταις, καίτοι γε ὁ Θεὸς ἐκόλαζεν· ἀλλ' οὐδέ, ὅταν αὐτὸς κολάζῃ, ἐφήδεσθαι ἡμᾶς βούλεται τοῖς κολαζομένοις· οὐδὲ γὰρ αὐτὸς βούλεται αὐτοὺς κολάσαι. Εἰ δὲ συναλγεῖν χρὴ κολαζομένοις, πολλῷ μᾶλλον τιμωμένοις μὴ φθονεῖν. Οὕτω γοῦν οἱ περὶ Κορὲ καὶ Δαθὰν ἀπώλοντο, τοὺς μὲν φθονουμένους λαμπροτέρους ποιήσαντες, ἑαυτοὺς δὲ κολάσει παραδόντες. Θηρίον γάρ ἐστιν ἰοβόλον ὁ φθόνος, θηρίον ἀκάθαρτον, καὶ κακία προαιρέσεως, συγγνώμην οὐκ ἔχουσα, πονηρία, ἀπολογίας ἀπεστερημένη, πάντων αἰτία καὶ μήτηρ τῶν κακῶν. Διὸ πρόρριζον αὐτὴν ἀνέλωμεν, ἵνα καὶ τῶν παρόντων κακῶν ἀπαλλαγῶμεν, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

12. Ἰεζ. 14, 15.

σου; διατί ἀπορρίπτεις καὶ ἐκεῖνο ποὺ ἔχεις; Δὲν ἠμπορεῖς νὰ γίνῃς ἴσος μὲ ἐκεῖνον, οὔτε καὶ νά λάβῃς κάποιο καλό; διατί προσέτι λαμβάνεις τὸ κακόν; ἔπρεπε νὰ συμμετεῖχες εἰς τὴν χαράν του, ὥστε, καὶ ἂν ἀκόμη δὲν ἠμπορέσῃς νὰ λάβῃς μέρος εἰς τοὺς πόνους του, νὰ ὠφεληθῇς ἀπὸ τὴν συμμετοχὴν εἰς τὴν χαράν του· διότι εἰς πολλὰς περιπτώσεις ἀρκεῖ καὶ ἡ προαίρεσις νά μᾶς παράσχῃ μέγα ἀγαθόν. Καὶ πράγματι ὁ Ἰεζεκιὴλ λέγει, ὅτι διὰ τοῦτο ἐτιμωροῦντο οἱ Μωαβῖται, ἐπειδὴ ἐχαίροντο διά τὰς συμφορὰς τῶν Ἰσραηλιτῶν[12], καὶ ὅτι ὡρισμένοι ἄλλοι ἐσώθησαν, ἐπειδὴ ἐστέναζον διὰ τὰς συμφορὰς τῶν ἄλλων. Ἐὰν δὲ ὑπάρχῃ κάποια παρηγορία δι' αὐτοὺς ποὺ στενάζουν διὰ τάς συμφορὰς τῶν ἄλλων, πολὺ περισσότερον ὑπάρχει δι' αὐτοὺς ποὺ χαίρονται διὰ τὰς τιμὰς τῶν ἄλλων.

Κατηγόρει τοὺς Μωαβίτας ἐπειδὴ ἐχαίροντο διά τάς συμφοράς τῶν Ἰσραηλιτῶν, ἂν καὶ βέβαια ὁ Θεὸς ἐτιμώρει αὐτούς, ἀλλ' οὔτε, ὅταν αὐτὸς τιμωρῇ, θέλει ἡμεῖς νὰ χαιρώμεθα ποὺ τιμωροῦνται οἱ ἄλλοι, καθ' ὅσον οὔτε ὁ ἴδιος θέλει νὰ τοὺς τιμωρήσῃ. Ἐὰν δὲ πρέπει νὰ πονοῦμεν μαζὶ μὲ αὐτοὺς ποὺ τιμωροῦνται, πολὺ περισσότερον δὲν πρέπει νὰ φθονοῦμεν αὐτοὺς ποὺ τιμῶνται. Διότι ἔτσι ὡδηγήθησαν εἰς τὴν ἀπώλειαν οἱ περὶ τὸν Κορὲ καὶ Δαθάν, καταστήσαντες τοὺς μὲν φθονουμένους λαμπροτέρους, τοὺς δὲ ἑαυτούς των παρέδωσαν εἰς τὴν τιμωρίαν. Διότι ὁ φθόνος εἶναι θηρίον φαρμακερόν, θηρίον ἀκάθαρτον, κακία θεληματικὴ ποὺ δὲν ἔχει συγχώρησιν, πονηρία ποὺ στερεῖται ἀπολογίας, αἰτία καὶ μητέρα ὅλων τῶν κακῶν. Διὰ τοῦτο ἂς τὴν βγάλωμεν ἀπὸ τὴν ρίζαν της· ὥστε καὶ ἀπὸ τὰ παρόντα κακὰ ν' ἀπαλλαγῶμεν καὶ νὰ ἐπιτύχωμεν τὰ μέλλοντα ἀγαθὰ μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου ἀνήκει δόξα εἰς τὸν Πατέρα συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

ΟΜΙΛΙΑ ΝΣΤ΄

Ἰω. 9, 1-5

«Καὶ παράγων ὁ Ἰησοῦς εἶδεν ἄνθρωπον τυφλὸν ἐκ γενετῆς. Καὶ ἠρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, λέγοντες· Ραββί, τίς ἥμαρτεν, οὗτος, ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς γεννηθῇ;».

1. «Καὶ παράγων ὁ Ἰησοῦς εἶδεν ἄνθρωπον τυφλὸν ἐκ γενετῆς». Σφόδρα φιλάνθρωπος ὢν καὶ τῆς ἡμετέρας σωτηρίας κηδόμενος, καὶ τῶν ἀγνωμόνων τὰ στόματα ἐμφράξαι θέλων, οὐδὲν τῶν εἰς αὐτῶν ἡκόντων παραλιμπάνει, κἂν μηδεὶς ὁ προσέχων ᾖ. Τοῦτο γοῦν καὶ ὁ Προφήτης εἰδώς, ἔλεγεν· «Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε». Διὰ δὴ τοῦτο καὶ ἐνταῦθα, ἐπειδὴ τὸ τῶν λόγων ὑψηλὸν οὐκ ἐδέξαντο, ἀλλὰ καὶ δαιμονῶντα ἐκάλεσαν καὶ ἀνελεῖν ἐπεχείρουν, ἐξελθὼν ἐκ τοῦ ἱεροῦ, θεραπεύει τυφλόν, τῇ τε ἀπουσίᾳ τὸν θυμὸν παραμυθούμενος, καὶ διὰ τῆς ἐργασίας τοῦ σημείου τὸ σκληρὸν αὐτῶν καὶ ἀπηνὲς καταμαλάσσων, καὶ τὰ εἰρημένα πιστούμενος, καὶ ποιεῖ σημεῖον οὐ τὸ τυχόν, ἀλλὰ τότε πρῶτον συμβάν· «ἀπὸ γὰρ τοῦ αἰῶνος, φησίν, οὐκ ἠκούσθη ὅτι ἤνοιξέ τις ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου» τυφλοῦ μὲν γὰρ ἴσως ἤνοιξέ τις, γεγεννημένου δέ, οὐκ ἔτι. Καὶ ὅτι, ἐξελθὼν ἐκ τοῦ ἱεροῦ, ἐπὶ τὸ ἔργον ἦλθεν ἐπίτηδες, δῆλον ἐκεῖθεν· αὐτὸς γὰρ εἶδε τὸν τυφλόν, οὐχ ὁ τυφλὸς αὐτῷ προσῆλθε· καὶ οὕτω σπουδαίως ἀνέβλεψεν, ὡς καὶ τοῖς μαθηταῖς αἴσθησιν παρασχεῖν. Ἀπὸ τούτου γοῦν καὶ ἐπὶ τὴν ἐρώτησιν

1. Ψαλμ. 50, 6.
2. Ἰω. 9, 32.

ΟΜΙΛΙΑ ΝΣΤ΄

Ἰω. 9, 1 - 5

«Καὶ διερχόμενος ὁ Ἰησοῦς εἶδεν ἄνθρωπον τυφλὸν ἐκ γενετῆς. Καὶ ἠρώτησαν αὐτὸν οἱ μαθηταί του, λέγοντες· Διδάσκαλε, ποῖος ἥμαρτεν, αὐτὸς ἢ οἱ γονεῖς του, ὥστε νὰ γεννηθῇ τυφλός;».

1. «Καὶ διερχόμενος ὁ Ἰησοῦς εἶδεν ἄνθρωπον τυφλὸν ἐκ γενετῆς». Ἐπειδὴ εἶναι πάρα πολὺ φιλάνθρωπος καὶ φροντίζει διὰ τὴν σωτηρίαν μας καὶ θέλων νὰ κλείσῃ τὰ στόματα τῶν ἀχαρίστων, δὲν παραλείπει νὰ κάνῃ ἀπὸ ἐκεῖνα ποὺ ἔπρεπε νὰ κάνῃ καὶ ἂν ἀκόμη κανεὶς δὲν τὸν ἐπρόσεχεν. Αὐτὸ λοιπὸν γνωρίζων καλὰ καὶ ὁ προφήτης, ἔλεγεν· «Διὰ νὰ δικαιωθῇς μὲ τοὺς λόγους σου καὶ νὰ νικήσῃς μὲ τὴν κρίσιν σου»[1]. Διὰ τοῦτο λοιπὸν καὶ ἐδῶ, ἐπειδὴ δὲν ἐδέχθησαν τὸ ὑψηλὸν νόημα τῶν λόγων του, ἀλλὰ τὸν ὠνόμασαν καὶ δαιμονισμένον καὶ ἐπεχείρουν καὶ νὰ τὸν φονεύσουν, ἀφοῦ ἐξῆλθεν ἀπὸ τὸν ναόν, θεραπεύει τὸν τυφλόν, καὶ καταπραΰνων τὴν ὀργήν των μὲ τὴν ἀπουσίαν του καὶ μὲ τὴν πραγματοποίησιν τοῦ θαύματος μαλακώνων τὴν σκληρότητα καὶ τὴν ἀσπλαχνίαν των καὶ κάμνων πιστευτοὺς τοὺς λόγους του· καὶ τὸ θαῦμα ποὺ κάμνει δὲν εἶναι τυχαῖον, ἀλλὰ τότε συνέβη διὰ πρώτην φοράν. Καθ' ὅσον λέγει· «Ποτὲ πρὶν δὲν ἠκούσθη, ὅτι ἤνοιξε κάποιος τοὺς ὀφθαλμοὺς τυφλοῦ ἐκ γενετῆς»[2]· διότι ἴσως κάποιος νὰ ἤνοιξε τοὺς ὀφθαλμοὺς τυφλοῦ, ἐκ γενετῆς ὅμως ὄχι ἀκόμη. Καὶ τὸ ὅτι ἐξελθὼν ἀπὸ τὸν ναόν, ἦλθεν ἐπίτηδες νὰ κάνῃ τὸ θαῦμα γίνεται φανερὸν ἀπὸ τὸ ἑξῆς· αὐτὸς δηλαδὴ εἶδε τὸν τυφλόν, καὶ δὲν προσῆλθε πρὸς αὐτὸν ὁ τυφλός, καὶ μὲ τόσην προσοχὴν τὸν εἶδεν, ὥστε καὶ τοὺς μαθητὰς νὰ τοὺς κάνῃ ἐντύπωσιν. Ἐξ αἰτίας αὐ-

ἦλθον· ὁρῶντες γὰρ αὐτὸν σπουδαίως προσέχοντα, ἐπυνθάνοντο, λέγοντες· «Τίς ἥμαρτεν, οὗτος ἢ οἱ γονεῖς αὐτοῦ;». Ἐσφαλμένη ἡ ἐρώτησις· πῶς γὰρ ἂν ἥμαρτε, πρὶν ἢ γεννηθῆναι; πῶς δέ, τῶν γονέων ἁμαρτόντων, αὐτὸς ἂν ἐκολάσθη; Πόθεν οὖν ἦλθον ἐπὶ τὴν ἐρώτησιν ταύτην; Πρὸ τούτου τὸν παραλελυμένον θεραπεύων, ἔλεγεν· «Ἰδοὺ ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε».

Οὗτοι τοίνυν ἐννοήσαντες ὅτι ἐκεῖνος δι' ἁμαρτίας παρελύθη, λέγουσιν· "Ἔστω, ἐκεῖνος δι' ἁμαρτήματα παρελύθη· περὶ τούτου δὲ τί ἂν εἴποις; οὗτος ἥμαρτεν; Ἀλλ' οὐκ ἔστιν εἰπεῖν· ἐκ γενετῆς γάρ ἐστι τυφλός. Ἀλλ' οἱ γονεῖς αὐτοῦ; Ἀλλ' οὐδὲ τοῦτο· παῖς γὰρ ὑπὲρ πατρὸς οὐ δίδωσι δίκην". Ὥσπερ οὖν, παιδίον κακούμενον ὁρῶντες, λέγομεν· 'Τί ἄν τις εἴποι περὶ τούτου; τί ἐποίησε τὸ παιδίον;» οὐκ ἐρωτῶντες, ἀλλὰ διαποροῦντες, οὕτω δὴ καὶ οἱ μαθηταί, οὐ τοσοῦτον ἐρωτῶντες τοῦτο ἔλεγον, ἀλλ' ἀποροῦντες. Τί οὖν ὁ Χριστός; «Οὔτε οὗτος ἥμαρτεν, οὔτε οἱ γονεῖς αὐτοῦ». Τοῦτο δέ, οὐχ ἁμαρτημάτων ἀπαλλάττων αὐτούς, φησίν, (οὐ γὰρ ἁπλῶς εἶπεν· «Οὔτε οὗτος ἥμαρτεν, οὔτε οἱ γονεῖς αὐτοῦ», ἀλλ' ἐπήγαγεν· «Ἵνα τυφλὸς γεννηθῇ»), ἀλλ' ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ Θεοῦ· ἥμαρτε μὲν γὰρ καὶ οὗτος, καὶ οἱ γονεῖς αὐτοῦ, ἀλλ' οὐκ ἐντεῦθεν, φησίν, ἡ πήρωσις.

Ταῦτα δὲ ἔλεγεν, οὐ τοῦτο ἐμφαίνων, ὅτι οὗτος μὲν οὐχ οὕτως, ἄλλοι δέ τινες ἐκ τούτων ἐτυφλώθησαν τῶν αἰτιῶν, διὰ τὰς τῶν γονέων ἁμαρτίας· οὐδὲ γὰρ ἔνι, ἁμαρτάνοντος ἑτέρου, κολάζεσθαι ἕτερον. Ἐπεί, εἰ τοῦτο δώσομεν, κἀκεῖνο δώσομεν, ὅτι πρὸ γενέσεως ἥμαρτεν. Ὥσπερ οὖν, εἰπὼν ὅτι

3. Ἰω. 5, 14.

τοῦ λοιπὸν ἔσπευσαν νὰ τὸν ἐρωτήσουν˙ διότι, βλέποντες αὐτὸν νὰ τὸν βλέπῃ μὲ τόσην προσοχήν, ἐζητοῦσαν νὰ μάθουν, λέγοντες˙ «Ποῖος ἥμαρτεν, αὐτὸς ἢ οἱ γονεῖς του;». Ἐσφαλμένη ἡ ἐρώτησις˙ διότι πῶς ἦτο δυνατὸν ν' ἁμαρτήσῃ πρὶν γεννηθῇ; πῶς δέ, ἐὰν ἡμάρτησαν οἱ γονεῖς του, ἦτο δυνατὸν αὐτὸς νὰ τιμωρηθῇ; Διατί λοιπὸν ἔκαμαν αὐτὴν τὴν ἐρώτησιν; Πρὶν ἀπὸ αὐτὸ τὸ θαῦμα, θεραπεύων τὸν παράλυτον, ἔλεγεν «Νά, ἔγινες ὑγιής˙ μὴ ἁμαρτάνῃς εἰς τὸ ἑξῆς»[3].

Αὐτοὶ λοιπὸν ἀντιληφθέντες ὅτι ἐκεῖνος ἔγινε παράλυτος ἐξ αἰτίας τῶν ἁμαρτιῶν του, τοῦ λέγουν˙ '"Εστω, ἐκεῖνος ἔγινε παράλυτος ἐξ αἰτίας τῶν ἁμαρτημάτων του, δι' αὐτὸν ὅμως τί θὰ ἠμποροῦσες νὰ εἰπῇς; αὐτὸς ἥμαρτεν; Ἀλλὰ δὲν ἠμπορεῖς νὰ τὸ εἰπῇς, διότι εἶναι τυφλὸς ἐκ γενετῆς. Μήπως ὅμως ἥμαρτον οἱ γονεῖς του; Ἀλλ' οὔτε αὐτό, διότι τὸ παιδὶ δὲν τιμωρεῖται διὰ τὰς ἀδικίας τοῦ πατρός του'. Ὅπως ἀκριβῶς λοιπόν, βλέποντες κάποιο παιδὶ νὰ εὑρίσκεται εἰς ἀθλίαν κατάστασιν, λέγομεν, 'Τί θὰ ἠμποροῦσε κανεὶς νὰ εἰπῇ δι' αὐτό; τί ἔκαμε τὸ παιδί;' χωρὶς νὰ ἐρωτῶμεν, ἀλλὰ ἐκφράζομεν ἀπορίαν, ἔτσι λοιπὸν καὶ οἱ μαθηταί, δὲν τὸ ἔλεγον αὐτὸ τόσον ὑπὸ μορφὴν ἐρωτήσεως, ἀλλὰ ἀπορίας. Τί ἀπαντᾷ λοιπὸν ὁ Χριστός; «Οὔτε αὐτὸς ἥμαρτεν, οὔτε οἱ γονεῖς του». Αὐτὸ δὲ δὲν τὸ λέγει ἀπαλλάσσων αὐτοὺς ἀπὸ τὰς ἁμαρτίας (Διότι δὲν εἶπεν ἁπλῶς, «Οὔτε αὐτὸς ἥμαρτεν, οὔτε οἱ γονεῖς του», ἀλλὰ ἐπρόσθεσεν, «Διὰ νὰ γεννηθῇ τυφλός»), ἀλλὰ διὰ νὰ δοξασθῇ ὁ Υἱὸς τοῦ Θεοῦ˙ ἡμάρτησε βέβαια καὶ αὐτὸς καὶ οἱ γονεῖς του, ἀλλὰ δὲν προέρχεται, λέγει, ἀπὸ αὐτὴν τὴν αἰτίαν ἡ τύφλωσις.

Αὐτὰ δὲ τὰ ἔλεγεν ὄχι διὰ νὰ δείξῃ αὐτό, ὅτι δηλαδὴ αὐτὸς μὲν δὲν ἐτυφλώθη δι' αὐτὴν τὴν αἰτίαν, ἐνῷ ὡρισμένοι ἄλλοι ἐτυφλώθησαν ἐξ αἰτίας αὐτῶν τῶν αἰτιῶν, ἐξ αἰτίας τῶν ἁμαρτιῶν τῶν γονέων των˙ καθ' ὅσον δὲν εἶναι δυνατὸν ν' ἁμαρτάνῃ ἄλλος καὶ νὰ τιμωρῆται ἄλλος. Διότι ἐὰν τὸ παραδεχθῶμεν αὐτό, κατ' ἀνάγκην θὰ παραδεχθῶμεν καὶ ἐκεῖνο, ὅτι δηλαδὴ ἡμάρτησε πρὶν γεννηθῇ. Ὅπως

«οὔτε οὗτος ἥμαρτεν», οὐ τοῦτο λέγει, ὅτι ἔνι ἐκ γενετῆς ἁμαρτεῖν καὶ κολασθῆναι, οὕτως, εἰπών, «Οὔτε οἱ γονεῖς αὐτοῦ», οὐ τοῦτο εἶπεν, ὅτι ἔνι διὰ γονέας κολασθῆναι· καὶ γὰρ διὰ τοῦ Ἰεζεκιὴλ ταύτην ἀναιρεῖ τὴν ὑπόνοιαν· «Ζῶ ἐγώ, λέγει Κύριος, εἰ ἔσται ἡ παραβολὴ αὕτη ἡ λεγομένη· Οἱ πατέρες ἔφαγον ὄμφακα, καὶ οἱ ὀδόντες τῶν τέκνων ἠμωδίασαν». Καὶ ὁ Μωϋσῆς δέ φησιν· «Οὐκ ἀποθανεῖται πατὴρ ὑπὲρ τέκνου». Καὶ περί τινος βασιλέως φησὶν ὅτι διὰ τοῦτο τοῦτο οὐκ ἐποίησε, φυλάττων τὸν Μωϋσέως νόμον. Εἰ δὲ λέγει τις, Πῶς οὖν εἴρηται, «Ὁ ἀποδιδοὺς ἁμαρτίας γονέων ἐπὶ τέκνα ἐπὶ τρίτην καὶ τετάρτην γενεάν»; ἐκεῖνο ἂν εἴποιμεν, ὅτι οὐκ ἔστι καθολικὴ ἡ ἀπόφασις, ἀλλ' ἐπί τινων εἴρηται, τῶν ἐξ Αἰγύπτου ἐξελθόντων. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Ἐπειδὴ οἱ ἐξ Αἰγύπτου ἐξελθόντες μετὰ τὰ σημεῖα καὶ τὰ θαύματα τῶν προγόνων γεγόνασι χείρους τῶν οὐδὲν τούτων θεασαμένων, τὰ αὐτὰ πείσονται, φησίν, ἅπερ ἔπαθον ἐκεῖνοι, ἐπειδὴ τὰ αὐτὰ τετολμήκασι. Καὶ ὅτι περὶ ἐκείνων εἴρηται, τῷ τόπῳ τις ἐπιστήσας ἀκριβέστερον εἴσεται.

Τίνος οὖν ἕνεκεν τυφλὸς ἐγεννήθη; «Ἵνα φανερωθῇ ἡ δόξα τοῦ Θεοῦ», φησίν. Ἰδοὺ πάλιν ἄπορον ἄλλο, εἰ χωρὶς τῆς τούτου κολάσεως οὐκ ἐνῆν φανῆναι τοῦ Θεοῦ τὴν δόξαν. Μάλιστα μὲν οὐ τοῦτο εἴρηται, ὅτι οὐκ ἐνῆν (ἐνῆν γάρ), ἀλλὰ καὶ ἐν τούτῳ ἵνα φανερωθῇ. Τί οὖν, φησίν, ἠδικήθη διὰ τὴν τοῦ Θεοῦ δόξαν; Ποίαν ἀδικίαν; εἰπέ μοι· εἰ γὰρ μηδὲ ὅλως παραγαγεῖν αὐτὸν ἐβούλετο. Ἐγὼ δὲ καὶ εὐεργετῆσθαι αὐτόν φημι ἀπὸ τῆς πηρώσεως. Τοὺς γὰρ ἔνδον ἀνέβλεψεν ὀφθαλμούς· τί γὰρ ὄφελός ἐστι τοῖς Ἰουδαίοις τῶν ὀμμάτων; (μείζονα γὰρ κόλασιν ἔσχον, πηρωθέντες ἐν τῷ βλέπειν)· τί δὲ τούτῳ βλάβος ἀπὸ τῆς πηρώσεως; Διὰ

4. Ἰεζ. 18, 3' 2.
5. Δευτ. 24, 16.
6. Δ' Βασ. 14, 6.
7. Δευτ. 5, 9.

ἀκριβῶς λοιπον εἰπών, ὅτι «οὔτε αὐτὸς ἥμαρτεν», δὲν ἐννοεῖ αὐτό, ὅτι δηλαδὴ εἶναι δυνατὸν ἐκ γενετῆς ν' ἁμαρτήσῃ καὶ νὰ τιμωρηθῇ, ἔτσι εἰπών, «Οὔτε οἱ γονεῖς αὐτοῦ», δὲν ἐννοεῖ αὐτό, ὅτι δηλαδὴ εἶναι δυνατὸν νὰ τιμωρηθῇ ἐξ αἰτίας τῶν γονέων του· καθ' ὅσον διὰ τοῦ Ἰεζεκιὴλ ἀναιρεῖ αὐτὴν τὴν σκέψιν «Ὁρκίζομαι εἰς τὸν ἑαυτόν μου, λέγει ὁ Κύριος, ὅτι δὲν θὰ λέγεται αὐτὴ ἡ παροιμία, οἱ πατέρες ἔφαγον ἄγορα σταφύλια καὶ ἐμωδίασαν τὰ δόντια τῶν παιδιῶν των»[4]. Καὶ ὁ Μωϋσῆς δὲ λέγει· «Δὲν θὰ ἀποθάνῃ ὁ πατέρας ἐξ αἰτίας τοῦ υἱοῦ του»[5]. Καὶ διὰ κάποιον βασιλέα λέγεται ὅτι, δι' αὐτὸν τὸν λόγον δὲν τὸ ἔκαμεν αὐτό, φυλάσσων τὸν νόμον τοῦ Μωϋσέως[6]. Ἐὰν δὲ λέγῃ κάποιος, Πῶς λοιπὸν ἐλέχθη «Αὐτὸς ποὺ καταλογίζει ἁμαρτίας γονέων εἰς τὰ τέκνα μέχρι τρίτην καὶ τετάρτην γενεάν»[7]; ἐκεῖνο θὰ ἠμπορούσαμεν νὰ εἴπουμεν, ὅτι ἡ ἀπόφασις αὐτὴ δὲν ἐλέχθη δι' ὅλους, ἀλλὰ δι' ἐκείνους ποὺ ἐξῆλθον ἀπὸ τὴν Αἴγυπτον. Αὐτὸ δὲ ποὺ ἐννοεῖ εἶναι τὸ ἑξῆς· Ἐπειδὴ αὐτοὶ ποὺ ἐξῆλθον ἀπὸ τὴν Αἴγυπτον εἶχον γίνει μετὰ τὰ σημεῖα καὶ θαύματα χειρότεροι ἀπὸ τοὺς προγόνους των ποὺ δὲν εἶδαν κανένα ἀπὸ αὐτά, τὰ ἴδια, λέγει, θὰ πάθουν ποὺ ἔπαθον ἐκεῖνοι, ἐπειδὴ διέπραξαν τὰ ἴδια παραπτώματα. Καὶ τὸ ὅτι ἐλέχθη δι' ἐκείνους θὰ τὸ διαπιστώσῃ κανεὶς ἐὰν ἐξετάσῃ ἀκριβέστερον τὸ χωρίον.

Διὰ ποῖον λόγον λοιπὸν ἐγεννήθη τυφλός; «Διὰ νὰ φανερωθῇ ἡ δόξα τοῦ Θεοῦ», λέγει. Νὰ καὶ πάλιν ἄλλη ἀπορία, ἐὰν δηλαδὴ δὲν ἦτο δυνατὸν νὰ φανῇ ἡ δόξα τοῦ Θεοῦ χωρὶς τὴν τιμωρίαν αὐτοῦ. Βέβαια δὲν ἐλέχθη αὐτό, ὅτι δὲν ἦτο δυνατὸν (διότι ἦτο δυνατόν), ἀλλὰ διὰ νὰ φανερωθῇ καὶ εἰς αὐτόν. Τί λοιπόν, λέγει, ἠδικήθη διὰ τὴν δόξαν τοῦ Θεοῦ; Ποίαν ἀδικίαν; εἰπέ μου· διότι ἐὰν ἤθελεν οὔτε κἂν θὰ τὸν ἔφερεν εἰς τὴν ζωήν. Ἐγὼ ὅμως λέγω, ὅτι καὶ εὐηργετήθη ἀπὸ τὴν τύφλωσιν, καθ' ὅσον ἀνέβλεψε μὲ τοὺς ἐσωτερικοὺς ὀφθαλμούς· διότι τί ὠφελήθησαν οἱ Ἰουδαῖοι ἀπὸ τοὺς σωματικοὺς ὀφθαλμούς; (διότι ἐτιμωρήθησαν χειρότερα, ἀφοῦ ἐτυφλώθησαν ὡς πρὸς τοὺς ἐσωτερικοὺς ὀφθαλμούς)· ποία δὲ ἡ βλάβη εἰς

γὰρ ταύτης ἀνέβλεψεν. Ὥσπερ οὖν τὰ κακὰ οὐκ ἔστι κακά, τὰ κατὰ τὸν παρόντα βίον, οὕτως οὐδὲ τὰ ἀγαθὰ ἀγαθά, ἀλλ' ἁμαρτία μόνη κακόν, πήρωσις δὲ οὐ κακόν. Ὁ δὲ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν ἐξουσίαν εἶχε καὶ οὕτως αὐτὸν ἀφεῖναι. Φασὶ δέ τινες, ὅτι τοῦτο οὐδὲ αἰτιολογικόν ἐστι τὸ ἐπίρρημα, ἀλλὰ τῆς ἐκβάσεως· οἷον, ὡς, ὅταν λέγῃ· «Εἰς κρίμα ἐγὼ ἦλθον εἰς τὸν κόσμον τοῦτον, ἵνα οἱ μὴ βλέποντες βλέψωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται»· (καὶ μὴν οὐ διὰ τοῦτο ἦλθεν, ἵνα οἱ βλέποντες τυφλοὶ γένωνται). Καὶ πάλιν ὁ Παῦλος· «Τὸ γὰρ γνωστὸν τοῦ Θεοῦ φανερόν ἐστιν ἐν αὐτοῖς εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους». (καίτοι οὐ διὰ τοῦτο αὐτοῖς ἔδειξεν, ἵνα ἀποστερηθῶσιν ἀπολογίας, ἀλλ' ἵνα τύχωσιν ἀπολογίας). Καὶ πάλιν ἀλλαχοῦ· «Νόμος δὲ παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα»· (καίτοι οὐ διὰ τοῦτο παρεισῆλθεν, ἀλλ' ἵνα κωλύσῃ ἡ ἁμαρτία).

2. Ὁρᾷς πανταχοῦ τὸ ἐπίρρημα τῆς ἐκβάσεως ὄν; Καθάπερ γάρ τις οἰκοδόμος ἄριστος, τῆς οἰκίας τὸ μὲν εἰργάσατο, τὸ δὲ ἀφῆκεν ἀτέλεστον, ὥστε τοῖς ἀπιστοῦσι διὰ τοῦ λειψάνου καὶ περὶ τοῦ παντὸς ἀπολογήσασθαι, οὕτω καὶ ὁ Θεός, καθάπερ οἰκίαν τινὰ σεσαθρωμένην, τὸ σῶμα τὸ ἡμέτερον συγκολλᾷ καὶ ἀναπληροῖ, τήν τε χεῖρα τὴν ξηρὰν θεραπεύων, τὰ παραλελυμένα μέλη σφίγγων, τοὺς χωλοὺς διορθούμενος, τοὺς λεπροὺς καθαίρων, τοὺς νοσοῦντας ἐγείρων, τοὺς τὰ σκέλη πεπηρωμένους ἀρτίους ποιῶν, τοὺς νεκροὺς ἀπὸ θανάτου καλῶν, μεμυκότας ὀφθαλμοὺς διανοίγων, οὐκ ὄντας ἐπιτιθείς· ἅπερ ἅπαντα τῆς κατὰ φύσιν ἀσθενείας ὄντα πηρώματα, εἶτα διορθούμενος, ἐδείκνυ αὐτοῦ τὴν δύναμιν.

---

8. Ἰω. 9, 39.
9. Ρωμ. 1, 19˙20.
10. Ρωμ. 5, 20.

αὐτὸν ἀπὸ τὴν τύφλωσιν; Διότι μὲ τὴν τύφλωσίν του αὐτὴν ἀνέβλεψεν. Ὅπως ἀκριβῶς λοιπὸν τὰ κακὰ δὲν εἶναι κακά, δηλαδὴ τὰ κακὰ τῆς παρούσης ζωῆς, ἔτσι οὔτε τὰ ἀγαθὰ δὲν εἶναι ἀγαθά, ἀλλὰ κακὸν εἶναι μόνον ἡ ἁμαρτία, ἐνῷ ἡ τύφλωσις δὲν εἶναι κακόν. Αὐτὸς δὲ ποὺ τὸν ἔφερεν εἰς τὴν ζωὴν ἀπὸ τὴν ἀνυπαρξίαν, ἐξουσίαν εἶχε καὶ νὰ τὸν ἀφήσῃ εἰς αὐτὴν τὴν κατάστασιν. Μερικοὶ δὲ λέγουν, ὅτι αὐτὴ ἡ φράσις δὲν ἔχει αἰτιολογικὸν χαρακτῆρα, ἀλλ᾽ ἐκφράζει τὸ ἀποτέλεσμα, ὅπως ἐπὶ παραδείγματι ὅταν λέγῃ· «Ἐγὼ ἦλθα εἰς αὐτὸν τὸν κόσμον διὰ κρίσιν, διὰ ν᾽ ἀποκτήσουν τὸ φῶς των ἐκεῖνοι, ποὺ δὲν βλέπουν καὶ νὰ γίνουν τυφλοὶ αὐτοὶ ποὺ βλέπουν»[8]· (καὶ ὅμως δὲν ἦλθε δι᾽ αὐτὸν τὸν λόγον, διὰ νὰ γίνουν δηλαδὴ τυφλοὶ αὐτοὶ ποὺ βλέπουν). Καὶ πάλιν ὁ Παῦλος λέγει· «Αὐτὸ ποὺ εἶναι δυνατὸν νὰ γίνῃ γνωστὸν περὶ τοῦ Θεοῦ τοὺς εἶναι φανερόν, ὥστε νὰ εἶναι ἀδικαιολόγητοι»[9]· (ἂν καὶ βέβαια δὲν ἐφανέρωσε εἰς αὐτοὺς τὰ περὶ τοῦ ἑαυτοῦ δι᾽ αὐτὸν τὸν λόγον, διὰ νὰ στερηθοῦν τὴν ἀπολογίαν, ἀλλὰ διὰ νὰ τύχουν ἀπολογίας). Καὶ πάλιν ἀλλοῦ λέγει· «Ὁ νόμος δὲ ἐδόθη διὰ νὰ πλεονάσουν τὰ παραπτώματα»[10]· (μολονότι βέβαια δὲν εἰσῆλθεν εἰς τὴν ζωὴν τῶν ἀνθρώπων δι᾽ αὐτὸν τὸν λόγον, ἀλλὰ διὰ νὰ ἐμποδισθῇ ἡ ἁμαρτία).

2. Βλέπεις εἰς ὅλας τὰς περιπτώσεις ὅτι ὁ προσδιορισμὸς δεικνύει τὸ ἀποτέλεσμα; Διότι ὅπως ἀκριβῶς ἕνας ἄριστος οἰκοδόμος, τὸ μὲν ἕνα τμῆμα τῆς οἰκίας τὸ κατασκευάζει, τὸ δὲ ἄλλο τὸ ἀφήνει ἀτελείωτον, ὥστε μὲ τὸ ὑπόλοιπον νὰ ἀπολογηθῇ πρὸς αὐτοὺς ποὺ δὲν πιστεύουν δι᾽ ὅλον τὸ ἔργον του, ἔτσι καὶ ὁ Θεός, ὡσὰν μίαν οἰκίαν ἑτοιμόρροπον, συγκολλεῖ τὸ σῶμα μας καὶ τὸ τελειοποιεῖ, θεραπεύων τὴν ξηρὰν χεῖρα, δίδων ζωὴν εἰς παράλυτα μέλη, θεραπεύων τοὺς χωλούς, καθαρίζων τοὺς λεπρούς, θεραπεύων τοὺς ἀσθενεῖς, καθιστῶν ἀρτιμελεῖς τοὺς ἀναπήρους, ἐπαναφέρων εἰς τὴν ζωὴν ἀπὸ τὸν θάνατον τοὺς νεκρούς, διανοίγων τοὺς ὀφθαλμοὺς τῶν τυφλῶν καὶ δίδων ὀφθαλμοὺς εἰς ἐκείνους ποὺ δὲν ἔχουν, καὶ διορθώνων ὅλα αὐτά, ποὺ ἦσαν ἀτέλειαι τῆς ἐκ φύσεως ἀσθε-

Εἰπὼν δέ, «Ἵνα φανερωθῇ ἡ δόξα τοῦ Θεοῦ», περὶ ἑαυτοῦ φησιν, οὐ περὶ τοῦ Πατρός· ἐκείνου γὰρ ἡ δόξα ἦν φανερά. Ἐπειδὴ γὰρ ἤκουον ὅτι τὸν ἄνθρωπον ὁ Θεὸς ἐποίησε, λαβὼν χοῦν ἀπὸ τῆς γῆς, διὰ τοῦτο οὕτω καὶ αὐτὸς ἔπλασε· τὸ μὲν γὰρ εἰπεῖν ὅτι «ἐγώ εἰμι ὁ λαβὼν χοῦν ἀπὸ τῆς γῆς, καὶ πλάσας τὸν ἄνθρωπον», πρόσαντες ἐδόκει εἶναι τοῖς ἀκούουσι, διὰ δὲ τοῦ ἔργου τοῦτο δεικνύμενον, οὐκ ἔτι λοιπὸν προσίστατο.

Διὸ δὴ καὶ αὐτός, χοῦν λαβὼν καὶ φύρων τῷ πτύσματι, οὕτω τὴν κεκρυμμένην αὑτοῦ δόξαν ἐφανέρωσεν· οὐ μικρὰ γὰρ δόξα τὸ δημιουργὸν αὐτὸν νομισθῆναι τῆς κτίσεως· ἀπὸ γὰρ τούτου καὶ τὰ ἄλλα συνεισήρχετο, ἀπὸ τοῦ μέρους καὶ τὸ ὅλον ἐπιστοῦτο· ἡ γὰρ περὶ τοῦ μείζονος πίστις καὶ τὸ ἔλαττον ἐβεβαίου· τῆς κτίσεως γὰρ ἁπάσης τιμιώτερον ἄνθρωπος, καὶ τῶν ἐν ἡμῖν μελῶν τιμιώτερος ὀφθαλμός. Διὰ τοῦτο οὐχ ἁπλῶς, ἀλλ' ἐκείνῳ τῷ τρόπῳ τὰ ὄμματα ἐδημιούργησεν· εἰ γὰρ καὶ μικρὸν τῷ μεγέθει τὸ μέλος, ἀλλ' ὅλου τοῦ σώματός ἐστιν ἀναγκαιότερον. Καὶ τοῦτο Παῦλος δηλῶν, ἔλεγεν· «Ἐὰν εἴπῃ ἡ ἀκοὴ ὅτι οὐκ εἰμὶ ὀφθαλμός, οὐκ εἰμὶ ἐκ τοῦ σώματος· οὐ διὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος;». Πάντα μὲν γὰρ τὰ ἐν ἡμῖν τῆς τοῦ Θεοῦ σοφίας ἐστὶν ἀπόδειξις, πολλῷ δὲ μᾶλλον ὀφθαλμός. Τοῦτο γοῦν τὸ πᾶν διακυβερνᾷ σῶμα, τοῦτο τῷ παντὶ σώματι τὸ κάλλος ἐργάζεται, τοῦτο κοσμεῖ τὴν ὄψιν, τοῦτο λύχνος ἐστὶν ἁπάντων τῶν μελῶν· ὅπερ γὰρ ἥλιος κατὰ τὴν οἰκουμένην, τοῦτο ὀφθαλμὸς ἐν τῷ σώματι. Ἂν σβέσῃς τὸν ἥλιον, πάντα ἀπώλεσας καὶ συνετάραξας· ἂν σβέσῃς τοὺς ὀφθαλμοὺς καὶ πόδες ἄχρηστοι καὶ χεῖρες καὶ ψυχή· οἴεται γὰρ ἡ γνῶσις, πηρωθέντων τούτων· διὰ γὰρ τούτων τὸν Θεὸν

11. Α΄ Κορ. 12, 16.

νείας, ἐδείκνυε τὴν δύναμίν του. Εἰπὼν δέ, «Διὰ νὰ φανερωθῇ ἡ δόξα τοῦ Θεοῦ», ἐννοεῖ τὸν ἑαυτόν του καὶ ὄχι τὸν Πατέρα, διότι ἡ δόξα ἐκείνου ἦτο φανερά. Ἐπειδὴ λοιπὸν ἤκουον ὅτι ὁ Θεὸς ἔπλασε τὸν ἄνθρωπον ἀφοῦ ἔλαβε χῶμα ἀπὸ τὴν γῆν, διὰ τοῦτο καὶ αὐτὸς ἔπλασε καθ' ὅμοιον τρόπον τὸ χῶμα· διότι τὸ νὰ εἴπῃ, 'ἐγὼ εἶμαι ἐκεῖνος ποὺ ἔλαβον χῶμα ἀπὸ τὴν γῆν καὶ ἔπλασα τὸν ἄνθρωπον', ἐφαίνετο ὅτι ἐδυσαρεστοῦσε τοὺς ἀκροατάς, ἀποδεικνυόμενον ὅμως αὐτὸ ἐμπράκτως, δὲν θὰ ἐνοχλοῦσε πλέον αὐτούς.

Διὰ τοῦτο λοιπὸν καὶ αὐτός, ἀφοῦ ἔλαβε χῶμα καὶ τὸ ἀνέμειξε μὲ τὸ πτύσμα, ἐφανέρωσε μὲ τὴν ἐνέργειάν του αὐτὴν τὴν κρυμμένην δόξαν του· διότι δὲν ἦτο μικρὴ δόξα τὸ νὰ θεωρηθῇ αὐτὸς δημιουργὸς τῆς κτίσεως· καθ' ὅσον ἀπὸ αὐτὸ ἠκολούθουν καὶ τὰ ἄλλα καὶ ἀπὸ τὸ ἐπὶ μέρος ἐγένετο πιστευτὸν τὸ ὅλον· διότι ἡ πίστις διὰ τὸ μεγαλύτερον ἔργον του, ἐπεβεβαίωνε καὶ τὸ μικρότερον· καθ' ὅσον ὁ ἄνθρωπος εἶναι τὸ πολυτιμώτερον ἀπὸ ὅλα τὰ ὄντα τῆς κτίσεως, καὶ ἀπὸ τὰ μέλη μας πολυτιμώτερος εἶναι ὁ ὀφθαλμός. Διὰ τοῦτο ἔδωσε τὸ φῶς εἰς τοὺς ὀφθαλμοὺς ὄχι ἔτσι ἁπλῶς, ἀλλὰ μὲ ἐκεῖνον τὸν τρόπον· διότι ἂν καὶ εἶναι μικρὸν τὸ μέλος αὐτὸ ὡς πρὸς τὸ μέγεθος, ἀλλ' ὅμως εἶναι ἀναγκαιότερον ἀπὸ ὅλα τὰ μέλη τοῦ σώματος. Καὶ αὐτὸ δηλῶν ὁ Παῦλος, ἔλεγεν· «Ἐὰν εἴπῃ ἡ ἀκοή, ἐπειδὴ δὲν εἶμαι ὀφθαλμός, δὲν ἀνήκω εἰς τὸ σῶμα, μήπως παύῃ, ἐξ αἰτίας αὐτοῦ, νὰ ἀνήκῃ εἰς τὸ σῶμα;»[11]. Διότι ὅλα τὰ μέλη τοῦ σώματός μας εἶναι ἀπόδειξις τῆς σοφίας τοῦ Θεοῦ, πολὺ περισσότερον δὲ ὁ ὀφθαλμός. Καθ' ὅσον αὐτὸς διακυβερνᾷ ὁλόκληρον τὸ σῶμα, αὐτὸς δίδει τὸ κάλλος εἰς ὅλον τὸ σῶμα, αὐτὸς στολίζει τὸ πρόσωπον, αὐτὸς εἶναι ὁ λύχνος ὅλων τῶν μελῶν· διότι αὐτὸ ποὺ εἶναι ὁ ἥλιος διὰ τὴν οἰκουμένην, αὐτὸ εἶναι ὁ ὀφθαλμὸς διὰ τὸ σῶμα. Ἂν σβήσῃς τὸν ἥλιον, ὅλα τὰ κατέστρεψες καὶ τὰ ἀνέτρεψες· ἂν σβήσῃς τοὺς ὀφθαλμοὺς καὶ τὰ πόδια εἶναι ἄχρηστα καὶ τὰ χέρια καὶ ἡ ψυχή· διότι χάνεται ἡ γνῶσις ἀχρηστευομένων αὐτῶν· καθ' ὅσον

ἐγνώκαμεν· «Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται». Οὐκ ἄρα τῷ σώματι λύχνος ὁ ὀφθαλμὸς μόνον, ἀλλὰ καὶ πρὸ τοῦ σώματος τῇ ψυχῇ. Διό περ ὥσπερ ἔν τινι βασιλικῷ χωρίῳ, ἵδρυται, τὴν ἄνω λῆξιν λαχών, καὶ τῶν ἄλλων αἰσθήσεων προκαθήμενος. Τοῦτον οὖν διαπλάττει.

Εἶτα, ἵνα μὴ νομίσῃς ὅτι ὕλης δεῖται, ὅταν ποιῇ, καὶ ἵνα μάθῃς ὅτι οὐδὲ παρὰ τὴν ἀρχὴν πηλοῦ χρείαν εἶχεν (ὁ γὰρ οὐκ οὔσας οὐσίας τὰς μείζους παραγαγών, πολλῷ μᾶλλον ταύτην χωρὶς ὕλης ἐποίησεν), ἵνα οὖν μάθῃς ὅτι οὐ χρείας ἕνεκεν τοῦτο ποιεῖ, ἀλλὰ διδάσκων ἑαυτὸν εἶναι δημιουργὸν τὸν ἐν ἀρχῇ, χρίσας τὸν πηλόν φησιν· «Ἄπελθε, νίψαι», ἵνα εἰδῇς ὅτι οὐ πηλοῦ δέομαι πρὸς τὸ ποιῆσαι ὀφθαλμούς, ἀλλ' ἵνα φανερωθῇ ἐν αὐτῷ ἡ δόξα ἡ ἐμή. Ὅτι γὰρ περὶ ἑαυτοῦ φησιν, εἰπών· «Ἵνα φανερωθῇ ἡ δόξα τοῦ Θεοῦ», ἐπήγαγεν· «Ἐμὲ δεῖ ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμψαντός με»· τουτέστιν, ἐμὲ δεῖ φανερῶσαι ἐμαυτόν, καὶ ποιῆσαι τὰ δυνάμενά με δεῖξαι τὰ αὐτὰ τῷ Πατρὶ ποιοῦντα, οὐ τοιαῦτα, ἀλλὰ τὰ αὐτά, ὃ μείζονός ἐστιν ἀπαραλλαξίας, καὶ ὅπερ ἐπὶ τῶν οὐδὲ κατὰ μικρὸν διεστηκότων λέγεται. Τίς οὖν ἀντιβλέψαι λοιπόν, ὁρῶν αὐτὸν τὰ αὐτὰ δυνάμενον τῷ Πατρί; οὐ γὰρ ἔπλασε μόνον ὀφθαλμούς, οὐδὲ ἀνέῳξεν, ἀλλὰ καὶ τὸ ὁρᾶν ἐχαρίσατο, ὅπερ τεκμήριόν ἐστι τοῦ καὶ ψυχὴν ἐμφυσῆσαι· ἐκείνης γὰρ μὴ ἐνεργούσης, ὀφθαλμός, κἂν ἀπηρτισμένος ᾖ, οὐκ ἂν ἴδοι ποτὲ οὐδέν.

---

12. Ρωμ. 1, 20.

δι' αὐτῶν ἐγνωρίσαμεν τὸν Θεόν· «Διότι τὰ ἀόρατα τοῦ Θεοῦ βλέπονται καθαρὰ ἀπὸ τότε ποὺ ἐκτίσθη ὁ κόσμος διὰ μέσου τῶν δημιουργημάτων»[12]. Ἐπομένως δὲν εἶναι ὁ ὀφθαλμὸς μόνον λύχνος εἰς τὸ σῶμα, ἀλλὰ περισσότερον ἀπὸ τὸ σῶμα εἶναι λύχνος τῆς ψυχῆς. Καὶ ἀκριβῶς λοιπὸν διὰ τοῦτο ἔχει τοποθετηθῆ, ὡσὰν ἀκριβῶς εἰς κάποιαν βασιλικὴν θέσιν, εἰς τὸ ὑψηλότερον μέρος τοῦ σώματος καὶ προΐσταται τῶν ἄλλων αἰσθήσεων. Αὐτὸν λοιπὸν διαπλάσσει.

Εἰς τὴν συνέχειαν, διὰ νὰ μὴ νομίσῃς ὅτι ἔχει ἀνάγκην ἀπὸ ὕλην ὅταν δημιουργῇ, καὶ διὰ νὰ μάθῃς ὅτι οὔτε καὶ εἰς τὴν ἀρχὴν εἶχεν ἀνάγκην ἀπὸ πηλὸν (διότι αὐτὸς ποὺ ἔφερεν εἰς τὴν ὕπαρξιν τὰς σπουδαιοτέρας οὐσίας ποὺ δὲν ὑπῆρχον, πολὺ περισσότερον ἐδημιούργησεν αὐτὴν χωρὶς νὰ ὑπάρχῃ ὕλη), διὰ νὰ μάθῃς λοιπόν, ὅτι αὐτὸ δὲν τὸ κάμνει ἀπὸ ἀνάγκην, ἀλλὰ διὰ νὰ διδάξῃ ὅτι αὐτὸς εἶναι ὁ ἀρχικὸς δημιουργός, ἀφοῦ ἄλειψε τὸν πηλὸν εἰς τοὺς ὀφθαλμούς, εἶπεν· «Πήγαινε καὶ πλήσου», διὰ νὰ γνωρίσῃς, ὅτι δὲν ἔχω ἀνάγκην ἀπὸ πηλὸν διὰ νὰ ἀνοίξω τοὺς ὀφθαλμούς, ἀλλὰ διὰ νὰ φανερωθῇ μὲ αὐτὴν τὴν ἐνέργειάν μου ἡ δόξα μου. Τὸ ὅτι λοιπὸν ὁμιλεῖ περὶ τοῦ ἑαυτοῦ του γίνεται φανερὸν ἀπὸ τὸ ὅτι, ἀφοῦ εἶπεν, «Διὰ νὰ φανερωθῇ ἡ δόξα τοῦ Θεοῦ», ἐπρόσθεσεν· «Ἐγὼ πρέπει νὰ ἐκτελῶ τὰ ἔργα ἐκείνου ποὺ μὲ ἔστειλεν»· δηλαδή, ἐγὼ πρέπει νὰ φανερώσω τὸν ἑαυτόν μου καὶ νὰ πράξω ἐκεῖνα ποὺ ἠμποροῦν νὰ ἀποδείξουν ὅτι πράττω τὰ ἴδια μὲ τὸν Πατέρα, ὄχι παρόμοια, ἀλλὰ τὰ ἴδια, πρᾶγμα ποὺ ἀποδεικνύει εἰς μεγαλύτερον βαθμὸν ὅτι εἶναι ὅμοια ἀκριβῶς τὰ ἔργα του μὲ τὰ τοῦ Πατρός, καὶ τὸ ὁποῖον λέγεται ἐπὶ τῶν πραγμάτων ἐκείνων ποὺ δὲν διαφέρουν καθόλου. Ποῖος λοιπὸν θὰ ἀμφισβητῇ εἰς τὸ ἑξῆς, βλέπων αὐτὸν νὰ ἠμπορῇ νὰ πράττῃ τὰ ἴδια μὲ τὸν Πατέρα; διότι δὲν ἔπλασε μόνον ὀφθαλμούς, οὔτε ἤνοιξεν, ἀλλὰ καὶ ἐχάρισε καὶ τὴν ὅρασιν, πρᾶγμα ποὺ σημαίνει ὅτι ἐνεφύσησε καὶ ψυχήν· καθ' ὅσον ἐὰν ἐκείνη δὲν ἐνεργῇ, ὁ ὀφθαλμός, καὶ ἂν ἀκόμη εἶναι ὑγιέστατος, δὲν θὰ ἠμπορέσῃ ποτὲ νὰ

Ὥστε καὶ τὴν ἀπὸ τῆς ψυχῆς ἐνέργειαν ἐχαρίσατο, καὶ τὸ μέλος ἔδωκε πάντα ἔχον, καὶ ἀρτηρίας, καὶ νεῦρα, καὶ φλέβας, καὶ αἷμα, καὶ τὰ ἄλλα πάντα, ἐξ ὧν σύγκειται ἡμῖν τὸ σῶμα.

«Ἐμὲ δεῖ ἐργάζεσθαι, ἕως ἡμέρα ἐστί». Τί ταῦτα βούλεται τὰ ῥήματα; ποίαν δὲ ἀκολουθίαν ἔχει; Πολλήν. Ὃ γὰρ λέγει, τοιοῦτόν ἐστιν· «Ἕως ἡμέρα ἐστίν»· ἕως ἔξεστι τοῖς ἀνθρώποις πιστεύειν εἰς ἐμέ, ἕως ὁ βίος οὗτος ἐνέστηκε, δεῖ με ἐργάζεσθαι. «Ἔρχεται νὺξ» (τουτέστιν, ὁ μέλλων καιρός), «ὅτε οὐδεὶς δύναται ἐργάζεσθαι». Οὐκ εἶπεν, Ὅτε ἐγὼ οὐ δύναμαι ἐργάζεσθαι, ἀλλ' «ὅτε οὐδεὶς δύναται ἐργάζεσθαι», τουτέστιν, ὅτε οὐκ ἔτι πίστις ἐστίν, οὔτε πόνοι, οὔτε μετάνοια. Ὅτι γὰρ ἔργον τὴν πίστιν λέγει, λέγουσιν αὐτῷ· «Τί ποιήσομεν, ἵνα ἐργασώμεθα τὰ ἔργα τοῦ Θεοῦ;». Λέγει· «Τοῦτό ἐστι τὸ ἔργον τοῦ Θεοῦ, ἵνα πιστεύσητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος». Πῶς οὖν τοῦτο τὸ ἔργον «οὐδεὶς δύναται ἐργάζεσθαι» τότε; Ὅτι οὔτε πίστις ἐστίν, ἀλλὰ καὶ ἑκόντες καὶ ἄκοντες ὑπακούσονται. Ἵνα γὰρ μή τις εἴπῃ ὅτι φιλοτιμούμενος τοῦτο ποιεῖ, δείκνυσιν ὅτι, φειδόμενος αὐτῶν, πάντα ἐργάζεται, ἐνταῦθα μόνον ἐξουσίαν ἐχόντων πιστεύειν, καὶ μηκέτι δυναμένων ἐκεῖ καρποῦσθαί τι. Διὰ τοῦτο οὐδὲ προσελθόντος τοῦ τυφλοῦ ἐποίησεν, ὅπερ ἐποίησεν.

Ὅτι μὲν γὰρ ἄξιος ἦν θεραπευθῆναι, καί, εἰ ἔβλεπεν, ἐπίστευσεν ἂν καὶ προσῆλθεν, καί, εἰ παρά τινος ἤκουσε παρόντα, οὐδ' ἂν οὕτως ἠμέλησεν, ἐκ τῶν ἑξῆς δῆλον, ἐκ τῆς ἀνδρείας, ἐκ τῆς πίστεως αὐτῆς· καὶ γὰρ ἦν εἰκὸς αὐτὸν ἐννοῆσαι, καὶ εἰπεῖν· Τί ποτε τοῦτό ἐστι; πηλὸν ἐποίησε καὶ ἐπέχρισέ μου τοὺς ὀφθαλμοὺς καὶ εἶπέ μοι· «Ὕπαγε, νίψαι»· οὐκ ἠδύνατο θεραπεῦσαι καὶ τότε πέμψαι εἰς τὸ

13. Ἰω. 6, 28.
14. Ἰω. 6, 29.

ἴδῃ τίποτε. Ὥστε καὶ τὴν ἐνέργειαν τῆς ψυχῆς ἐχάρισε καὶ ἔδωσεν εἰς τὸ μέλος τὰ πάντα, καὶ ἀρτηρίας καὶ νεῦρα καὶ φλέβας καὶ αἷμα καὶ ὅλα τὰ ἄλλα, ἀπὸ τὰ ὁποῖα ἀποτελεῖται τὸ σῶμα μας.

«Ἐγὼ πρέπει νὰ ἐργάζωμαι ἐν ὅσῳ ἀκόμη εἶναι ἡμέρα». Τί θέλουν νὰ εἰποῦν αὐτοὶ οἱ λόγοι; ποίαν σημασίαν ἔχουν; Πολλήν. Διότι αὐτὸ ποὺ λέγει ἔχει τὴν ἑξῆς σημασίαν· «Ἕως ἡμέρα ἐστίν»· Ἐν ὅσῳ ἀκόμη ἠμποροῦν οἱ ἄνθρωποι νὰ πιστεύουν εἰς ἐμέ, ἐν ὅσῳ συνεχίζεται αὐτὴ ἡ ζωή, πρέπει νὰ ἐργάζωμαι. «Ἔρχεται νὺξ» (δηλαδὴ ὁ μέλλων καιρός), ὁπότε κανεὶς δὲν ἠμπορεῖ νὰ ἐργάζεται». Δὲν εἶπεν, Ὁπότε ἐγὼ δὲν ἠμπορῶ νὰ ἐργάζωμαι, ἀλλὰ «ὁπότε κανεὶς δὲν ἠμπορεῖ νὰ ἐργάζεται», δηλαδή, τότε ποὺ δὲν θὰ ἰσχύῃ πλέον ἡ πίστις, οὔτε οἱ κόποι, οὔτε ἡ μετάνοια. Τὸ ὅτι βέβαια ἔργον ὀνομάζει τὴν πίστιν, γίνεται φανερὸν ἀπὸ τὴν ἐρώτησιν πρὸς αὐτόν· «Τί νὰ κάνωμεν, διὰ νὰ ἐκτελέσωμεν τὰ ἔργα τοῦ Θεοῦ;»[13]. Ἀπαντᾷ· «Αὐτὸ εἶναι τὸ ἔργον τοῦ Θεοῦ, διὰ νὰ πιστεύσετε εἰς αὐτὸν ποὺ ἀπέστειλεν ἐκεῖνος»[14]. Πῶς λοιπὸν αὐτὸ τὸ ἔργον «δὲν ἠμπορεῖ κανεὶς νὰ τὸ πράξῃ τότε»; Διότι τότε οὔτε ἡ πίστις ἰσχύει, ἀλλ᾽ ὅλοι θὰ ὑπακούσουν εἴτε τὸ θέλουν εἴτε ὄχι. Διὰ νὰ μὴ εἰπῇ λοιπὸν κάποιος ὅτι αὐτὸ τὸ κάνει ἀπὸ φιλοδοξίαν, δεικνύει ὅτι ὅλα τὰ κάνει ἀπὸ ἐνδιαφέρον δι᾽ αὐτοὺς ποὺ ἔχουν τὴν δυνατότητα μόνον ἐδῶ νὰ πιστεύσουν, καὶ δὲν ἠμποροῦν πλέον ἐκεῖ νὰ ἔχουν καμμίαν ὠφέλειαν. Διὰ τοῦτο δὲν ἔκαμεν αὐτὸ ποὺ ἔκαμεν ἀφοῦ ἦλθε πρὸς αὐτὸν ὁ τυφλός.

Τὸ ὅτι βέβαια ἦτο ἄξιος μὲν νὰ θεραπευθῇ καί, ἐὰν ἔβλεπεν, θὰ ἐπίστευε καὶ θὰ προσήρχετο, καί, δὲν θὰ ἔδειχνεν ἀδιαφορίαν καὶ πάλιν ἐὰν ἤκουεν ἀπὸ κάποιον ποὺ ἦτο ἐκεῖ, γίνεται φανερὸν ἀπὸ τὰ ἑξῆς, ἀπὸ τὴν ἀνδρείαν καὶ τὴν ἰδίαν τὴν πίστιν του· καθ᾽ ὅσον φυσικὸν ἦτο νὰ σκεφθῇ καὶ νὰ εἰπῇ· Μὰ τί τέλος πάντων σημαίνει αὐτό; ἔκαμε πηλὸν καὶ ἤλειψε τοὺς ὀφθαλμούς μου καὶ μοῦ εἶπε· «Πήγαινε καὶ πλύσου». Δὲν ἠμποροῦσε νὰ μὲ θεραπεύσῃ καὶ μετὰ νὰ μὲ στείλῃ εἰς τὴν κολυμβήθραν τοῦ Σιλωάμ;

Σιλωάμ; πολλάκις ἐνιψάμην ἐκεῖ μετὰ ἑτέρων πολλῶν, καὶ οὐδενὸς ἀπήλαυσα χρηστοῦ· εἴ τινα δύναμιν εἶχε, παρὼν ἂν ἐθεράπευσεν· ὅπερ καὶ ὁ Νεεμὰν πρὸς τὸν Ἐλισσαῖον ἔλεγε· καὶ γὰρ ἐκεῖνος, κελευσθεὶς ἀπελθεῖν λούσασθαι εἰς τὸν Ἰορδάνην, ἠπίστει, καὶ ταῦτα φήμης τοσαύτης οὔσης περὶ τοῦ Ἐλισσαίου. Ἀλλ' οὐχ ὁ τυφλὸς ἠπίστησεν οὐδὲ ἀντεῖπεν οὐδὲ ἐλογίσατο πρὸς ἑαυτόν· 'Τί ποτε τοῦτό ἐστι; πηλὸν ἐχρῆν ἐπιθεῖναι; τοῦτο πηρῶσαι μᾶλλόν ἐστι; τίς οὕτως ἀνέβλεψέ ποτε;'. Ἀλλ' οὐδὲν τούτων ἐλογίσατο. Εἶδες πίστιν στερρὰν καὶ προθυμίαν; «Ἔρχεται νύξ». Δείκνυσιν ἐκ τούτου ὅτι καὶ μετὰ τὸν σταυρὸν μέλλει προνοεῖν τῶν ἀσεβῶν, καὶ ἐπάγεσθαι πολλούς· ἔτι γὰρ ἡμέρα ἐστί. Μετὰ δὲ τοῦτο τέλεον αὐτοὺς ἀποσχίζει. Καὶ τοῦτο δηλῶν ἔλεγεν· «Ὅταν ὦ ἐν τῷ κόσμῳ, φῶς εἰμι τοῦ κόσμου»· ὃ καὶ ἑτέροις ἔλεγε· «Πιστεύετε, ἕως τὸ φῶς μεθ' ὑμῶν ἐστι».

3. Τί δήποτε ὁ Παῦλος νύκτα μὲν τὸν παρόντα βίον ἐκάλεσεν, ἐκεῖνον δὲ ἡμέραν; Οὐκ ἐναντιούμενος τῷ Χριστῷ, ἀλλὰ τὰ αὐτὰ λέγων, εἰ καὶ μὴ τοῖς ῥήμασιν, ἀλλὰ ταῖς ἐννοίαις· καὶ γάρ φησιν· «Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικε»· νύκτα γὰρ τὸν παρόντα καλεῖ καιρὸν διὰ τοὺς ἐν σκότῳ καθημένους, ἢ διὰ τὸ παραλαβεῖν αὐτὴν τῇ ἡμέρᾳ ἐκείνῃ· ὁ δὲ Χριστὸς νύκτα τὸ μέλλον καλεῖ διὰ τὸ τῶν ἁμαρτημάτων ἀνενέργητον· ὁ δὲ Παῦλος νύκτα τὸν παρόντα βίον καλεῖ διὰ τὸ ἐν σκότῳ εἶναι τοὺς ἐν κακίᾳ διατρίβοντας καὶ ἀπιστίᾳ. Πιστοῖς τοίνυν διαλεγόμενος, ἔλεγεν· «Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν», ὡς μελλόντων ἀπολαύσεσθαι τοῦ φωτὸς ἐκείνου· καὶ νύκτα τὸν παλαιὸν βίον καλεῖ· «ἀποθώμεθα γάρ», φησί, «τὰ ἔργα τοῦ σκότους». Ὁρᾷς ὅτι ἐκείνοις εἶναι νύκτα φησί; Διὸ λέγει· «Ὡς ἐν

15. Δ' Βασ. 5, 10 - 11.
16. Ἰω. 12, 36.
17. Ρωμ. 13, 12.
18. Ρωμ. 13, 12.

Πολλὲς φορὲς ἐπλύθην ἐκεῖ μαζὶ μὲ ἄλλους πολλοὺς καὶ δὲν εἶδα καμμίαν ὠφέλειαν· ἐὰν εἶχε κάποιαν δύναμιν θὰ ἠμποροῦσε νὰ μὲ θεραπεύσῃ παρόντα, πρᾶγμα ποὺ καὶ ὁ Νεεμὰν ἔλεγε πρὸς τὸν Ἐλισσαῖον· καθ' ὅσον καὶ ἐκεῖνος, λαβὼν ἐντολὴν νὰ ὑπάγῃ καὶ νὰ λουσθῇ εἰς τὸν Ἰορδάνην, ἐδυσπιστοῦσε, καὶ ὅλα αὐτὰ τὴν στιγμὴν ποὺ τόση φήμη ὑπῆρχε περὶ τοῦ Ἐλισσαίου[15]. Ἀλλ' ὅμως ὁ τυφλὸς δὲν ἠπίστησεν οὔτε ἔφερεν ἀντίρρησιν οὔτε ἐσκέφθη μέσα του· Τί τέλος πάντων σημαίνει αὐτό; ἔπρεπε νὰ ἀλείψῃ τοὺς ὀφθαλμούς μου μὲ πηλόν; αὐτὸ περισσότερον τυφλώνει· ποῖος ποτὲ ἀνέβλεψε μὲ αὐτὸν τὸν τρόπον;». Ἀλλὰ τίποτε ἀπὸ αὐτὰ δὲν ἐσκέφθη. Εἶδες πίστιν σταθερὰν καὶ προθυμίαν; «Ἔρχεται ἡ νύκτα». Δείχνει μὲ αὐτὸ ὅτι καὶ μετὰ τὴν σταύρωσίν του πρόκειται νὰ συνεχίσῃ τὴν πρόνοιάν του διὰ τοὺς ἀσεβεῖς καὶ νὰ ἐπιστρέψῃ πολλοὺς εἰς τὴν πίστιν· διότι ἀκόμη εἶναι ἡμέρα. Μετὰ δὲ ἀπὸ αὐτὸ τοὺς ἀπομακρύνει τελείως. Καὶ θέλων νὰ δηλώσῃ αὐτό, ἔλεγεν· «Ὅσον καιρὸν εἶμαι εἰς τὸν κόσμον, εἶμαι τὸ φῶς τοῦ κόσμου»· πρᾶγμα ποὺ ἔλεγε καὶ πρὸς ἄλλους· «Πιστεύετε ἐν ὅσῳ τὸ φῶς εἶναι μαζί σας»[16].

3. Καὶ διατί λοιπὸν ὁ Παῦλος τὴν μὲν παροῦσαν ζωὴν ὠνόμασε νύκτα, τὴν δὲ μέλλουσαν ἡμέραν; Δὲν ἀντιτίθεται πρὸς τὸν Χριστόν, ἀλλὰ λέγει τὰ ἴδια, ἂν καὶ ὄχι μὲ τὰ ἴδια λόγια, ἀλλὰ μὲ τὸ ἴδιο νόημα· καθ' ὅσον λέγει· «Ἡ νύκτα ἐπροχώρησε, ἡ δὲ ἡμέρα ἐπλησίασεν»[17]. Διότι νύκτα ὀνομάζει τὴν παροῦσαν ζωὴν δι' ἐκείνους ποὺ κάθονται εἰς τὸ σκότος, ἢ συγκρίνων αὐτὴν μὲ ἐκείνην τὴν ἡμέραν, ἐνῷ ὁ Χριστὸς νύκτα ὀνομάζει τὴν μέλλουσαν ζωὴν λόγῳ τοῦ ὅτι δὲν συγχωροῦνται τότε τὰ ἁμαρτήματα, ὁ Παῦλος ὅμως ὀνομάζει τὴν παροῦσαν ζωὴν νύκτα ἐπειδὴ εὑρίσκονται μέσα εἰς τὸ σκότος αὐτοὶ ποὺ ζοῦν μέσα εἰς τὴν κακίαν καὶ τὴν ἀπιστίαν. Ἀπευθυνόμενος λοιπὸν πρὸς πιστούς, ἔλεγεν· «Ἡ νύκτα ἐπροχώρησεν, ἡ δὲ ἡμέρα ἐπλησίασεν», καθ' ὅσον πρόκειται νὰ ἀπολαύσουν ἐκεῖνο τὸ φῶς, καὶ νύκτα ὀνομάζει τὸν παλαιὸν βίον· διότι λέγει· «Ἂς ἀποβάλωμεν τὰ ἔργα τοῦ σκότους»[18]. Βλέπεις ποὺ λέγει δι' ἐκεί-

ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν» ἵνα τοῦ φωτὸς ἀπολαύσωμεν ἐκείνου. Εἰ γὰρ τοῦτο οὕτω καλὸν τὸ φῶς, ἐννόησον ἡλίκον ἔσται ἐκεῖνο· ὅσον γὰρ τοῦ λυχναίου φωτὸς τὸ ἡλιακὸν κρεῖττον, τοσοῦτον, καὶ πολλῷ πλέον ἐκεῖνο βέλτιον τούτου. Καὶ τοῦτο δηλῶν, ἔλεγεν ὅτι «ὁ ἥλιος σκοτισθήσεται», τουτέστι, διὰ τὴν περιουσίαν ἐκείνης τῆς μαρμαρυγῆς οὔτε οὗτος φανεῖται. Εἰ δὲ νῦν ὑπὲρ τοῦ φωτεινὰς ἔχειν οἰκίας καὶ εὐαερεῖς μυρία δαπανῶμεν χρήματα, οἰκοδομοῦντες, ταλαιπωρούμενοι, ἐννόησον πῶς χρὴ καὶ τὰ σώματα αὐτὰ δαπανᾶν ὑπὲρ τοῦ λαμπρὰς ἡμῖν οἰκίας ἐν οὐρανοῖς οἰκοδομηθῆναι, ἔνθα τὸ φῶς ἐκεῖνο τὸ ἀπόρρητον· ἐνταῦθα μὲν γὰρ καὶ μάχαι καὶ φιλονεικίαι περὶ ὅρων καὶ τοίχων, ἐκεῖ δὲ οὐδὲν τοιοῦτόν ἐστιν, οὐ φθόνος, οὐ βασκανία· οὐδὲ φιλονεικήσει τις ἡμῖν περὶ ὁροθεσίων. Καὶ ταύτην μὲν ἀπολιπεῖν ἀνάγκη πάντως, ἐκείνην δὲ συμπαραμένειν διηνεκῶς· καὶ ταύτην μὲν ἀνάγκη σαθροῦσθαι τῷ χρόνῳ, καὶ μυρίαις ὑποκεῖσθαι βλάβαις, ἐκείνην δὲ μένειν ἀγήρω διηνεκῶς· καὶ ταύτην μὲν ὁ πένης οὐ δύναται οἰκοδομεῖν, ἐκείνην δὲ ἔστι καὶ διὰ δύο ὀβολῶν οἰκοδομῆσαι, καθάπερ ἡ χήρα. Διὰ ταῦτα ἀποπνίγομαι, ὅτι, τοσούτων ἡμῖν προκειμένων ἀγαθῶν, ῥαθυμοῦμεν, ὀλιγωροῦμεν, καὶ ὅπως μὲν ἐνταῦθα λαμπρὰς σχοίημεν οἰκίας, ἅπαντα πράττομεν, ὅπως δὲ ἐν τοῖς οὐρανοῖς κἂν μικρὸν κτησώμεθα καταγώγιον, οὐ μεριμνῶμεν, οὐ φροντίζομεν.

Εἰπὲ γάρ μοι, ποῦ ἐβούλου οἰκίαν ἔχειν ἐνταῦθα; ἆρα ἢ ἐν ἐρημίᾳ ἢ ἐν μιᾷ τῶν πόλεων τῶν μικρῶν; Οὐκ ἔγωγε οἶμαι· ἀλλ' ἐν ταῖς βασιλικωτάταις καὶ μεγάλαις, ἔνθα πλείων ἡ ἐμπορία, ἔνθα μείζων ἡ περιφάνεια. Ἐγὼ δέ σε εἰς πόλιν ἄγω τοιαύτην, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός. Ἐκεῖ παρακαλῶ κτίζειν τε καὶ οἰκοδομεῖν δι' ἐλαττόνων

---

19. Ρωμ. 13, 13.
20. Ματθ. 24, 29.

νους ὅτι εἶναι νύκτα; Διὰ τοῦτο λέγει· «Ἂς συμπεριφερώμεθα σεμνά, ὅπως ὅταν εἶναι ἡμέρα»[19], διὰ ν' ἀπολαύσωμεν ἐκεῖνο τὸ φῶς. Διότι, ἐὰν αὐτὸ τὸ φῶς εἶναι τόσον ὡραῖον, σκέψου πόσον ὡραῖον θὰ εἶναι ἐκεῖνο· ὅσον δηλαδὴ ἀνώτερον εἶναι τὸ φῶς τοῦ ἡλίου ἀπὸ τὸ τοῦ λύχνου, τόσον καὶ πολὺ περισσότερον ἐκεῖνο εἶναι ἀνώτερον ἀπὸ αὐτό. Καὶ διὰ νὰ δηλώσῃ αὐτό, ἔλεγεν ὅτι «ὁ ἥλιος θὰ σκοτισθῇ»[20], δηλαδὴ ἐξ αἰτίας ἐκείνης τῆς ἀφθόνου λαμπρότητός του οὔτε ὁ ἥλιος θὰ φανῇ. Ἐὰν δὲ τώρα δαπανῶμεν ἀμέτρητα χρήματα διὰ νὰ ἔχωμεν φωτεινὰς καὶ εὐαέρους οἰκίας κτίζοντες αὐτὰς καὶ ταλαιπωρούμενοι, σκέψου πῶς πρέπει νὰ μεταχειριζώμεθα τὰ σώματα διὰ νὰ οἰκοδομήσωμεν λαμπρὰς οἰκίας εἰς τοὺς οὐρανούς, ὅπου ὑπάρχει τὸ ἀπερίγραπτον ἐκεῖνο φῶς· διότι ἐδῶ μὲν γίνονται καὶ μάχαι καὶ φιλονεικίαι διὰ τὰ σύνορα καὶ τοὺς τοίχους, ἐνῷ ἐκεῖ δὲν ὑπάρχει τίποτε τὸ παρόμοιον, οὔτε φθόνος οὔτε κακολογία, καὶ κανεὶς δὲν θὰ φιλονεικήσῃ μαζί μας διὰ σύνορα κτημάτων. Καὶ αὐτὴν μὲν τὴν οἰκίαν εἴμεθα ἀναγκασμένοι νὰ τὴν ἐγκαταλείψωμεν ὁπωσδήποτε, ἐνῷ ἐκείνη θὰ παραμένῃ διαρκῶς· καὶ αὐτὴ μὲν κατ' ἀνάγκην καταστρέφεται ἀπὸ τὸν χρόνον καὶ ὑφίσταται μυρίας ζημίας, ἐνῷ ἐκείνη μένει αἰωνίως ἄφθαρτος· καὶ αὐτὴν μὲν δὲν ἠμπορεῖ πτωχὸς νὰ τὴν οἰκοδομήσῃ, ἐνῷ ἐκείνην ἠμπορεῖ νὰ τὴν οἰκοδομήσῃ καὶ μὲ δύο ὀβολούς, ὅπως ἀκριβῶς ἡ χείρα. Διὰ τοῦτο λυποῦμαι ὑπερβολικά, διότι, ἂν καὶ εὑρίσκονται ἔμπροσθέν μας τόσα ἀγαθά, ραθυμοῦμεν καὶ ἀδιαφοροῦμεν, καὶ πράττομεν μὲν τὰ πάντα διὰ νὰ ἔχωμεν ἐδῶ λαμπρὰς οἰκίας, ἀδιαφοροῦμεν ὅμως καὶ δὲν φροντίζομεν νὰ ἀποκτήσωμεν εἰς τοὺς οὐρανοὺς ἔστω καὶ μικρὸν κατάλυμα.

Εἰπέ μου λοιπόν, ποῦ θὰ ἤθελες νὰ ἔχῃς οἰκίαν ἐδῶ; ἆρά γε εἰς τὴν ἐρημίαν ἢ εἰς μίαν ἀπὸ τὰς μικρὰς πόλεις; Ἐγὼ τουλάχιστον δὲν τὸ νομίζω, ἀλλὰ θὰ ἤθελες νὰ ἔχῃς εἰς τὰς βασιλικωτάτας καὶ μεγάλας πόλεις, ὅπου ὑπάρχει περισσότερον ἐμπόριον καὶ μεγαλυτέρα πολυτέλεια. Ἀλλ' ἐγὼ σὲ ὁδηγῶ εἰς μίαν τέτοιαν πόλιν, τῆς ὁποίας τεχνίτης καὶ δημιουργὸς εἶναι ὁ Θεός. Ἐκεῖ σὲ παρακαλῶ νὰ κτίζῃς

χρημάτων, δι' ἐλάττονος πόνου. Ἐκείνην τὴν οἰκίαν τῶν πενήτων οἰκοδομοῦσιν αἱ χεῖρες, καὶ τοῦτο μάλιστά ἐστιν οἰκοδομή· ὡς τά γε νῦν γινόμενα, ἐσχάτης ἀνοίας. Καὶ γάρ, εἴ τίς σε εἰς περσικὴν ἤγαγε γῆν, ὀψόμενον τὰ ἐκεῖ καὶ ἐπανήξοντα, εἶτα ἐκέλευσεν οἰκίας δείμασθαι, ἆρα οὐκ ἂν αὐτοῦ κατέγνως ἄνοιαν τὴν ἐσχάτην, ὡς ἀκαίρως δαπανᾶν κελεύοντος; Πῶς οὖν ἐπὶ τῆς γῆς τὸ αὐτὸ τοῦτο ποιεῖς, ἣν μικρὸν ὕστερον ἀπολείψει;

Ἀλλὰ τοῖς παιδίοις καταλείψω, φησίν. Ἀλλὰ καὶ ἐκεῖνοι μικρὸν ὕστερον καταλείψουσι μετὰ σέ, πολλάκις δὲ καὶ πρὸ σοῦ· καὶ οἱ μετ' ἐκείνους πάλιν. Καὶ γίνεταί σοι καὶ ἐνταῦθα τὸ πρᾶγμα ἀθυμίας ὑπόθεσις, ὅταν τοὺς κληρονόμους κατέχοντας μὴ ἴδῃς. Ἐκεῖ δὲ οὐδὲν τοιοῦτόν ἐστιν ὑποπτεῦσαι, ἀλλ' ἀκίνητος ἡ κτῆσις μένει καὶ σοὶ καὶ τοῖς παιδίοις καὶ τοῖς ἐγγόνοις, ἂν τὴν αὐτὴν ἀρετὴν μιμήσωνται. Ἐκείνης τῆς οἰκοδομῆς ὁ Χριστὸς ἐφάπτεται· ἐκείνην οἰκοδομοῦντα οὐκ ἀνάγκη ἐπιμελητὰς ἐφιστᾶν, οὐδὲ φροντίζειν, οὐδὲ μεριμνᾶν· ὅταν γὰρ ὁ Θεὸς τὸ ἔργον ἀναδέξηται, τίς χρεία φροντίδος; Ἐκεῖνος πάντα συνάγει καὶ ἀνίστησι τὴν οἰκίαν. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστόν, ἀλλ' ὅτι οὕτως αὐτὴν οἰκοδομεῖ, ὥς σοι ἀρεστόν ἐστι, μᾶλλον δὲ καὶ ὑπὲρ τὸ ἀρεστόν, καὶ ὑπὲρ ὃ βούλει· τεχνίτης γάρ ἐστιν ἄριστος καὶ σφόδρα σου κήδεται τῶν συμφερόντων. Κἂν πένης ᾖς καὶ βουληθῇς οἰκοδομῆσαι τὴν οἰκίαν ταύτην, οὐ φέρει σοι φθόνον οὐδὲ τίκτει σοι βασκανίαν· οὐδεὶς γὰρ αὐτὴν ὁρᾷ τῶν ἐπισταμένων φθονεῖν, ἀλλ' οἱ ἐπιστάμενοι χαίρειν ἄγγελοι τοῖς ἀγαθοῖς τοῖς σοῖς· οὐδεὶς αὐτὴν παρορίσαι δυνήσεται· οὐδεὶς γὰρ αὐτὴν παροικεῖ τῶν τὰ τοιαῦτα νοσούν-

καὶ νὰ οἰκοδομῇς μὲ ὀλιγώτερα χρήματα καὶ ὀλιγώτερον κόπον. Ἐκείνην τὴν οἰκίαν τὴν οἰκοδομοῦν τὰ χέρια τῶν πτωχῶν καὶ αὐτὸ πρὸ πάντων εἶναι οἰκοδομή· διότι αὐτὰ ποὺ γίνονται τώρα εἶναι δείγματα τῆς πιὸ φοβερᾶς παραφροσύνης. Καθ' ὅσον ἐὰν κάποιος σὲ ὡδήγει εἰς τὴν περσικὴν γῆν διὰ νὰ ἴδῃς τὰ ἐκεῖ καὶ νὰ ἐπανέλθῃς καὶ εἰς τὴν συνέχειαν σὲ διέτασσε νὰ κτίσῃς οἰκίαν, ἆρά γε δὲν θὰ ἀπέδιδες εἰς αὐτὸν τὴν πιὸ χειροτέραν ἀνοησίαν, μὲ τὸ νὰ σὲ διατάσσῃ νὰ κάμνῃς ἀσκόπους δαπάνας; Πῶς λοιπὸν κάμνεις τὸ ἴδιο πρᾶγμα εἰς τὴν γῆν, τὴν ὁποίαν μετὰ ἀπὸ ὀλίγον θὰ ἐγκαταλείψῃς;

Ἀλλά, λέγει, θὰ τὴν ἀφήσω εἰς τὰ παιδιά μου. Ὅμως καὶ ἐκεῖνα μετὰ ἀπὸ ὀλίγον ἀπὸ σένα θὰ τὴν ἐγκαταλείψουν, πολλὲς φορὲς δὲ καὶ πρὶν ἀπὸ σένα, καὶ ὁμοίως καὶ οἱ μετὰ ἀπὸ ἐκείνους. Καὶ αὐτὸ τὸ πρᾶγμα γίνεται εἰς σὲ αἰτία ἀπογοητεύσεως, ὅταν δὲν ἴδῃς τοὺς κληρονόμους σου νὰ κατέχουν αὐτά. Ἐκεῖ ὅμως τίποτε παρόμοιον δὲν εἶναι δυνατὸν νὰ φοβηθῇς, ἀλλὰ μένει σταθερὰ αὐτὸ ποὺ ἀπέκτησες καὶ εἰς ἐσένα καὶ εἰς τὰ παιδιά σου καὶ εἰς τὰ ἐγγόνια σου, ἂν ἐπιδείξουν τὴν ἰδίαν ἀρετήν. Τὴν οἰκοδόμησιν ἐκείνης τῆς οἰκίας τὴν κάμνει ὁ Χριστός· ἐὰν οἰκοδομῇς ἐκείνην δὲν εἶναι ἀνάγκη νὰ ὁρίζῃς ἐπιστάτας, οὔτε νὰ φροντίζῃς, οὔτε νὰ μεριμνᾷς· διότι ὅταν ὁ Θεὸς ἀναλάβῃ τὸ ἔργον τί χρειάζεται ἡ φροντίς; Ἐκεῖνος τὰ συγκεντρώνει ὅλα καὶ κτίζει τὴν οἰκίαν. Καὶ δὲν εἶναι αὐτὸ μόνον τὸ ἀξιοθαύμαστον, ἀλλ' ὅτι αὐτὸς ἔτσι οἰκοδομεῖ αὐτήν, ὅπως ἀρέσει εἰς ἐσένα, ἀλλὰ καὶ περισσότερον ἀπὸ αὐτὸ ποὺ σοῦ ἀρέσει καὶ ἀπὸ αὐτὸ ποὺ θέλεις· διότι εἶναι τεχνίτης ἄριστος καὶ φροντίζει πάρα πολὺ διὰ τὰ συμφέροντά σου. Καὶ ἂν εἶσαι πτωχὸς καὶ θελήσῃς νὰ οἰκοδομήσῃς αὐτὴν τὴν οἰκίαν κανεὶς δὲν θὰ σὲ φθονήσῃ οὔτε καὶ θὰ σὲ κακολογήσῃ· διότι κανεὶς δὲν τὴν βλέπει αὐτὴν ἀπὸ ἐκείνους ποὺ φθονοῦν, ἀλλ' οἱ ἄγγελοι ποὺ γνωρίζουν νὰ χαίρωνται μὲ τὰ ἰδικά σου ἀγαθά. Κανεὶς δὲν θὰ ἠμπορέσῃ νὰ ἐξουσιάσῃ αὐτήν, διότι κανεὶς δὲν κατοικεῖ πλησίον της ἀπὸ αὐτοὺς ποὺ πάσχουν ἀπὸ παρόμοια νοσήματα.

των. Γείτονας ἔχεις ἐκεῖ τοὺς ἁγίους, τοὺς περὶ Παῦλον καὶ Πέτρον, τοὺς προφήτας ἅπαντας, τοὺς μάρτυρας, τὸν δῆμον τῶν ἀγγέλων, τῶν ἀρχαγγέλων. Διὰ δὴ ταῦτα πάντα, τὰ ὄντα εἰς τοὺς πένητας κενώσωμεν, ἵνα ἐκείνων ἐπιτύχωμεν τῶν σκηνῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ καὶ μεθ᾽ οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Γείτονας ἐκεῖ ἔχεις τοὺς ἁγίους, τοὺς περὶ τὸν Παῦλον καὶ Πέτρον, ὅλους τοὺς προφήτας, τοὺς μάρτυρας, τὸ πλῆθος τῶν ἀγγέλων καὶ τῶν ἀρχαγγέλων.

Διὰ τοῦτο λοιπὸν ὅλα αὐτὰ τὰ ὑπάρχοντά μας ἂς τὰ προσφέρωμεν εἰς τοὺς πτωχούς, διὰ νὰ ἐπιτύχωμεν ἐκείνας τὰς σκηνάς, τὰς ὁποίας μακάρι νὰ ἐπιτύχωμεν ὅλοι ἡμεῖς μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου ἀνήκει εἰς τὸν Πατέρα δόξα συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΝΖ΄

Ἰω. 9, 6 - 16

«Ταῦτα εἰπὼν ὁ Ἰησοῦς, ἔπτυσε χαμαί, καὶ ἐποίησε πηλὸν ἐκ τοῦ πτύσματος, καὶ ἐπέχρισε τὸν πηλὸν ἐπὶ τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ, καὶ εἶπεν αὐτῷ· Ὕπαγε, νίψαι εἰς τὴν κολυμβήθραν τοῦ Σιλωάμ».

1. Τοὺς μέλλοντάς τι παρὰ τῶν ἀναγινωσκομένων καρποῦσθαι, οὐδὲ τὸ μικρὸν τῶν λεγομένων παρατρέχειν δεῖ· διὰ γὰρ τοῦτο ἐρευνᾶν τὰς Γραφὰς ἐκελεύσθημεν, ἐπειδὴ δοκεῖ τὰ πολλὰ (καίτοι γε αὐτόθεν ὄντα εὔκολα), πολλὴν ἐν τῷ βάθει διάνοιαν ἔχειν ἀποκεκρυμμένην. Ὅρα γὰρ οἷόν ἐστι καὶ τὸ παρόν. «Ταῦτα γὰρ εἰπών», φησίν, «ἔπτυσε χαμαί». Ποῖα ταῦτα; «Ἵνα φανερωθῇ ἡ δόξα τοῦ Θεοῦ», καὶ ὅτι «δεῖ με ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμψαντός με». Οὐ γὰρ ἁπλῶς ἀνέμνησεν ἡμᾶς τῶν εἰρημένων ὁ Εὐαγγελιστής, καὶ ἐπήγαγεν ὅτι «ἔπτυσεν», ἀλλὰ δηλῶν ὅτι τὸν λόγον διὰ τῶν ἔργων ἐπιστώσατο. Καὶ διὰ τί μὴ ὕδατι κέχρηται, ἀλλὰ πτύσματι εἰς τὸν πηλόν; Ἔμελλεν αὐτὸν πέμπειν εἰς τὸν Σιλωάμ. Ἵν' οὖν μηδὲν ἐπιγραφῇ τῇ πηγῇ, ἀλλὰ μάθῃς ὅτι ἡ ἐκ τοῦ στόματος ἐξελθοῦσα δύναμις αὐτὴ καὶ διέπλασε καὶ ἀνέῳξε τοὺς ὀφθαλμούς, ἔπτυσε χαμαί. Τοῦτο γοῦν καὶ ὁ Εὐαγγελιστὴς ἐπισημηνάμενος, ἔλεγε· «Καὶ ἐποίησε πηλὸν ἐκ τοῦ πτύσματος». Εἶτα, ἵνα μὴ δόξῃ τῆς γῆς εἶναι τὸ κατόρθωμα, ἐκέλευσε νίψασθαι.

1. Ἰω. 9, 3.
2. Ἰω. 9, 4.

ΟΜΙΛΙΑ ΝΖ

Ἰω. 9, 6-16

«Ἀφοῦ εἶπεν αὐτὰ ὁ Ἰησοῦς, ἔπτυσε κάτω καὶ ἔκαμε πηλὸν μὲ τὸ πτύσμα καὶ ἤλειψε τὸν πηλὸν εἰς τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ καὶ εἶπεν εἰς αὐτόν· Πήγαινε καὶ πλύσου εἰς τὴν κολυμβήθραν τοῦ Σιλωάμ».

Αὐτοὶ ποὺ πρόκειται ν' ἀποκομίσουν κάποιαν ὠφέλειαν ἀπὸ τὰ ἀναγινωσκόμενα πρέπει νὰ μὴ παρατρέχουν οὔτε τὸ παραμικρὸν ἀπὸ τὰ λεγόμενα· διότι διὰ τοῦτο ἐλάβομεν ἐντολὴν νὰ ἐρευνῶμεν τὰς Γραφάς, ἐπειδὴ θεωροῦνται τὰ περισσότερα ἀπὸ αὐτὰ (ἂν καὶ βέβαια εὐθὺς ἀμέσως γίνονται κατανοητὰ) ὅτι ἔχουν κρυμμένα εἰς τὸ βάθος πολλὰ σπουδαῖα νοήματα. Πρόσεχε λοιπὸν ποῖο εἶναι καὶ τὸ νόημα τοῦ παρόντος χωρίου. Διότι λέγει· «Ἀφοῦ εἶπεν αὐτὰ ἔπτυσε κάτω». Ποῖα αὐτά; «Διὰ νὰ φανερωθῇ ἡ δόξα τοῦ Θεοῦ»[1], καὶ ὅτι «Πρέπει νὰ ἐκτελῶ ἐγὼ τὰ ἔργα αὐτοῦ ποὺ μὲ ἀπέστειλεν»[2]. Διότι δὲν μᾶς ὑπενθύμισεν ἔτσι ἁπλῶς τὰ λεχθέντα ὁ Εὐαγγελιστὴς καὶ ἐπρόσθεσεν ὅτι «ἔπτυσεν», ἀλλὰ διὰ νὰ δηλώσῃ ὅτι τὸν λόγον τὸν ἐπεβεβαίωσε μὲ τὰ ἔργα του. Καὶ διατί δὲν χρησιμοποιεῖ νερὸ εἰς τὸν πηλόν, ἀλλὰ πτύσμα; Ἐπειδὴ ἐπρόκειτο νὰ στείλῃ αὐτὸν εἰς τὴν κολυμβήθραν τοῦ Σιλωάμ. Διὰ νὰ μὴ ἀποδοθῇ λοιπὸν καμμία θεραπευτικὴ δύναμις εἰς τὴν πηγήν, ἀλλὰ διὰ νὰ μάθῃς ὅτι ἡ δύναμις ποὺ ἐξῆλθεν ἀπὸ τὸ στόμα του, ὅτι αὐτὴ διέπλασε καὶ ἤνοιξε τοὺς ὀφθαλμούς, ἔπτυσε κάτω. Θέλων λοιπὸν νὰ δηλώσῃ καὶ ὁ εὐαγγελιστὴς αὐτό, ἔλεγε· «Καὶ ἔκαμε πηλὸν μὲ τὸ πτύσμα». Εἰς τὴν συνέχειαν, διὰ νὰ μὴ φανῇ ὅτι τὸ κατόρθωμα εἶναι τῆς γῆς, ἔδωσεν ἐντολὴν εἰς αὐτὸν νὰ νιφθῇ.

Τίνος οὖν ἕνεκεν οὐκ εὐθέως τοῦτο ἐποίησεν, ἀλλ' ἐπὶ τὸν Σιλωὰμ ἔπεμψεν; Ἵνα μάθῃς τοῦ τυφλοῦ τὴν πίστιν, καὶ ἵνα ἐπιστομισθῇ τῶν Ἰουδαίων ἡ ἀγνωμοσύνη· εἰκὸς γὰρ ἦν ἅπαντας ὁρᾶν αὐτὸν ἀπιόντα, τὸν πηλὸν ἔχοντα ἐπὶ τοὺς ὀφθαλμοὺς κεχριμένον· τῷ γὰρ παραδόξῳ πάντας ἂν ἐπέστρεψε πρὸς ἑαυτόν, τούς τε εἰδότας αὐτόν, τούς τε ἀγνοοῦντας, καὶ μετὰ ἀκριβείας ἂν αὐτῷ προσέσχον· ἐπειδὴ γὰρ οὐκ εὔκολον τυφλὸν ἀναβλέψαι γνωρίσαι, πολλοὺς ποιεῖ γενέσθαι πρότερον μάρτυρας διὰ μακρᾶς τῆς ὁδοῦ, καὶ ἀκριβεῖς θεατὰς τῷ παραδόξῳ τῆς θέας, ἵνα, προσεκτικώτεροι γενόμενοι, μηκέτι δύνωνται λέγειν· «Οὗτός ἐστιν· οὐκ ἔστιν οὗτος». Πρὸς δὲ τούτοις κἀκεῖνο βούλεται κατασκευάζειν, ὅτι οὐκ ἀλλότριός ἐστι τοῦ νόμου καὶ τῆς Παλαιᾶς, πέμπων εἰς τὸν Σιλωάμ· οὐδὲ γὰρ ἐκεῖνο λοιπὸν ὑποπτεῦσαι ἦν, μὴ ὁ Σιλωὰμ λάβῃ τὴν δόξαν· καὶ γὰρ πολλοί, πολλάκις ἐκεῖ τοὺς ὀφθαλμοὺς ἀπονιψάμενοι, οὐδενὸς ἀπήλαυσαν τοιούτου· κἀκεῖ γὰρ ἡ δύναμις ἦν τοῦ Χριστοῦ, ἡ πάντα ἐργαζομένη. Διὰ τοῦτο καὶ τὴν ἑρμηνείαν ἡμῖν προστίθησιν ὁ Εὐαγγελιστής. Εἰπὼν γάρ, «Εἰς τὸν Σιλωάμ», προσέθηκεν, «Ὅ ἐστιν, ἀπεσταλμένος», ἵνα μάθῃς ὅτι κἀκεῖ ὁ Χριστὸς αὐτὸν ἐθεράπευσε, καθάπερ ὁ Παῦλός φησιν· «Ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός». Ὥσπερ οὖν πέτρα ἦν ὁ Χριστὸς πνευματική, οὕτω καὶ Σιλωὰμ ἦν πνευματικός. Ἐμοὶ δὲ δοκεῖ καὶ τὸ ἀθρόον τῆς τοῦ ὕδατος παρουσίας αἰνίττεσθαι μυστήριον ἡμῖν ἀπόρρητον. Ποῖον δὴ τοῦτο; Τὸ ἀπροσδόκητον τῆς ἐπιφανείας καὶ παρ' ἐλπίδα πᾶσαν.

Ἀλλ' ὅρα τοῦ τυφλοῦ τὴν γνώμην πρὸς πάντα ὑπακούουσαν· οὐδὲ γὰρ εἶπεν· Εἰ ὅλως ὁ πηλός ἐστιν ἢ τὸ πτύσμα, τὸ παρέχον τοὺς ὀφθαλμούς, τί μοι χρεία τοῦ Σιλωάμ; εἰ

---

3. Α' Κορ. 10, 4.

Διά ποῖον λόγον λοιπὸν δὲν τὸ ἔκαμεν αὐτὸ ἀπὸ τὴν ἀρχὴν ἀλλὰ τὸν ἔστειλεν εἰς τὴν κολυμβήθραν τοῦ Σιλωάμ; Διὰ νὰ μάθῃς τὴν πίστιν τοῦ τυφλοῦ καὶ διὰ νὰ ἀποστομωθῇ ἡ ἀγνωμοσύνη τῶν Ἰουδαίων· διότι φυσικὸν ἦτο ὅλοι νὰ βλέπουν αὐτὸν νὰ ἀπέρχεται ἔχων ἀλειμμένον τὸν πηλὸν εἰς τοὺς ὀφθαλμούς του· διότι μὲ αὐτὸ τὸ παράδοξον θὰ προσείλκυε ἐπάνω του τὰ βλέμματα ὅλων, καὶ αὐτῶν ποὺ τὸν ἐγνώριζον καὶ αὐτῶν ποὺ δὲν τὸν ἐγνώριζον καὶ θὰ τὸν ἐπρόσεχον μὲ μεγάλην προσοχήν· διότι, ἐπειδὴ δὲν εἶναι εὔκολον νὰ πιστεύσῃ κανεὶς ὅτι ἀνέβλεψε τυφλός, κάμνει νὰ γίνουν προηγουμένως πολλοὶ μάρτυρες, δεικνύων μακρὰν ὁδόν, καὶ αὐτόπται θεαταὶ τοῦ παραδόξου θεάματος, ὥστε, γενόμενοι προσεκτικώτεροι, νὰ μὴ ἠμποροῦν πλέον νὰ λέγουν· «Αὐτὸς εἶναι· δὲν εἶναι αὐτός». Ἐπὶ πλέον δὲ θέλει νὰ δείξῃ καὶ ἐκεῖνο, ὅτι δὲν εἶναι ξένος τοῦ νόμου καὶ τῆς Παλαιᾶς Διαθήκης, στέλλων αὐτὸν εἰς τὴν κολυμβήθραν τοῦ Σιλωάμ· οὔτε βέβαια ἦτο πλέον δυνατὸν καὶ ἐκεῖνο νὰ σκεφθῇ, μήπως δηλαδὴ λάβῃ ὁ Σιλωὰμ τὴν δόξαν, καθ' ὅσον πολλοί, πολλὲς φορὲς ἂν καὶ ἔνιψαν ἐκεῖ τοὺς ὀφθαλμούς των, δὲν ἀπήλαυσαν τίποτε τὸ παρόμοιον· καὶ ἐκεῖ λοιπὸν ἦτο ἡ δύναμις τοῦ Χριστοῦ ποὺ ἔκαμνε τὰ πάντα. Διὰ τοῦτο καὶ ὁ εὐαγγελιστὴς μᾶς προσθέτει καὶ τὴν ἑρμηνείαν. Διότι ἀφοῦ εἶπεν, «εἰς τὸν Σιλωάμ», ἐπρόσθεσεν, «ποὺ σημαίνει ἀπεσταλμένος», διὰ νὰ μάθῃς ὅτι καὶ ἐκεῖ ὁ Χριστὸς τὸν ἐθεράπευσεν, ὅπως ἀκριβῶς λέγει ὁ Παῦλος· «Διότι ἔπινον ἀπὸ πνευματικὴν πέτραν ποὺ τοὺς ἀκολουθοῦσεν· ἡ δὲ πέτρα ἦτο ὁ Χριστός»[3]. Ὅπως ἀκριβῶς λοιπὸν πέτρα πνευματικὴ ἦτο ὁ Χριστός, ἔτσι καὶ ὁ Σιλωὰμ ἦτο πνευματικός. Ἐγὼ δὲ νομίζω, ὅτι καὶ ἡ αἰφνιδία ἐμφάνισις τοῦ ὕδατος ὑπαινίσσεται εἰς ἡμᾶς μυστήριον ἀπόρρητον. Ποῖον λοιπὸν εἶναι αὐτό; Ἡ ἀπροσδόκητος ἐμφάνισις ἡ γενομένη παρὰ πᾶσαν ἐλπίδα.

Ἀλλὰ πρόσεχε τὴν γνώμην τοῦ τυφλοῦ ποὺ ὑπακούει εἰς ὅλα· διότι δὲν εἶπεν, Ἐὰν ὁ πηλὸς εἶναι αὐτὸς ἢ τὸ πτύσμα ποὺ παρέχει ἐξ ὁλοκλήρου τὴν δύναμιν ὁράσεως εἰς τοὺς ὀφθαλμούς, τί μοῦ χρειάζεται ἡ κολυμβήθρα τοῦ Σι-

δὲ χρεία τοῦ Σιλωάμ, τίς χρεία τοῦ πηλοῦ; τίνος ἕνεκεν ἔχρισεν; τίνος ἕνεκεν νίψασθαι ἐκέλευσεν; Ἀλλ' οὐδὲν τούτων ἐλογίσατο, ἀλλὰ πρὸς ἓν παρεσκεύαστο μόνον, ἅπαντα πείθεσθαι τῷ κελεύοντι, καὶ οὐδὲν αὐτὸν τῶν γινομένων ἐσκανδάλιζεν. Εἰ δὲ λέγοι τις, 'Πῶς οὖν ἀνέβλεψεν, ἀποθέμενος τὸν πηλόν;'. οὐδὲν ἄλλο ἀκούσεται παρ' ἡμῶν, ἢ ὅτι τὸν τρόπον οὐκ ἴσμεν. Καὶ τί θαυμαστόν, εἰ ἡμεῖς οὐκ ἴσμεν; Οὐδὲ γὰρ ὁ Εὐαγγελιστὴς ἠπίστατο, οὐδὲ αὐτὸς ὁ τεθεραπευμένος· ἀλλὰ τὸ μὲν γεγενημένον οἶδε, τὸν δὲ τρόπον καταλαβεῖν οὐ δύναται. Τοῦτο δὲ καὶ ἐρωτώμενος ἔλεγεν, ὅτι «πηλὸν ἐπέθηκεν ἐπὶ τοὺς ὀφθαλμούς μου, καὶ ἐνιψάμην, καὶ βλέπω». Πῶς δὲ τοῦτο γέγονεν, οὐκ ἔχει λέγειν, κἂν μυριάκις ἐρωτήσωσιν.

«Οἱ οὖν γείτονες», φησί, «καὶ θεωροῦντες αὐτὸν ὅτι προσαίτης ἦν, ἔλεγον· Οὐχ οὗτός ἐστιν ὁ καθήμενος καὶ προσαιτῶν; Ἄλλοι ἔλεγον· Οὗτός ἐστι». Τὸ γὰρ παράδοξον τοῦ γεγενημένου, καὶ εἰς ἀπιστίαν αὐτοὺς ἦγε· καίτοι γε τοσούτων οἰκονομηθέντων, ὥστε μὴ ἀπιστῆσαι. Οἱ δὲ ἔλεγον· «Οὐχ οὗτός ἐστιν ὁ καθήμενος καὶ προσαιτῶν;». Βαβαὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας! ποῦ κατέβαινε, τοὺς προσαιτοῦντας μετὰ πολλῆς τῆς εὐνοίας θεραπεύων, κἀντεῦθεν τοὺς Ἰουδαίους ἐπιστομίζων! Ὅτι οὐ τοὺς λαμπρούς, οὐδὲ τοὺς περιφανεῖς, οὐδὲ τοὺς ἄρχοντας, ἀλλὰ καὶ τοὺς ἀσήμους τῆς αὐτῆς ἠξίου προνοίας· καὶ γὰρ ἐπὶ σωτηρίᾳ πάντων ἀφῖκτο. Ὃ δὲ ἐπὶ τοῦ παραλυτικοῦ γέγονε, τοῦτο καὶ ἐπὶ τούτου γίνεται· οὔτε γὰρ ἐκεῖνος ᾔδει τίς ἐστιν ὁ θεραπεύσας αὐτόν, οὔτε οὗτος. Ἐγίνετο δὲ τοῦτο διὰ τὴν ἀναχώρησιν τοῦ Χριστοῦ. Ἀνεχώρει δὲ ἀεὶ θεραπεύων ὁ Ἰησοῦς, ὥστε πᾶσαν ὑποψίαν περιαιρεθῆναι τῶν σημείων. Οἱ γὰρ μὴ εἰδότες αὐτὸν ὅστις ἐστί, πῶς ἂν ἐχαρίσαντο αὐτῷ καὶ συγκατεσκεύασαν τὰ γεγενημένα; Οὐδὲ γὰρ τῶν περιϊ-

λωάμ; ἐὰν δὲ ἔχω ἀνάγκην ἀπὸ τὴν κολυμβήθραν τοῦ Σιλωάμ, τί μοῦ χρειάζεται ὁ πηλός; διὰ ποῖον λόγον μὲ ἤλειψε; διατί μοῦ εἶπε νὰ ὑπάγω νὰ πλυθῶ;'. Ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν ἐσκέφθη, ἀλλὰ δι' ἕνα μόνον πρᾶγμα ἦτο ἕτοιμος, νὰ ὑπακούῃ εἰς ὅλα ἐκεῖνα ποὺ τὸν διέτασσεν ἐκεῖνος, καὶ κανὲν ἀπὸ αὐτὰ ποὺ συνέβαινον δὲν τὸν ἐσκανδάλιζεν. Ἐὰν ὅμως ἤθελεν εἰπεῖ κάποιος, 'Πῶς λοιπὸν ἀνέβλεψε θέσας ἐπάνω τὸν πηλόν;' τίποτε ἄλλο δὲν θ' ἀκούσῃ ἀπὸ ἡμᾶς, παρὰ μόνον, ὅτι δὲν γνωρίζομεν τὸν τρόπον. Καὶ τί τὸ ἀξιοθαύμαστον ἐὰν ἡμεῖς δὲν τὸ γνωρίζωμεν; Διότι οὔτε ὁ Εὐαγγελιστὴς τὸ ἐγνώριζεν, οὔτε αὐτὸς ποὺ εἶχε θεραπευθῆ, ἀλλὰ τὸ μὲν συμβὰν τὸ γνωρίζει, ὅμως δὲν ἠμπορεῖ νὰ καταλάβῃ τὸν τρόπον. Αὐτὸ δὲ ἔλεγε καὶ ἐρωτώμενος, ὅτι «πηλὸν ἔθεσεν εἰς τοὺς ὀφθαλμούς μου καὶ ἐνίφθην καὶ βλέπω». Πῶς δὲ ἔγινεν αὐτό, δὲν ἠμπορεῖ νὰ τὸ εἰπῇ καὶ ἂν ἀκόμη τὸν ἐρωτήσουν ἀπείρους φοράς.

«Οἱ γείτονες λοιπόν», λέγει, «καὶ αὐτοὶ ποὺ τὸν ἔβλεπον προηγουμένως ὅτι ἦτο ἐπαίτης, ἔλεγον· Δὲν εἶναι αὐτὸς ποὺ ἐκάθετο καὶ ἐζητιάνευεν; Ἄλλοι ἔλεγον· Αὐτὸς εἶναι». Διότι τὸ παράδοξον τοῦ θαύματος τοὺς ὡδήγει καὶ εἰς ἀπιστίαν, ἂν καὶ βέβαια τόσα εἶχον συμβῆ, ὥστε νὰ μὴ ἀπιστήσουν. Ἄλλοι δὲ ἔλεγον· «Δὲν εἶναι αὐτὸς ποὺ ἐκάθετο καὶ ἐζητιάνευε;». Πῶ, πῶ φιλανθρωπία Θεοῦ! Ποῦ κατέβαινε, θεραπεύων μετὰ τόσης συμπαθείας τοὺς ἐπαίτας καὶ ἀποστομώνων μὲ τὴν ἐνέργειάν του αὐτὴν τοὺς Ἰουδαίους! Διότι ἔδειχνε τὴν ἰδίαν φροντίδα ὄχι μόνον διὰ τοὺς λαμπροὺς καὶ διασήμους οὔτε διὰ τοὺς ἄρχοντας, ἀλλὰ καὶ διὰ τοὺς ἀσήμους, καθ' ὅσον ἦλθε διὰ τὴν σωτηρίαν ὅλων. Καὶ αὐτὸ ποὺ ἔγινεν εἰς τὴν περίπτωσιν τοῦ παραλυτικοῦ, αὐτὸ γίνεται καὶ εἰς αὐτόν· διότι οὔτε ἐκεῖνος ἐγνώριζε ποῖος ἦτο ἐκεῖνος ποὺ τὸν ἐθεράπευσεν, οὔτε αὐτός. Συνέβη δὲ αὐτὸ ἐξ αἰτίας τῆς ἀναχωρήσεως τοῦ Χριστοῦ. Ἀνεχώρει δὲ πάντοτε ὁ Ἰησοῦς, ὥστε νὰ ἀφαιρέσῃ κάθε ὑποψίαν διὰ τὰ θαύματα. Διότι αὐτοὶ ποὺ δὲν ἐγνώριζον ποῖος ἦτο, πῶς θὰ ἠμποροῦσαν νὰ χαρισθοῦν εἰς αὐτὸν καὶ νὰ περιγράψουν αὐτὰ ποὺ τοὺς συνέβησαν; Διότι

όντων ἦν οὗτος, ἀλλὰ τῶν καθημένων παρὰ τὰς θύρας τοῦ ἱεροῦ. Ἀμφισβητούντων δὲ πάντων περὶ αὐτοῦ, τί φησιν ἐκεῖνος; «Ἐγώ εἰμι». Οὐκ ᾐσχύνθη τὴν προτέραν πήρωσιν, οὐδὲ ἔδεισε τοῦ δήμου τὸν θυμόν, οὐδὲ παρῃτήσατο δεῖξαι ἑαυτόν, ἵνα κηρύξῃ τὸν εὐεργέτην. «Λέγουσιν αὐτῷ· Πῶς ἀνεῴχθησάν σου οἱ ὀφθαλμοί; Λέγει αὐτοῖς· Ἄνθρωπος, λεγόμενος Ἰησοῦς». Τί λέγεις; ἄνθρωπος τοιαῦτα ἐργάζεται; Ἀλλ' οὐδὲν μέγα τέως ᾔδει περὶ αὐτοῦ. «Ἄνθρωπος, λεγόμενος Ἰησοῦς, ἐποίησε πηλὸν καὶ ἐπέχρισε».

2. Ὅρα πῶς ἀληθής ἐστιν. Οὐκ εἶπε πόθεν ἐποίησεν (ὃ γὰρ οὐκ οἶδεν, οὐ λέγει), οὐδὲ γὰρ εἶδον ὅτι χαμαὶ ἔπτυσεν· ὅτι δὲ ἐπέχρισε διὰ τῆς αἰσθήσεως ἐμάνθανε καὶ τῆς ἁφῆς. «Καὶ εἶπέ μοι· Ὕπαγε, νίψαι εἰς τὴν κολυμβήθραν τοῦ Σιλωάμ». Καὶ τοῦτο ἡ ἀκοὴ ἐμαρτύρησε. Καὶ πόθεν ἐπεγίνωσκεν αὐτοῦ τὴν φωνήν; Ἀπὸ τῆς διαλέξεως τῆς πρὸς τοὺς μαθητάς. Καὶ ταῦτα λέγων ἅπαντα, καὶ τὴν διὰ τῶν ἔργων μαρτυρίαν λαβών, τὸν τρόπον εἰπεῖν οὐ δύναται. Εἰ δὲ ἐπὶ τῶν αἰσθητῶν καὶ ψηλαφωμένων πίστεως δεῖ, πολλῷ μᾶλλον ἐπὶ τῶν ἀοράτων. «Λέγουσιν αὐτῷ· Ποῦ ἐστιν ἐκεῖνος; Λέγει· Οὐκ οἶδα». Ἔλεγον δὲ τοῦτο, τὸ «ποῦ ἐστιν ἐκεῖνος;» φονῶντες ἤδη κατ' αὐτοῦ. Θέα δὲ τοῦ Χριστοῦ τὸ ἀκόμπαστον, πῶς οὐ παρῆν τοῖς θεραπευομένοις· οὐ γὰρ δόξαν καρπώσασθαι ἐβούλετο, οὐδὲ ὀχλαγωγεῖν, οὐδὲ ἐπιδείκνυσθαι. Ὅρα πῶς ἅπαντα φιλαλήθως ἀποκρίνεται ὁ τυφλός. Ἐβούλοντο μὲν οὖν τὸν Χριστὸν εὑρεῖν, ὥστε αὐτὸν ἀγαγεῖν πρὸς τοὺς ἱερεῖς, ἐπειδὴ δὲ οὐκ ἐπέτυχον, ἄγουσι τὸν τυφλὸν πρὸς τοὺς Φαρισαίους. ὡς σφοδρότερον ἐρωτήσοντας· διὰ γὰρ τοῦτο καὶ ὁ Εὐαγγελιστὴς ἐπισημαίνεται ὅτι Σάββατον ἦν, ἵνα τὴν πονηρὰν αὐτῶν γνώμην ἐνδείξηται, καὶ τὴν αἰτίαν, δι' ἣν ἐζήτουν,

δὲν ἦτο ὁ θεραπευθεὶς κάποιος ἀπὸ τοὺς περιοδεύοντας, ἀλλὰ ἀπὸ αὐτοὺς ποὺ ἐκάθοντο πλησίον τῶν θυρῶν τοῦ ναοῦ. Καὶ ἐνῷ ὅλοι ἔδειχναν ἀμφιβολίαν δι' αὐτόν, τί λέγει ἐκεῖνος; «Ἐγὼ εἶμαι». Δὲν ἔνοιωσε ἐντροπὴν διὰ τὴν προηγουμένην τύφλωσίν του, οὔτε ἐφοβήθη τὸν θυμὸν τοῦ λαοῦ, οὔτε ἀπέφυγε νὰ δείξῃ τὸν ἑαυτόν του διὰ νὰ διακηρύξῃ τὸν εὐεργέτην. «Λέγουν εἰς αὐτόν· Πῶς ἤνοιξαν οἱ ὀφθαλμοί σου; Λέγει εἰς αὐτούς· Ἄνθρωπος μοῦ τοὺς ἤνοιξε ποὺ ὀνομάζεται Ἰησοῦς». Τί λέγεις; ἠμπορεῖ ἄνθρωπος νὰ κάμῃ τέτοια πράγματα; Ἀλλὰ τίποτε τὸ σπουδαῖον εἰς τὴν ἀρχὴν δὲν ἐγνώριζε περὶ αὐτοῦ. «Ἄνθρωπος, ὀνομαζόμενος Ἰησοῦς, ἔκαμε πηλὸν καὶ ἤλειψε τοὺς ὀφθαλμούς μου».

2. Πρόσεχε πῶς εἶναι ἀληθής. Δὲν εἶπε πῶς ἔκαμε τὸ θαῦμα (διότι αὐτὸ ποὺ δὲν τὸ γνωρίζει, δὲν τὸ λέγει), διότι δὲν εἶδεν ὅτι ἔπτυσε κάτω· τὸ ὅτι δὲ ἤλειψε μὲ πηλὸν τοὺς ὀφθαλμούς του, τὸ ἀντελαμβάνετο διὰ τῆς αἰσθήσεως καὶ τῆς ἀφῆς. «Καὶ μοῦ εἶπε· πήγαινε καὶ πλύσου εἰς τὴν κολυμβήθραν τοῦ Σιλωάμ». Καὶ αὐτὸ ἡ ἀκοὴ τὸ ἐπεβεβαίωσε. Καὶ ἀπὸ ποῦ ἐγνώριζε τὴν φωνήν του; Ἀπὸ τὴν συζήτησιν μὲ τοὺς μαθητάς του. Καὶ ἐνῷ τὰ λέγει ὅλα αὐτὰ καὶ ἔλαβε τὴν ἐπιβεβαίωσιν διὰ τῶν ἔργων, ὅμως δὲν ἠμπορεῖ νὰ εἰπῇ τὸν τρόπον. Ἐὰν δὲ χρειάζεται πίστις διὰ τὰ αἰσθητὰ καὶ ψηλαφώμενα πράγματα, πολὺ περισσότερον χρειάζεται διὰ τὰ ἀόρατα, «Λέγουν εἰς αὐτόν· Ποῦ εἶναι ἐκεῖνος; Λέγει· Δὲν γνωρίζω». Τὸ ἔλεγον δὲ αὐτό, τὸ «ποῦ εἶναι ἐκεῖνος;» μὲ φονικὰς πλέον διαθέσεις ἐναντίον αὐτοῦ. Πρόσεχε ὅμως τὴν μετριοφροσύνην τοῦ Χριστοῦ, πῶς δηλαδὴ δὲν ἔμεινε πλησίον τῶν θεραπευομένων· διότι δὲν ἤθελε ν' ἀποκτήσῃ δόξαν, οὔτε νὰ ἀσκήσῃ δημαγωγίαν οὔτε νὰ ἐπιδειχθῇ. Πρόσεχε πῶς ὅλα τὰ λέγει ὁ τυφλὸς μὲ φιλαλήθειαν. Ἤθελον λοιπὸν νὰ εὕρουν τὸν Χριστόν, ὥστε νὰ τὸν ὁδηγήσουν εἰς τοὺς ἱερεῖς, ἐπειδὴ ὅμως δὲν τὸ ἐπέτυχον, ὁδηγοῦν τὸν τυφλὸν πρὸς τοὺς Φαρισαίους, διὰ νὰ τὸν ἐρωτήσουν μὲ αὐστηρότερον τρόπον· διὰ τοῦτο λοιπὸν καὶ ὁ Εὐαγγελιστὴς ἀναφέρει ὅτι ἦτο Σάββατον, διὰ νὰ δείξῃ τὴν κακὴν διάθεσίν των καὶ τὴν αἰτίαν διὰ τὴν ὁποίαν ἐζήτουν αὐτόν, εὑρί-

ὡς λαβὴν δῆθεν εὑρίσκοντες, καὶ δυνάμενοι τὸ θαῦμα διαβαλεῖν διὰ τῆς δοκούσης εἶναι τοῦ νόμου παραβάσεως. Καὶ τοῦτο δῆλον ἐκ τοῦ εὐθέως ἰδόντας αὐτὸν μηδὲν ἄλλο εἰπεῖν, ἀλλ' ἢ «πῶς ἀνέῳξέ σου τοὺς ὀφθαλμούς;».

Καὶ ὅρα πῶς λέγουσιν· οὐ γὰρ εἶπον, Πῶς ἀνέβλεψας; ἀλλὰ «πῶς ἀνέῳξέ σου τοὺς ὀφθαλμούς;», διδόντες αὐτῷ πρόφασιν τοῦ διαβαλεῖν αὐτὸν ἐπ' ἐργασίᾳ. Ὁ δὲ ὡς πρὸς ἀκηκοότας συντομώτερον φθέγγεται· οὔτε γὰρ τὸ ὄνομα εἰπών, οὔτε ὅτι «εἶπέ μοι· Ὕπαγε, νίψαι», εὐθέως φησί· «Πηλὸν ἐπέθηκεν ἐπὶ τοὺς ὀφθαλμούς μου καὶ ἐνιψάμην καὶ βλέπω». Ὡς πολλῆς ἤδη γεγενημένης διαβολῆς, κἀκείνων εἰρηκότων· «Ἴδε ὁ Ἰησοῦς οἷα ἐργάζεται ἐν Σαββάτῳ, πηλὸν χρίει!». Σὺ δέ μοι σκόπει, πῶς οὐ ταράττεται ὁ τυφλός· ὅτε μὲν γὰρ ἐπ' ἐκείνων ἔλεγεν ἀκινδύνως ἐρωτώμενος, οὐχ οὕτω μέγα ἦν τὸ τὴν ἀλήθειαν εἰπεῖν, τὸ δὲ θαυμαστόν ἐστι νῦν, ὅτι, καὶ ἐν πλείονι φόβῳ καταστάς, οὔτε ἀρνεῖται, οὔτε ἐναντία λέγει τοῖς προτέροις. Τί οὖν οἱ Φαρισαῖοι; μᾶλλον δὲ καὶ οἱ ἄλλοι; Ἤγαγον μὲν αὐτὸν ὡς ἀρνησόμενον, τοὐναντίον δὲ ἔπαθον, ὅπερ οὐκ ἐβούλοντο, καὶ ἀκριβέστερον ἔμαθον. Καὶ τοῦτο πανταχοῦ τῶν σημείων ὑπομένουσι, μᾶλλον δὲ ἐν τοῖς ἑξῆς τοῦτο σαφέστερον ἀποδείξομεν.

Τί οὖν οἱ Φαρισαῖοι; «Ἔλεγόν τινες» (οὐ πάντες, ἀλλ' οἱ ἰταμώτεροι)· «Οὗτος ὁ ἄνθρωπος οὐκ ἔστιν ἀπὸ τοῦ Θεοῦ, ὅτι τὸ Σάββατον οὐ τηρεῖ. Ἄλλοι ἔλεγον· Πῶς δύναται ἄνθρωπος ἁμαρτωλὸς τοιαῦτα σημεῖα ποιεῖν;». Ὁρᾷς ὅτι ἀπὸ τῶν σημείων ἀνήγοντο; Οἱ γὰρ πρὸ τούτου πέμψαντες, ὥστε ἀγαγεῖν αὐτόν, ἄκουσον τί λέγουσι νῦν, εἰ καὶ μὴ πάντες· καὶ γάρ, ἄρχοντες ὄντες, ὑπὸ τῆς φιλοδοξίας εἰς ἀπιστίαν ἔπιπτον. Ὅμως δὲ καὶ τῶν ἀρχόντων

σκοντες δῆθεν αὐτὴν ὡς ἀφορμὴν νὰ τὸν κατηγορήσουν καὶ δυνάμενοι ἔτσι νὰ διαβάλουν τὸ θαῦμα διὰ τῆς δῆθεν παραβάσεως τοῦ νόμου. Καὶ αὐτὸ γίνεται φανερὸν ἀπὸ τὸ ὅτι, μόλις τὸν εἶδον, δὲν τοῦ εἶπαν τίποτε ἄλλο, ἀλλὰ τὸ «πῶς ἤνοιξε τοὺς ὀφθαλμούς σου;».

Καὶ πρόσεχε πῶς τὸν ἐρωτοῦν˙ διότι δὲν τοῦ εἶπαν, 'πῶς ἀνέβλεψες;', ἀλλὰ «πῶς ἤνοιξε τοὺς ὀφθαλμούς σου», διὰ νὰ τοῦ δώσουν τὴν ἀφορμὴν νὰ τὸν κατηγορήση δι' ἐργασίαν. Αὐτὸς ὅμως ὁμιλεῖ πρὸς αὐτοὺς μὲ συντομίαν ὡσὰν νὰ εἶχον ἀκούσει τὰ συμβάντα˙ διότι χωρὶς νὰ εἰπῇ οὔτε τὸ ὄνομα, οὔτε τὸ «Μοῦ εἶπε, πήγαινε καὶ νίψου», λέγει ἀμέσως˙ «Πηλὸν ἔθεσεν εἰς τοὺς ὀφθαλμούς μου καὶ ἐνίφθην καὶ βλέπω». Διότι ἤδη εἶχεν ἐκδηλωθῆ εἰς μεγάλον βαθμὸν ἡ διαβολὴ καὶ ἐκεῖνοι εἶχον εἰπεῖ «Νὰ ποῖα ἔργα πράττει ὁ Ἰησοῦς κατὰ τὴν ἡμέραν τοῦ Σαββάτου, πηλὸν χρίει!». Ἀλλὰ σύ, σὲ παρακαλῶ, πρόσεχε, πῶς δὲν ταράσσεται ὁ τυφλός. Διότι ὅταν μὲν ἔλεγεν, ἐρωτώμενος, ἐκεῖνα ποὺ συνέβησαν καὶ δὲν διέτρεχε κανένα κίνδυνον, δὲν ἦτο τόσον σπουδαῖον τὸ νὰ εἰπῇ τὴν ἀλήθειαν, ἐνῷ τὸ θαυμαστὸν τώρα εἶναι, διότι, ἂν καὶ διέτρεχε μεγαλύτερον κίνδυνον, οὔτε ἀρνεῖται οὔτε λέγει ἀντίθετα ἀπὸ τὰ προηγούμενα. Τί κάνουν λοιπὸν οἱ Φαρισαῖοι; μᾶλλον δὲ καὶ οἱ ἄλλοι; Τὸν ὡδήγησαν μὲν διὰ νὰ τὰ ἀρνηθῇ, ἔπαθον ὅμως τὸ ἀντίθετον, καὶ ἐκεῖνο ποὺ δὲν ἤθελον τὸ ἔμαθον μὲ μεγαλυτέραν ἀκρίβειαν. Καὶ αὐτὸ τὸ παθαίνουν εἰς ὅλα τὰ θαύματα ποὺ ἐπιτελεῖ ὁ Ἰησοῦς, μὲ περισσοτέραν δὲ σαφήνειαν θὰ τὸ ἀποδείξωμεν αὐτὸ εἰς τὴν συνέχειαν.

Τί κάνουν λοιπὸν οἱ Φαρισαῖοι; «Ἔλεγον μερικοὶ» (ὄχι ὅλοι, ἀλλὰ οἱ θρασύτεροι)˙ «Αὐτὸς ὁ ἄνθρωπος δὲν εἶναι τοῦ Θεοῦ, διότι δὲν τηρεῖ τὸ Σάββατον. Ἄλλοι ἔλεγον˙ πῶς εἶναι δυνατὸν ἄνθρωπος ἁμαρτωλὸς νὰ κάμνῃ τέτοια θαύματα;». Βλέπεις ὅτι ἀπὸ τὰ θαύματα προσελκύοντο; Διότι αὐτοὶ οἱ ἴδιοι ποὺ ἔστειλαν ἀνθρώπους προηγουμένως διὰ νὰ τὸν ὁδηγήσουν ἐνώπιόν των, ἄκουσε τί λέγουν τώρα, ἂν καὶ ὄχι ὅλοι˙ καθ' ὅσον, ἐπειδὴ ἦσαν ἄρχοντες, ὡδηγοῦντο εἰς τὴν ἀπιστίαν ἐξ αἰτίας τῆς φιλοδοξίας των. Ἀλλ' ὅμως

οἱ πολλοὶ ἐπίστευσαν εἰς αὐτόν, οὐχ ὡμολόγουν δέ. Ὁ μὲν οὖν πολὺς λαὸς εὐκαταφρόνητος ἦν, ἅτε μηδὲ μέγα συντελῶν εἰς τὴν συναγωγὴν αὐτῶν, οἱ δὲ ἄρχοντες, μᾶλλον περίβλεπτοι ὄντες, δυσκολώτερον ἐπαρρησιάζοντο· τοὺς μὲν γὰρ φιλαρχία κατεῖχε, τοὺς δὲ δειλία καὶ ὁ παρὰ τῶν πολλῶν φόβος. Διὸ καὶ ἔλεγε· «Πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ ἀνθρώπων λαμβάνοντες;». Καὶ αὐτοὶ μέν, φονεύειν ζητοῦντες ἀδίκως, τοῦ Θεοῦ ἔλεγον εἶναι, τὸν δὲ τυφλοὺς θεραπεύοντα οὐ δύνασθαι εἶναι ἐκ τοῦ Θεοῦ διὰ τὸ Σάββατον μὴ τηρεῖν. Πρὸς ταῦτα ἀντέθηκαν οὗτοι, ὅτι ἁμαρτωλὸς τοιαῦτα σημεῖα οὐ δύναται ποιεῖν. Ἐκεῖνοι μὲν οὖν, κακούργως τὸ γεγονὸς σιγῶντες, τὴν δοκοῦσαν εἶναι παράβασιν εἰς μέσον ἔφερον· οὐ γὰρ ἔλεγον ὅτι ἐν τῷ Σαββάτῳ θεραπεύει, ἀλλ' ὅτι «τὸ Σάββατον οὐ τηρεῖ», οὗτοι δὲ πάλιν ἀσθενῶς· δέον γὰρ ἐπιδεῖξαι πῶς τὸ Σάββατον οὐ λύεται, ἀπὸ τῶν σημείων ἰσχυρίζονται μόνον. Καὶ εἰκότως· ἔτι γὰρ ἄνθρωπον αὐτὸν ἐνόμιζον εἶναι. Ἐπεί, εἰ μὴ τοῦτο ἦν, καὶ ἑτέρως εἶχον ἀπολογήσασθαι, ὅτι τοῦ Σαββάτου κύριος ἦν, καὶ αὐτὸς αὐτὸ πεποίηκεν· ἀλλ' οὐδέπω ταύτην εἶχον τὴν γνώμην. Οὐδεὶς μέντοι αὐτῶν ἐτόλμα ἅπερ ἐβούλετο φανερῶς εἰπεῖν, οὐδὲ ἐν ἀποφάσει, ἀλλ' ἐν ἀμφισβητήσει, οἱ μὲν διὰ τὸ ἀπαρρησίαστον, οἱ δὲ διὰ φιλαρχίαν.

«Σχίσμα οὖν ἦν ἐν αὐτοῖς». Τοῦτο τὸ σχίσμα πρῶτον ἤρξατο ἐν τῷ λαῷ, εἶτα ὕστερον καὶ ἐν τοῖς ἄρχουσι· «καὶ οἱ μὲν ἔλεγον ὅτι ἀγαθός ἐστιν, ἄλλοι δέ· Οὐχί, ἀλλ' ἀπατᾷ τὸν ὄχλον». Ὁρᾷς πῶς ἀσυνετώτεροι τῶν πολλῶν οἱ ἄρχοντες, σχισθέντες ὕστερον; Ἀλλὰ μετὰ τὸ σχισθῆναι πάλιν οὐδὲν ἐπεδείξαντο γενναῖον, ὁρῶντες τοὺς Φαρισαίους

4. Ἰω. 5, 44.
5. Ἰω. 7, 12.

καὶ ἀπὸ τοὺς ἄρχοντας οἱ περισσότεροι ἐπίστευσαν εἰς αὐτόν. δὲν τὸ ὡμολόγουν ὅμως. Ὁ μὲν λοιπὸν πολὺς λαὸς ἦτο εὐκαταφρόνητος, ἐπειδὴ δὲν συμμετεῖχε καὶ πολὺ εἰς τὴν συναγωγήν των, οἱ ἄρχοντες ὅμως, ἐπειδὴ ἦσαν ἐπιφανέστεροι, δυσκολώτερον ἐλάμβανον θάρρος νὰ ὁμολογήσουν· διότι τοὺς μὲν κατεῖχεν ἡ φιλαρχία, τοὺς δὲ ἡ δειλία καὶ ὁ φόβος ἐκ μέρους τῶν πολλῶν. Διὰ τοῦτο καὶ ἔλεγε· «Πῶς ἠμπορεῖτε νὰ πιστεύετε, ἀφοῦ λαμβάνετε τιμὰς ἀπὸ τοὺς ἀνθρώπους;»[4] Καὶ αὐτοὶ μέν, ζητοῦντες νὰ τὸν φονεύσουν ἄδικα, ἔλεγον ὅτι εἶναι τοῦ Θεοῦ ἄνθρωποι, ἐκεῖνον ὅμως, ποὺ θεραπεύει τοὺς τυφλοὺς δὲν ἠμπορεῖ νὰ εἶναι ἄνθρωπος τοῦ Θεοῦ ἐπειδὴ δὲν τηρεῖ τὸ Σάββατον. Πρὸς αὐτὰ ἀντέταξαν αὐτοὶ τὴν σκέψιν, ὅτι ὁ ἁμαρτωλὸς δὲν ἠμπορεῖ νὰ κάμῃ τέτοια θαύματα. Ἐκεῖνοι λοιπὸν ἀποσιωποῦντες τὸ γεγονὸς ἀπὸ κακίαν, προέβαλλον τὴν φαινομενικὴν παράβασιν τοῦ νόμου· διότι δὲν ἔλεγον, ὅτι θεραπεύει τὸ Σάββατον, ἀλλ' ὅτι «δὲν τηρεῖ τὸ Σάββατον», ἐνῷ αὐτοὶ ὡμολόγουν πάλιν ἀσθενῶς τὸ γεγονός· διότι, ἐνῷ ἔπρεπε νὰ δείξουν πῶς δὲν λύεται τὸ Σάββατον, αὐτοὶ τὸ ἰσχυρίζονται αὐτὸ μόνον ἀπὸ τὰ θαύματα. Καὶ ἦτο πολὺ φυσικόν, καθ' ὅσον ἐθεώρουν ἀκόμη αὐτὸν ὅτι εἶναι ἄνθρωπος. Διότι, ἐὰν δὲν συνέβαινεν αὐτό, θὰ ἠμποροῦσαν καὶ μὲ ἄλλον τρόπον νὰ ὑποστηρίξουν τὴν σκέψιν των, ὅτι δηλαδὴ ἦτο κύριος τοῦ Σαββάτου καὶ αὐτὸς τὸ ἔκαμεν αὐτό, ἀλλ' ἀκόμη δὲν εἶχον αὐτὴν τὴν γνώμην. Κανεὶς λοιπὸν ἀπὸ αὐτοὺς δὲν ἐτόλμα νὰ εἰπῇ φανερὰ αὐτὰ ποὺ ἤθελεν, οὔτε νὰ ἐκφράσῃ τὴν ἀληθῆ σκέψιν του, ἀλλὰ ὑπὸ μορφὴν ἀμφιβολίας, ἄλλοι μὲν ἐπειδὴ δὲν εἶχον τὸ θάρρος, ἄλλοι δὲ ἀπὸ φιλαρχίαν.

Καὶ συνέβη διχασμὸς μεταξὺ των. Αὐτὸς ὁ διχασμὸς ἤρχισε πρῶτα νὰ γίνεται εἰς τὸν λαὸν καὶ μετὰ καὶ μεταξὺ τῶν ἀρχόντων. «Καὶ οἱ μὲν ἔλεγον ὅτι εἶναι ἀγαθός, ἄλλοι δέ· Δὲν εἶναι ἀλλὰ ἐξαπατᾷ τὸ πλῆθος»[5]. Βλέπεις πῶς ἔλειπε περισσότερον ἡ σύνεσις ἀπὸ τοὺς ἄρχοντας μὲ ἀποτέλεσμα νὰ διχασθοῦν ἀργότερον; Ἀλλὰ μετὰ τὸν διχασμὸν δὲν ἐπέδειξαν καὶ πάλιν τίποτε τὸ γενναῖον, βλέπον-

ἐπικειμένους. Ὡς, εἴ γε τέλεον ἀπεσχίσθησαν, ταχέως ἂν τὴν ἀλήθειαν ἀπέγνωσαν· ἔστι γὰρ σχισθῆναι καλῶς. Διὸ καὶ αὐτὸς ἔλεγεν· «Οὐκ ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν, ἀλλὰ μάχαιραν». Ἔστι γὰρ καὶ κακὴ ὁμόνοια, ἔστι καὶ καλὴ διαφωνία· καὶ γὰρ οἱ τὸν πύργον οἰκοδομοῦντες ὡμονόησαν ἐπὶ κακῷ τῷ ἑαυτῶν, καὶ οἱ αὐτοὶ οὗτοι πάλιν ἄκοντες μέν, ἐπὶ συμφέροντι δὲ ὅμως ἐσχίσθησαν. Καὶ οἱ περὶ Κορὲ δὲ κακῶς ὡμονόησαν, διὰ τοῦτο καλῶς ἐσχίσθησαν· καὶ Ἰούδας ὡμονόησε μετὰ τῶν Ἰουδαίων κακῶς. Ἔστιν οὖν σχισθῆναι καλῶς, καὶ ἔστιν ὁμονοῆσαι κακῶς. Διὰ τοῦτό φησιν· «Ἐὰν ὁ ὀφθαλμός σου σκανδαλίζῃ σε, ἔκκοψον αὐτόν· ἐὰν ὁ πούς σου, ἔκτεμε αὐτόν». Εἰ δὲ ἀπὸ μέλους ἀποσχίζεσθαι χρή, κακῶς συνημμένου, οὐ πολλῷ μᾶλλον ἀπὸ φίλων, κακῶς ἡνωμένων ἡμῖν; Ὥστε οὐ πανταχοῦ ὁμόνοια καλόν, ὥσπερ οὖν οὐδὲ πανταχοῦ ἡ διάστασις κακόν.

6. Ταῦτα λέγω, ἵνα φεύγωμεν πονηροὺς καὶ διώκωμεν ἀγαθούς· εἰ γὰρ ἐν τοῖς μέλεσι τὸ σεσηπὸς καὶ ἀνιάτως ἔχον ἐκκόπτομεν, φοβούμενοι μὴ καὶ τὸ λοιπὸν τὴν αὐτὴν λύμην ὑποδέξηται σῶμα, καὶ ποιοῦμεν τοῦτο, οὐκ ἐκείνου καταφρονοῦντες, ἀλλὰ τὸ λοιπὸν διαφυλάξαι βουλόμενοι, πόσῳ μᾶλλον ἐπὶ τῶν συνόντων ἡμῖν ἐπὶ κακίᾳ τοῦτο πράττειν ἀναγκαῖον; Εἰ μὲν γὰρ δυνάμεθα κἀκείνους διορθῶσαι, καὶ αὐτοὶ μὴ παραβλαβῆναι, πάντα ποιεῖν χρή, εἰ δὲ κἀκεῖνοι μένοιεν ἀδιόρθωτοι καὶ ἡμᾶς παραβλάπτοιεν, ἐκκόπτειν αὐτοὺς καὶ ῥίπτειν ἀναγκαῖον· πολλάκις γὰρ οὕτω κερδανοῦσι μᾶλλον. Διὸ καὶ Παῦλος οὕτω παρῄνει, λέγων· «Καὶ ἐξαρεῖτε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν», καὶ «ἵνα ἐξαρθῇ

6. Ματθ. 10, 34.
7. Ματθ. 5, 29 καὶ 8, 9.
8. Α' Κορ. 5, 13.

τες ἔμπροσθέν των τοὺς Φαρισαίους. Διότι, ἐὰν εἶχον διχασθῆ τελείως, ἀμέσως θὰ ἦτο δυνατὸν νὰ γνωρίσουν τὴν ἀλήθειαν· εἶναι δὲ δυνατὸς ὁ τέλειος διχασμὸς καὶ διὰ τοῦτο ὁ Κύριος ἔλεγεν· «Δὲν ἦλθα διὰ νὰ βάλω εἰρήνην εἰς τὴν γῆν, ἀλλὰ μάχαιραν»[6]. Ὑπάρχει βέβαια καὶ κακὴ ὁμόνοια, ὑπάρχει δὲ καὶ καλὴ διαφωνία· καθ' ὅσον αὐτοὶ ποὺ ἔκτιζον τὸν πύργον εἶχον ὁμόνοιαν μεταξύ των πρὸς κακὸν τοῦ ἑαυτοῦ των, καὶ αὐτοὶ πάλιν ἐδῶ ἐδιχάσθησαν χωρὶς νὰ τὸ θέλουν μέν, ἀλλ' ὅμως πρὸς τὸ συμφέρον των. Καὶ οἱ περὶ τὸν Κορὲ δὲ ὡμονόησαν κακῶς, διὰ τοῦτο καλῶς ἐδιχάσθησαν· καὶ ὁ Ἰούδας κακῶς ὡμονόησε μὲ τοὺς Ἰουδαίους. Ὑπάρχει λοιπὸν καὶ καλὸς διχασμὸς καὶ ὑπάρχει καὶ κακὴ ὁμόνοια. Διὰ τοῦτο λέγει· «Ἐὰν ὁ ὀφθαλμός σου σὲ σκανδαλίζῃ, βγάλε τον· ἐὰν τὸ πόδι σου, κόψε το»[7]. Ἐὰν δὲ εἶναι ἀνάγκη νὰ ἀποχωριζώμεθα ἕνα μέλος μας ποὺ μᾶς προξενεῖ κακόν, δὲν εἶναι πολὺ περισσότερον ἀνάγκη νὰ ἀποχωριζώμεθα ἀπὸ τοὺς φίλους ποὺ εἶναι κακῶς ἡνωμένοι μαζί μας; Ὥστε δὲν εἶναι πάντοτε ἡ ὁμόνοια καλή, ὅπως ἀκριβῶς πάλιν οὔτε ὁ διχασμὸς εἶναι κακὸς πάντοτε.

3. Αὐτὰ τὰ λέγω διὰ νὰ ἀποφεύγωμεν τοὺς πονηροὺς καὶ νὰ ἀναζητοῦμεν τοὺς ἀγαθούς· διότι ἐὰν ἀπὸ τὰ μέλη ἀποκόπτωμεν ἐκεῖνο ποὺ εἶναι σάπιον καὶ ἀθεράπευτον, φοβούμενοι μήπως καὶ τὸ ὑπόλοιπον σῶμα ὑποστῇ τὴν ἰδίαν βλάβην, καὶ τὸ κάμνομεν αὐτό, ὄχι ἐπειδὴ περιφρονοῦμεν ἐκεῖνο, ἀλλὰ θέλοντες νὰ διαφυλάξωμεν τὸν ὑπόλοιπον σῶμα, πόσον μᾶλλον πρέπει νὰ τὸ κάμνωμεν αὐτὸ ἐπὶ ἐκείνων ποὺ μᾶς συναναστρέφονται μὲ κακὰς διαθέσεις; Βέβαια ἐὰν ἠμπορούσαμεν καὶ ἐκείνους νὰ διορθώσωμεν καὶ οἱ ἴδιοι νὰ μὴ βλαβῶμεν, ὅλα πρέπει νὰ τὰ κάμνωμεν, ἐὰν ὅμως καὶ ἐκεῖνοι παραμένουν ἀδιόρθωτοι καὶ ἡμᾶς βλάπτουν, πρέπει νὰ τοὺς ἀποκόπτωμεν καὶ νὰ τοὺς ἀπορρίπτωμεν· διότι πολλὲς φορὲς ἔτσι θὰ ἔχουν μεγαλύτερον κέρδος. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔτσι ἐσυμβούλευε, λέγων· «Ἐκδιώξατε τὸ κακὸν ἀπὸ ἀνάμεσά σας»[8] καὶ «Διὰ νὰ ἐκλείψῃ ἀπὸ ἀνάμεσά σας ἐκεῖνος ποὺ ἔκαμεν αὐτὸ τὸ

ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας». Δεινὸν γάρ, δεινὸν συνουσία πονηρῶν. Οὐχ οὕτω ταχέως λοιμὸς ἅπτεται, καὶ ψώρα διαφθείρει τοὺς ἀναχρωννυμένους, τοὺς τῷ νοσήματι κατεχομένους, ὡς ἡ τῶν πονηρῶν κακία ἀνδρῶν· «φθείρουσι γὰρ ἤθη χρηστὰ ὁμιλίαι κακαί»· καὶ ὁ Προφήτης πάλιν· «Ἐξέλθετε ἐκ μέσου αὐτῶν, καὶ ἀφορίσθητε».

Μηδεὶς τοίνυν φαῦλον ἐχέτω φίλον· εἰ γὰρ υἱοὺς φαύλους ἔχοντες ἐκκηρύττομεν, καὶ οὐκ αἰδούμεθα τὴν φύσιν, οὐδὲ τοὺς ταύτης νόμους, οὐδὲ τὴν ἐξ αὐτῆς ἀνάγκην, πολλῷ μᾶλλον τοὺς συνήθεις καὶ γνωρίμους φεύγειν δεῖ, πονηροὺς ὄντας· κἂν γὰρ μηδεμίαν παρ' αὐτῶν δεξώμεθα βλάβην, τὴν γοῦν πονηρὰν δόξαν διαφυγεῖν οὐκ ἰσχύσομεν· οἱ γὰρ ἔξωθεν οὐ τὸν βίον ἐρευνῶσιν, ἀλλ' ἀπὸ τῶν συνόντων ἡμᾶς κρίνουσι. Ταῦτα καὶ γυναιξὶ καὶ παρθένοις παρεγγυῶ· «προνοούμενοι» γάρ, φησί, «καλὰ οὐ μόνον ἐνώπιον Κυρίου, ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων». Πάντα τοίνυν πράττωμεν, ὥστε μὴ σκανδαλισθῆναι τὸν πλησίον· βίος γάρ, κἂν σφόδρα ὀρθὸς ᾖ, σκάνδαλον ἑτέροις παρέχων, τὸ πᾶν ἀπώλεσε. Καὶ πῶς ἔνι τὸν ὀρθὸν βίον σκανδαλίσαι; Ὅταν ἡ συνουσία τῶν οὐκ ὀρθῶν πονηρὰν αὐτῷ περιθῇ δόξαν· ἐπειδὰν γάρ, θαρροῦντες ἑαυτοῖς, συνῶμεν τοῖς πονηροῖς, κἂν αὐτοὶ μὴ βλαβῶμεν, ἑτέρους ἐσκανδαλίσαμεν. Ταῦτα καὶ ἀνδράσι καὶ γυναιξὶ λέγω καὶ παρθένοις, καταλιμπάνων αὐτῶν τῷ συνειδότι μετὰ ἀκριβείας εἰδέναι πόσα ἐντεῦθεν τίκτεται κακά· ἐγὼ μὲν γὰρ οὐδὲν ὑποπτεύω πονηρόν, οὐδὲ ἄλλος τις ἴσως τῶν τελειοτέρων, ὁ δὲ ἀσφαλέστερος ἀδελφὸς ἐπὶ τῇ σῇ παραβλάπτεται τελειότητι. Δεῖ δὲ καὶ τῆς ἀσθενείας τῆς

---

9. Α' Κορ. 5, 2.
10. Α' Κορ. 15, 33.
11. Ἱερ. 28, 45.
12. Ρωμ. 12, 17.

ἔργον»[9]. Διότι εἶναι κακόν, μεγάλο κακὸν ἡ συναναστροφὴ μὲ κακοὺς ἀνθρώπους. Δὲν προσβάλλει μὲ τόσην ταχύτητα ὁ λοιμὸς καὶ οὔτε ἡ ψώρα καταστρέφει τοὺς μολυνθέντας καὶ πάσχοντας ὑπὸ τῆς νόσου, ὅσον ἡ κακία τῶν κακῶν ἀνθρώπων˙ «Διότι καταστρέφουν τοὺς καλοὺς χαρακτῆρας αἱ κακαὶ συναναστροφαί»[10]˙ καὶ ὁ προφήτης πάλιν˙ «Ἀπομακρυνθῆτε ἀπὸ ἀνάμεσά των καὶ χωρισθῆτε»[11].

Κανεὶς λοιπὸν ἄς μὴ ἔχῃ φίλον κακόν˙ διότι, ἐὰν ἔχοντες κακοὺς υἱοὺς τοὺς ἀποκηρρύσωμεν καὶ δὲν δίδωμεν σημασίαν οὔτε εἰς τὴν συγγένειαν, οὔτε εἰς τοὺς νόμους αὐτῆς, οὔτε εἰς τὴν ἀναγκαιότητα αὐτῆς, πολὺ περισσότερον πρέπει ν᾽ ἀποφεύγωμεν τοὺς φίλους καὶ τοὺς γνωστούς, ὅταν εἶναι κακοί˙ διότι καὶ ἄν ἀκόμη δὲν ὑποστῶμεν καμμίαν βλάβην ἀπὸ αὐτούς, ὅμως δὲν θὰ ἠμπορέσωμεν νὰ ἀποφύγωμεν τὴν κακὴν φήμην˙ καθ᾽ ὅσον οἱ ἐκτὸς τῆς οἰκογενείας μας δὲν ἐξετάζουν τὸν βίον μας, ἀλλὰ μᾶς κρίνουν ἀπὸ αὐτοὺς ποὺ συναναστρεφόμεθα. Αὐτὰ συμβουλεύω καὶ εἰς τὰς γυναῖκας καὶ εἰς τὰς παρθένους˙ διότι λέγει˙ «φροντίζετε νὰ φέρεσθε καλὰ ὄχι μόνον ἐνώπιον τοῦ Κυρίου, ἀλλὰ καὶ ἐνώπιον τῶν ἀνθρώπων»[12]. Ὅλα λοιπὸν ἄς τὰ κάμνωμεν, ὥστε νὰ μὴ σκανδαλίσωμεν τὸν πλησίον˙ διότι ὁ βίος μας, καὶ ἄν ἀκόμη εἶναι πάρα πολὺ ὀρθός, ἐὰν σκανδαλίζῃ τοὺς ἄλλους, κατέστρεψε τὸ πᾶν. Καὶ πῶς εἶναι δυνατὸν ὁ ὀρθὸς βίος νὰ σκανδαλίσῃ; Ὅταν ἡ συναναστροφὴ μὲ αὐτοὺς ποὺ δὲν ζοῦν ὀρθὰ δημιουργήσῃ εἰς αὐτὸν ποὺ ζῇ ὀρθὰ κακὴν φήμην˙ διότι, ὅταν συναναστρεφώμεθα τοὺς κακούς, ἔχοντες ἐμπιστοσύνην εἰς τὸν ἑαυτόν μας, καὶ ἄν ἀκόμη οἱ ἴδιοι δὲν βλαβῶμεν, ὅμως ἐσκανδαλίσαμεν ἄλλους. Αὐτὰ τὰ λέγω καὶ διὰ τοὺς ἄνδρας καὶ διὰ τὰς γυναῖκας καὶ διὰ τὰς παρθένους, ἀφήνων εἰς τὴν συνείδησιν αὐτῶν νὰ γνωρίσουν μὲ ἀκρίβειαν πόσα κακὰ προκαλοῦνται ἀπὸ αὐτὸ τὸ γεγονός˙ διότι ἐγὼ μὲν δὲν ὑποπτεύομαι τίποτε τὸ κακόν, οὔτε ἴσως καὶ κάποιος ἄλλος ἀπὸ τοὺς τελειοτέρους εἰς τὴν πίστιν, ὁ ἀφελέστερος ὅμως ἀδελφὸς βλάπτεται ἀπὸ τὴν ἰδικήν σου τελειότητα. Πρέπει δὲ νὰ φροντίζωμεν

ἐκείνου προνοεῖν. Κἂν οὗτος μὴ βλαβῇ, ἀλλ' ὁ Ἕλλην παραβλάπτεται. Ὁ δὲ Παῦλος ἐκέλευσεν ἀπροσκόπους εἶναι καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ. Ἐγὼ πονηρὸν οὐδὲν ὑποπτεύω περὶ τῆς παρθένου (ἀγαπῶ γὰρ τὴν παρθενίαν· «ἡ δὲ ἀγάπη οὐ λογίζεται τὸ κακόν»)· ἐγὼ σφόδρα ἐραστής εἰμι τῆς πολιτείας ταύτης, καὶ οὐδὲ λογίσασθαί τι δύναμαι ἄτοπον. Πῶς τοὺς ἔξω πείσομεν; δεῖ γὰρ κἀκείνων ποιεῖσθαι πρόνοιαν.

Οὕτω τοίνυν τὰ καθ' ἑαυτοὺς οἰκονομῶμεν, ἵνα μηδὲ τῶν ἀπίστων τις ἔχῃ καθ' ἡμῶν δικαίαν εὑρεῖν λαβήν· ὥσπερ γὰρ οἱ βίον ὀρθὸν ἐπιδεικνύμενοι δοξάζουσι τὸν Θεόν, οὕτως οἱ τὸν ἐναντίον, βλασφημηθῆναι παρασκευάζουσιν. Ἀλλὰ μὴ γένοιτό τινας τοιούτους εἶναι παρ' ἡμῖν, ἀλλ' οὕτω λάμψαι τὰ ἔργα ἡμῶν, ὥστε δοξασθῆναι τὸν Πατέρα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς, καὶ τῆς παρ' αὐτοῦ δόξης ἡμᾶς ἀπολαῦσαι· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

13. Α΄ Κορ. 10, 32.

καὶ διὰ τὴν ἀσθένειαν ἐκείνου. Καὶ ἂν ἀκόμη αὐτὸς δὲν βλαβῇ, ἀλλ' ὁ εἰδωλολάτρης παραβλάπτεται. Ὁ δὲ Παῦλος ἔδωσεν ἐντολὴν νὰ μὴ σκανδαλίζωμεν οὔτε τοὺς Ἰουδαίους, οὔτε τοὺς Εἰδωλολάτρας, οὔτε τὰ μέλη τῆς Ἐκκλησίας τοῦ Θεοῦ[13]. Ἐγὼ δὲν ὑποπτεύομαι διὰ τὴν παρθένον τίποτε τὸ κακὸν (διότι ἀγαπῶ τὴν παρθενίαν· «ἡ δὲ ἀγάπη δὲν σκέπτεται τὸ κακόν»)· ἐγὼ εἶμαι πάρα πολὺ ἐραστὴς αὐτοῦ τοῦ τρόπου ζωῆς καὶ δὲν ἠμπορῶ οὔτε καὶ νὰ σκεφθῶ κάτι τὸ ἄτοπον. Πῶς θὰ πείσωμεν ὅμως τοὺς ἐκτὸς αὐτῶν; διότι πρέπει νὰ φροντίζωμεν καὶ δι' ἐκείνους.

Ἔτσι λοιπὸν ἂς ρυθμίζωμεν τὰ καθ' ἡμᾶς, ὥστε οὔτε καὶ ἀπὸ τοὺς ἀπίστους νὰ μὴ ἠμπορῇ κανεὶς νὰ εὕρῃ ἀφορμὴν δικαίαν νὰ μᾶς κατηγορήσῃ· διότι, ὅπως ἀκριβῶς αὐτοὶ ποὺ ζοῦν ὀρθὰ δοξάζουν τὸν Θεόν, ἔτσι καὶ αὐτοὶ ποὺ δὲν ζοῦν ὀρθά, γίνονται αἰτία νὰ βλασφημῆται ὁ Θεός. Ἀλλὰ εἴθε νὰ μὴ συμβῇ νὰ ὑπάρξουν μεταξύ μας παρόμοιοι ἄνθρωποι, ἀλλὰ ἔτσι νὰ λάμψουν τὰ ἔργα μας, ὥστε νὰ δοξασθῇ ὁ οὐράνιος Πατήρ μας καὶ ἡμεῖς ν' ἀπολαύσωμεν ἀπὸ τὴν δόξαν αὐτοῦ, τὴν ὁποίαν εὔχομαι ὅλοι μας νὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου ἀνήκει ἡ δόξα εἰς τὸν Πατέρα, συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΝΗ΄
Ἰω. 9, 17-33

«Λέγουσι τῷ τυφλῷ πάλιν· Σὺ τί λέγεις περὶ αὐτοῦ, ὅτι ἤνοιξέ σου τοὺς ὀφθαλμούς; Ὁ δὲ εἶπεν· ὅτι προφήτης ἐστίν. Οὐκ ἐπίστευσαν οὖν οἱ Ἰουδαῖοι».

1. Τὰς Γραφὰς οὐχ ἁπλῶς οὐδὲ παρέργως ἐπιέναι χρή, ἀλλὰ μετὰ ἀκριβείας ἁπάσης, ὥστε μὴ συμποδίζεσθαι. Καὶ γὰρ καὶ νῦν εἰκότως ἄν τις ἐνταῦθα διαπορήσειε, πῶς, εἰπόντες, «Οὗτος οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, ὅτι τὸ Σάββατον οὐ τηρεῖ», λέγουσιν αὐτῷ· «Σὺ τί λέγεις περὶ αὐτοῦ, ὅτι ἤνοιξέ σου τοὺς ὀφθαλμούς;». Καὶ οὐκ εἶπον, 'Σὺ τί λέγεις περὶ αὐτοῦ, ὅτι παρέλυσε τὸ Σάββατον;' ἀλλὰ τὸ τῆς ἀπολογίας νῦν ἀντὶ τῆς κατηγορίας τιθέασι. Τί οὖν ἔστιν εἰπεῖν; Οὐκ εἰσὶν αὐτοὶ οἱ λέγοντες, «Οὗτος οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ», ἀλλ' οἱ σχισθέντες ἀπ' αὐτῶν, οἳ καὶ εἶπον «Ἄνθρωπος ἁμαρτωλὸς οὐ δύναται τοιαῦτα σημεῖα ποιεῖν»· βουλόμενοι γὰρ αὐτοὺς ἐπιστομίσαι πλέον, ἵνα μὴ δόξωσιν αὐτοὶ συνηγορεῖν τῷ Χριστῷ, τὸν λαβόντα τῆς δυνάμεως αὐτοῦ πεῖραν εἰς μέσον ἄγουσι, καὶ ἐρωτῶσιν.

Ὅρα τοίνυν τοῦ πένητος τὴν σοφίαν· ἁπάντων γὰρ τούτων συνετωτέρως φθέγγεται. Καὶ πρῶτον μέν φησιν ὅτι «προφήτης ἐστί», καὶ οὐ κατέπτηξεν αὐτῶν τῶν διεστραμμένων Ἰουδαίων τὴν κρίσιν, τῶν ἀντιλεγόντων καὶ λεγόντων «Πῶς δύναται οὗτος εἶναι παρὰ τοῦ Θεοῦ, τὸ Σάββατον οὐ τηρῶν;», ἀλλ' ἔλεγεν ὅτι «προφήτης ἐστί. Καὶ οὐκ ἐπίστευσαν ὅτι τυφλὸς ἦν καὶ ἀνέβλεψεν, ἕως οὗ

1. Ἰω. 9, 16.

ΟΜΙΛΙΑ ΝΗ΄

Ἰω. 9, 17 - 33

«Λέγουν λοιπὸν πάλιν εἰς τὸν τυφλόν· Σὺ τί γνώμην ἔχεις περὶ αὐτοῦ ποὺ ἤνοιξε τοὺς ὀφθαλμούς σου; Αὐτὸς δὲ εἶπεν· Εἶναι προφήτης. Ἀλλὰ δὲν ἐπίστευσαν οἱ Ἰουδαῖοι».

Τὰς Γραφὰς δὲν πρέπει νὰ τοὺς μελετῶμεν ἁπλῶς καὶ ὡσὰν ἀγγαρίαν, ἀλλὰ μὲ μεγάλην προσοχήν, ὥστε νὰ ἀποφεύγωμεν τὰς δυσκολίας. Διότι καὶ τώρα φυσικὸν θὰ ἦτο ν' ἀπορήσῃ κανείς, πῶς, ἐνῷ εἶπον, «Αὐτὸς δὲν εἶναι ἐκ τοῦ Θεοῦ, διότι δὲν τηρεῖ τὸ Σάββατον»[1], λέγουν εἰς αὐτόν· «Σύ τί γνώμην ἔχεις περὶ αὐτοῦ ποὺ ἤνοιξε τοὺς ὀφθαλμούς σου;». Καὶ δὲν εἶπον, 'Σὺ τί γνώμην ἔχεις περὶ αὐτοῦ ποὺ παρέβη τὴν ἀργίαν τοῦ Σαββάτου;', ἀλλὰ θέτουν τώρα τὴν ἐρώτησιν τῆς ἀπολογίας ἀντὶ τῆς κατηγορίας. Τί λοιπὸν ἠμποροῦμεν νὰ εἰποῦμεν; Δὲν εἶναι αὐτοὶ ποὺ ἔλεγον, «Αὐτὸς δὲν εἶναι ἄνθρωπος τοῦ Θεοῦ», ἀλλ' ἐκεῖνοι ποὺ ἀπεσχίσθησαν ἀπὸ αὐτοὺς καὶ οἱ ὁποῖοι εἶπον· «Ἁμαρτωλὸς ἄνθρωπος δὲν ἠμπορεῖ νὰ ἐπιτελέσῃ τέτοια θαύματα»· θέλοντες λοιπὸν νὰ ἀποστομώσουν πλέον αὐτούς, διὰ νὰ μὴ νομισθοῦν ὅτι συνηγοροῦν ὑπὲρ τοῦ Χριστοῦ, ὁδηγοῦν ἔμπροσθέν των αὐτὸν ποὺ ἔλαβε πεῖραν τῆς δυνάμεώς του καὶ τὸν ἐρωτοῦν.

Πρόσεχε λοιπὸν τοῦ ἁπλοϊκοῦ ἀνθρώπου τὴν σοφίαν· διότι ὁμιλεῖ συνετώτερα ἀπὸ ὅλους. Καὶ κατ' ἀρχὴν μὲν λέγει ὅτι «εἶναι προφήτης», καὶ δὲν ἐφοβήθη τὴν κρίσιν αὐτῶν τῶν διεστραμμένων Ἰουδαίων, ποὺ ἀντέλεγον καὶ ἔλεγον· «Πῶς ἠμπορεῖ αὐτὸς νὰ εἶναι ἄνθρωπος τοῦ Θεοῦ, τὴν στιγμὴν ποὺ δὲν τηρεῖ τὸ Σάββατον;», ἀλλ' ἔλεγεν ὅτι «προφήτης εἶναι. Καὶ δὲν ἐπίστευσαν ὅτι ἦτο τυ-

ἐφώνησαν τοὺς γονεῖς αὐτοῦ». Καὶ σκόπει πόσοις τρόποις ἐπιχειροῦσι τὸ θαῦμα συσκιάσαι καὶ ἀνελεῖν. Ἀλλ' αὕτη τῆς ἀληθείας ἡ φύσις, δι' ὧν δοκεῖ παρὰ τῶν ἀνθρώπων ἐπιβουλεύεσθαι, διὰ τούτων ἰσχυροτέρα γίνεται· διὰ τούτων λάμπει, δι' ὧν συσκιάζεται· εἰ γὰρ μὴ ταῦτα ἐγένετο, κἂν ὑπωπτεύθη παρὰ τοῖς πολλοῖς τὸ θαῦμα, νυνὶ δέ, ὡς σπουδάζοντες γυμνῶσαι τὴν ἀλήθειαν, οὕτως ἅπαντα πράττουσι, καὶ οὐκ ἂν ἑτέρως ἐποίησαν, εἴ γε ὑπὲρ τοῦ Χριστοῦ πάντα ἐποίουν· καὶ γὰρ ἐπεχείρησαν διὰ τούτου τοῦ τρόπου καταβαλεῖν αὐτόν, λέγοντες· «Πῶς ἀνέῳξέ σου τοὺς ὀφθαλμούς;» τουτέστι, μὴ γοητείᾳ τινί; Καὶ γὰρ ἀλλαχοῦ, μηδὲν ἔχοντες ἐπισκῆψαι, τῷ τρόπῳ τῆς θεραπείας ἐπηρεάζειν ἐπιχειροῦσι, λέγοντες· «Οὐκ ἐκβάλλει τὰ δαιμόνια, εἰ μὴ ἐν Βεελζεβούλ, τῷ ἄρχοντι τῶν δαιμονίων»· καὶ ἐνταῦθα πάλιν, οὐδὲν ἔχοντες εἰπεῖν, ἐπὶ τὸν καιρὸν καταφεύγουσι, λέγοντες ὅτι «λύει τὸ Σάββατον)· καὶ πάλιν ὅτι «ἁμαρτωλός ἐστι».

Καὶ μὴν φθονοῦντας ὑμᾶς καὶ ἑτοίμους ὄντας ἐπιλαβέσθαι τῶν αὐτῷ πεπραγμένων μετὰ πάσης ἠρώτησεν ἀκριβείας, λέγων· «Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας;». Καὶ οὐδεὶς ἐφθέγξατο, οὐδὲ εἶπεν ὅτι 'βλασφημεῖς, ἀναμάρτητον λέγων σεαυτόν'. Καίτοι γε, εἰ εἶχον εἰπεῖν, οὐκ ἂν ἐσίγησαν· οἱ γὰρ διὰ τὸ ἀκοῦσαι ὅτι πρὸ τοῦ Ἀβραάμ ἐστι λιθάσαντες αὐτόν, καὶ εἰπόντες ὅτι οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, καὶ ἑαυτοὺς μὲν ἐκ τοῦ Θεοῦ αὐχοῦντες εἶναι, ἀνδροφόνους ὄντας, τὸν δὲ τοιαῦτα σημεῖα πράττοντα, ἐπειδὴ ἐθεράπευσεν, οὐκ εἶναι ἐκ τοῦ Θεοῦ διὰ τὸ μὴ τηρεῖν τὸ Σάββατον λέγοντες, εἰ σκιὰν γοῦν εἶχον ἐγκλήματος, οὐκ ἂν παρέδραμον. Εἰ δὲ διὰ τοῦτο ἁμαρτωλὸν καλοῦσι, διότι

2. Ματθ. 12, 24.
3. Ἰω. 8, 46.

φλὸς καὶ ἀνέβλεψεν, ἕως ὅτου ἐφώναξαν τοὺς γονεῖς του». Καὶ πρόσεχε μὲ πόσους τρόπους ἐπιχειροῦν νὰ ἐπισκιάσουν τὸ θαῦμα καὶ νὰ τὸ ἀποκλείσουν. Ἀλλ' αὐτὴ εἶναι ἡ φύσις τῆς ἀληθείας, μὲ ἐκεῖνα ποὺ φαίνεται ὅτι ἐπιβουλεύεται, μὲ ἐκεῖνα γίνεται ἰσχυροτέρα· μὲ ἐκεῖνα λάμπει, μὲ τὰ ὁποῖα ἐπισκιάζεται· διότι ἐὰν δὲν συνέβαινον αὐτά, ἴσως νὰ ἐδημιουργοῦντο ὑπὸ τῶν πολλῶν ὑποψίαι διὰ τὸ θαῦμα, τώρα ὅμως, φροντίζοντες τάχα νὰ εὕρουν τὴν ἀλήθειαν, ἐπιχειροῦν ὅλα αὐτά, καὶ δὲν θὰ ἦτο δυνατὸν κατ' ἄλλον τρόπον νὰ πράξουν, ἐὰν βέβαια ἔκαμναν τὰ πάντα ὑπὲρ τοῦ Χριστοῦ· καθ' ὅσον ἐπεχείρησαν μὲ αὐτὸν τὸν τρόπον νὰ τὸν καταβάλλουν, λέγοντες· «Πῶς ἤνοιξε τοὺς ὀφθαλμούς σου;», δηλαδὴ μήπως μὲ κάποιον μαγικὸν τρόπον; Διότι καὶ εἰς ἄλλην περίπτωσιν, μὴ ἔχοντες τίποτε νὰ τὸν κατηγορήσουν, ἐπιχειροῦν νὰ συκοφαντήσουν τὸν τρόπον τῆς θεραπείας, λέγοντες· «Δὲν ἐκβάλλει τὰ δαιμόνια μὲ ἄλλον τρόπον, παρὰ διὰ τοῦ Βεελζεβούλ, τοῦ ἄρχοντος τῶν δαιμονίων»[2]· καὶ ἐδῶ πάλιν, ἐπειδὴ δὲν ἔχουν νὰ εἰποῦν τίποτε, καταφεύγουν εἰς τὸ ἀκατάλληλον τοῦ χρόνου, λέγοντες ὅτι «καταλύει τὴν ἀργίαν τοῦ Σαββάτου», καὶ πάλιν, ὅτι «εἶναι ἁμαρτωλός».

Καὶ ὅμως σᾶς ποὺ τὸν φθονεῖτε καὶ εἴσθε ἕτοιμοι νὰ κατηγορήσετε τὰς πράξεις του σᾶς ἠρώτησε μὲ πᾶσαν ἀκρίβειαν, λέγων· «Ποῖος ἀπὸ σᾶς ἠμπορεῖ νὰ μὲ ἐλέγξῃ δι' ἁμαρτίαν;»[3]. Καὶ κανεὶς δὲν ὡμίλησεν οὔτε εἶπεν, 'βλασφημεῖς, ὀνομάζων τὸν ἑαυτόν σου ἀναμάρτητον'. Μολονότι βέβαια, ἐὰν εἶχον νὰ εἰποῦν κάτι, δὲν θὰ ἦτο δυνατὸν νὰ σιωπήσουν· διότι, αὐτοὶ ποὺ τὸν ἐλιθοβόλησαν ἐπειδὴ ἤκουσαν ὅτι ὑπάρχει πρὸ τοῦ Ἀβραάμ, καὶ εἶπον ὅτι δὲν εἶναι ἄνθρωπος τοῦ Θεοῦ, καὶ ἐμεγαλοφρονοῦσαν ὅτι εἶναι τέκνα τοῦ Θεοῦ, ἐνῷ ἦσαν ἀνθρωποκτόνοι, αὐτὸν δὲ ποὺ ἔπραττε τέτοια θαύματα, ὅταν ἐθεράπευσε τὸν τυφλὸν ἔλεγον ὅτι δὲν εἶναι ἄνθρωπος τοῦ Θεοῦ ἐπειδὴ δὲν τηρεῖ τὴν ἀργίαν τοῦ Σαββάτου, ἐὰν λοιπὸν εἶχον τὴν παραμικρὰν ἀφορμὴν διὰ νὰ τὸν κατηγορήσουν, δὲν θὰ ἄφηναν αὐτὴν νὰ τοὺς διαφύγῃ. Ἐὰν δὲ δι' αὐτὸ τὸν ἀποκαλοῦν

τὸ Σάββατον ἐδόκει λύειν, καὶ τοῦτο ἕωλον ἐφάνη τὸ ἔγκλημα τῶν μετ' αὐτῶν τεταγμένων ψυχρότητα πολλὴν καὶ μικροψυχίαν καταγνόντων αὐτῶν. Πάντοθεν τοίνυν συμποδισθέντες, ἐφ' ἕτερον ἔρχονται λοιπὸν ἀναισχυντότερον καὶ ἰταμώτερον. Ποῖον δὴ τοῦτο; «Οὐκ ἐπίστευσαν», φησίν, «ὅτι ἦν τυφλός, καὶ ἀνέβλεψε».

Πῶς οὖν ἐνεκάλεσαν ὅτι τὸ Σάββατον οὐ τηρεῖ, ἢ δηλονότι ὡς πιστεύσαντες; πῶς δὲ οὐ προσείχετε τῷ πολλῷ λαῷ; τοῖς γείτοσι τοῖς εἰδόσιν αὐτόν; Ἀλλά, ὅπερ ἔφην, πανταχοῦ τὸ ψεῦδος ἑαυτῷ μὲν περιπίπτει, δι' ὧν ἐπηρεάζειν τῇ ἀληθείᾳ δοκεῖ, τὴν δὲ ἀλήθειαν λαμπροτέραν ἐμφαίνει, ὃ δὴ καὶ νῦν γέγονεν. Ἵνα γὰρ μή τις λέγῃ ὅτι οὐδὲν ἀκριβὲς εἶπον οἱ γείτονες καὶ οἱ θεωροῦντες αὐτόν, ἀλλὰ παρωμοίαζον, ἄγουσιν εἰς μέσον τοὺς γονεῖς, δι' ὧν ἐποίουν ἄκοντες τὸ γεγενημένον ἀληθὲς δεικνύντες· καὶ γὰρ οὗτοι μάλιστα πάντων τὸ τέκνον ἠπίσταντο τὸ ἑαυτῶν. Ἐπειδὴ γὰρ αὐτὸν καταπλήξασθαι οὐκ ἴσχυσαν, ἀλλ' ἑώρων μετὰ πάσης παρρησίας τὸν εὐεργέτην κηρύττοντα, ἀπὸ τῶν γονέων προσεδόκων τιτρώσκειν τὸ θαῦμα. Καὶ ὅρα τῆς ἐρωτήσεως τὴν κακίαν. Τί γάρ φησιν; Στήσαντες αὐτοὺς εἰς τὸ μέσον, ὥστε εἰς ἀγωνίαν ἐμβαλεῖν, μετὰ πολλῆς τῆς σφοδρότητος καὶ τοῦ θυμοῦ προσάγουσι τὴν πεῦσιν· «Οὗτός ἐστιν ὁ υἱὸς ὑμῶν;». Καὶ οὐκ εἶπαν· "Ὁ ποτὲ τυφλός", ἀλλὰ πῶς; «"Ὃν ὑμεῖς λέγετε ὅτι τυφλὸς ἐγεννήθη;» ὡσανεὶ κακουργούντων αὐτῶν, καὶ τὰ τοῦ Χριστοῦ συγκροτούντων. Ὢ μιαροὶ καὶ παμμίαροι! καὶ τίς ἂν ἕλοιτο πατὴρ τοιαῦτα καταψεύσασθαι παιδός; Μονονουχὶ γὰρ λέγουσιν· "Ὃν ὑμεῖς ἐποιήσατε τυφλόν, οὐ μόνον δέ, ἀλλὰ καὶ διεδώκατε πανταχοῦ τὸν λόγον". Πῶς οὖν βλέπει νῦν;». Ὢ τῆς ἀνοίας! Ὑμῶν, φησίν, ἐστὶ τὸ σκευώρημα καὶ ἡ κα-

ἁμαρτωλόν, διότι ἐθεωρεῖτο ὅτι καταλύει τὴν ἀργίαν τοῦ Σαββάτου, καὶ ἡ κατηγορία αὐτὴ ἐφάνη ἀβάσιμος, καθ' ὅσον αὐτοὶ ποὺ ἀνῆκον εἰς τὴν ἰδίαν παράταξιν τοὺς κατελόγησαν πολλὴν ψυχρότητα καὶ μικροψυχίαν. Ἀποκλεισθέντες λοιπὸν ἀπὸ παντοῦ, ἔρχονται εἰς τὴν συνέχειαν εἰς ἄλλην ἐνέργειαν πιὸ ἀναίσχυντον καὶ θρασυτέραν. Ποία λοιπὸν εἶναι αὐτή; «Δὲν ἐπίστευσαν», λέγει, «ὅτι ἦτο τυφλὸς καὶ ἀνέβλεψεν».

Πῶς λοιπὸν τὸν κατηγόρησαν ὅτι δὲν τηρεῖ τὸ Σάββατον, εἰ μὴ ἐπειδὴ ἐπίστευσαν; πῶς δὲ δὲν προσείχετε τὸν πολὺν λαόν; τοὺς γείτονας ποὺ ἐγνώριζον αὐτόν; Ἀλλ' ὅπως εἶπα προηγουμένως, τὸ ψεῦδος παντοῦ καταπίπτει ἀπὸ μόνον του διὰ τῶν ἰδίων μέσων διὰ τῶν ὁποίων νομίζει ὅτι πολεμεῖ τὴν ἀλήθειαν, τὴν δὲ ἀλήθειαν τὴν παρουσιάζει λαμπροτέραν, πρᾶγμα βέβαια ποὺ καὶ τώρα συνέβη. Διὰ νὰ μὴ λέγῃ λοιπὸν κανείς, ὅτι δὲν εἶπον τίποτε τὸ ἀκριβὲς οἱ γείτονες καὶ αὐτοὶ ποὺ τὸν ἔβλεπον, ἀλλὰ παρωμοίαζον αὐτόν, φέρουν ἔμπροσθέν των τοὺς γονεῖς του, ἀποδεικνύοντες μὲ αὐτοὺς χωρὶς νὰ τὸ θέλουν ἀληθὲς ἐκεῖνο ποὺ συνέβη· καθ' ὅσον αὐτοὶ περισσότερον ἀπὸ ὅλους ἐγνώριζον τὸ τέκνον των. Ἐπειδὴ λοιπὸν δὲν ἠμπόρεσαν νὰ τὸν φοβίσουν, ἀλλὰ τὸν ἔβλεπον μὲ ὅλην τὴν παρρησίαν του νὰ διακηρύσσῃ τὸν εὐεργέτην, ἤλπιζον ὅτι μὲ τοὺς γονεῖς του θὰ φέρουν πλῆγμα εἰς τὸ θαῦμα. Καὶ πρόσεχε τὴν κακίαν τῆς ἐρωτήσεώς των. Τί λέγει δηλαδή; Ἀφοῦ τοὺς ὡδήγησαν ἔμπροσθέν των, ὥστε νὰ τοὺς ἐμβάλλουν εἰς ἀγωνίαν, τοὺς ἐρωτοῦν μὲ πολλὴν αὐστηρότητα καὶ θυμόν· «Αὐτὸς εἶναι ὁ υἱός σας;». Καὶ δὲν εἶπαν, 'ὁ ἄλλοτε τυφλός', ἀλλὰ πῶς; «ποὺ λέγετε ὅτι ἐγεννήθη τυφλός;», ὡσὰν δηλαδὴ αὐτοὶ νὰ ἦσαν κακοῦργοι καὶ νὰ ἐνήργουν ἐναντίον τοῦ Χριστοῦ. Βδελυροὶ ἄνθρωποι καὶ μιαρώτατοι. Καὶ ποῖος πατέρας θὰ ἐδέχετο νὰ εἰπῇ τέτοια ψεύδη διὰ τὸ παιδί του; Διότι εἶναι ὡσὰν νὰ τοὺς λέγουν· 'Αὐτὸν ποὺ τὸν ἐκάματε τυφλόν, καὶ ὄχι μόνον αὐτό, ἀλλὰ καὶ διεδώσατε παντοῦ τὸν λόγον'. «Πῶς λοιπὸν βλέπει τώρα;». Πὼ πὼ μέγεθος ἀνοησίας! Ἰδική σας, λέγει, εἶναι

ταοκευή! δύο γὰρ τούτοις αὐτοὺς εἰς ἄρνησιν ἄγειν ἐπιχειροῦσι, τῷ τε εἰπεῖν, «Ὃν ὑμεῖς λέγετε», καὶ τῷ εἰπεῖν, «Πῶς οὖν βλέπει ἄρτι;».

2. Τριῶν τοίνυν ἐρωτήσεων γενομένων, εἰ υἱὸς αὐτῶν ἦν, εἰ τυφλὸς ἦν, καὶ πῶς ἀνέβλεψε, τὰς δύο μόνας ὁμολογοῦσι, τὴν δὲ τρίτην οὐ προστιθέασι. Καὶ τοῦτο δὲ ὑπὲρ τῆς ἀληθείας γέγονεν, ὥστε μηδένα ἄλλον, ἀλλὰ τὸν τεθεραπευμένον τὸν καὶ ἀξιόπιστον ὄντα, ταῦτα ὁμολογεῖν· πῶς γὰρ ἂν ἐχαρίσαντο οἱ γονεῖς, οἱ καὶ ὧν ᾔδεσάν τινα σιγήσαντες διὰ τὸν φόβον τῶν Ἰουδαίων; Τί γάρ φασιν; «Ὅτι οὗτός ἐστιν ὁ υἱὸς ἡμῶν ἡμεῖς οἴδαμεν καὶ ὅτι τυφλὸς ἐγεννήθη· πῶς δὲ νῦν βλέπει, ἢ τίς ἀνέῳξεν αὐτοῦ τοὺς ὀφθαλμοὺς ἡμεῖς οὐκ οἴδαμεν· αὐτὸς ἡλικίαν ἔχει, αὐτὸς περὶ ἑαυτοῦ λόγον λαλήσει». Ἀξιόπιστον αὐτὸν ποιήσαντες, οὕτω παρῃτήσαντο. Οὐκ ἔστι παιδίον, φησίν, οὐδὲ ἀτελής, ἀλλ' ἱκανὸς ἑαυτῷ μαρτυρῆσαι. «Ταῦτα δὲ εἶπον διὰ τὸν φόβον τῶν Ἰουδαίων».

Ὅρα πῶς πάλιν τὴν δόξαν αὐτῶν ὁ Εὐαγγελιστὴς καὶ τὴν γνώμην εἰς μέσον ἄγει. Ταῦτα λέγω διὰ τὸ ῥῆμα ἐκεῖνο, ὃ ἔμπροσθεν ἔλεγον, εἰπόντες ὅτι «Ἴσον ἑαυτὸν ποιεῖ τῷ Θεῷ», ὅτι, εἰ καὶ ἐκεῖνο τῆς γνώμης ἦν τῶν Ἰουδαίων, ἀλλὰ μὴ τῆς κρίσεως τοῦ Χριστοῦ, προσέθηκεν ἄν, καὶ εἶπεν ὅτι γνώμη ἦν Ἰουδαϊκή. Ἐπεὶ οὖν παρέπεμψαν αὐτοὺς πρὸς τὸν τεθεραπευμένον, πάλιν ἐφώνησαν ἐκ δευτέρου. Καὶ φανερῶς μὲν καὶ ἀναισχύντως οὐ λέγουσιν, "Ἄρνησαι ὅτι ὁ Χριστὸς ἐθεράπευσε" προσχήματι δὲ εὐλαβείας τοῦτο κατασκευάσαι βούλονται· «δὸς» γάρ, φησί «δόξαν τῷ Θεῷ»· τοῖς μὲν γὰρ γονεῦσιν εἰπεῖν, "Ἀρνήσασθε ὅτι υἱὸς ὑμῶν ἐστι, καὶ ὅτι τυφλὸν ἐγεννήσατε», σφόδρα ἐδόκει καταγέλαστον εἶναι, αὐτῷ δὲ πάλιν εἰπεῖν τοῦτο φανερὰ ἦν ἀναι-

4. Ἰω. 5, 18.

ἡ σκευωρία καὶ ἡ ἐπινόησις! Μὲ τὰ δύο λοιπὸν αὐτὰ ἐπιχειροῦν νὰ τοὺς κάνουν νὰ ἀρνηθοῦν, καὶ μὲ τὴν φράσιν, «Διὰ τὸν ὁποῖον λέγετε σεῖς», καὶ μὲ τό, «Πῶς λοιπὸν βλέπει τώρα;».

2. Ἀφοῦ λοιπὸν τοὺς ἔκαμαν τρεῖς ἐρωτήσεις, ἐὰν ἦτο υἱός των, ἐὰν ἦτο τυφλός, καὶ πῶς ἀνέβλεψεν, αὐτοὶ ὁμολογοῦν μόνον τὰς δύο, εἰς δὲ τὴν τρίτην δὲν ἀπαντοῦν. Καὶ αὐτὸ ὅμως ἀπέβη ὑπὲρ τῆς ἀληθείας, ὥστε κανένα ἄλλον, ἀλλὰ νὰ ὁμολογοῦν αὐτὰ αὐτὸν ποὺ ἐθεραπεύθη καὶ ἦτο ἀξιόπιστος· διότι πῶς θὰ ἠμποροῦσαν οἱ γονεῖς νὰ τοὺς κάμουν αὐτὴν τὴν χάριν, αὐτοὶ ποὺ καὶ ὡρισμένα ποὺ ἐγνώριζον τὰ ἀπεσιώπησαν ἐξ αἰτίας τοῦ φόβου ἀπὸ τοὺς Ἰουδαίους; Τί λέγουν λοιπόν; «Γνωρίζομεν ὅτι αὐτὸς εἶναι ὁ υἱός μας καὶ ὅτι ἐγεννήθη τυφλός· πῶς ὅμως τώρα βλέπει, ἢ ποῖος ἤνοιξε τοὺς ὀφθαλμούς του δὲν τὸ γνωρίζομεν· ὁ ἴδιος ἔχει ἡλικίαν, αὐτὸς θὰ ὁμιλήσῃ διὰ τὸν ἑαυτόν του». Ἀφοῦ τὸν παρουσίασαν ἀξιόπιστον, τὸν ἄφησαν διὰ νὰ τὰ ὁμολογήσῃ ὁ ἴδιος. Δὲν εἶναι παιδί, λέγουν, οὔτε πνευματικὰ καθυστερημένος, ἀλλ᾽ εἶναι ἱκανὸς νὰ βεβαιώσῃ τὰ περὶ τοῦ ἑαυτοῦ του. «Αὐτὰ δὲ τὰ εἶπον διὰ τὸν φόβον τῶν Ἰουδαίων».

Πρόσεχε πῶς πάλιν ὁ Εὐαγγελιστὴς παρουσιάζει τὴν κρίσιν καὶ τὴν γνώμην αὐτῶν. Αὐτὰ δὲ τὰ λέγω διὰ τὰ λόγια των ἐκεῖνα ποὺ ἔλεγον προηγουμένως, ὅτι δηλαδὴ «ἐξισώνει τὸν ἑαυτόν του μὲ τὸν Θεόν»[4], διότι, ἐὰν καὶ ἐκεῖνο ἦτο ἰουδαϊκὴ γνώμη καὶ ὄχι γνώμη τοῦ Χριστοῦ, θὰ ἦτο δυνατὸν νὰ προσθέσῃ καὶ νὰ εἰπῇ, ὅτι ἦτο ἰουδαϊκὴ γνώμη. Ἀφοῦ λοιπὸν τοὺς παρέπεμψαν οἱ γονεῖς του πρὸς τὸν θεραπευθέντα, τὸν ἐφώναξαν διὰ δευτέραν φοράν. Καὶ δὲν τοῦ λέγουν μὲν φανερὰ καὶ ἀδιάντροπα, "Ἀρνήσου ὅτι ὁ Χριστὸς σὲ ἐθεράπευσε", ἀλλὰ θέλουν νὰ τὸ παρουσιάσουν αὐτὸ μὲ τὸ πρόσχημα τῆς εὐλαβείας· διότι λέγουν· «Δόξασε τὸν Θεόν». Διότι τὸ νὰ εἰποῦν μὲν εἰς τοὺς γονεῖς, "Ἀρνηθῆτε, ὅτι εἶναι υἱός σας καὶ ὅτι τὸν ἐγεννήσατε τυφλόν", ἐφαίνετο πάρα πολὺ γελοῖον, τὸ νὰ εἰποῦν δὲ αὐτὸ εἰς αὐτὸν φανερὰ ἦτο ἀδιαντροπία· διὰ τοῦτο δὲν τὸ λέ-

σχυντία· διὰ τοῦτο μὲν οὐ λέγουσιν, ἑτέρως δὲ αὐτὸ μεθοδεύουσι, «δὸς δόξαν τῷ Θεῷ», λέγοντες· τουτέστιν, 'ὁμολόγησον ὅτι οὗτος οὐδὲν εἰργάσατο'. «Ἡμεῖς οἴδαμεν ὅτι οὗτος ὁ ἄνθρωπος ἁμαρτωλός ἐστι». Πῶς οὖν αὐτὸν οὐκ ἠλέγξατε, λέγοντα· «Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας;», πόθεν δὲ ἴστε ὅτι ἁμαρτωλός ἐστιν; Εἰπόντων δὲ αὐτῶν, «Δὸς δόξαν τῷ Θεῷ», καὶ τούτου μηδὲν εἰπόντος, ἀπαντήσας ὁ Χριστός, ἐπήνεσε, καὶ οὐκ ἐνεκάλεσεν, οὐδὲ εἶπε, 'Διὰ τί οὐκ ἔδωκας δόξαν τῷ Θεῷ;' ἀλλὰ τί; «Πιστεύεις εἰς τὸν Υἱὸν τοῦ Θεοῦ;», ἵνα μάθῃς ὅτι τοῦτό ἐστι δοῦναι δόξαν τῷ Θεῷ.

Εἰ δὲ οὐκ ἦν ἰσότιμος τῷ Πατρί, αὕτη δόξα οὐκ ἂν ἦν. Ἀλλά, ἐπειδὴ ὁ τιμῶν τὸν Υἱὸν αὐτός ἐστιν ὁ τιμῶν τὸν Πατέρα, εἰκότως οὐκ ἐπιτιμᾶται ὁ τυφλός. Ὅτε μὲν οὖν προσεδόκων τοὺς γονεῖς ἀνανεύειν καὶ ἀρνεῖσθαι, οὐδὲν αὐτῷ ἔλεγον, ἐπειδὴ δὲ εἶδον οὐδὲν πλέον αὐτοῖς γεγενημένον ἐκ τούτου, ἐπὶ τοῦτον ἔρχονται πάλιν, λέγοντες ὅτι «ἁμαρτωλός ἐστιν οὗτος. Ἀπεκρίθη ἐκεῖνος καὶ εἶπεν· Εἰ ἁμαρτωλός ἐστιν, οὐκ οἶδα· ἓν οἶδα, ὅτι, τυφλὸς ὤν, ἄρτι βλέπω». Ἆρα μὴ ἐφοβήθη ὁ τυφλός; Μὴ γένοιτο! Καὶ πῶς, ὁ εἰπὼν ὅτι «προφήτης ἐστί», λέγει, «Εἰ ἁμαρτωλός ἐστιν, οὐκ οἶδα»; Οὐχ οὕτως ἔχων, οὐδὲ τοῦτο πεπεικὼς ἑαυτόν, ἀλλὰ βουλόμενος ἀπὸ τῆς τοῦ πράγματος μαρτυρίας, ἀλλ' οὐκ ἀπὸ τῆς αὐτοῦ φωνῆς ἀπαλλάξαι τῶν ἐγκλημάτων αὐτόν, καὶ ἀξιόπιστον ποιῆσαι τὴν ἀπολογίαν, τῆς ἀπὸ τῆς εὐεργεσίας μαρτυρίας καταψηφιζομένης αὐτῶν· εἰ γὰρ μετὰ πλείονας λόγους, εἰπόντος αὐτοῦ ὅτι, «εἰ μὴ οὗτος ἦν θεοσεβής, οὐκ ἠδύνατο τοιαῦτα σημεῖα ποιεῖν», οὕτως ἠγανάκτουν, ὡς εἰπεῖν, «Ἐν ἁμαρτίαις σὺ ἐγεννήθης ὅλος, καὶ σὺ διδάσκεις ἡμᾶς;», εἰ ἐξ ἀρχῆς τοῦτο εἶπε, τί οὐκ ἂν ἔπραξαν; τί δὲ οὐκ ἂν εἶπαν;

«Εἰ ἁμαρτωλός ἐστιν, οὐκ οἶδα»· ὡσανεὶ ἔλεγεν· 'Οὐ-

---

5. Ἰω. 8, 46.
6. Ἰω. 9, 35.

γουν μέν, ἀλλὰ τὸ μεθοδεύουν μὲ ἄλλον τρόπον, λέγοντες˙ «Δόξασε τὸν Θεόν»˙ δηλαδή, Ὁμολόγησε, ὅτι αὐτὸς δὲν σοῦ ἔκαμε τίποτε΄. «Ἡμεῖς γνωρίζομεν ὅτι αὐτὸς εἶναι ἁμαρτωλὸς ἄνθρωπος». Πῶς λοιπὸν δὲν τὸν ἠλέγξατε ὅταν ἔλεγε˙ «Ποῖος ἠμπορεῖ νὰ μὲ ἐλέγξῃ δι' ἁμαρτίαν;»[5]˙ ἀπὸ ποῦ τὸ γνωρίζετε, ὅτι εἶναι ἁμαρτωλός; Ὅταν δὲ τοῦ εἶπον αὐτοί, «Δόξασε τὸν Θεόν», καὶ αὐτὸς δὲν εἶπε τίποτε, ὅταν τὸν συνήντησεν ὁ Χριστὸς τὸν ἐπῄνεσε καὶ δὲν τὸν κατηγόρησεν, οὔτε εἶπε, 'Διατί δὲν ἐδόξασες τὸν Θεόν;' ἀλλὰ τί τοῦ λέγει; «Πιστεύεις εἰς τὸν Υἱὸν τοῦ Θεοῦ;»[6], διὰ νὰ μάθῃς, ὅτι αὐτὸ ἀποτελεῖ δόξαν διὰ τὸν Θεόν.

Ἐὰν ὅμως δὲν ἦτο ἰσότιμος μὲ τὸν Πατέρα, αὐτὸ δὲν θὰ ἦτο δυνατὸν νὰ εἶναι δόξα. Ἀλλ' ἐπειδὴ ἐκεῖνος ποὺ τιμᾷ τὸν Υἱὸν ὁ ἴδιος εἶναι ποὺ τιμᾷ καὶ τὸν Πατέρα, δικαίως δὲν ἐπιτιμᾶται ὁ τυφλός. Ὅταν λοιπὸν ἐπερίμεναν τοὺς γονεῖς του νὰ ἀρνηθοῦν, δὲν ἔλεγον τίποτε εἰς αὐτόν, ἐπειδὴ ὅμως εἶδον ὅτι δὲν ἐκέρδισαν τίποτε ἐπὶ πλέον ἀπὸ αὐτό, ἔρχονται πάλιν πρὸς αὐτόν, λέγοντες, ὅτι «Εἶναι ἁμαρτωλὸς αὐτός. Ἀπεκρίθη ἐκεῖνος καὶ εἶπεν˙ Ἐὰν εἶναι ἁμαρτωλὸς δὲν τὸ γνωρίζω˙ ἕνα γνωρίζω, ὅτι ἐνῷ ἤμουν τυφλός, τώρα βλέπω». Μήπως ἆρά γε ἐφοβήθη ὁ τυφλός; Μὴ γένοιτο! Καὶ πῶς, αὐτὸς ποὺ εἶπεν ὅτι «εἶναι προφήτης», λέγει, «Δὲν γνωρίζω ἐὰν εἶναι ἁμαρτωλός»; Δὲν τὸ λέγει αὐτὸ μὲ αὐτὴν τὴν διάθεσιν, οὔτε ὅτι ἔχει πεισθῆ δι' αὐτό, ἀλλ' ἐπειδὴ θέλει νὰ ἀπαλλάξῃ τὸν Ἰησοῦν ἀπὸ τὰς κατηγορίας μὲ τὴν ἐπιβεβαίωσιν τοῦ πράγματος καὶ ὄχι μὲ τὰ λόγια του, καὶ νὰ παρουσιάσῃ ἀξιόπιστον τὴν ἀπολογίαν του, καταδικάζων αὐτοὺς μὲ τὴν μαρτυρίαν τῆς εὐεργεσίας˙ διότι, ἐὰν μετὰ ἀπὸ τόσους πολλοὺς λόγους, ὅταν εἶπεν αὐτὸς ὅτι, «ἐὰν αὐτὸς δὲν ἦτο θεοσεβὴς δὲν θὰ ἠμποροῦσε νὰ κάμῃ τέτοια θαύματα», τόσον ἠγανάκτουν, ὥστε νὰ εἰποῦν, «Σὺ ἐγεννήθης ὁλόκληρος μέσα εἰς τὴν ἁμαρτίαν καὶ σὺ διδάσκεις ἡμᾶς;», ἐὰν τὸ ἔλεγεν αὐτὸ ἀπὸ τὴν ἀρχήν, τί θὰ ἦτο δυνατὸν νὰ μὴ πράξουν καὶ τί θὰ ἦτο δυνατὸν νὰ μὴ εἰποῦν;

«Ἐὰν εἶναι ἁμαρτωλὸς δὲν τὸ γνωρίζω»˙ ὡσὰν δηλαδὴ

δὲν ὑπὲρ τούτου λέγω νῦν, οὐδὲ ἀποφαίνομαι τέως, ἐκεῖνο μέντοι οἶδα σαφῶς καὶ διϊσχυρισαίμην ἄν, ὅτι, ἁμαρτωλὸς ὤν, οὐκ ἂν τοιαῦτα ἐποίησε᾽. Διὰ τοῦτο καὶ ἀνύποπτον ἐποίησεν ἑαυτόν, καὶ τὴν μαρτυρίαν ἀδέκαστον, ὡς οὐκ ἔτι χαριζόμενος, ἀλλ᾽ ἀπὸ τοῦ πράγματος μαρτυρῶν. Ἐπεὶ οὖν οὐκ ἴσχυσαν ἀναιρέψει οὐδὲ ἀνελεῖν τὸ γεγονός, πάλιν ἐπὶ τὸ πρότερον ἔρχονται, τὸν τρόπον τῆς θεραπείας περιεργαζόμενοι, καθάπερ τινές, θήραν ἀσφαλῶς προκειμένην πάντοθεν διερευνώμενοι, καὶ νῦν μὲν ὧδε, νῦν δὲ ἐκεῖ περιτρέχοντες. Καὶ ἐπὶ τοὺς προτέρους ἔρχονται λόγους, ἵνα πάλιν σαθροὺς αὐτοὺς ποιήσωσι τῷ συνεχῶς ἐρωτᾶν, καὶ λέγουσι· «Τί ἐποίησέ σοι; πῶς ἀνέῳξέ σου τοὺς ὀφθαλμούς;». Τί οὖν ἐκεῖνος; Νικήσας αὐτοὺς καὶ καταβαλών, οὐκ ἔτι λοιπὸν ὑφειμένως διαλέγεται· ἕως μὲν γὰρ τὸ πρᾶγμα ἐξετάσεως ἐδεῖτο καὶ ἐλέγχων, παρείχετο τὴν ἀπόδειξιν, ὑπεσταλμένως φθεγγόμενος, ἐπειδὴ δὲ εἷλε καὶ ἐνίκησε νίκην λαμπράν, θαρρῶν ἐπεμβαίνει αὐτοῖς λοιπόν. Καὶ τί φησιν; «Εἶπον ὑμῖν ἅπαξ, καὶ οὐκ ἠκούσατε· τί πάλιν θέλετε ἀκούειν;».

Εἶδες παρρησίαν ἐπαίτου πρὸς ἄνδρας γραμματεῖς καὶ Φαρισαίους; (Οὕτως ἰσχυρὸν ἡ ἀλήθεια, οὕτως ἀσθενὲς τὸ ψεῦδος· ἐκείνη μὲν γάρ, κἂν τῶν τυχόντων ἐπιλάβηται, λαμπροὺς αὐτοὺς ἀποφαίνει, τοῦτο δέ, κἂν μετὰ τῶν ἰσχυρῶν ᾖ, ἀσθενεῖς αὐτοὺς δείκνυσιν). Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Οὐ προσέχετε τοῖς λεγομένοις· διὰ τοῦτο οὐκ ἔτι ἐρῶ, οὐδὲ ἀποκρινοῦμαι συνεχῶς ὑμῖν, ἐρωτῶσιν εἰκῇ, καὶ οὐχ ὑπὲρ τοῦ μαθεῖν βουλομένοις ἀκοῦσαι, ἀλλ᾽ ὑπὲρ τοῦ τοῖς λεγομένοις ἐπηρεάσαι. «Μὴ καὶ ὑμεῖς θέλετε μαθηταὶ αὐτοῦ γενέσθαι;». Τέως ἑαυτὸν εἰς τὸν τῶν μαθητῶν

νὰ ἔλεγε· Τίποτε δι' αὐτὸν δὲν λέγω τώρα, οὔτε ἐκφράζω γνώμην ἀπὸ τὴν ἀρχήν, ἀλλ' ὅμως ἐκεῖνο γνωρίζω πάρα πολὺ καλὰ καὶ θὰ ἠμποροῦσα νὰ τὸ ἰσχυρισθῶ μὲ δύναμιν, ὅτι δηλαδὴ ἐὰν εἶναι ἁμαρτωλός, δὲν θὰ ἠμποροῦσε νὰ κάμη τέτοια πράγματα'. Διὰ τοῦτο καὶ τὸν ἑαυτόν του κατέστησεν ἀνύποπτον καὶ τὴν μαρτυρίαν του ἀμερόληπτον, διότι δὲν ὡμίλει χαριζόμενος πρὸς αὐτούς, ἀλλ' ἡ μαρτυρία του ἐβασίζετο εἰς τὸ ἴδιο τὸ γεγονός. Ἐπειδὴ λοιπὸν δὲν κατώρθωσαν νὰ ἀνατρέψουν οὔτε νὰ ἐπικαλύψουν τὸ γεγονός, πάλιν ἔρχονται εἰς τὰ προηγούμενα, περιεργαζόμενοι τὸν τρόπον τῆς θεραπείας του, ὅπως ἀκριβῶς μερικοὶ ποὺ θηρεύουν δι' ἕνα σίγουρον θήραμα καὶ ψάχνουν παντοῦ, τρέχοντες ἄλλοτε μὲν πρὸς τὰ ἐδῶ, ἄλλοτε δὲ πρὸς τὰ ἐκεῖ. Καὶ ἔρχονται εἰς τοὺς προηγουμένους λόγους των, ὥστε νὰ καταστήσουν αὐτοὺς καὶ πάλιν σαθροὺς μὲ τὰς συνεχεῖς ἐρωτήσεις των, καὶ λέγουν· «Τί σοῦ ἔκαμε; πῶς ἤνοιξε τοὺς ὀφθαλμούς σου;». Τί ἀπαντᾷ λοιπὸν ἐκεῖνος; Ἀφοῦ ἐνίκησεν αὐτοὺς καὶ τοὺς κατέβαλεν, εἰς τὴν συνέχειαν πλέον δὲν ὁμιλεῖ πρὸς αὐτοὺς μὲ χαλαρὸν τόνον· διότι ἐν ὅσῳ μὲν τὸ πρᾶγμα ἐχρειάζετο ἐξέτασιν καὶ ἔλεγχον, παρεῖχε τὴν ἀπόδειξιν ὁμιλῶν συνεσταλμένα, ὅταν ὅμως κατετρόπωσεν αὐτοὺς καὶ ἐπέτυχε λαμπρὰν νίκην, εἰς τὴν συνέχειαν ὁμιλεῖ πρὸς αὐτοὺς μὲ θάρρος. Καὶ τί λέγει; «Σᾶς εἶπα μίαν φορὰν καὶ δὲν ἐδώσατε προσοχὴν εἰς τὰ λόγια μου· τί πάλιν θέλετε ν' ἀκούσετε;

Εἶδες παρρησίαν ἐπαίτου πρὸς ἄνδρας γραμματεῖς καὶ φαρισαίους; (Τόσον ἰσχυρὰ εἶναι ἡ ἀλήθεια, τόσον ἀσθενὲς εἶναι τὸ ψεῦδος· διότι ἡ μὲν ἀλήθεια ἂν καὶ πηγαίνει μὲ τὸ μέρος τῶν τυχόντων, καθιστᾷ αὐτοὺς λαμπρούς, ἐνῷ τὸ ψεῦδος ἂν καὶ εὑρίσκεται μὲ τὸ μέρος τῶν ἰσχυρῶν, παρουσιάζει αὐτοὺς ἀσθενεῖς). Αὐτὸ δὲ ποὺ ἐννοεῖ εἶναι τὸ ἑξῆς· Δὲν προσέχετε τὰ λόγια μου· διὰ τοῦτο δὲν θὰ ὁμιλήσω πλέον οὔτε θὰ ἀπαντῶ συνεχῶς εἰς σᾶς, ἀφοῦ ἐρωτᾶτε ἄσκοπα καὶ ὄχι θέλοντες νὰ ἀκούσετε διὰ νὰ μάθετε, ἀλλὰ διὰ νὰ κατηγορήσετε τὰ λεγόμενα. «Μήπως καὶ σεῖς θέλετε νὰ γίνετε μαθηταί του;». Κατὰ πρῶτον

ἐγκατέταξε χορόν· τὸ γὰρ «μὴ καὶ ὑμεῖς», δεικνύντος ἑαυτόν ἐστι μαθητὴν ὄντα. Εἶτα αὐτοὺς ἐκωμῴδησε καὶ διέπληξεν ἱκανῶς.

3. Ἐπειδὴ γὰρ ᾔδει ὅτι σφόδρα αὐτοὺς τοῦτο ἔπληττε, καθάψασθαι μεθ' ὑπερβολῆς αὐτῶν βουλόμενος, τοῦτο εἴρηκεν· ὅπερ ἦν ψυχῆς πεπαρρησιασμένης καὶ ἀνεπτερωμένης καὶ ὑπερορώσης αὐτῶν τῆς μανίας, καὶ δεικνυούσης αὐτοῦ μέγα τὸ ἀξίωμα, ἐφ' ᾧ σφόδρα ἐθάρρει, καὶ δηλούσης ὡς ἐκεῖνοι θαυμαστὸν ὄντα αὐτὸν ὕβριζον, αὐτὸς δὲ οὐχ ὑβρίζετο, ἀλλά, ὅπερ ὡς ὕβριν προσέφερον, τοῦτο ὡς τιμὴν ἥρπασε. «Σὺ εἶ μαθητὴς ἐκείνου», φησίν, «ἡμεῖς δὲ τοῦ Μωϋσέως ἐσμὲν μαθηταί». Ἀλλ' οὐκ ἂν ἔχοι λόγον τοῦτο· ὑμεῖς γὰρ οὔτε Μωϋσέως, οὔτε τούτου· εἰ γὰρ ἦτε Μωϋσέως, καὶ τούτου ἂν ἐγένεσθε. Διὰ τοῦτο ἄνωθεν ἔλεγεν αὐτοῖς ὁ Χριστός· «Εἰ ἐπιστεύετε Μωϋσεῖ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν», ἐπειδὴ εἰς τούτους ἀεὶ τοὺς λόγους κατέφευγον. «Ἡμεῖς οἴδαμεν ὅτι Μωϋσεῖ λελάληκεν ὁ Θεός». Τίνος εἰπόντος; τίνος ἀπαγγείλαντος; Τῶν προγόνων, φησί, τῶν ἡμετέρων οὐκ ἔστιν ἀξιοπιστότερος ὁ διὰ τῶν σημείων τοῦτο διαβεβαιούμενος, ὅτι τε ἀπὸ Θεοῦ ἥκει, καὶ ὅτι τὰ ἄνωθεν φθέγγεται; Καὶ οὐκ εἶπαν, «Ἡμεῖς ἠκούσαμεν ὅτι Μωϋσεῖ λελάληκεν ὁ Θεός», ἀλλ' ὅτι «οἴδαμεν». Τὰ ἐξ ἀκοῆς ὑμεῖς, ὦ Ἰουδαῖοι, ὡς εἰδότες διϊσχυρίζεσθε τὰ δὲ ἀπὸ τῆς ὄψεως, ἀκοῆς ἐλάττονα εἶναι νομίζετε; Καὶ μὴν ἐκεῖνα μὲν οὐκ εἴδετε, ἀλλ' ἠκούσατε, ταῦτα δὲ οὐκ ἠκούσατε, ἀλλ' εἴδετε.

Τί οὖν ὁ τυφλός; «Ἐν τούτῳ γάρ ἐστι τὸ θαυμαστόν, ὅτι ὑμεῖς οὐκ οἴδατε πόθεν ἐστί», καὶ τοιαῦτα σημεῖα ποιεῖ· ὅτι ἄνθρωπος, οὐ τῶν ἐπισήμων παρ' ὑμῖν ὤν, οὐδὲ τῶν

7. Ἰω. 5, 46.

κατέταξε τὸν ἑαυτόν του εἰς τὸν χορὸν τῶν μαθητῶν· διότι τὸ «μήπως καὶ σεῖς» εἶναι λόγος ἀνθρώπου ποὺ δείχνει τὸν ἑαυτόν του ὅτι εἶναι μαθητής του. Ἔπειτα διεκωμῳδησεν αὐτοὺς καὶ ἔπληξεν εἰς μεγάλον βαθμόν.

3. Ἐπειδὴ δηλαδὴ ἐγνώριζεν ὅτι αὐτὸ τοὺς ἔπληττε πάρα πολύ, τὸ εἶπεν αὐτό, θέλων νὰ τοὺς ψέξῃ ὑπερβολικά, πρᾶγμα ποὺ ἦτο δεῖγμα ψυχῆς θαρραλέας καὶ ἀναπτερωμένης καὶ ἀδιαφόρου ἔναντι τῆς μανίας των καὶ ἐφανέρωνεν ὅτι ἦτο μέγα τὸ ἀξίωμα τοῦ Κυρίου εἰς τὸν ὁποῖον ἐστήριζε τὸ μεγάλο θάρρος του, καὶ ἐδήλωνεν, ὅτι ἐκεῖνοι περιεφρόνουν αὐτόν, ἂν καὶ ἦτο θαυμαστός, ἐνῷ αὐτὸς δὲν περιεφρονεῖτο, ἀλλ' αὐτὸ ποὺ ἐκεῖνοι τοῦ προσέφερον ὡς περιφρόνησιν, αὐτὸ ἀπέβαινε δι' αὐτὸν τιμή. «Σὺ εἶσαι μαθητὴς ἐκείνου», λέγουν, «ἐνῷ ἡμεῖς εἴμεθα μαθηταὶ τοῦ Μωϋσέως». Ἀλλ' αὐτὸ δὲν ἠμπορεῖ νὰ ἔχῃ λογικὴν βάσιν· Διότι σεῖς οὔτε τοῦ Μωϋσέως μαθηταὶ εἶσθε, οὔτε τοῦ Ἰησοῦ· καθ' ὅσον ἐὰν ἤσασθε τοῦ Μωϋσέως θὰ ἐγίνεσθε καὶ αὐτοῦ. Διὰ τοῦτο προηγουμένως ἔλεγεν εἰς αὐτοὺς ὁ Χριστός· «Ἐὰν ἐπιστεύετε εἰς τὸν Μωϋσῆν, θὰ ἠμπορούσατε νὰ πιστεύσετε καὶ εἰς ἐμένα· διότι ἐκεῖνος δι' ἐμένα ἔγραψεν»[7], ἐπειδὴ πάντοτε εἰς αὐτοὺς τοὺς λόγους κατέφευγον. «Ἡμεῖς γνωρίζομεν ὅτι ὁ Θεὸς ὡμίλησεν εἰς τὸν Μωϋσῆν». Ποῖος σᾶς τὸ εἶπε καὶ ποῖος σᾶς τὸ ἀνήγγειλεν; Οἱ πρόγονοί μας, λέγει. Ἀλλά, λέγει, δὲν εἶναι αὐτὸς ἀξιοπιστότερος ἀπὸ τοὺς προγόνους σας, αὐτὸς ποὺ διὰ τῶν θαυμάτων ἐπιβεβαιώνει αὐτό, καὶ ὅτι δηλαδὴ ἦλθεν ἀπὸ τὸν Θεὸν καὶ ὅτι λέγει τὰ λόγια τοῦ Θεοῦ; Καὶ δὲν εἶπαν, 'Ἡμεῖς ἠκούσαμεν ὅτι ὁ Θεὸς ὡμίλησεν εἰς τὸν Μωϋσῆν', ἀλλ' ὅτι «γνωρίζομεν». Σεῖς, Ἰουδαῖοι, αὐτὰ ποὺ ἠκούσατε ἰσχυρίζεσθε μετὰ πεποιθήσεως ὅτι τὰ γνωρίζετε, αὐτὰ ποὺ βλέπετε ὅμως τὰ θεωρεῖτε κατώτερα ἀπὸ αὐτὰ ποὺ ἠκούσατε; Καὶ ὅμως ἐκεῖνα μὲν δὲν τὰ εἴδετε, ἀλλὰ τὰ ἠκούσατε, ἐνῷ αὐτὰ δὲν τὰ ἠκούσατε, ἀλλὰ τὰ εἴδετε.

Τί ἀπαντᾷ λοιπὸν ὁ τυφλός; «Αὐτὸ δηλαδὴ εἶναι το ἐκπληκτικόν, ὅτι σεῖς δὲν γνωρίζετε ἀπὸ ποῦ εἶναι», καὶ ὅμως κάμνει τέτοια θαύματα· ἐνῷ δὲν εἶναι ἄνθρωπος οὔτε

περιφανῶν, οὐδὲ τῶν δεδοξασμένων, τοιαῦτα δύναται, ὡς εἶναι πάντοθεν δῆλον ὅτι Θεός ἐστιν, οὐδεμιᾶς ἀνθρωπίνης δεόμενος βοηθείας. «Οἴδαμεν δὲ ὅτι Θεὸς ἁμαρτωλῶν οὐκ ἀκούει». Ἐπειδὴ γὰρ προλαβόντες εἶπον, «Πῶς δύναται ἄνθρωπος ἁμαρτωλὸς τοιαῦτα σημεῖα ποιεῖν;», λοιπὸν καὶ τὴν ἐκείνων παραλαμβάνει κρίσιν, τῶν οἰκείων αὐτοὺς ὑπομιμνήσκων ῥημάτων. Ἡ δόξα, φησίν, αὕτη καὶ ἐμοῦ καὶ ὑμῶν κοινή· ταύτῃ τοίνυν ἐμμείνατε. Καὶ θέα μοι τὴν σύνεσιν. Πανταχοῦ τὸ σημεῖον περιστρέφει, ἐπειδὴ τοῦτο ἑλεῖν οὐκ εἶχον, καὶ ἀπ' αὐτοῦ συλλογίζεται. Ὁρᾷς ὅτι καὶ ὃ ἐξ ἀρχῆς ἔλεγεν ὅτι, «εἰ ἁμαρτωλός ἐστιν, οὐκ οἶδα», οὐχὶ ἀμφιβάλλων, μὴ γένοιτο! ἀλλ' εἰδὼς ὅτι οὐχ ἁμαρτωλός ἐστιν; Νῦν γοῦν, ὅτε καιρὸν ἔσχεν, ὅρα πῶς ἀπελογήσατο. «Οἴδαμεν δὲ ὅτι ἁμαρτωλῶν ὁ Θεὸς οὐκ ἀκούει, ἀλλ' ἐάν τις θεοσεβὴς ᾖ, καὶ τὸ θέλημα αὐτοῦ ποιῇ». Ἐνταῦθα γὰρ οὐχὶ μόνον ἁμαρτημάτων αὐτὸν ἀπήλλαξεν, ἀλλὰ καὶ σφόδρα ἀρέσκοντα τῷ Θεῷ δείκνυσι, καὶ τὰ ἐκείνου πάντα πράττοντα. Ἐπειδὴ γὰρ ἐκεῖνοι θεοσεβεῖς ἔλεγον ἑαυτούς, προσέθηκε· «Καὶ τὸ θέλημα αὐτοῦ ποιῇ»· οὐκ ἀρκεῖ γὰρ τοῦτο, φησί, τὸ ἐπιγινώσκειν τὸν Θεόν, ἀλλὰ καὶ τὸ θέλημα αὐτοῦ ποιεῖν. Εἶτα ἐπαίρει τὸ γεγονός, λέγων· «Ἀπὸ τοῦ αἰῶνος οὐκ ἠκούσθη, ὅτι ἤνοιξέ τις ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου». Εἰ τοίνυν ὁμολογεῖτε ὅτι ἁμαρτωλῶν οὐκ ἀκούει, οὗτος δὲ θαῦμα ἐποίησε καὶ θαῦμα τοιοῦτον, οἷον οὐδεὶς ἄνθρωπος ἐποίησεν, εὔδηλον ὅτι πάντα ἐνίκησεν ἀρετῇ, καὶ μείζων αὐτοῦ ἐστιν ἢ κατὰ ἄνθρωπον ἡ δύναμις.

Τί οὖν ἐκεῖνοι; «Ἐν ἁμαρτίαις σὺ ἐγεννήθης ὅλος, καὶ σὺ διδάσκεις ἡμᾶς;». Ἕως μὲν γὰρ αὐτὸν προσεδόκων ἀρνεῖσθαι, καὶ ἀξιόπιστον εἶναι ἐνόμιζον, καὶ ἅπαξ καὶ

8. Ἰω. 9, 16.

ἀπὸ τοὺς ἐπισήμους σας οὔτε ἀπὸ τοὺς ἐπιφανεῖς οὔτε ἀπὸ τοὺς ἐνδόξους, ὅμως τέτοια ἠμπορεῖ καὶ πράττει, ὥστε γίνεται φανερὸν ἀπὸ ὅλα, ὅτι εἶναι Θεός, μὴ ἔχων ἀνάγκην καμμιᾶς ἀνθρωπίνης βοηθείας. «Γνωρίζομεν δὲ ὅτι ὁ Θεὸς δὲν ἀκούει τοὺς ἁμαρτωλούς». Ἐπειδὴ δηλαδὴ προηγουμένως εἶπον, «Πῶς ἠμπορεῖ ἄνθρωπος ἁμαρτωλὸς νὰ κάμνῃ τέτοια θαύματα;»", εἰς τὴν συνέχειαν ἀναφέρει καὶ τὴν ἰδικήν των γνώμην, ὑπενθυμίζων καὶ τοὺς ἰδικούς των λόγους. Αὐτὴ ἡ γνώμη, λέγει, εἶναι καὶ ἰδική μου καὶ ἰδική σας· παραμείνατε λοιπὸν σταθερὰ εἰς αὐτήν. Καὶ πρόσεχε, σὲ παρακαλῶ, τὴν σύνεσίν του. Παντοῦ ἐπαναλαμβάνει τὸ θαῦμα, ἐπειδὴ αὐτὸ δὲν ἠμποροῦσαν νὰ τὸ ἀπορρίψουν, καὶ ἀπὸ αὐτὸ διατυπώνει τὰς σκέψεις του. Βλέπεις ὅτι καὶ αὐτὸ ποὺ ἀπὸ τὴν ἀρχὴν ἔλεγεν, ὅτι «ἐὰν εἶναι ἁμαρτωλός, δὲν τὸ γνωρίζω», δὲν τὸ ἔλεγε μὲ ἀμφιβολίαν, μὴ γένοιτο! ἀλλὰ ἐγνώριζεν ὅτι δὲν εἶναι ἁμαρτωλός; Τώρα λοιπὸν ποὺ ηὗρε τὴν κατάλληλον στιγμήν, πρόσεχε πῶς ἀπελογήθη. «Γνωρίζομεν δὲ ὅτι ὁ Θεὸς δὲν ἀκούει τοὺς ἁμαρτωλούς, ἀλλ' ἐὰν κάποιος εἶναι θεοσεβὴς καὶ ἐκτελῇ τὸ θέλημά του». Ἐδῶ λοιπὸν ὄχι μόνον τὸν ἀπήλλαξεν ἀπὸ τὰ ἁμαρτήματα, ἀλλὰ τὸν παρουσιάζει καὶ πάρα πολὺ ἀρεστὸν εἰς τὸν Θεὸν καὶ ὅτι πράττει τὰ ἔργα ἐκείνου. Ἐπειδὴ δηλαδὴ ἐκεῖνοι ἔλεγον ὅτι εἶναι οἱ ἴδιοι θεοσεβεῖς, προσέθεσεν· «Καὶ ἂν ποιῇ τὸ θέλημά του»· διότι, λέγει, δὲν ἀρκεῖ αὐτό, τὸ νὰ γνωρίζῃ τὸν Θεόν, ἀλλὰ νὰ ἐκτελῇ τὸ θέλημά του. Εἰς τὴν συνέχειαν ἐξυψώνει τὸ γεγονός, λέγων· «Ποτὲ δὲν ἠκούσθη, ὅτι ἤνοιξε κάποιος τοὺς ὀφθαλμοὺς τυφλοῦ ἐκ γενετῆς». Ἐὰν λοιπὸν ὁμολογῆτε ὅτι ὁ Θεὸς δὲν ἀκούει τοὺς ἁμαρτωλούς, αὐτὸς δὲ ἔκαμε θαῦμα, καὶ τέτοιο θαῦμα, ποὺ παρόμοιόν του κανεὶς ἄνθρωπος δὲν ἔκαμεν, εἶναι ὁλοφάνερον ὅτι ὑπερέβαλε τὸν καθένα ὡς πρὸς τὴν ἀρετὴν καὶ εἶναι μεγαλυτέρα ἡ δύναμίς του τῆς ἀνθρωπίνης δυνάμεως.

Τί λέγουν λοιπὸν ἐκεῖνοι; «Σὺ ἐγεννήθης ὁλόκληρος μέσα εἰς τὴν ἁμαρτίαν καὶ σὺ μᾶς διδάσκεις;». Ἐν ὅσῳ δηλαδὴ ἤλπιζον ὅτι θὰ ἀρνηθῇ καὶ ἀξιόπιστον τὸν ἐθεω-

δεύτερον καλοῦντες αὐτὸν (εἰ δὲ μὴ ἐνομίζετε ἀξιόπιστον, εἴποιμ' ἂν πρὸς αὐτούς, 'Τίνος ἕνεκεν ἐκαλεῖτε, καὶ δεύτερον ἠρωτᾶτε;') ἐπειδὴ δὲ τὴν ἀλήθειαν ἐφθέγξατο, οὐδὲν αἰδεσθείς, ὅτε μάλιστα αὐτὸν θαυμάσαι ἐχρῆν, τότε αὐτὸν καταδικάζουσι. Τί δέ ἐστιν, «Ἐν ἁμαρτίαις ἐγεννήθης ὅλος»; Ἐνταῦθα αὐτοῦ καὶ τὴν τύφλωσιν ὀνειδίζουσιν ἀφειδῶς· ὡσανεὶ ἔλεγον 'Ἐκ πρώτης ἡλικίας ἐν ἁμαρτίαις εἶ σύ', παραδηλοῦντες ὅτι διὰ τοῦτο γέγονε τυφλός, ὅπερ λόγον οὐκ εἶχεν. Ἐν τούτῳ γοῦν αὐτὸν παραμυθούμενος ὁ Χριστός, ἔλεγεν «Εἰς κρῖμα ἐγὼ ἦλθον εἰς τὸν κόσμον, ἵνα οἱ μὴ βλέποντες βλέψωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται». «Ἐν ἁμαρτίαις σὺ ἐγεννήθης ὅλος, καὶ σὺ διδάσκεις ἡμᾶς;». Τί γὰρ εἶπεν ὁ ἄνθρωπος; μὴ γὰρ οἰκείαν γνώμην ἐξέθετο; οὐχὶ κοινὴν κρίσιν ἐξήτασε, λέγων, «Οἴδαμεν ὅτι ἁμαρτωλῶν ὁ Θεὸς οὐκ ἀκούει»; οὐχὶ τὰ παρ' ὑμῶν λεχθέντα εἰς μέσον ἤγαγε; «Καὶ ἐξέβαλον αὐτὸν ἔξω». Εἶδες τὸν κήρυκα τῆς ἀληθείας, πῶς ἡ πενία τῆς φιλοσοφίας οὐκ ἐγένετο κώλυμα; Ὁρᾷς ὅσα ἤκουσεν ἐκ προοιμίων καὶ ὅσα ἔπαθεν; καὶ διὰ λόγων καὶ διὰ ἔργων πῶς ἐμαρτύρησε;

4. Ταῦτα δὲ ἀναγέγραπται, ἵνα καὶ ἡμεῖς μιμώμεθα· εἰ γὰρ ὁ ἐπαίτης, ὁ τυφλός, ὁ μηδὲ ἑωρακὼς αὐτόν, τοσαύτην εὐθέως παρρησίαν ἐπεδείξατο πρὸ τῆς τοῦ Χριστοῦ παρακλήσεως, πρὸς ὁλόκληρον δῆμον στάς, φονῶντα, καὶ δαιμονῶντα, καὶ μαινόμενον, καὶ ἀπὸ τῆς ἐκείνου φωνῆς βουλόμενον καταδικάσαι τὸν Χριστόν, καὶ οὐκ εἶξεν, οὐδὲ ὑπεχώρησεν, ἀλλὰ μετὰ παρρησίας ἁπάσης αὐτοὺς ἐπεστόμισεν, καὶ εἵλετο βληθῆναι ἔξω μᾶλλον, ἢ προδοῦναι τὴν ἀλήθειαν, πόσῳ μᾶλλον ἡμᾶς τοὺς ἐπὶ τοσοῦτον χρόνον ἐν πίστει ζήσαντας, τοὺς μυρία θαύματα διὰ τῆς πίστεως ἑωρακότας, τοὺς μείζονα εὐεργετηθέντας ἐκείνου, καὶ τοὺς ἔνδοθεν

ροῦσαν, καλοῦντες αὐτὸν μίαν καὶ δευτέραν φορὰν (διότι ἐὰν δὲν τὸν ἐθεωρούσατε ἀξιόπιστον, θὰ ἠμπορούσαμεν νὰ εἰποῦμεν πρὸς αὐτούς· 'Διὰ ποῖον λόγον τὸν καλεῖτε καὶ τὸν ἐρωτᾶτε διὰ δευτέραν φοράν;'), ἐπειδὴ ὅμως εἶπε τὴν ἀλήθειαν, χωρὶς τίποτε νὰ φοβηθῇ, τότε ποὺ κατ' ἐξοχὴν ἔπρεπε νὰ τὸν θαυμάσουν, τότε τὸν καταδικάζουν. Τί σημαίνει δέ, «Ἐν ἁμαρτίαις ἐγεννήθης ὅλος»; Ἐδῶ ὀνειδίζουν μὲ σκληρότητα καὶ τὴν τύφλωσίν του· εἶναι ὡσὰν νὰ τοῦ ἔλεγον· "Ἀπὸ τὴν ἀρχὴν τῆς ζωῆς σου εἶσαι μέσα εἰς τὴν ἁμαρτίαν', ὑπονοοῦντες ὅτι διὰ τοῦτο ἐγεννήθη τυφλός, πρᾶγμα ποὺ δὲν ἦτο λογικόν. Παρηγορῶν λοιπὸν ὁ Χριστὸς αὐτὸν δι' αὐτό, ἔλεγεν· «Ἐγὼ ἦλθα εἰς τὸν κόσμον διὰ νὰ κρίνω αὐτόν, διὰ νὰ ἀποκτήσουν τὸ φῶς των ἐκεῖνοι ποὺ δὲν βλέπουν καὶ διὰ νὰ γίνουν τυφλοὶ ἐκεῖνοι ποὺ βλέπουν». «Σὺ ἐγεννήθης μέσα εἰς τὴν ἁμαρτίαν καὶ σὺ διδάσκεις ἡμᾶς;». Τί εἶπε δηλαδὴ ὁ ἄνθρωπος; μήπως διετύπωσεν ἰδικήν του γνώμην; δὲν ἀνέφερε μίαν κοινὴν γνώμην, λέγων, «Γνωρίζομεν ὅτι ὁ Θεὸς δὲν ἀκούει τοὺς ἁμαρτωλούς»; δὲν παρουσίασεν αὐτὰ ποὺ εἴπατε σεῖς; «Καὶ τὸν ἔβγαλαν ἔξω». Εἶδες τὸν κήρυκα τῆς ἀληθείας, πῶς ἡ πτωχεία του δὲν ἔγινεν ἐμπόδιον τῆς εὐσεβείας; Βλέπεις πόσα ἤκουσεν ἀπὸ τὴν ἀρχὴν καὶ πόσα ἔπαθεν; καὶ πῶς ἐπίσης ἐμαρτύρησε μὲ λόγους καὶ μὲ ἔργα;

4. Αὐτὰ δὲ ἐγράφησαν διὰ νὰ μιμούμεθα καὶ ἡμεῖς ἐκεῖνον· διότι, ἐὰν ὁ ἐπαίτης, ὁ τυφλός, ποὺ οὔτε κἂν τὸν εἶχεν ἰδεῖ, ἔδειξεν τόσον θάρρος πρὶν ἀκόμη ἐνθαρρυνθῇ ὑπὸ τοῦ Χριστοῦ, στηθεὶς ἐνώπιον ὁλοκλήρου πλήθους ποὺ εἶχε φονικὰς διαθέσεις καὶ ἔκαμνε ὡσὰν δαιμωνισμένον καὶ τρελλὸν καὶ ἤθελεν ἀπὸ τὰ λόγια ἐκείνου νὰ καταδικάσῃ τὸν Χριστόν, καὶ δὲν ἔχασε τὸ θάρρος του οὔτε ὑπεχώρησεν, ἀλλὰ μὲ ὅλην τὴν παρρησίαν του ἀπεστόμωσεν αὐτούς, καὶ ἐπροτίμησε νὰ ριφθῇ ἔξω μᾶλλον, παρὰ νὰ προδώσῃ τὴν ἀλήθειαν, πόσον μᾶλλον ἡμεῖς, ποὺ ἐπὶ τόσον χρόνον ἐζήσαμεν μὲ πίστιν, ποὺ εἴδομεν διὰ τῆς πίστεως μύρια θαύματα, ποὺ εὐηργετήθημεν περισσότερον ἀπὸ ἐκεῖνον καὶ ἀνεβλέψαμεν μὲ τοὺς πνευματικοὺς ὀφθαλμοὺς

ὀφθαλμοὺς ἀναβλέψαντας, καὶ τὰ ἀπόρρητα θεασαμένους μυστήρια, καὶ εἰς τοσαύτην κληθέντας τιμήν, ἅπασαν παρρησίαν ὑπὲρ αὐτοῦ ἐπιδείκνυσθαι χρὴ πρὸς τοὺς ἐγκαλεῖν ἐπιχειροῦντας καὶ λέγοντάς τι κατὰ Χριστιανῶν καὶ ἐπιστομίζειν, ἀλλὰ μὴ συγγινώσκειν ἁπλῶς! Δυνησόμεθα δὲ τοῦτο ποιεῖν, ἐὰν καὶ παρρησίαν ἔχωμεν καὶ ταῖς Γραφαῖς προσέχωμεν καὶ μὴ παρέργως αὐτὰς ἀκούωμεν· εἰ γάρ τις ἀκριβῶς ἐνταῦθα εἰσέρχοιτο, κἂν οἴκοι μὴ ἀναγινώσκῃ, προσέχῃ δὲ τοῖς ἐνταῦθα λεγομένοις, ἀρκεῖ καὶ ἐνιαυτὸς εἷς εἰς ἐμπειρίαν αὐτὸν καταστῆσαι πολλήν· οὐ γὰρ νῦν μὲν ταύτας, αὔριον δὲ ἑτέρας ἀναγινώσκομεν Γραφάς, ἀλλ' ἀεὶ τὰς αὐτὰς καὶ διὰ παντός· ἀλλ' ὅμως οὕτως ἀθλίως οἱ πολλοὶ διάκεινται, ὡς μετὰ τοσαύτην ἀνάγνωσιν μηδὲ τὰ ὀνόματα εἰδέναι τῶν βιβλίων, καὶ οὐκ αἰσχύνονται, οὐδὲ φρίττουσιν, οὕτω παρέργως εἰς ἀκροατήριον θεῖον εἰσερχόμενοι.

Ἀλλ' ἂν μὲν κιθαρῳδὸς ἢ ὀρχηστὴς ἢ ἄλλος τῶν ἐπὶ τῆς σκηνῆς καλέσῃ τὴν πόλιν, μετὰ σπουδῆς ἅπαντες τρέχουσι, καὶ χάριν αὐτῷ τῆς κλήσεως ἴσασι, καὶ ἡμέρας ὁλοκλήρου τὸ ἥμισυ μέρος ἀναλίσκουσιν, ἐκείνῳ μόνῳ προσέχοντες, τοῦ δὲ Θεοῦ διὰ προφητῶν καὶ ἀποστόλων ἡμῖν διαλεγομένου, χασμώμεθα, κνώμεθα, ἰλιγγιῶμεν. Καὶ ἐν μὲν τῷ θέρει πολὺς ὁ αὐχμὸς εἶναι δοκεῖ, καὶ τὴν ἀγορὰν καταλαμβάνομεν, καὶ ἐν χειμῶνι πάλιν ὁ ὑετὸς κώλυμα καὶ ὁ πηλός, καὶ οἴκοι καθήμεθα· καὶ ἐν μὲν ταῖς ἱπποδρομίαις, οὐκ ὀρόφου ἐπικειμένου τοῦ τὸν ὑετὸν στέγοντος, οἱ πλείους, πολλῶν ὄμβρων καταφερομένων, καὶ ἀνέμου τὸ ὕδωρ εἰς τὰς ὄψεις ῥιπίζοντος, ἑστήκασι μαινόμενοι, καὶ ψύχους καὶ ὑετοῦ καὶ πηλοῦ καὶ μήκους ὁδοῦ καταφρονοῦντες, καὶ οὐδὲν αὐτοὺς οὔτε οἴκοι κατέχει, οὔτε ἐκεῖ κωλύει διαβῆναι, ἐνταῦθα δέ, καὶ ὀρόφων ἐπικειμένων, καὶ θέρμης οὔσης θαυ-

καὶ εἴδομεν τὰ ἀπόρρητα μυστήρια καὶ ἐκλήθημεν πρὸς μίαν τόσον μεγάλην τιμήν, πρέπει ἐπιδεικνύοντες ὅλην τὴν παρρησίαν μας ὑπὲρ τοῦ Χριστοῦ πρὸς ἐκείνους ποὺ ἐπιχειροῦν νὰ κατηγοροῦν καὶ νὰ λέγουν κάτι ἐναντίον τῶν χριστιανῶν νὰ τοὺς ἀποστομώνωμεν καὶ νὰ μὴ δείχνωμεν ἁπλῶς ἀνοχὴν πρὸς αὐτούς. Θὰ ἠμπορέσωμεν δὲ αὐτὸ νὰ τὸ κάμωμεν, ἐὰν καὶ παρρησίαν ἔχωμεν καὶ προσέχωμεν εἰς τὰς Γραφὰς καὶ δὲν ἀκούωμεν αὐτὰς ἀδιάφορα˙ διότι, ἐὰν κάποιος ἔρχεται ἐδῶ μὲ ὅλην τὴν προσοχήν του καὶ ἂν ἀκόμη δὲν ἀναγινώσκῃ αὐτὰς εἰς τὴν οἰκίαν του, ἀλλὰ προσέχῃ αὐτὰ ποὺ λέγονται ἐδῶ, ἀρκεῖ καὶ ἕνας χρόνος διὰ νὰ ἀποκτήσῃ πολλὴν ἐμπειρίαν˙ διότι δὲν ἀναγινώσκομεν σήμερον μὲν αὐτάς, αὔριον δὲ ἄλλας Γραφάς, ἀλλὰ πάντοτε τὰς ἰδίας καὶ διὰ παντός˙ ἀλλ' ὅμως τόσον ἐλεεινοὶ εἶναι οἱ πολλοί, ὥστε μετὰ τόσην ἀνάγνωσιν νὰ μὴ γνωρίζουν οὔτε τὰ ὀνόματα τῶν βιβλίων, καὶ δὲν ἐντρέπονται, οὔτε φρίττουν, εἰσερχόμενοι μὲ τόσην ἀδιαφορίαν εἰς θεῖον ἀκροατήριον.

Ἀλλ' ἐὰν μὲν καλέσῃ τὴν πόλιν κιθαρῳδὸς ἢ ὀρχηστὴς ἢ κάποιος ἄλλος θεατρίνος, ὅλοι τρέχουν μὲ πολλὴν προθυμίαν καὶ εὐγνωμονοῦν αὐτὸν διὰ τὴν πρόσκλησιν καὶ περνοῦν τὸ ἥμισυ ὁλοκλήρου τῆς ἡμέρας προσέχοντες μόνον εἰς ἐκεῖνον, ἐνῷ ὅταν ὁ Θεὸς μᾶς ὁμιλῇ διὰ τῶν προφητῶν καὶ τῶν ἀποστόλων, χασμουριόμεθα, ξυνόμεθα καὶ νοιώθομεν ζάλην. Καὶ κατὰ τὸ θέρος μὲν ποὺ ὑπάρχει πολὺς καύσων καταφεύγομεν εἰς τὴν ἀγοράν, κατὰ τὸν χειμῶνα πάλιν γίνεται ἐμπόδιον ἡ βροχὴ καὶ ἡ λάσπη καὶ μένομεν εἰς τὴν οἰκίαν, ἐνῷ κατὰ τὰς ἱπποδρομίας ἂν καὶ δὲν ὑπάρχει στέγη ποὺ νὰ ἐμποδίζῃ τὴν βροχήν, οἱ περισσότεροι, ἂν καὶ πίπτει πολλὴ βροχὴ καὶ ρίπτει ὁ ἀέρας τὴν βροχὴν εἰς τὰ πρόσωπά των, στέκονται ἐκεῖ ὡσὰν τρελλοί, περιφρονοῦντες καὶ τὸ ψῦχος καὶ τὴν βροχὴν καὶ τὴν λάσπην καὶ τὸ μῆκος τῆς ὁδοῦ, καὶ τίποτε οὔτε τοὺς κρατεῖ αὐτοὺς εἰς τὴν οἰκίαν οὔτε τοὺς ἐμποδίζει νὰ μεταβοῦν ἐκεῖ, ἐνῷ ἐδῶ, ἂν καὶ ὑπάρχει στέγη καὶ θαυμασία ζέστη,

μαστῆς, ἀναδύονται καὶ οὐ συντρέχουσι, καὶ ταῦτα ἐπὶ κέρδει τῆς οἰκείας ψυχῆς.

Ποῦ ταῦτα ἀνεκτά; εἰπέ μοι. Διὰ τοῦτο, ἐν ἐκείνοις πάντων ὄντες ἐμπειρότεροι, ἐν τοῖς ἀναγκαίοις παίδων ἐσμὲν ἀμαθέστεροι. Κἂν μὲν τίς (σε) ἡνίοχον καὶ ὀρχηστὴν καλέσῃ, ὑβρίσθαι φής, καὶ πάντα ποιεῖς, ὥστε σε τὸ ὄνειδος ἀποτρίψασθαι, ἂν δὲ ἐπὶ τὴν θεωρίαν σε ἑλκύσῃ τοῦ πράγματος, οὐκ ἀποπηδᾷς· καὶ ἧς τὸ ὄνομα φεύγεις τέχνης, ταύτην μεταδιώκεις σχεδὸν ἅπασαν· ἔνθα δὲ καὶ τὸ πρᾶγμα καὶ τὸ ὄνομα ἔχειν ὀφείλεις, καὶ εἶναι καὶ καλεῖσθαι Χριστιανός, οὐδὲ τί ποτέ ἐστι τὸ πρᾶγμα οἶδας. Τί ταύτης τῆς ἀνοίας γένοιτ' ἂν χεῖρον; Ταῦτα ἐβουλόμην συνεχῶς λέγειν πρὸς ὑμᾶς, δέδοικα δὲ μὴ μάτην ἀπεχθάνωμαι καὶ κέρδους χωρίς· ὁρῶ γὰρ μεμηνότας οὐ νέους μόνον, ἀλλὰ καὶ γέροντας, ἐφ' ὧν μάλιστα αἰσχύνομαι, ὅταν ἴδω ἄνδρα ἀπὸ τῆς πολιᾶς αἰδέσιμον, καταισχύνοντα τὴν πολιάν, καὶ παιδίον ἐπισυρόμενον· τί γὰρ τοῦ γέλωτος τούτου χεῖρον; τί τοῦ ἔργου τούτου αἰσχρότερον; ὁ παῖς παρὰ τοῦ πατρὸς διδάσκεται ἀσχημονεῖν.

5. Δάκνει τὰ ῥήματα; Τοῦτο κἀγὼ βούλομαι, ἀνασχέσθαι ὑμᾶς τῆς διὰ τῶν ῥημάτων ἀλγηδόνος, ἵνα τῆς διὰ τῶν πραγμάτων ἀσχημοσύνης ἀπαλλαγῆτε· καὶ γάρ εἰσί τινες, οἱ πολλῷ ψυχρότεροι τούτων ὄντες, οἳ οὐδὲ αἰσχύνονται ἐπὶ τοῖς λεγομένοις, ἀλλὰ καὶ μακρὸν εἴρουσιν ὑπὲρ τοῦ πράγματος λόγον. Κἂν μὲν ἐρωτήσῃς, Τίς ἐστιν ὁ Ἀμὼς ἢ ὁ Ἀβδιοῦ ἢ ποῖος τῶν προφητῶν ὁ ἀριθμὸς ἢ τῶν ἀποστόλων, οὐδὲ χάναι δύνανται, ὑπὲρ δὲ ἵππων καὶ ἡμιόνων, σοφιστῶν καὶ ῥητόρων δεινότερον ἀπολογίαν συντιθέασι, καὶ μετὰ ταῦτα ἅπαντα λέγουσι· Καὶ τί τὸ βλάβος; καὶ τίς ἡ

ἀποφεύγουν καὶ δὲν ἔρχονται, καὶ ὅλα αὐτὰ τὴν στιγμὴν ποὺ πρόκειται διὰ τὴν ὠφέλειαν τῆς ψυχῆς των.

Πῶς λοιπόν, εἰπέ μου, τὰ ἀνέχονται αὐτά; Διὰ τοῦτο ἐνῷ εἴμεθα εἰς ἐκεῖνα ἐμπειρότεροι ἀπὸ ὅλους, ὅμως εἰς τὰ ἀναγκαῖα εἴμεθα ἀμαθέστεροι καὶ ἀπὸ τὰ παιδιά. Καὶ ἂν μὲν κάποιος σὲ ἀποκαλέσῃ ἡνίοχον καὶ ὀρχηστήν, τὸ θεωρεῖς ὕβριν καὶ ὅλα τὰ κάμνεις, ὥστε νὰ ἐξαλείψῃς τὴν ὕβριν, ἂν ὅμως σὲ προσκαλέσῃ διὰ νὰ ἰδῇς ὀρχηστὰς ἢ ἡνιόχους, δὲν τὸ ἀρνεῖσαι· καὶ τῆς τέχνης ποὺ καὶ τὸ ὄνομα ἀποφεύγεις, τρέχεις σχεδὸν ἐξ ὁλοκλήρου πίσω ἀπὸ αὐτήν. Ἐκεῖνο ὅμως ποὺ καὶ πρέπει νὰ εἶσαι καὶ τὸ ὄνομά του νὰ ἔχῃς, δηλαδὴ καὶ νὰ εἶσαι καὶ νὰ ὀνομάζεσαι χριστιανός, δὲν γνωρίζεις τί τέλος πάντων εἶναι αὐτὸ τὸ πρᾶγμα. Τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ χειρότερον ἀπὸ αὐτὴν τὴν μωρίαν; Αὐτὰ θὰ ἤθελα νὰ σᾶς λέγω συνεχῶς, φοβοῦμαι ὅμως μήπως ἄδικα γίνομαι μισητὸς καὶ χωρὶς κέρδος· διότι βλέπω νὰ εἶναι κυριευμένοι ἀπὸ αὐτὴν τὴν μανίαν ὄχι μόνον οἱ νέοι, ἀλλὰ καὶ οἱ γέροντες, διὰ τοὺς ὁποίους πρὸ πάντων ἐντρέπομαι, ὅταν ἰδῶ ἄνδρα ποὺ εἶναι ἄξιος σεβασμοῦ ἐξ αἰτίας τῶν λευκῶν μαλλιῶν του, νὰ κατεντροπιάζῃ αὐτὰ καὶ νὰ σύρῃ μαζί του καὶ τὸ παιδί του· διότι τί ὑπάρχει χειρότερον ἀπὸ αὐτὴν τὴν γελοιότητα; τί αἰσχρότερον ἀπὸ αὐτὸ τὸ ἔργον; τὸ παιδὶ διδάσκεται ἀπὸ τὸν πατέρα νὰ ἀσχημονῇ.

5. Πληγώνουν οἱ λόγοι μου; Αὐτὸ θέλω καὶ ἐγώ, νὰ ὑποφέρετε τὸν πόνον ποὺ προκαλοῦν οἱ λόγοι μου, ὥστε ν' ἀπαλλαγῆτε ἀπὸ τὴν ἀσχημοσύνην τῶν ἔργων σας· καθ' ὅσον ὑπάρχουν ὡρισμένοι ποὺ εἶναι πολὺ πιὸ ψυχρότεροι ἀπὸ αὐτοὺς καὶ ποὺ ὄχι μόνον δὲν ἐντρέπονται ἀπὸ τὰ λεγόμενα, ἀλλὰ καὶ κάμνουν μακρὰν συζήτησιν δι' αὐτὰ τὰ πράγματα. Καὶ ἂν μὲν τοὺς ἐρωτήσῃς, 'Ποῖος εἶναι ὁ 'Αμὼς ἢ ὁ 'Αβδιοῦ ἢ πόσοι εἶναι οἱ προφῆται, ἢ οἱ ἀπόστολοι', δὲν ἠμποροῦν οὔτε τὸ στόμα των ν' ἀνοίξουν, ὅμως διὰ τοὺς ἵππους καὶ τοὺς ἡνιόχους συντάσσουν ἀπολογίαν πολὺ καλυτέραν καὶ ἀπὸ τοὺς σοφιστὰς καὶ τοὺς ῥήτορας, καὶ μετὰ ἀπὸ ὅλα αὐτὰ λέγουν· 'Καὶ ποία ἡ βλάβη; καὶ

ζημία;'. Διὰ γὰρ τοῦτο στένω, ὅτι οὐδὲ ζημίαν ἴστε τὸ πρᾶγμα, οὐδὲ αἴσθησιν λαμβάνετε τῶν κακῶν. Ἔδωκέ σοι βίου προθεσμίαν ὁ Θεὸς εἰς τὸ θεραπεύειν αὐτόν, σὺ δέ, μάτην ἀναλίσκων αὐτὸν καὶ εἰκῇ καὶ ἐν οὐδενὶ χρησίμῳ, ἐξετάζεις ἔτι, τίς ἡ ζημία; Κἂν μὲν ἀργύριον ὀλίγον δαπανήσῃς ἁπλῶς, ζημίαν τὸ πρᾶγμα καλεῖς, τὰς δὲ ἡμέρας σου δαπανῶν ὁλοκλήρους εἰς σατανικὰς πομπάς, οὐδὲν ἡγῇ ποιεῖν ἄτοπον; Δέον εἰς λιτὰς καὶ εὐχὰς δαπανᾶν σου τὴν ζωὴν ἅπασαν, σὺ δὲ εἰς κραυγάς, καὶ θορύβους, καὶ αἰσχρὰ ῥήματα, καὶ μάχην, καὶ τέρψιν ἄκαιρον, καὶ ἔργα, ἀπὸ μαγγανείας γινόμενα, τὸν βίον σου καταναλίσκεις εἰκῇ καὶ ἐπὶ κακῷ τῷ σῷ, καὶ μετὰ ταῦτα πάντα ἐρωτᾷς, τίς ἡ ζημία; οὐκ εἰδὼς ὅτι παντὸς μᾶλλον ἀφειδεῖν χρὴ ἢ χρόνου. Χρυσίον ἂν ἀναλώσῃς, δυνήσῃ πάλιν ἀνακτήσασθαι, χρόνον δὲ ἂν ἀπολέσῃς, δυσκόλως αὐτὸν ἀναλήψῃ· ὀλίγος γὰρ ἡμῖν τεταμίευται κατὰ τὸν παρόντα βίον. Ἂν οὖν εἰς δέον αὐτῷ μὴ χρησώμεθα, τί ἐροῦμεν ἀπελθόντες ἐκεῖ; Εἰπὲ γάρ μοι, εἴ τινά σου τῶν υἱῶν ἐκέλευσας τέχνην μαθεῖν, εἶτα ἐκεῖνος οἴκοι διὰ παντὸς ἔμενεν, ἢ καὶ ἀλλαχοῦ που διέτριβεν, οὐκ ἂν αὐτὸν παρῃτήσατο ὁ διδάσκαλος; οὐκ ἂν εἶπε πρὸς σέ· 'Συγγραφὴν πρός με πεποίηκας, καὶ χρόνον ὥρισας· εἰ μὴ μέλλει τοίνυν τὸν χρόνον τοῦτον παρ' ἡμῖν, ἀλλ' ἑτέρωθι ἀναλίσκειν ὁ παῖς, πῶς σοι παραστησόμεθα μαθητήν;'.

Ταῦτα καὶ ἡμᾶς εἰπεῖν ἀνάγκη. Ἐρεῖ δὲ καὶ ὁ Θεὸς ἡμῖν· 'Χρόνον ὑμῖν δέδωκα', φησί, 'πρὸς τὸ μαθεῖν τὴν τέχνην ταύτην τὴν τῆς εὐλαβείας, τίνος ἕνεκεν εἰκῇ καὶ μάτην τὸν χρόνον ἀνηλώσατε τοῦτον; τί δὲ πρὸς τὸν διδάσκαλον συνεχῶς οὐκ ἐβαδίζετε, οὐδὲ προσείχετε τοῖς λεγομένοις;'. Ὅτι γὰρ τέχνη ἐστὶν ἡ εὐλάβεια, ἄκουσον τί φησιν ὁ προφήτης· «Δεῦτε, τέκνα, ἀκούσατέ μου, φόβον Κυρίου διδάξω ὑμᾶς», καὶ πάλιν· «Μακάριος ἄνθρωπος,

---

9. Ψαλμ. 33, 12.

ποία ἡ ζημία;'. Καὶ ἀκριβῶς δι' αὐτὸ στενάζω, διότι δὲν γνωρίζετε τὴν ζημίαν ποὺ περιέχει τὸ πρᾶγμα, οὔτε αἰσθάνεσθε τὰ κακὰ ποὺ προξενεῖ. Σοῦ ἔδωσεν ὁ Θεὸς προθεσμίαν ζωῆς διὰ νὰ λατρεύῃς αὐτόν, σὺ ὅμως, ἐξοδεύων τὴν ζωήν σου ἄσκοπα καὶ εἰς τὰ χαμένα καὶ πρὸς καμμίαν ὠφέλειαν, ἐξετάζεις ἀκόμη, ποία εἶναι ἡ ζημία; Καὶ ἂν μὲν δαπανήσῃς ἁπλῶς καὶ μόνον ὀλίγα χρήματα, ὀνομάζεις τὸ πρᾶγμα ζημίαν, δαπανῶν ὅμως ὁλοκλήρους τὰς ἡμέρας σου εἰς σατανικὰς πομπάς, νομίζεις ὅτι δὲν κάμνεις τίποτε τὸ κακόν; Ἐνῷ πρέπει νὰ δαπανῇς ὅλην τὴν ζωήν σου εἰς παρακλήσεις καὶ προσευχάς, σὺ ὅμως καταδαπανῇς τὴν ζωήν σου ἄσκοπα καὶ πρὸς κακὸν τοῦ ἑαυτοῦ σου, εἰς κραυγὰς καὶ θορύβους καὶ αἰσχρὰ λόγια καὶ διαμάχας καὶ κακὰς ἀπολαύσεις καὶ εἰς ἔργα ποὺ προέρχονται ἀπὸ τὴν μαγείαν, καὶ μετὰ ἀπὸ ὅλα αὐτὰ ἐρωτᾷς, ποία εἶναι ἡ ζημία; δὲν γνωρίζεις ὅτι πρέπει τὸν χρόνον νὰ τὸν ἐξοδεύωμεν μὲ περίσκεψιν περισσότερον ἀπὸ ὁ,τιδήποτε ἄλλο πρᾶγμα; Χρήματα ἐὰν ἐξοδεύσῃς θὰ ἠμπορέσῃς πάλιν νὰ τὰ ἀποκτήσῃς, ἂν ὅμως χάσῃς χρόνον, δύσκολα θὰ τὸν ἀποκτήσῃς· διότι ὀλίγος χρόνος μᾶς ἔχει ἐπιφυλαχθῆ κατὰ τὴν παροῦσαν ζωήν. Ἂν λοιπὸν δὲν τὸν χρησιμοποιήσωμεν ὅπως πρέπει, τί θὰ εἰποῦμεν ὅταν μεταβῶμεν εἰς τὴν ἄλλην ζωήν; Διότι εἰπέ μου· ἐὰν κάποιος ἀπὸ τοὺς υἱούς σου τοῦ ἔλεγες νὰ μάθῃ μίαν τέχνην καὶ ἐκεῖνος διέμενε συνεχῶς εἰς τὴν οἰκίαν ἢ καὶ ἐπερνοῦσε κάπου ἀλλοῦ τὸν καιρόν του, δὲν θὰ τὸν ἐζητοῦσεν ὁ διδάσκαλος; δὲν θὰ σοῦ ἔλεγεν· Ὑπέγραψες συμφωνίαν μαζί μου καὶ ὥρισες χρόνον· ἐὰν λοιπὸν δὲν πρόκειται ὁ υἱός σου νὰ ἐξοδεύῃ τὸν χρόνον αὐτὸν κοντά μου, ἀλλὰ νὰ τὸν ἐξοδεύῃ ἀλλοῦ, πῶς θὰ σοῦ προσφέρωμεν μαθητήν;'.

Αὐτὰ πρέπει νὰ εἰποῦμεν καὶ ἡμεῖς. Θὰ εἰπῇ δὲ καὶ ὁ Θεὸς εἰς ἡμᾶς. 'Χρόνον σᾶς ἔδωσα, θὰ εἰπῇ, διὰ νὰ μάθετε αὐτὴν τὴν τέχνην τῆς εὐλαβείας· διατί ἐξωδεύσατε αὐτὸν τὸν χρόνον ἄδικα καὶ ἄσκοπα; διατί δὲν ἐπηγαίνατε συνεχῶς πρὸς τὸν διδάσκαλον καὶ οὔτε ἐπροσέχατε τοὺς λόγους του; Τὸ ὅτι βέβαια εἶναι τέχνη ἡ εὐλάβεια, ἄκουσε τί λέγει ὁ προφήτης· «Ἐλᾶτε τέκνα, ἀκούσατέ μου, διό-

ὃν ἂν παιδεύσῃς, Κύριε, καὶ ἐκ τοῦ νόμου σου διδάξῃς αὐτόν». Ὅταν οὖν τοῦτον ἀναλώσῃς εἰκῇ, ποίαν ἕξεις ἀπολογίαν; Καὶ τίνος ἕνεκεν, φησίν, ὀλίγον ἡμῖν ἐταμιεύσατο χρόνον; Ὦ τῆς ἀναισθησίας καὶ τῆς ἀγνωμοσύνης! ὑπὲρ οὗ μάλιστα εὐχαριστεῖν ἔδει, ὅτι σοι τοὺς πόνους ἀπέτεμε, καὶ τοὺς ἱδρῶτας ἐνέκοψε, καὶ τὴν ἀνάπαυσιν μακρὰν ἐποίησε καὶ ἀθάνατον, ὑπὲρ τούτων ἐγκαλεῖς καὶ δυσχεραίνεις;

Ἀλλὰ γὰρ οὐκ οἶδα πῶς ἐνταῦθα τὸν λόγον ἐξηγάγομεν, καὶ μακρὸν εἰργασάμεθα. Διό περ ἀναγκαῖον αὐτὸν συστεῖλαι πάλιν· καὶ γὰρ καὶ τοῦτο τῆς ἡμετέρας ταλαιπωρίας, ὅτι ἐνταῦθα μέν, ἂν μακρὸς γένηται ὁ λόγος, πάντες ἀκηδιῶμεν, ἐκεῖ δέ, ἐκ μέσης ἡμέρας ἀρχόμενοι, ὑπὸ λαμπάσι καὶ λύχνοις ἀναχωροῦσιν. Ἀλλ' ἵνα μὴ ἀεὶ ἐγκαλῶμεν, παρακαλοῦμεν ὑμᾶς λοιπὸν καὶ δεόμεθα· Δότε ταύτην τὴν χάριν καὶ ἡμῖν καὶ ἑαυτοῖς, καί, πάντων ἀπαλλαγέντες τῶν ἄλλων, τούτοις ἑαυτοὺς προσηλώσωμεν· κερδανοῦμεν γὰρ καὶ ἡμεῖς ἐξ ὑμῶν τὴν χαρὰν καὶ τὴν εὐφροσύνην, καὶ τὸ σεμνύνεσθαι ἐφ' ὑμῖν, καὶ τὴν ἐπὶ τούτοις λαβεῖν ἀμοιβήν· τὸν δὲ μισθὸν ἅπαντα ὑμεῖς καρπώσεσθε, ὅτι, μανικῶς οὕτω προσηλωμένοι τῇ ὀρχήστρᾳ πρὸ τούτου, διὰ τὸν τοῦ Θεοῦ φόβον καὶ τὴν ἡμετέραν παράκλησιν ἀπερρήξατε τοῦ νοσήματος ἑαυτοὺς ἐκείνου, καὶ τὰ δεσμὰ διελύσατε, καὶ πρὸς τὸν Θεὸν ἐδράμετε. Οὐκ ἐκεῖ δὲ μόνον λήψεσθε τὸν μισθόν· ἀλλὰ καὶ ἐνταῦθα εἰλικρινῆ καρπώσεσθε τὴν ἡδονήν· τοιοῦτον γὰρ ἡ ἀρετή· μετὰ τῶν ἐκεῖ στεφάνων καὶ ἐνταῦθα ἡδὺν καθίστησιν ἡμῖν τὸν βίον.

Πειθώμεθα τοίνυν τοῖς εἰρημένοις, ἵνα καὶ τῶν ἐνταῦθα καὶ τῶν ἐκεῖσε ἐπιτύχωμεν ἀγαθῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

10. Ψαλμ. 93, 12.

ὁ ἄνθρωπος ἐκεῖνος, Κύριε, ποὺ θὰ τὸν παιδεύσῃς καὶ θὰ τὸν διδάξῃς ἀπὸ τὸν νόμον σου»[10]. Ὅταν λοιπὸν τὸν δαπανάσῃς αὐτὸν ἄσκοπα, ποίαν ἀπολογίαν θὰ ἔχῃς; Καὶ διατί, λέγει, μᾶς ἐπεφύλαξεν ὀλίγον χρόνον; Ὢ μέγεθος ἀναισθησίας καὶ ἀχαριστίας! δι᾽ ἐκεῖνο ποὺ ἔπρεπε πρὸ πάντων νὰ τὸν εὐχαριστῇς, διότι ὠλιγόστευσε τοὺς κόπους σου καὶ ἀπέκοψε τοὺς ἱδρῶτας σου καὶ ἔκαμε τὴν ἀνάπαυσίν σου μακρὰν καὶ ἀθάνατον, δι᾽ αὐτὰ σὺ τὸν κατηγορεῖς καὶ δυσανασχετεῖς;

Ἀλλ᾽ ὅμως δὲν γνωρίζω πῶς μετεφέραμεν τὸν λόγον ἐδῶ καὶ τὸν ἐμακρύναμεν τόσον πολύ. Διὰ τοῦτο λοιπὸν εἶναι ἀνάγκη νὰ τὸν συντομεύσωμεν πάλιν· καθ᾽ ὅσον καὶ αὐτὸ εἶναι δεῖγμα τῆς ἀθλιότητός μας, ὅτι ἐδῶ μέν, ἂν μακρύνῃ ὁ λόγος, ὅλοι δείχνομεν ἀδιαφορίαν, ἐνῷ εἰς τὰς ἱπποδρομίας μολονότι ἀρχίζουν ἀπὸ τὸ μεσημέρι, ἀναχωροῦν ὑπὸ τὸ φῶς τῶν λαμπάδων καὶ τῶν λύχνων. Ἀλλὰ διὰ νὰ μὴ κατηγοροῦμεν πάντοτε, σᾶς παρακαλοῦμεν λοιπὸν καὶ σᾶς ἱκετεύομεν· Δώσατε αὐτὴν τὴν χαρὰν καὶ εἰς ἐμένα καὶ εἰς τοὺς ἑαυτούς σας, καί, ἀφοῦ ἀπαλλαγῶμεν ἀπὸ ὅλα τὰ ἄλλα, ἂς προσηλώσωμεν τοὺς ἑαυτούς μας εἰς αὐτά· διότι θὰ κερδίσω καὶ ἐγὼ ἀπὸ σᾶς τὴν χαρὰν καὶ τὴν εὐφροσύνην καὶ τὸ νὰ ὑπερηφανεύωμαι διὰ σᾶς, καὶ θὰ λάβω τὴν ἀμοιβὴν δι᾽ αὐτά· τὸν δὲ μισθὸν ὅλον θὰ τὸν καρπωθῆτε σεῖς, διότι, ἂν καὶ ἤσασθε προηγουμένως μὲ μανίαν προσηλωμένοι εἰς τὴν ὀρχήστραν, ἐξ αἰτίας τοῦ φόβου πρὸς τὸν Θεὸν καὶ τῆς ἰδικῆς μου παρακλήσεως ἀπηλλάξατε τοὺς ἑαυτούς σας ἀπὸ ἐκείνην τὴν νόσον καὶ ἐσπάσατε τὰ δεσμὰ καὶ ἐτρέξατε πρὸς τὸν Θεόν. Δὲν θὰ λάβετε μόνον ἐκεῖ τὸν μισθόν, ἀλλὰ καὶ ἐδῶ θὰ καρπωθῆτε τὴν πραγματικὴν ἡδονήν· διότι τέτοια εἶναι ἡ ἀρετή· μαζὶ μὲ τοὺς ἐκεῖ στεφάνους καὶ ἐδῶ καθιστᾷ τὴν ζωὴν εὐχάριστον.

Ἂς δείχνωμεν λοιπὸν πίστιν εἰς τὰ λεγόμενα, ὥστε νὰ ἐπιτύχωμεν τὰ ἀγαθὰ καὶ τῆς ἐδῶ ζωῆς καὶ τῆς ἐκεῖ μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα ἀνήκει ἡ δόξα, συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα, εἰς τοὺς αἰῶνας τῶν

ΟΜΙΛΙΑ ΝΘ΄

Ἰω. 9, 34 - 10, 13

«*Καὶ ἐξέβαλον αὐτὸν ἔξω. Καὶ ἤκουσεν ὁ Ἰησοῦς ὅτι ἐξέβαλον αὐτὸν ἔξω, καὶ εὑρὼν αὐτόν, εἶπεν αὐτῷ· Σὺ πιστεύεις εἰς τὸν Υἱὸν τοῦ Θεοῦ; Ἀπεκρίθη ἐκεῖνος, καὶ εἶπε· Καὶ τίς ἐστι, Κύριε, ἵνα πιστεύσω εἰς αὐτόν;*».

1. Οἱ διὰ τὴν ἀλήθειαν καὶ τὴν εἰς Χριστὸν ὁμολογίαν πάσχοντές τι δεινὸν καὶ ὑβριζόμενοι, οὗτοι μάλιστά εἰσιν οἱ τιμώμενοι· ὥσπερ γὰρ ὁ χρήματα ἀπολλὺς δι' αὐτόν, οὗτος μάλιστά ἐστιν ὁ εὑρίσκων, καὶ ὁ τὴν ψυχὴν αὐτοῦ μισῶν, αὐτὸς μάλιστά ἐστιν ὁ φιλῶν, οὕτω καὶ ὁ ὑβριζόμενος, οὗτος μάλιστά ἐστιν ὁ τιμώμενος· ὅπερ καὶ ἐπὶ τοῦ τυφλοῦ γεγένηται. Ἐξέβαλον οὖν αὐτὸν ἐκ τοῦ ἱεροῦ οἱ Ἰουδαῖοι, καὶ εὗρεν αὐτὸν ὁ Δεσπότης τοῦ ἱεροῦ. Ἀπηλλάγη τοῦ συνεδρίου τοῦ λοιμικοῦ, καὶ περιέτυχε τῇ σωτηρίῳ πηγῇ· ἠτιμάσθη παρὰ τῶν τὸν Χριστὸν ἀτιμασάντων, καὶ ἐτιμήθη παρὰ τοῦ τῶν ἀγγέλων Δεσπότου (τοιαῦτα τὰ τῆς ἀληθείας ἔπαθλα). Οὕτω καὶ ἡμεῖς, ἂν ἐνταῦθα ἀφῶμεν τὰ χρήματα, εὑρίσκομεν ἐκεῖ παρρησίαν· ἂν ἐνταῦθα δῶμεν τοῖς θλιβομένοις, ἀναπαυσόμεθα ἐν τοῖς οὐρανοῖς· ἂν ὑβρισθῶμεν διὰ τὸν Θεόν, τιμώμεθα καὶ ἐνταῦθα καὶ ἐκεῖ.

Ὡς δὲ ἐξέβαλον αὐτὸν ἐκ τοῦ ἱεροῦ, εὗρεν αὐτὸν ὁ Ἰησοῦς. Δείκνυσιν ὁ Εὐαγγελιστὴς ὅτι ἐπὶ τούτῳ ἦλθεν, ὥστε αὐτῷ συντυχεῖν. Καὶ ὅρα τίσιν αὐτὸν ἀμείβεται, τῷ κεφαλαίῳ τῶν ἀγαθῶν· καὶ γὰρ ἑαυτὸν ἐγνώρισεν αὐτῷ, πρότερον ἀγνοοῦντι, καὶ εἰς τὸν τῶν οἰκείων μαθητῶν ἐγκα-

ΟΜΙΛΙΑ ΝΘ΄

Ἰω. 9, 34 - 10, 13

«Καὶ τὸν ὡδήγησαν βιαίως ἔξω. Καὶ ἤκουσεν ὁ Ἰησοῦς ὅτι τὸν ἐξεδίωξαν καὶ ὅταν τὸν ηὗρεν, εἶπεν εἰς αὐτόν· Σὺ πιστεύεις εἰς τὸν Υἱὸν τοῦ Θεοῦ; Ἀπεκρίθη ἐκεῖνος καὶ εἶπε· Καὶ ποῖος εἶναι, Κύριε, διὰ νὰ πιστεύσω εἰς αὐτόν;».

1. Ἐκεῖνοι ποὺ πάσχουν κάποιο κακὸν καὶ ὑβρίζονται διὰ τὴν ἀλήθειαν καὶ τὴν ὁμολογίαν των διὰ τὸν Χριστόν, αὐτοὶ πρὸ πάντων εἶναι ἐκεῖνοι ποὺ τιμῶνται· διότι ὅπως ἀκριβῶς ἐκεῖνος ποὺ ἔχασε χρήματα δι' αὐτόν, αὐτὸς πρὸ πάντων εἶναι ἐκεῖνος ποὺ εὑρίσκει αὐτά, καὶ αὐτὸς ποὺ ἀγαπᾷ αὐτόν, ἔτσι καὶ αὐτὸς ποὺ ὑβρίζεται, αὐτὸς εἶναι ἐκεῖνος ποὺ κατ' ἐξοχὴν τιμᾶται, πρᾶγμα ποὺ συνέβη καὶ εἰς τὴν περίπτωσιν τοῦ τυφλοῦ. Τὸν ἐξεδίωξαν λοιπὸν οἱ Ἰουδαῖοι ἀπὸ τὸ ἱερὸν καὶ ηὗρεν αὐτὸν ὁ Κύριος τοῦ ἱεροῦ. Ἀπηλλάγη ἀπὸ τὸ θανατηφόρον δικαστήριον καὶ συνήντησε τὴν σωτήριον πηγήν· ἠτιμάσθη ἀπὸ ἐκείνους ποὺ ἠτίμασαν τὸν Χριστὸν καὶ ἐτιμήθη ἀπὸ τοὺς ἀγγέλους τοῦ Κυρίου (τέτοια εἶναι τὰ ἔπαθλα τῆς ἀληθείας). Ἔτσι καὶ ἡμεῖς, ἂν περιφρονήσωμεν ἐδῶ τὰ χρήματα, εὑρίσκομεν ἐκεῖ παρρησίαν· ἂν τὰ δώσωμεν εἰς τοὺς θλιβομένους, θὰ ἀναπαυθῶμεν εἰς τοὺς οὐρανούς· ἂν ὑβρισθῶμεν χάριν τοῦ Θεοῦ, τιμώμεθα καὶ εἰς τὴν ἐδῶ ζωὴν καὶ εἰς τὴν ἐκεῖ.

Μόλις δὲ ἐξεδίωξαν αὐτὸν ἀπὸ τὸ ἱερόν, ηὗρεν αὐτὸν ὁ Ἰησοῦς. Δείχνει ὁ Εὐαγγελιστὴς ὅτι δι' αὐτὸν τὸν σκοπὸν ἦλθεν, διὰ νὰ τὸν συναντήσῃ. Καὶ πρόσεχε μὲ τί τὸν ἀμείβει, μὲ τὸ ἀποκορύφωμα τῶν ἀγαθῶν· καθ' ὅσον καὶ τὸν ἑαυτόν του ἐφανέρωσεν εἰς αὐτὸν ποὺ προηγουμένως δὲν τὸν ἐγνώριζε, καὶ κατέταξεν αὐτὸν εἰς τὸν χορὸν

τέλεξε χορόν. Σὺ δὲ σκόπει, πῶς τὴν ἀκρίβειαν ὁ Εὐαγγελιστὴς ἐξηγεῖται· εἰπόντος γὰρ αὐτοῦ· «Σὺ πιστεύεις εἰς τὸν Υἱὸν τοῦ Θεοῦ;», λέγει· «Κύριε, καὶ τίς ἐστιν;»· οὐδέπω γὰρ αὐτὸν ᾔδει, καίτοι τεθεραπευμένος· τυφλὸς γὰρ ἦν, πρὶν ἢ πρὸς τὸν εὐεργέτην ἐλθεῖν, καὶ μετὰ τὴν ἴασιν ὑπὸ τῶν κυνῶν ἐκείνων περιείλκετο. Καθάπερ οὖν τις ἀγωνοθέτης, ἀθλητὴν πολλὰ καμόντα καὶ στεφανωθέντα δέχεται. Καὶ τί φησιν· «Πιστεύεις εἰς τὸν Υἱὸν τοῦ Θεοῦ;». Τί τοῦτο; Μετὰ τοσαύτην ἀντίρρησιν, τὴν πρὸς τοὺς Ἰουδαίους, μετὰ τοσαῦτα ῥήματα ἐρωτᾷ, «Εἰ πιστεύεις», οὐκ ἀγνοῶν, ἀλλὰ βουλόμενος ἑαυτὸν γνωρίσαι, καὶ δεικνὺς ὅτι πολλοῦ τιμᾶται τὴν αὐτοῦ πίστιν. 'Ὕβρισέ με δῆμος τοσοῦτος', φησίν, 'ἀλλ' οὐδείς ἐμοὶ λόγος ἐκείνων· ἑνός μοι μέλει, τοῦ σὲ πιστεῦσαι· κρείττων γὰρ εἷς, ποιῶν τὸ θέλημα τοῦ Κυρίου, ἢ μυρίοι παράνομοι· «σὺ πιστεύεις εἰς τὸν Υἱὸν τοῦ Θεοῦ;»'. Ὡς καὶ παρών, καὶ ἀποδεχόμενος τὰ εἰρημένα, οὕτως αὐτὸν ἐρωτᾷ, καὶ πρότερον αὐτὸν εἰς πόθον ἑαυτοῦ κατέστησεν· οὐ γὰρ εἶπεν, 'Εὐθέως πίστευσον', ἀλλὰ κατ' ἐρώτησιν.

Τί οὖν ἐκεῖνος; «Καὶ τίς ἐστι, Κύριε, ἵνα πιστεύσω εἰς αὐτόν;». Ποθούσης καὶ σφόδρα ἐπιζητούσης ψυχῆς τὸ ῥῆμα. Ὑπὲρ οὗ τοσαῦτα διελέχθη, τοῦτον ἀγνοεῖ, ἵνα μάθῃς αὐτοῦ τὸ φιλάληθες· οὔπω γὰρ ἦν αὐτὸν ἑωρακώς. «Λέγει αὐτῷ· Καὶ ἑώρακας αὐτόν, καὶ ὁ λαλῶν μετὰ σοῦ, ἐκεῖνός ἐστιν». Οὐκ εἶπεν, 'Ἐγώ εἰμι', ἀλλὰ μέσως τι καὶ ὑπεσταλμένως· «Καὶ ἑώρακας αὐτόν». Τοῦτο ἔτι ἄδηλον ἦν· διὸ τὸ σαφέστερον ἐπήγαγεν· «Ὁ λαλῶν μετὰ σοῦ, ἐκεῖνός ἐστι. Λέγει· Πιστεύω, Κύριε· καὶ προσεκύνησεν αὐτῷ εὐθέως»· Καὶ οὐκ εἶπεν· 'Ἐγώ εἰμι ὁ τεθεραπευκώς σε, ὁ εἰπών σοι, «Ὑπα-

1. Πρβλ. Σοφ. Σειρὰχ 16, 3.

τῶν μαθητῶν του. Σὺ ὅμως πρόσεχε, πῶς ὁ Εὐαγγελιστὴς περιγράφει τὴν ἀκρίβειαν τῆς συνομιλίας· διότι ὅταν εἶπεν ὁ Ἰησοῦς· «Σὺ πιστεύεις εἰς τὸν Υἱὸν τοῦ Θεοῦ;», λέγει ὁ τυφλός· «Κύριε, καὶ ποῖος εἶναι;»· διότι δὲν τὸν ἐγνώριζεν ἀκόμη, ἂν καὶ εἶχε θεραπευθῆ ὑπ' αὐτοῦ· καθ' ὅσον τυφλὸς ἦτο πρὶν ἔλθῃ πρὸς τὸν εὐεργέτην, καὶ μετὰ τὴν θεραπείαν ἐσύρετο ἐδῶ καὶ ἐκεῖ ἀπὸ ἐκείνους τοὺς σκύλους. Ὅπως ἀκριβῶς λοιπὸν κάποιος ἀγωνοθέτης τὸν δέχεται ὡσὰν ἀθλητὴν ποὺ ἐκοπίασε πάρα πολὺ καὶ ἐστεφανώθη. Καὶ τί λέγει· «Πιστεύεις εἰς τὸν Υἱὸν τοῦ Θεοῦ;». Τί σημαίνει αὐτό; Μετὰ τὴν τόσην ἀντίρρησίν του πρὸς τοὺς Ἰουδαίους, μετὰ τοὺς τόσους λόγους του τὸν ἐρωτᾷ, «Ἐὰν πιστεύῃ», ὄχι ἐπειδὴ τὸ ἀγνοεῖ, ἀλλὰ ἐπειδὴ θέλει νὰ τοῦ φανερώσῃ τὸν ἑαυτόν του καὶ νὰ τοῦ δείξῃ ὅτι ἐκτιμᾷ πάρα πολὺ τὴν πίστιν του. Ἐμὲ ἐξύβρισε, λέγει, τόσον πλῆθος, ἀλλ' ἐμένα δὲν μὲ ἐνδιαφέρουν ἐκεῖνοι· ἕνα μόνον μὲ ἐνδιαφέρει, τὸ νὰ πιστεύσῃς σύ, διότι εἶναι προτιμότερος ἕνας ποὺ ἐκτελεῖ τὸ θέλημα τοῦ Κυρίου, παρὰ οἱ μύριοι παράνομοι[1]· «σὺ πιστεύεις εἰς τὸν Υἱὸν τοῦ Θεοῦ;»'. Ὡσὰν νὰ ἦτο παρὼν καὶ νὰ ἐδέχετο τὰ λόγια τῶν Ἰουδαίων, ἔτσι τὸν ἐρωτᾷ, καὶ κατ' ἀρχὴν ἐδημιούργησεν εἰς τὸν τυφλὸν τὸν πόθον δι' αὐτόν· διότι δὲν εἶπε, πίστευσε ἀμέσως', ἀλλὰ τὸν ὁδηγεῖ εἰς αὐτὸ μὲ τὰς ἐρωτήσεις τὴν μίαν κατόπιν τῆς ἄλλης.

Τί λέγει λοιπὸν ἐκεῖνος; «Καὶ ποῖος εἶναι, Κύριε, διὰ νὰ πιστεύσω εἰς αὐτόν;». Ἡ φράσις φανερώνει ψυχὴν ποὺ ποθεῖ καὶ ἐπιθυμεῖ πάρα πολὺ νὰ τὸν γνωρίσῃ. Αὐτόν, περὶ τοῦ ὁποίου τόσα εἶπεν, αὐτὸν τὸν ἀγνοεῖ, διὰ νὰ μάθῃς τὴν φιλαλήθειαν αὐτοῦ· διότι ἀκόμη δὲν τὸν εἶχεν ἰδεῖ. «Λέγει εἰς αὐτόν· Καὶ τὸν ἔχεις ἰδεῖ καὶ αὐτὸς ποὺ συνομιλεῖ μαζί σου, αὐτὸς εἶναι». Δὲν εἶπεν, 'ἐγὼ εἶμαι', ἀλλὰ ἔμμεσα ἀκόμη καὶ καλυμμένα· «Καὶ τὸν ἔχεις ἰδεῖ». Αὐτὸ ἀκόμη δὲν ἦτο γνωστὸν εἰς αὐτόν· διὰ τοῦτο ἐπρόσθεσε τὸ σαφέστερον· «Αὐτὸς ποὺ συνομιλεῖ μαζί σου, ἐκεῖνος εἶναι. Λέγει· Πιστεύω, Κύριε· καὶ ἀμέσως τὸν ἐπροσκύνησεν». Καὶ δὲν εἶπεν, 'Ἐγὼ εἶμαι αὐτὸς ποὺ σὲ ἐθερά-

γε, νίψαι εἰς τὸν Σιλωάμ», ἀλλά, πάντα ἐκεῖνα σιγήσας, φησί· «Πιστεύεις εἰς τὸν Υἱὸν τοῦ Θεοῦ;». Εἶτα, τὴν πολλὴν διάθεσιν ἐμφαίνων, προσεκύνησεν εὐθέως, ὅπερ ὀλίγοι τῶν τεθεραπευμένων ἐποίησαν, οἷον οἱ λεπροί, καὶ εἴ τις ἄλλος, διὰ τούτου ἐμφαίνων αὐτοῦ τὴν θείαν δύναμιν. Ἵνα γὰρ μή τις νομίσῃ ῥῆμα μόνον εἶναι τὸ λεχθέν, καὶ τὸ ἔργον προσέθηκε.

Προσκυνήσαντος δὲ αὐτοῦ, φησὶν ὁ Χριστός· «Εἰς κρῖμα ἐγὼ ἦλθον εἰς τὸν κόσμον, ἵναν οἱ μὴ βλέποντες βλέπωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται». Τοῦτο καὶ Παῦλός φησι· «Τί οὖν ἐροῦμεν; Ὅτι ἔθνη, τὰ μὴ διώκοντα δικαιοσύνην, κατέλαβε δικαιοσύνην, δικαιοσύνην δὲ τὴν ἐκ πίστεως Ἰησοῦ· Ἰσραὴλ δέ, διώκων νόμον δικαιοσύνης, εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασεν». Εἰπὼν δέ, «Εἰς κρῖμα ἐγὼ ἦλθον εἰς τὸν κόσμον τοῦτον», κἀκεῖνον σφοδρότερον περὶ τὴν πίστιν εἰργάσατο, καὶ διανέστησε τοὺς ἀκολουθοῦντας αὐτῷ· καὶ γὰρ ἠκολούθουν αὐτῷ Φαρισαῖοι. Τὸ δὲ «εἰς κρῖμα» εἰς μείζονα κόλασιν ἔλεγε, δεικνὺς ὅτι, οἱ καταδικάσαντες αὐτόν, αὐτοί εἰσιν οἱ καταδεδικασμένοι, οἱ καὶ ὡς ἁμαρτωλὸν κατακρίναντες, αὐτοί εἰσιν οἱ κατακεκριμένοι. Ἐνταῦθα δὲ δύο λέγει ἀναβλέψεις καὶ δύο τυφλότητας, τήν τε αἰσθητήν, τήν τε νοητήν.

Λέγουσιν αὐτῷ ἐκ τῶν ἀκολουθούντων αὐτῷ· «Μὴ καὶ ἡμεῖς τυφλοί ἐσμεν;». Ὥσπερ ἀλλαχοῦ ἔλεγον, «Οὐδενὶ δεδουλεύκαμεν πώποτε· ἐκ πορνείας οὐ γεγεννήμεθα», οὕτω καὶ νῦν πρὸς τὰ αἰσθητὰ κεχήνασι μόνον, καὶ ταύτην ἐπαισχύνονται τὴν πήρωσιν. Εἶτα, δεικνὺς ὅτι βέλτιον τυφλοὺς αὐτοὺς εἶναι ἢ βλέποντας, φησίν· «Εἰ τυφλοὶ ἦτε, οὐκ ἂν εἴχετε ἁμαρτίαν». Ἐπειδὴ αἰσχύνης τὸ πρᾶγμα ἐνόμιζον

---

2. Ρωμ. 9, 30 - 31.
3. Ἰω. 8, 33΄41.

πευσεν, αὐτὸς ποὺ σοῦ εἶπε, «Πήγαινε καὶ πλύσου εἰς τὴν κολυμβήθραν τοῦ Σιλωάμ»', ἀλλά, ἀφοῦ τὰ ἀπεσιώπησεν αὐτά, λέγει' «Πιστεύεις εἰς τὸν Υἱὸν τοῦ Θεοῦ;». Εἰς τὴν συνέχειαν διὰ νὰ φανερώσῃ τὴν μεγάλην διάθεσίν του τὸν ἐπροσκύνησεν ἀμέσως, πρᾶγμα ποὺ ὀλίγοι ἀπὸ τοὺς θεραπευμένους τὸ ἔκαμαν, ὅπως οἱ λεπροὶ καὶ ἴσως κάποιος ἄλλος, δηλώνων μὲ αὐτὸ τὴν θείαν δύναμίν του. Διὰ νὰ μὴ νομίσῃ λοιπὸν κανεὶς ὅτι αὐτὸ ποὺ εἶπεν ὅτι εἶναι μόνον λόγια, ἐπρόσθεσε καὶ τὴν πρᾶξιν.

Ἀφοῦ τὸν ἐπροσκύνησεν, εἶπεν ὁ Χριστός' «Ἐγὼ ἦλθον εἰς τὸν κόσμον διὰ τὴν κρίσιν αὐτοῦ, διὰ ν' ἀποκτήσουν τὸ φῶς των αὐτοὶ ποὺ δὲν βλέπουν καὶ αὐτοὶ ποὺ βλέπουν νὰ γίνουν τυφλοί». Αὐτὸ λέγει καὶ ὁ Παῦλος' «Τί λοιπὸν θὰ εἰποῦμεν; Ὅτι οἱ ἐθνικοὶ ποὺ δὲν ἐπεδίωκον τὴν δικαίωσίν των, ἐπέτυχον νὰ δικαιωθοῦν διὰ τῆς πίστεώς των πρὸς τὸν Ἰησοῦν, ἐνῷ ὁ Ἰσραὴλ ποὺ ἐπεδίωκε τὴν δικαίωσίν του διὰ τῆς τηρήσεως τοῦ νόμου δὲν κατώρθωσε νὰ δικαιωθῇ»[2]. Μὲ τὰ λόγια του «Εἰς κρῖμα ἐγὼ ἦλθον εἰς τὸν κόσμον τοῦτον», καὶ ἐκεῖνον τὸν ἔκαμε σφοδρότερον εἰς τὴν πίστιν καὶ διήγειρεν ἐκείνους ποὺ τὸν ἠκολούθουν' καθ' ὅσον ἠκολούθουν αὐτὸν Φαρισαῖοι. Τὸ δὲ «εἰς κρῖμα» τὸ εἶπε διὰ νὰ δηλώσῃ μεγαλυτέραν τιμωρίαν, διὰ νὰ δείξῃ ὅτι, αὐτοὶ ποὺ τὸν κατεδίκασαν, αὐτοὶ εἶναι οἱ καταδικασμένοι, αὐτοὶ ποὺ τὸν κατέκριναν ὡς ἁμαρτωλόν, αὐτοὶ εἶναι οἱ κατακεκριμένοι. Ἐδῶ δὲ ἐννοεῖ δύο ἀναβλέψεις καὶ δύο τυφλότητας, καὶ τὴν αἰσθητὴν καὶ τὴν νοητήν.

Λέγουν εἰς αὐτὸν ἀπὸ αὐτοὺς ποὺ τὸν ἠκολούθουν' «Μήπως καὶ ἡμεῖς εἴμεθα τυφλοί;». Ὅπως ἀκριβῶς ἔλεγον εἰς ἄλλην περίπτωσιν, «Δὲν ὑπήρξαμεν ποτὲ δοῦλοι κανενός' δὲν ἐγεννήθημεν ἀπὸ πορνείαν»[3], ἔτσι καὶ τώρα δίδουν προσοχὴν μόνον εἰς τὰ αἰσθητά, καὶ διὰ τὴν τύφλωσιν αὐτὴν ἐντρέπονται. Ἔπειτα διὰ νὰ δείξῃ, ὅτι εἶναι προτιμότερον εἰς αὐτοὺς νὰ εἶναι τυφλοί, παρὰ νὰ βλέπουν, λέγει' Ἐὰν ἤσασθε τυφλοί, δὲν θὰ εἴχετε ἁμαρτίαν». Ἐπειδὴ ἐθεωροῦσαν τὸ πρᾶγμα αἰτίαν ἐντροπῆς, δηλαδὴ

εἶναι, τὴν συμφοράν, περιέτρεψεν αὐτὸ εἰς τὴν αὐτῶν κεφαλήν, εἰπὼν ὅτι 'τοῦτο ἀνεκτοτέραν ὑμῖν ἔφερε τὴν κόλασιν', πανταχοῦ περικόπτων τὰ ἀνθρώπινα φρονήματα, καὶ εἰς ἔννοιαν ἄγων μεγάλην καὶ θαυμαστήν. «Νῦν δὲ καὶ λέγετε ὅτι βλέπομεν». Ὥσπερ ἐκεῖ φησιν· «Ὃν ὑμεῖς ἐλέγετε ὅτι Θεὸς ὑμῶν ἦν», οὕτω δὴ καὶ ἐνταῦθα· «Νῦν δὲ λέγετε ὅτι βλέπετε»· οὐ γὰρ βλέπετε. Ἐνταῦθα, ὅπερ ἐνόμιζον ἐγκώμιον εἶναι μέγα, τοῦτο δείκνυσιν αὐτοῖς κόλασιν φέρον. Καὶ ὑπὲρ τῆς προτέρας δὲ πηρώσεως παρεμυθήσατο τὸν ἐκ γενετῆς τυφλόν· εἶτα περὶ τῆς τυφλότητος αὐτῶν διαλέγεται. Ἵνα γὰρ μὴ λέγωσιν, 'Οὐ παρὰ τὴν ἡμετέραν πήρωσιν οὐ προσερχόμεθα, ἀλλ' ὡς πλάνον φεύγοντες ἀποστρεφόμεθα', ὑπὲρ τούτου πάντα ποιεῖται τὸν λόγον.

2. Οὐχ ἁπλῶς δὲ ὁ Εὐαγγελιστὴς ἐμνημόνευσεν ὅτι ἤκουσαν ἐκ τῶν Φαρισαίων ταῦτα οἱ μετ' αὐτοῦ ὄντες, καὶ εἶπαν, «Μὴ καὶ ἡμεῖς τυφλοί ἐσμεν;», ἀλλ' ἵνα σε ἀναμνήσῃ ὅτι οὗτοι ἐκεῖνοι ἦσαν οἱ πρότερον ἀποστάντες, εἶτα λιθάσαντες· ἦσαν γάρ τινες, ἐπιπολαίως ἀκολουθοῦντες, καὶ ῥᾳδίως εἰς τοὐναντίον μεταβαλλόμενοι. Πόθεν οὖν κατασκευάζει, ὅτι οὐκ ἔστι πλάνος, ἀλλὰ ποιμήν; Θεὶς τὰ γνωρίσματα ἑκατέρου, καὶ τοῦ ποιμένος, καὶ τοῦ πλάνου, καὶ λυμεῶνος, καὶ ἀπ' αὐτῶν παρέχων αὐτοῖς ἐξετάζειν τὴν τῶν πραγμάτων ἀλήθειαν. Καὶ πρότερον τίς ὁ πλάνος καὶ ὁ κλέπτης δείκνυσιν, ἀπὸ Γραφῶν αὐτὸν οὕτω καλῶν καὶ λέγων· «Ἀμήν, ἀμὴν λέγω ὑμῖν· Ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστὶ καὶ λῃστής».

Ὅρα τὰ δείγματα τοῦ λῃστοῦ, πρῶτον, ὅτι οὐ παρρησίᾳ εἰσέρχεται, δεύτερον, ὅτι οὐ κατὰ τὰς Γραφάς· τοῦτο γάρ ἐστι τὸ «μὴ διὰ τῆς θύρας». Ἐνταῦθα δὲ καὶ τοὺς πρὸ αὐτοῦ αἰνίττεται, καὶ τοὺς μετ' αὐτὸν ἐσομένους· τόν τε Ἀντί-

4. Ἰω. 8, 54.

τὴν συμφοράν, ἐπέρριψεν αὐτὴν εἰς τὴν κεφαλήν των μὲ τοὺς λόγους του, 'αὐτὸ θὰ ἐγίνετο δι' ἐσᾶς ἀνεκτοτέρας τιμωρίας', περιορίζων εἰς κάθε περίπτωσιν τὰ ἀνθρώπινα φρονήματα καὶ ὁδηγῶν εἰς ὑψηλὴν καὶ θαυμαστὴν σκέψιν. «Τώρα ὅμως καὶ λέγετε ὅτι βλέπομεν». Ὅπως ἀκριβῶς ἐκεῖ λέγει, «Αὐτὸν ποὺ ἐλέγετε σεῖς ὅτι ἦτο Θεός σας»[4], ἔτσι λοιπὸν καὶ ἐδῶ· «Τώρα ὅμως λέγετε ὅτι βλέπετε»· διότι δὲν βλέπετε. Ἐδῶ, αὐτὸ ποὺ τὸ ἐθεωροῦσαν μεγάλο ἐγκώμιον, αὐτὸ ἀποδεικνύει ὅτι γίνεται αἰτία τιμωρίας δι' αὐτούς. Καὶ διὰ τὴν προηγουμένην δὲ τύφλωσίν του παρηγόρησε τὸν ἐκ γενετῆς τυφλόν· εἰς τὴν συνέχειαν ὁμιλεῖ διὰ τὴν τυφλότητα αὐτῶν. Διότι διὰ νὰ μὴ λέγουν, 'Δὲν προσερχόμεθα ὄχι λόγῳ τῆς τυφλότητός μας, ἀλλὰ σὲ ἀποστρεφόμεθα διότι πλανᾷς τοὺς ἀνθρώπους', εἰς αὐτὸ τὸ πρᾶγμα στρέφει ὅλον τὸν λόγον του.

2. Δὲν ἀνέφερε δὲ τυχαῖα ὁ Εὐαγγελιστής, ὅτι ἤκουσαν αὐτὰ ἀπὸ τοὺς Φαρισαίους ἐκεῖνοι ποὺ ἦσαν μαζί του, καὶ εἶπαν, «Μήπως καὶ ἡμεῖς εἴμεθα τυφλοί;», ἀλλὰ διὰ νὰ σὲ ὑπενθυμίσῃ, ὅτι αὐτοὶ ἦσαν ἐκεῖνοι ποὺ πρῶτα ἀπεσκίρτησαν καὶ ἔπειτα τὸν ἐλιθοβόλησαν· διότι ἦσαν μερικοὶ ποὺ τὸν ἠκολούθουν ἐπιπόλαια καὶ εὔκολα μετέβαλλον διαθέσεις. Πῶς λοιπὸν ἀποδεικνύει, ὅτι δὲν εἶναι πλάνος, ἀλλὰ ποιμήν; Ἀφοῦ ἀνέφερε τὰ γνωρίσματα τοῦ καθενὸς ἀπὸ τοὺς δύο, καὶ τοῦ ποιμένος καὶ τοῦ πλάνου καὶ καταστροφέως καὶ δίδων εἰς αὐτοὺς τὴν δυνατότητα ἀπὸ αὐτὰ νὰ ἐξετάσουν τὴν ἀλήθειαν τῶν πραγμάτων. Καὶ πρῶτα ἀποδεικνύει ποῖος εἶναι ὁ πλάνος καὶ ὁ κλέπτης, ὀνομάζων αὐτὸν ἔτσι ἀπὸ τὰς Γραφὰς καὶ λέγων· «Ἀλήθεια, ἀλήθεια σᾶς λέγω· ἐκεῖνος ποὺ δὲν εἰσέρχεται εἰς τὴν μάνδραν τῶν προβάτων ἀπὸ τὴν θύραν, ἀλλὰ ἀνεβαίνει ἀπὸ ἄλλο μέρος, ἐκεῖνος εἶναι κλέπτης καὶ ληστής».

Πρόσεχε τὰ γνωρίσματα τοῦ ληστοῦ, πρῶτον, ὅτι δὲν εἰσέρχεται φανερά, δεύτερον ὄχι σύμφωνα μὲ τὰς Γραφάς· διότι αὐτὸ σημαίνει τὸ «μὴ διὰ τῆς θύρας». Ἐδῶ δὲ ὑπονοεῖ καὶ αὐτοὺς ποὺ ἦλθον πρὶν ἀπὸ αὐτὸν καὶ αὐτοὺς ποὺ θὰ ἔλθουν μετὰ ἀπὸ αὐτόν· καὶ τὸν Ἀντίχριστον καὶ τοὺς

χριστον καὶ τοὺς ψευδοχρίστους, τόν τε Ἰούδαν καὶ Θευδᾶν, καὶ εἴ τινες ἕτεροι τοιοῦτοι γεγόνασιν. Εἰκότως δὲ «θύραν» τὰς Γραφὰς ἐκάλεσεν· αὗται γὰρ ἡμᾶς προσάγουσι τῷ Θεῷ, καὶ τὴν θεογνωσίαν ἀνοίγουσιν, αὗται πρόβατα ποιοῦσιν, αὗται φυλάττουσι, καὶ τοὺς λύκους οὐκ ἀφιᾶσιν ἐπεισελθεῖν· καθάπερ γάρ τις θύρα ἀσφαλής, οὕτως ἀποκλείει τοῖς αἱρετικοῖς τὴν εἴσοδον, ἐν ἀσφαλείᾳ καθιστῶσα ἡμᾶς, περὶ ὧν ἂν βουλώμεθα πάντων, καὶ οὐκ ἐῶσα πλανᾶσθαι. Κἂν μὴ παραλύσωμεν αὐτήν, οὐκ ἐσόμεθα εὐχείρωτοι τοῖς ἐχθροῖς. Διὰ ταύτης καὶ τοὺς ποιμένας καὶ τοὺς οὐ ποιμένας εἰσόμεθα ἅπαντας.

Τί δέ ἐστιν, «Εἰς τὴν αὐλήν»; Πρὸς τὰ πρόβατα καὶ τὴν ἐκείνων πρόνοιαν· ὁ γὰρ μὴ ταῖς Γραφαῖς χρώμενος, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν (τουτέστιν, ἑτέραν ἑαυτῷ καὶ μὴ νενομισμένην τέμνων ὁδόν), οὗτος κλέπτης ἐστίν. Ὁρᾷς κἀντεῦθεν τῷ Πατρὶ συμφωνοῦντα, τῷ τὰς Γραφὰς εἰς μέσον προφέρειν; Διὰ τοῦτο καὶ τοῖς Ἰουδαίοις ἔλεγεν· «Ἐρευνᾶτε τὰς Γραφάς», καὶ Μωϋσέα παρήγαγεν εἰς μέσον, καὶ μάρτυρα αὐτὸν ἐκάλει, καὶ τοὺς προφήτας πάντας· «πάντας» γάρ, φησίν, «οἱ ἀκούσαντες τῶν προφητῶν, ἥξουσι πρός με», καὶ «εἰ ἐπιστεύετε Μωϋσεῖ, ἐπιστεύετε ἂν ἐμοί». Ἐνταῦθα δὲ τὸ αὐτὸ μεταφορικῶς ἔθηκεν. Εἰπὼν δέ, «Ἀναβαίνων ἀλλαχόθεν», καὶ τοὺς γραμματέας ᾐνίξατο, ὅτι ἐδίδασκον ἐντάλματα, διδασκαλίας ἀνθρώπων, καὶ τὸν νόμον παρέβαινον, ὅπερ οὖν καὶ αὐτὸς ὀνειδίζων ἔλεγεν· «Οὐδεὶς ἐξ ὑμῶν ποιεῖ τὸν νόμον». Καὶ καλῶς εἶπεν, «Ἀναβαίνων», οὐκ «εἰσιών», ὅπερ ἐστὶ κλέπτου, θριγκὸν ὑπερπηδῆσαι βουλομένου, καὶ ἐπικινδύνως πάντα πράττοντος.

Εἶδες πῶς ὑπέγραψε τὸν λῃστήν; Σκόπει καὶ τοῦ ποιμένος τὸ γνώρισμα. Τί οὖν τοῦτό ἐστιν; «Ὁ εἰσερχόμενος διὰ τῆς θύρας, οὗτός ἐστιν ὁ ποιμὴν τῶν προβάτων. Τούτῳ ὁ θυρωρὸς ἀνοίγει, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούει

5. Ἰω. 5, 39.
6. Πρβλ. Ἰω. 6, 45.
7. Ἰω. 5, 46.
8. Ματθ. 15, 9.
9. Ἰω. 7, 19.

ψευδοχρίστους, καὶ τὸν 'Ιούδαν καὶ τὸν Θευδᾶν καὶ μερικοὺς ἄλλους ποὺ ὑπῆρξαν τέτοιοι. Πολὺ ὀρθὰ δὲ ὠνόμασε «θύραν» τὰς Γραφάς· διότι αὐταὶ μᾶς ὁδηγοῦν εἰς τὸν Θεὸν καὶ παρέχουν τὴν θεογνωσίαν, αὐταὶ δημιουργοῦν πρόβατα, αὐταὶ τὴν φυλάσσουν καὶ δὲν ἀφήνουν τοὺς λύκους νὰ εἰσέλθουν· διότι ὡσὰν κάποια θύρα ἀσφαλής, ἔτσι ἀποκλείει εἰς τοὺς αἱρετικοὺς τὴν εἴσοδον καὶ μᾶς καθιστᾷ ἀσφαλεῖς ἀπὸ ὅλα ἐκεῖνα ποὺ ἐπιθυμοῦμεν καὶ δὲν μᾶς ἀφήνει νὰ πλανώμεθα. Καὶ ἐὰν δὲν παραμελήσωμεν αὐτὴν δὲν θὰ γίνωμεν εὐκολοπρόσβλητοι ἀπὸ τοὺς ἐχθρούς μας. Δι' αὐτῆς θὰ γνωρίζωμεν ὅλους καὶ τοὺς ποιμένας καὶ τοὺς μὴ ποιμένας.

Τί σημαίνει δέ, «Εἰς τὴν αὐλήν»; Πρὸς τὰ πρόβατα καὶ τὴν πρόνοιαν ἐκείνων· διότι ἐκεῖνος ποὺ δὲν ἀκολουθεῖ τὰς Γραφάς, ἀλλὰ ἀνεβαίνει ἀπὸ ἄλλο μέρος (δηλαδὴ ἀκολουθεῖ ἄλλην ὁδὸν καὶ ὄχι τὴν κανονικήν), αὐτὸς εἶναι κλέπτης. Βλέπεις καὶ ἀπὸ ἐδῶ ὅτι συμφωνεῖ μὲ τὸν Πατέρα, μὲ τὸ ὅτι ἀναφέρει τὰς Γραφάς; Διὰ τοῦτο καὶ εἰς τοὺς 'Ιουδαίους ἔλεγεν· «'Ερευνᾶτε τὰς Γραφάς»[5], καὶ τὸν Μωϋσῆν ἀνέφερε καὶ αὐτὸν ἐπεκαλεῖτο ὡς μάρτυρα καὶ ὅλους τοὺς προφήτας· διότι λέγει· «Ὅλοι ποὺ ἤκουσαν τοὺς προφήτας θὰ ἔλθουν πρὸς ἐμένα»[6], καί· «'Εὰν ἐπιστεύατε εἰς τὸν Μωϋσῆν, θὰ ἐπιστεύατε καὶ εἰς ἐμένα»[7]. 'Εδῶ δὲ τὸ ἴδιο τὸ ἀνέφερε μεταφορικά. Μὲ τοὺς λόγους του, «'Αναβαίνων ἀλλαχόθεν», καὶ τοὺς γραμματεῖς ὑπηνίχθη, διότι ἐδίδασκον ἐντολὰς καὶ διδασκαλίας ἀνθρώπων»[8], καὶ τὸν νόμον παρέβαινον, πρᾶγμα ποὺ βέβαια καὶ ὁ ἴδιος ἔλεγε, κατηγορῶν αὐτούς· «Κανεὶς ἀπὸ σᾶς δὲν ἐκτελεῖ τὰς ἐντολὰς τοῦ νόμου»[9]. Καὶ καλῶς εἶπεν, «'Αναβαίνων» καὶ ὄχι «εἰσερχόμενος», πρᾶγμα ποὺ ἀποτελεῖ γνώρισμα τοῦ κλέπτου, ποὺ θέλει νὰ πηδήσῃ τὸν μανδρότοιχον καὶ εἶναι ἐπικίνδυνοι ὅλαι αἱ ἐνέργειαί του.

Εἶδες πῶς περιέγραψε τὸν ληστήν; Πρόσεχε καὶ τὸ γνώρισμα τοῦ ποιμένος. Ποῖο λοιπὸν εἶναι αὐτό; «Αὐτὸς ποὺ εἰσέρχεται ἀπὸ τὴν θύραν, αὐτὸς εἶναι ὁ ποιμὴν τῶν προβάτων. Εἰς αὐτὸν ἀνοίγει ὁ θυρωρὸς καὶ τὴν φωνήν

τὰ πρόβατα καὶ τὰ ἴδια καλεῖ κατ' ὄνομα, καί, ὅταν ἐξαγάγῃ αὐτά, πορεύεται ἔμπροσθεν αὐτῶν». Ἔθηκε καὶ τοῦ ποιμένος καὶ τοῦ λυμεῶνος τὰ δείγματα. Ἴδωμεν πάλιν πῶς αὐτοῖς ἐφήρμοσε τὰ ἑξῆς· «Τούτῳ», φησίν, «ὁ θυρωρὸς ἀνοίγει». Ἐπέμεινε τῇ μεταφορᾷ, ὥστε ἐμφαντικώτερον ποιῆσαι τὸν λόγον. Εἰ δὲ καὶ κατὰ λέξιν ἐθέλοις τὴν παραβολὴν ἐξετάζειν, οὐδὲ κωλύει θυρωρὸν ἐνταῦθα νοεῖν τὸν Μωϋσέα· ἐκεῖνος γὰρ ὁ τὰ λόγια τοῦ Θεοῦ ἐμπιστευθείς. «Καὶ τὴν φωνὴν αὐτοῦ ἀκούει τὰ πρόβατα, καὶ τὰ ἴδια καλεῖ κατ' ὄνομα». Ἐπειδὴ γὰρ ἄνω καὶ κάτω ἔλεγον αὐτὸν ἀπατεῶνα εἶναι, καὶ τοῦτο ἐκ τῆς ἀπιστίας τῆς ἑαυτῶν ἐβεβαίουν, λέγοντες, «Τίς τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτόν;», δείκνυσιν ὅτι οὐκ αὐτὸν ἐκ τῆς ἐκείνων ἀπιστίας λυμεῶνα καὶ πλάνον δεῖ καλεῖν, ἀλλ' αὐτοὺς ἐκ τοῦ μὴ προσέχειν αὐτῷ, καὶ τῆς τῶν προβάτων ἀκολούθως ἐκβληθῆναι τάξεως· εἰ γὰρ ποιμένος ἐστὶ τὸ διὰ τῆς νενομισμένης εἰσιέναι θύρας, αὐτὸς δὲ εἰσῆλθε διὰ ταύτης, οἱ μὲν ἀκολουθήσαντες ἅπαντες δύναιντ' ἂν εἶναι πρόβατα, οἱ δὲ ἀπορραγέντες αὐτὸν ποιμένα διέβαλον, ἀλλὰ τῆς τῶν προβάτων συγγενείας ἐξέβαλον ἑαυτούς. Εἰ δὲ λέγει προϊὼν τὴν θύραν ἑαυτὸν εἶναι, πάλιν οὐ χρὴ θορυβεῖσθαι· καὶ γὰρ καὶ ποιμένα ἑαυτὸν λέγει, καὶ πρόβατον, καὶ διαφόρως τὰς οἰκονομίας κηρύττει τὰς ἑαυτοῦ· ὅταν γὰρ προσάγῃ ἡμᾶς τῷ Πατρί, θύραν ἑαυτὸν καλεῖ, ὅταν δὲ ἐπιμελῆται, ποιμένα. Ἵνα γὰρ μὴ τοῦτο ἔργον εἶναι νομίσῃς αὐτοῦ μόνον τὸ προσαγαγεῖν, λέγει καὶ ποιμένα ἑαυτόν.

Καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει, καὶ καλεῖ τὰ ἴδια πρόβατα, καὶ ἐξάγει αὐτά, καὶ αὐτὸς ἔμπροσθεν αὐτῶν πορεύεται». Καὶ μὴν τοὐναντίον οἱ ποιμένες ποιοῦσιν,

10. Ἰω. 7, 48.

του ἀκούουν τὰ πρόβατα καὶ ὀνομάζει τὰ πρόβατα μὲ τὸ ὄνομά των, καί, ὅταν τὰ βγάζῃ ἔξω, βαδίζει ἔμπροσθέν των». Ἀνέφερε καὶ τοῦ ποιμένος τὰ γνωρίσματα καὶ τοῦ καταστροφέως. Ἄς ἰδοῦμεν πάλιν πῶς προσήρμοσεν εἰς αὐτοὺς τὰ εἰς τὴν συνέχειαν· «Εἰς αὐτόν», λέγει, «ἀνοίγει ὁ θυρωρός». Ἐπέμεινεν εἰς τὴν μεταφοράν, ὥστε νὰ κάμῃ πιὸ ἀποδεικτικὸν τὸν λόγον. Ἐὰν δὲ θελήσῃς καὶ κατὰ λέξιν νὰ ἐξετάσῃς τὴν παραβολήν, τίποτε δὲν ἐμποδίζει νὰ ὑπονοήσῃς ἐδῶ ὡς θυρωρὸν τὸν Μωϋσῆν, διότι ἐκεῖνος εἶναι ποὺ μᾶς ἐνεπιστεύθη τὰ λόγια τοῦ Θεοῦ. «Καὶ τὴν φωνήν του ἀκούουν τὰ πρόβατα καὶ τὰ ἴδια τὰ ὀνομάζει μὲ τὸ ὄνομά των». Ἐπειδὴ δηλαδὴ εἰς κάθε περίπτωσιν ὠνόμαζον αὐτὸν ἀπατεῶνα καὶ αὐτὸ τὸ ἐπεβεβαίωνον μὲ τὴν ἀπιστίαν των, λέγοντες, «Ποῖος ἀπὸ τοὺς ἄρχοντας ἐπίστευσεν εἰς αὐτόν;»[10], δείχνει ὅτι δὲν πρέπει αὐτὸν ἀπὸ τὴν ἀπιστίαν των νὰ ὀνομάζουν καταστροφέα καὶ πλάνον, ἀλλὰ αὐτοὺς ποὺ δὲν προσέχουν εἰς αὐτὸν καὶ θ' ἀπομακρυνθοῦν εἰς τὴν συνέχειαν ἀπὸ τὸν χῶρον τῶν προβάτων· διότι ἐὰν γνώρισμα τοῦ ποιμένος εἶναι τὸ νὰ εἰσέρχεται διὰ τῆς κανονικῆς θύρας, αὐτὸς δὲ εἰσῆλθε δι' αὐτῆς, αὐτοὶ μὲν ποὺ τὸν ἠκολούθησαν θὰ ἠμποροῦσαν ὅλοι νὰ εἶναι πρόβατα, αὐτοὶ δὲ ποὺ ἀπεκόπησαν ἀπὸ τὰ πρόβατα δὲν διέβαλον τὸν ποιμένα, ἀλλὰ ἀπεμάκρυναν τοὺς ἑαυτούς των ἀπὸ τὴν συγγένειαν τῶν προβάτων. Ἐὰν ὅμως λέγῃ εἰς τὴν συνέχειαν ὅτι αὐτὸς εἶναι ἡ θύρα, πάλιν δὲν πρέπει νὰ θορυβῆται κανείς· καθ' ὅσον καὶ ποιμένα ὀνομάζει τὸν ἑαυτόν του, καὶ πρόβατον, καὶ διαφορετρόπως διακηρύσσει τὴν ἀποστολὴν καὶ τὸ ἔργον του· διότι ὅταν μᾶς ὁδηγῇ εἰς τὸν Πατέρα, ὀνομάζει τὸν ἑαυτόν του θύραν, ὅταν δὲ φροντίζῃ δι' ἡμᾶς, ποιμένα. Διὰ νὰ μὴ νομίσῃς λοιπὸν ὅτι αὐτὸ μόνον εἶναι τὸ ἔργον του, ἡ ὁδήγησίς μας εἰς τὸν Πατέρα, ὀνομάζει τὸν ἑαυτόν του καὶ ποιμένα.

«Καὶ τὰ πρόβατα ἀκούουν τὴν φωνήν του καὶ τὰ καλεῖ μὲ τὸ ὄνομά των καὶ τὰ βγάζει ἔξω καὶ ὁ ἴδιος βαδίζει ἔμπροσθέν των». Καὶ ὅμως τὸ ἀντίθετον κάμνουν οἱ ποιμέ-

ὄπισθεν αὐτῶν ἀκολουθοῦντες· ἀλλ' αὐτός, δεικνὺς ὅτι ἅπαντας ὁδηγήσει πρὸς τὴν ἀλήθειαν, ἀπ' ἐναντίας ἐκείνοις ποιεῖ· ὥσπερ οὖν καὶ ὅτε τὰ πρόβατα ἔπεμπεν, οὐκ ἔξω τῶν λύκων, ἀλλ' ἐν μέσῳ τῶν λύκων ἔπεμπε· πολὺ γὰρ παραδοξοτέρα αὕτη ἡ ποιμαντικὴ τῆς παρ' ἡμῖν.

3. Δοκεῖ δέ μοι καὶ περὶ τοῦ τυφλοῦ αἰνίττεσθαι· καὶ γὰρ ἐκεῖνον ἐξήγαγε, καλέσας ἐκ μέσου τῶν Ἰουδαίων, καὶ ἤκουσεν αὐτοῦ τῆς φωνῆς, καὶ ἐπέγνω. «Ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσουσιν, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν». Ἤτοι τοὺς περὶ Θευδᾶν λέγει ἐνταῦθα καὶ Ἰούδαν, καὶ γὰρ «ἅπαντες, ὅσοι ἐπίστευσαν αὐτοῖς, διεσκορπίσθησαν», φησίν, ἢ τοὺς μετὰ ταῦτα μέλλοντας ἀπατᾶν ψευδοχρίστους.

Ἵνα γὰρ μὴ λέγωσιν ἕνα ἐκείνων τοῦτον εἶναι, διὰ πολλῶν ἑαυτὸν ἀπ' ἐκείνων διαιρεῖν, καὶ πρῶτον μὲν τίθησι διαφοράν, τὴν ἀπὸ τῶν Γραφῶν διδασκαλίαν· αὐτὸς μὲν γὰρ διὰ τούτων αὐτοὺς προσήγετο, ἐκεῖνοι δὲ οὐκ ἐντεῦθεν αὐτοὺς ἐφείλκοντο. Δευτέραν τὴν τῶν προβάτων ὑπακοήν· αὐτῷ μὲν γὰρ οὐ ζῶντι μόνον, ἀλλὰ καὶ τελευτήσαντι πάντες ἐπίστευσαν, ἐκείνους δὲ εὐθέως εἴασαν. Καὶ τρίτην δὲ μετὰ τούτων ἔστιν εἰπεῖν οὐ μικράν· ἐκεῖνοι μὲν γὰρ ὡς τύραννοι, καὶ ἐπὶ ἀποστασίᾳ πάντα ἐποίουν, αὐτὸς δὲ οὕτω πόρρω ἑαυτὸν τοιαύτης κατέστησεν ὑποψίας, ὥς, καὶ θελόντων αὐτὸν ποιῆσαι βασιλέα, φυγεῖν, καὶ ἐπερωτώντων, «Εἰ ἔξεστι δοῦναι κῆνσον Καίσαρι», κελεῦσαι καταθεῖναι, καὶ αὐτὸν ἐπιδοῦναι τὰ δίδραχμα· πρὸς τούτοις αὐτὸς μὲν ὑπὲρ τῆς σωτηρίας τῶν προβάτων ἦλθεν, ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσι, φησίν, ἐκεῖνοι δὲ καὶ τῆς παρούσης αὐτοὺς ζωῆς ἀπεστέρησαν· καὶ οἱ μὲν προὔδωκαν τοὺς ἐμπιστευθέντας, καὶ ἔφυγον, αὐτὸς δὲ οὕτως ἔστη

11. Πράξ. 5, 36 - 37.
12. Ἰω. 6, 15.
13. Ματθ. 22, 18.
14. Ματθ. 17, 24 - 27.
15. Ἰω. 10, 10.

νες, διότι ἀκολουθοῦν ὄπισθέν των' ἀλλ' αὐτὸς διὰ νὰ δείξῃ, ὅτι ὅλους τοὺς ὁδηγεῖ πρὸς τὴν ἀλήθειαν, κάμνει τὸ ἀντίθετον μὲ ἐκείνους' ὅπως ἀκριβῶς λοιπὸν καὶ ὅταν τὰ πρόβατα ἔστελλε, δὲν τὰ ἔστελλεν ἔξω τῶν λύκων, ἀλλὰ τὰ ἔστελλε μεταξὺ τῶν λύκων' αὐτὴ δηλαδὴ ἡ ποιμαντικὴ εἶναι πολὺ πιὸ παράξενος ἀπὸ τὴν ἰδικήν μας.

3. Μοῦ φαίνεται δὲ ὅτι ὑπαινίσσεται καὶ τὸν τυφλόν' καθ' ὅσον ἐκεῖνον ἐξήγαγε, καλέσας αὐτὸν ἀνάμεσα ἀπὸ τοὺς Ἰουδαίους καὶ ἤκουσε τὴν φωνήν του καὶ ἐγνώρισεν αὐτόν. «Τὸν ξένον ὅμως δὲν θὰ τὸν ἀκολουθήσουν, διότι δὲν γνωρίζουν τὴν φωνὴν τῶν ξένων». Ἢ ἐννοεῖ ἐδῶ τοὺς περὶ τὸν Θευδᾶν καὶ Ἰούδαν, καθ' ὅσον «ὅλοι, ὅσοι ἐπίστευσαν εἰς αὐτούς, διεσκορπίσθησαν»[11], λέγει, ἢ τοὺς ψευδοχρίστους ποὺ πρόκειται εἰς τὸ μέλλον νὰ ἐξαπατοῦν τὰ πρόβατα.

Διὰ νὰ μὴ λέγουν λοιπόν, ὅτι αὐτὸς ἂν καὶ εἶναι ἕνας ἀπὸ ἐκείνους, ὅμως διὰ πολλῶν διαχωρίζει τὸν ἑαυτόν του ἀπὸ ἐκείνους, κατὰ πρῶτον μὲν θέτει ὡς διαφορὰν τὴν διδασκαλίαν ποὺ ἀπορρέει ἀπὸ τὰς Γραφάς' διότι αὐτὸς μὲν προσήλκυσεν αὐτοὺς διὰ τῶν Γραφῶν, ἐκεῖνοι ὅμως δὲν προσήλκυον αὐτοὺς ἀπὸ τὰς Γραφάς. Δεύτερον τὴν ὑπακοὴν τῶν προβάτων' διότι εἰς αὐτὸν ἐπίστευσαν ὅλοι ὄχι μόνον ἐν ὅσῳ ἔζη, ἀλλὰ καὶ ὅταν ἀπέθανεν, ἐνῷ ἐκείνους ἀμέσως τοὺς ἐγκατέλειψαν. Μαζὶ μὲ αὐτὰς δὲ ἠμποροῦμεν νὰ ἀναφέρωμεν καὶ τρίτην ὄχι ἀσήμαντον' ἐκεῖνοι δηλαδὴ ὅλα τὰ ἔκαναν ὡσὰν τύραννοι καὶ ἀποστάται, ἐνῷ αὐτὸς τόσον πολὺ ἀπεμάκρυνε τὸν ἑαυτόν του ἀπὸ αὐτὴν τὴν ὑποψίαν, ὥστε, καὶ ὅταν ἤθελαν νὰ τὸν κάνουν βασιλέα, νὰ φύγῃ[12], καὶ ὅταν τὸν ἐρωτοῦσαν, «Ἐὰν ἐπιτρέπεται νὰ πληρώνῃ κανεὶς φόρον εἰς τὸν Καίσαρα»[13], νὰ δώσῃ ἐντολὴν νὰ πληρώνουν καὶ ὁ ἴδιος νὰ πληρώσῃ τὰ δίδραχμα[14]· πρὸς τούτοις δὲ αὐτὸς μὲν ἦλθε διὰ τὴν σωτηρίαν τῶν προβάτων, διὰ νὰ ἔχουν ζωὴν αἰώνιον καί, καθὼς λέγει, καὶ κάτι περισσότερον μάλιστα[15], ἐνῷ ἐκεῖνοι τοὺς ἐστέρησαν καὶ τὴν παροῦσαν ζωήν' καὶ ἐκεῖνοι μὲν ἐπρόδωσαν ἐκείνους ποὺ τοὺς ἐνεπιστεύθησαν καὶ ἔφυγον, αὐτὸς

γενναίως, ὡς καὶ τὴν ψυχὴν ἐπιδοῦναι· καὶ οἱ μὲν ἄκοντες καὶ ἀναγκαζόμενοι καὶ φεύγοντες ἔπαθον, ἃ ἔπαθον, οὗτος δὲ ἑκὼν καὶ προαιρούμενος ὑπέμεινεν ἅπαντα.

Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν τίνα ἦν, ἃ ἐλάλει αὐτοῖς». Καὶ τίνος ἕνεκεν ἀσαφῶς εἶπεν αὐτοῖς; Προσεκτικωτέρους αὐτοὺς ποιῆσαι βουλόμενος. Ἐπεὶ οὖν τοῦτο κατεσκεύασε, λύει λοιπὸν τὴν ἀσάφειαν, οὕτω λέγων· «Ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται καὶ νομὴν εὑρήσει»· οἷον, ἐν ἀσφαλείᾳ ἔσται καὶ ἀδείᾳ (νομὴν δὲ τὴν τροφὴν ἐνταῦθα λέγει καὶ βοσκὴν τῶν προβάτων, καὶ ἐξουσίαν καὶ κυριότητα), τουτέστιν ἔνδον μενεῖ, καὶ οὐδεὶς αὐτὸν ἐξωθήσεται· ὅπερ οὖν ἐπὶ τῶν ἀποστόλων γέγονεν, οἳ μετὰ ἀδείας εἰσῄεσαν καὶ ἐξῄεσαν, ὡς πάσης κύριοι γεγενημένοι τῆς οἰκουμένης, καὶ οὐδεὶς αὐτοὺς ἐκβαλεῖν ἴσχυσε. «Πάντες, ὅσοι πρὸ ἐμοῦ ἦλθον, κλέπται εἰσὶ καὶ λῃσταί· ἀλλ' οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα». Οὐ περὶ τῶν προφητῶν φησιν ἐνταῦθα, καθὼς οἱ αἱρετικοί φασιν (ἐκείνων γὰρ ἤκουσαν, καὶ δι' ἐκείνων ἐπίστευσαν, ὅσοι καὶ ἐπίστευσαν τῷ Χριστῷ, ἀλλὰ περὶ Θευδᾶ καὶ Ἰούδα λέγει καὶ τῶν ἄλλων στασιαστῶν. Ἄλλως δὲ καὶ τὸ «οὐκ ἤκουσαν τὰ πρόβατα», ἐπαινῶν εἶπεν· οὐδαμοῦ δὲ φαίνεται ἐπαινῶν τοὺς παρακούσαντας τῶν προφητῶν, ἀλλὰ τοὐναντίον κακίζων καὶ διαβάλλων σφοδρῶς. Ὅθεν δῆλον ὅτι τὸ «οὐκ ἤκουσαν» νῦν περὶ τῶν στασιαστῶν ἐκείνων εἴρηται.

«Ὁ κλέπτης οὐ μὴ ἔρχεται, εἰ μή, ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ»· ὅπερ τότε γέγονε, πάντων σφαγέντων καὶ ἀπολομένων. «Ἐγὼ δὲ ἦλθον, ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσι». Καὶ τί ζωῆς περισσότερον; εἰπέ μοι. Βασιλεία οὐρανῶν. Ἀλλ' οὔπω λέγει τοῦτο, ἀλλὰ τὸ τῆς ζωῆς ὄνομα

ὅμως τόσον γενναῖα ἐστάθη, ὥστε καὶ τὴν ζωήν του νὰ δώσῃ. Καὶ ἐκεῖνοι μὲν τὰ ἔπαθον ὅλα ὅσα ἔπαθον χωρὶς τὴν θέλησίν των καὶ ἀναγκαζόμενοι καὶ φεύγοντες, ἐνῷ αὐτὸς μὲ τὴν θέλησίν του καὶ ἐντελῶς ἐλεύθερα τὰ ὑπέμεινεν ὅλα.

«Αὐτὴν τὴν παραβολὴν τοὺς εἶπεν ὁ Ἰησοῦς, ἐκεῖνοι ὅμως δὲν ἀντελήφθησαν τί ἐσήμαιναν αὐτὰ ποὺ τοὺς ἔλεγεν». Καὶ διατί τοὺς ὡμίλησε μὲ ἀσάφειαν; Ἐπειδὴ ἤθελε νὰ τοὺς κάμῃ προσεκτικωτέρους. Ὅταν λοιπὸν τὸ ἐπέτυχεν αὐτό, τότε πλέον διαλύει τὴν ἀσάφειαν, λέγων τὰ ἑξῆς· «Ἐγὼ εἶμαι ἡ θύρα· ἐὰν κάποιος εἰσέλθῃ δι' ἐμοῦ, θὰ σωθῇ· καὶ θὰ εἰσέλθῃ καὶ θὰ ἐξέλθῃ καὶ νομὴν θὰ εὕρῃ»· δηλαδὴ θὰ ζῇ μὲ ἀσφάλειαν καὶ χωρὶς φόβον (νομὴν δὲ ἐδῶ λέγει τὴν τροφὴν καὶ τὴν βοσκὴν τῶν προβάτων καὶ τὴν ἐξουσίαν καὶ κυριότητα), δηλαδή, θὰ μείνῃ μέσα καὶ κανεὶς δὲν θὰ τὸν ἐκδιώξῃ· πρᾶγμα λοιπὸν ποὺ συνέβη μὲ τοὺς Ἀποστόλους, οἱ ὁποῖοι εἰσήρχοντο καὶ ἐξήρχοντο ἄφοβα, ὥστε νὰ γίνουν κύριοι ὅλης τῆς οἰκουμένης καὶ κανεὶς δὲν ἠμπόρεσε νὰ τοὺς ἐκδιώξῃ. «Ὅλοι, ὅσοι ἦλθον πρὶν ἀπὸ ἐμένα, εἶναι κλέπται καὶ λησταί· ἀλλὰ δὲν τοὺς ἤκουσαν τὰ πρόβατα». Δὲν ἐννοεῖ ἐδῶ τοὺς προφήτας, ὅπως λέγουν οἱ αἱρετικοὶ (διότι τοὺς ἤκουσαν ἐκείνους καὶ δι' ἐκείνων ἐπίστευσαν ὅσοι ἐπίστευσαν καὶ εἰς τὸν Χριστόν), ἀλλὰ τὰ λέγει διὰ τὸν Θευδᾶν καὶ τὸν Ἰούδαν καὶ διὰ τοὺς ἄλλους στασιαστάς. Ἐξ ἄλλου καὶ τὸ «δὲν τοὺς ἤκουσαν τὰ πρόβατα», τὸ εἶπε διὰ νὰ τοὺς ἐπαινέσῃ· πουθενὰ δὲ δὲν φαίνεται νὰ ἐπαινῇ ἐκείνους ποὺ δὲν ἐπίστευσαν εἰς τὰ λόγια τῶν προφητῶν, ἀλλ' ἀντιθέτως τοὺς κακίζει καὶ τοὺς κατηγορεῖ πολὺ αὐστηρά. Ἄρα εἶναι φανερὸν ὅτι τὸ «οὐκ ἤκουσαν» ἐλέχθη τώρα δι' ἐκείνους τοὺς στασιαστάς.

«Ὁ κλέπτης δὲν ἔρχεται διὰ τίποτε ἄλλο, παρὰ διὰ νὰ κλέψῃ καὶ νὰ σφάξῃ καὶ νὰ καταστρέψῃ», πρᾶγμα ποὺ ἔγινε τότε, ἀφοῦ ὅλοι ἐσφάγησαν καὶ ἐξηφανίσθησαν. «Ἐγὼ ὅμως ἦλθον διὰ νὰ ἔχουν ζωὴν καὶ μάλιστα κάτι περισσότερον». Καὶ εἰπέ μου, τί ὑπάρχει περισσότερον ἀπὸ τὴν ζωήν; Ἡ βασιλεία τῶν οὐρανῶν, ἀλλὰ δὲν τὸ λέγει ἀκόμη

περιστρέφει, ὅπερ ἦν αὐτοῖς γνώριμον. «Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός». Ἐνταῦθα λοιπὸν περὶ τοῦ πάθους διαλέγεται, δεικνὺς ὅτι ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας τοῦτο γίνεται, καὶ οὐκ ἄκων ἐπὶ τοῦτο ἔρχεται. Εἶτα λέγει τὸ δεῖγμα τοῦ ποιμένος πάλιν καὶ τοῦ μισθωτοῦ· «ὁ μὲν γὰρ ποιμὴν τὴν ψυχὴν ἑαυτοῦ τίθησιν· ὁ μισθωτὸς δέ, καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ εἰσι τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον, καὶ ἀφίησι τὰ πρόβατα, καὶ φεύγει, καὶ ἔρχεται ὁ λύκος, καὶ ἁρπάζει αὐτά». Ἐνταῦθα δείκνυσιν ἑαυτὸν οὕτω κρατοῦντα, ὡς τὸν Πατέρα, εἴ γε ποιμὴν αὐτός ἐστι, καὶ ἴδια αὐτοῦ ἐστι τὰ πρόβατα.

Ὁρᾷς πῶς ἐν ταῖς παραβολαῖς ὑψηλότερον φθέγγεται, ἔνθα συνεσκίασται ὁ λόγος, καὶ οὐ δίδωσι λαβὴν φανερὰν τοῖς ἀκροωμένοις; Τί οὖν ὁ μισθωτὸς οὗτος ποιεῖ; «Θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ ἀφίησι τὰ πρόβατα, καὶ ἔρχεται ὁ λύκος καὶ ἁρπάζει αὐτά». Τοῦτο ἐκεῖνοι πεποιήκασιν, αὐτὸς δὲ τοὐναντίον· καὶ γάρ, ἡνίκα συνελήφθη, φησίν· «Ἄφετε τούτους ὑπάγειν», ἵνα πληρωθῇ ὁ λόγος ὅτι οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο. Ἔστι δὲ ἐνταῦθα καὶ νοητὸν ὑποπτεῦσαι λύκον· καὶ γὰρ οὐδὲ ἐκεῖνον εἴασεν ἐπελθόντα ἁρπάσαι τὰ πρόβατα. Οὐ λύκος δέ ἐστιν οὗτος μόνον, ἀλλὰ καὶ λέων· «ὁ γὰρ ἐχθρὸς ἡμῶν διάβολος», φησίν, «ὡς λέων περιέρχεται ὠρυόμενος». Οὗτος καὶ ὄφις καὶ δράκων ἐστί· «πατεῖτε γὰρ ἐπάνω ὄφεων καὶ σκορπίων».

4. Διό, παρακαλῶ, μένωμεν ὑπὸ τῷ ποιμένι νεμόμενοι· μενοῦμεν δέ, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούωμεν, ἐὰν αὐτῷ πειθώμεθα, ἐὰν μὴ ἀλλοτρίῳ ἑπώμεθα. Καὶ ποία αὐτοῦ ἐστιν ἡ φωνή; «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι· μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ· μακάριοι οἱ ἐλεήμονες». Ἂν ταῦτα πράττωμεν, ὑπὸ τῷ ποιμένι μενοῦμεν, καὶ ὁ λύκος ἔνδον

---

16. Ἰω. 18, 8.
17. Α΄ Πέτρ. 5, 8.
18. Λουκᾶ 10, 19.
19. Ματθ. 5, 3˙ 8˙ 7.

αὐτό, ἀλλ' ἐπαναλαμβάνει τὸ ὄνομα τῆς ζωῆς, ποὺ ἦτο γνωστὸν εἰς αὐτούς. «Ἐγὼ εἶμαι ὁ ποιμὴν ὁ καλός». Ἐδῶ ὁμιλεῖ πλέον περὶ τοῦ σταυρικοῦ πάθους του, δεικνύων ὅτι αὐτὸ γίνεται διὰ τὴν σωτηρίαν τοῦ κόσμου, καὶ δὲν ἔρχεται πρὸς αὐτὸ χωρὶς νὰ τὸ θέλῃ. Ἔπειτα λέγει πάλιν τὸ γνώρισμα τοῦ ποιμένος καὶ τοῦ μισθωτοῦ· «Διότι ὁ μὲν ποιμὴν θυσιάζει τὴν ψυχήν του ὑπὲρ τῶν προβάτων, ἐνῷ ὁ μισθωτὸς καὶ ποὺ δὲν εἶναι ποιμήν, καὶ τοῦ ὁποίου δὲν εἶναι ἰδικά του τὰ πρόβατα, βλέπει τὸν λύκον νὰ ἔρχεται καὶ ἀφήνει τὰ πρόβατα καὶ φεύγει καὶ ἔρχεται ὁ λύκος καὶ ἁρπάζει αὐτά». Ἐδῶ δείχνει τὸν ἑαυτόν του νὰ ἔχῃ τόσην ἐξουσίαν ἐπὶ τῶν προβάτων, ὅσην καὶ ὁ Πατήρ, ἐφ' ὅσον αὐτὸς εἶναι ποιμὴν καὶ εἶναι ἰδικά του τὰ πρόβατα.

Βλέπεις πῶς μὲ τὰς παραβολὰς ὁμιλεῖ ὑψηλότερα, μὲ τὰς ὁποίας συσκοτίζεται ὁ λόγος καὶ δὲν δίδει φανερὰν ἀφορμὴν πρὸς κατηγορίαν εἰς τοὺς ἀκροατάς; Τί κάμνει λοιπὸν αὐτὸς ὁ μισθωτός; «Βλέπει τὸν λύκον νὰ ἔρχεται καὶ ἀφήνει τὰ πρόβατα καὶ ἔρχεται ὁ λύκος καὶ ἁρπάζει αὐτά». Αὐτὸ ἔκαμαν ἐκεῖνοι, ἐνῷ αὐτὸς τὸ ἀντίθετον· καθ' ὅσον, ὅταν συνελήφθη, λέγει· «Ἀφήσατε αὐτοὺς νὰ φύγουν»[16], διὰ νὰ πληρωθῇ ὁ λόγος, ὅτι κανεὶς ἀπὸ αὐτοὺς δὲν ἐχάθη. Ἐδῶ δὲ εἶναι δυνατὸν νὰ ὑπονοήσωμεν καὶ τὸν πνευματικὸν λύκον, καθ' ὅσον οὔτε ἐκεῖνον ἄφησε νὰ ἔλθῃ καὶ ν' ἁρπάσῃ τὰ πρόβατα. Διότι αὐτὸς δὲν εἶναι μόνον λύκος, ἀλλὰ καὶ λέων· διότι λέγει· «Ὁ ἐχθρός μας ὁ διάβολος ὡσὰν λέων ὠρυόμενος γυρίζει ἐδῶ καὶ ἐκεῖ»[17]. Αὐτὸς εἶναι καὶ ὄφις καὶ δράκων· διότι λέγει· «Διὰ νὰ πατῆτε ἐπάνω εἰς τὰ φίδια καὶ τοὺς σκορπιούς»[18].

4. Διὰ τοῦτο, παρακαλῶ, ἂς μένωμεν βόσκοντες ὑπὸ τὴν προστασίαν τοῦ ποιμένος· θὰ μείνωμεν δέ, ἐὰν ἀκούωμεν τὴν φωνήν του, ἐὰν δείχνωμεν ὑπακοὴν εἰς αὐτόν, ἐὰν δὲν ἀκολουθοῦμεν ξένον. Καὶ ποία εἶναι ἡ φωνή του; «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι· μακάριοι αὐτοὶ ποὺ ἔχουν καθαρὰν καρδίαν· μακάριοι οἱ ἐλεήμονες»[19]. Ἂν τὰ κάμνωμεν αὐτά, θὰ μένωμεν ὑπὸ τὴν προστασίαν τοῦ ποιμένος καὶ ὁ λύκος δὲν θὰ ἠμπορέσῃ νὰ εἰσέλθῃ μέσα, ἀλ-

γενέσθαι οὐ δυνήσεται, ἀλλά, κἂν ἐπέλθῃ, ἐπὶ κακῷ τῷ ἑαυτοῦ τοῦτο ἐργάσεται· ποιμένα γὰρ ἔχομεν, οὕτω φιλοῦντα ἡμᾶς, ὡς καὶ τὴν ψυχὴν ὑπὲρ ἡμῶν ἐπιδοῦναι. Ὅταν οὖν καὶ δυνατὸς ᾖ καὶ φιλῇ, τί τὸ κωλύον ἡμᾶς σωθῆναι; Οὐδέν, εἰ μὴ ἡμεῖς αὐτοὶ ἀποσταίημεν. Πῶς δὲ ἀποστησόμεθα; Ἄκουσον αὐτοῦ λέγοντος· «Οὐ δύνασθε δυσὶ κυρίοις δουλεύειν, Θεῷ καὶ μαμμωνᾷ». Ἂν τοίνυν τούτῳ δουλεύωμεν, οὐχ ὑποστησόμεθα τὴν ἐκείνου τυραννίδα· καὶ γὰρ τυραννίδος ἁπάσης πικρότερον ἡ τῶν χρημάτων ἐπιθυμία· ἡδονὴν μὲν γὰρ οὐδεμίαν ἔχει, φροντίδας δὲ καὶ φθόνους, καὶ ἐπιβουλάς, καὶ μῖσος καὶ συκοφαντίας καὶ ἀρετῆς μυρία κωλύματα, ῥᾳθυμίαν, ἀσέλγειαν, πλεονεξίαν, μέθην, ἃ καὶ τοὺς ἐλευθέρους δούλους ποιεῖ καὶ ἀργυρωνήτων χείρους, καὶ δούλους οὐκ ἀνθρώπων, ἀλλὰ καὶ τοῦ χαλεπωτέρου τῶν παθῶν καὶ τῶν νοσημάτων τῆς ψυχῆς. Ὁ τοιοῦτος πολλὰ τῶν καὶ Θεῷ καὶ ἀνθρώποις μὴ ἀρεσκόντων τολμᾷ, δεδοικὼς μή τις αὐτοῦ τὴν δεσποτείαν ἀφέληται ταύτην.

Ὢ πικρᾶς δουλείας καὶ διαβολικῆς δυναστείας! τοῦτο γὰρ μάλιστα πάντων ἐστὶ τὸ χαλεπώτατον, ὅτι, ἐν τοσούτοις κατεχόμενοι κακοῖς, ἡδόμεθα καὶ τὴν ἅλυσιν ἀσπαζόμεθα, καί, δεσμωτήριον οἰκοῦντες, σκότους πεπληρωμένον, εἰς φῶς ἐξελθεῖν οὐ βουλόμεθα, ἀλλ' ἐπισφίγγομεν ἑαυτοῖς τὰ κακά, καὶ ἐνηδόμεθα τῷ νοσήματι. Ὅθεν οὐδὲ ἀπαλλαγῆναι δυνάμεθα, ἀλλὰ τῶν τὰ μέταλλα ἐργαζομένων χαλεπώτερον διακείμεθα, τοὺς μὲν πόνους καὶ τὴν ταλαιπωρίαν ὑπομένοντες, τῶν δὲ καρπῶν οὐκ ἀπολαύοντες. Καὶ τὸ δὴ χεῖρον πάντων, ὅτι, κἂν ἀπαλλάξαι βουληθῇ τις τῆς πικρᾶς ταύτης αἰχμαλωσίας ἡμᾶς, οὐκ ἀνεχόμεθα, ἀλλὰ καὶ δυσχεραίνομεν καὶ ἀγανακτοῦμεν, οὐδὲν ἄμεινον τῶν μαινομένων

20. Ματθ. 6, 24.

λὰ καὶ ἂν ἀκόμη ἔλθῃ, θὰ τὸ κάνῃ αὐτὸ πρὸς ζημίαν του˙ διότι ἔχομεν ποιμένα, ποὺ τόσον μᾶς ἀγαπᾷ, ὥστε καὶ τὴν ζωήν του νὰ δώσῃ χάριν ἡμῶν. Ὅταν λοιπὸν καὶ δυνατὸς εἶναι καὶ μᾶς ἀγαπᾷ, τί μᾶς ἐμποδίζει νὰ σωθῶμεν; Τίποτε, ἐὰν δὲν φύγωμεν ἡμεῖς ἀπὸ κοντά του. Πῶς δὲ φεύγομεν ἀπὸ κοντά του; Ἄκουσέ τον ποὺ λέγει˙ «Δὲν ἠμπορεῖτε νὰ δουλεύετε εἰς δύο κυρίους, εἰς τὸν Θεὸν καὶ εἰς τὸν μαμμωνᾶν»[20]. Ἂν λοιπὸν δουλεύωμεν εἰς αὐτόν, δὲν θὰ ὑποστοῦμεν τὴν τυραννικὴν ἐξουσίαν ἐκείνου˙ καθ᾽ ὅσον φοβερώτερον ἀπὸ κάθε τυραννίδα εἶναι ἡ ἐπιθυμία τῶν χρημάτων˙ διότι καμμίαν ἡδονὴν δὲν ἔχει, ἀλλ᾽ ἔχει φροντίδας καὶ φθόνους καὶ ἐπιβουλὰς καὶ μῖσος καὶ συκοφαντίας καὶ μύρια ἐμπόδια διὰ τὴν ἀρετήν, ὅπως ραθυμίαν, ἀσέλγειαν, πλεονεξίαν, μέθην, πράγματα ποὺ καὶ τοὺς ἐλευθέρους τοὺς κάμνουν δούλους καὶ χειροτέρους καὶ ἀπὸ τοὺς ἀγορασμένους δούλους, καὶ δούλους ὄχι ἀνθρώπων, ἀλλὰ καὶ τοῦ πιὸ φοβεροῦ ἀπὸ τὰ πάθη καὶ τὰ νοσήματα τῆς ψυχῆς. Ὁ ἄνθρωπος αὐτοῦ τοῦ εἴδους τολμᾷ πολλὰ πράγματα ἀπὸ ἐκεῖνα ποὺ δὲν ἀρέσουν οὔτε εἰς τὸν Θεὸν οὔτε εἰς τοὺς ἀνθρώπους, φοβούμενος μήπως κάποιος τοῦ ἀφαιρέσῃ αὐτὴν τὴν δεσποτείαν.

Ὢ πικρὰ δουλεία καὶ διαβολικὴ ἐξουσία! Διότι αὐτὸ πρὸ πάντων εἶναι τὸ φοβερώτατον ἀπὸ ὅλα, ὅτι, ἂν καὶ περιβαλλόμεθα ἀπὸ τόσα πολλὰ κακά, εὐχαριστούμεθα καὶ ἀποδεχόμεθα τὴν ἁλυσίδα καὶ ἐνῷ κατοικοῦμεν εἰς δεσμωτήριον γεμᾶτον ἀπὸ σκότος, δὲν θέλομεν νὰ ἐξέλθωμεν εἰς τὸ φῶς, ἀλλὰ περισφίγγομεν τοὺς ἑαυτούς μας μὲ τὰ κακὰ καὶ εὐχαριστούμεθα μὲ τὸ νόσημα. Διὰ τοῦτο οὔτε ν᾽ ἀπαλλαγῶμεν ἠμποροῦμεν, ἀλλ᾽ εὑρισκόμεθα εἰς θέσιν φοβερωτέραν ἀπὸ αὐτὴν ποὺ εὑρίσκονται οἱ ἐργαζόμενοι εἰς τὰ μεταλλεῖα, ὑπομένοντες καὶ τοὺς κόπους καὶ τὴν ταλαιπωρίαν χωρὶς ὅμως ν᾽ ἀπολαμβάνωμεν τοὺς καρπούς. Καὶ τὸ χειρότερον βέβαια ἀπὸ ὅλα εἶναι, ὅτι, καὶ ἂν θελήσῃ κάποιος νὰ μᾶς ἀπαλλάξῃ ἀπὸ αὐτὴν τὴν πικρὰν αἰχμαλωσίαν, δὲν τὸ ἀνεχόμεθα, ἀλλὰ καὶ δυσανασχετοῦμεν καὶ ἀγανακτοῦμεν καὶ ὡς ἐκ τούτου εὑρισκόμεθα εἰς

διακείμενοι ταύτῃ, ἀλλὰ καὶ πολλῷ πάντων ἐκείνων ἀθλιώτερον, καὶ τοσοῦτον, ὅσον οὐδὲ ἀπαλλαγῆναι τῆς μανίας ἐθέλομεν. Μὴ γὰρ διὰ τοῦτο παρήχθης εἰς τὸν κόσμον, ὦ ἄνθρωπε, τοῦτον; μὴ γὰρ διὰ τοῦτο γέγονας ἄνθρωπος, ἵνα τὰ μέταλλα ταῦτα ἐργάζῃ, καὶ συλλέγῃς χρυσίον; Οὐ διὰ ταῦτα ἔπλασέ σε κατ' εἰκόνα, ἀλλ' ἵνα αὐτῷ ἀρέσῃς, ἵνα τῶν μελλόντων ἐπιτύχῃς, ἵνα μετ' ἀγγέλων χορεύσῃς.

Τί τοίνυν ἐκβάλλεις σεαυτὸν τῆς τοιαύτης συγγενείας, καὶ πρὸς τὴν ἐσχάτην ἀτιμίαν καὶ δυσγένειαν ἐξωθεῖς; Ὁ τὰς αὐτάς σοι λύσας ὠδῖνας (ὠδῖνας δὲ λέγω τὰς πνευματικάς), λιμῷ διαφθείρεται, σὺ δὲ ὑπὸ πλησμονῆς διαρρήγνυσαι· ὁ ἀδελφὸς γυμνὸς τὸ σῶμα περιάγει, σὺ δὲ καὶ τοῖς ἱματίοις ἱμάτια κατασκευάζεις, ἐπιτειχίζων τοῖς σκώληξι τὴν τοιαύτην περιβολήν. Καὶ πόσῳ βέλτιον ἦν τὰ σώματα περιβάλλειν τὰ τῶν πενήτων! Οὕτω γὰρ καὶ ἀνάλωτα ἔμενε, καὶ φροντίδος ἁπάσης ἀπήλλαττε, καὶ τὴν μέλλουσάν σοι ζωὴν ἐκόμιζεν· εἰ γὰρ μὴ βούλει ταῦτα γενέσθαι σητόβρωτα, δὸς τοῖς πτωχοῖς· ἐκεῖνοι γάρ εἰσιν οἱ τὰ ἱμάτια ταῦτα εἰδότες τινάσσειν καλῶς· καὶ γὰρ τοῦ κιβωτίου τὸ σῶμα τοῦ Χριστοῦ τιμιώτερόν τε καὶ ἀσφαλέστερον· οὐδὲ γὰρ μόνον φυλάσσει τὰ ἱμάτια, οὐδὲ ἀνάλωτα διατηρεῖ μόνον, ἀλλὰ καὶ λαμπρότερα ἐργάζεται. Τὸ κιβώτιον πολλάκις, μετὰ τῶν ἱματίων ληφθέν, ἐσχάτῃ σε περιέβαλε ζημίᾳ· ταύτην δὲ οὐδὲ θάνατος λυμήνασθαι δύναται τὴν φυλακήν· οὐδὲ γὰρ θυρῶν ἐνταῦθα ἡμῖν δεῖ καὶ μοχλῶν, οὐκ οἰκετῶν ἀγρυπνούντων, οὐκ ἄλλης τινὸς τοιαύτης ἀσφαλείας· καὶ γὰρ πάσης ἐπιβουλῆς ἀπήλλακται, καὶ ἀπόκειται φυλαττόμενα, ὥσπερ εἰκός, τὰ ἐν τοῖς οὐρανοῖς κείμενα· πάσῃ γὰρ κακίᾳ ἐκεῖνος ὁ τόπος ἄβατος.

Ταῦτα οὔτε ἡμεῖς ἀεὶ λέγοντες διαλιμπάνομεν, οὔτε ὑ-

κατάστασιν ὄχι καλυτέραν ἀπὸ τὴν τῶν μανιακῶν, ἀλλὰ καὶ εἰς πολὺ πιὸ ἀθλιωτέραν ἀπὸ ὅλους ἐκείνους, καὶ τόσον πολύ, ὥστε νὰ μὴ θέλωμεν ν' ἀπαλλαγῶμεν ἀπὸ τὴν μανίαν. Μήπως, ἄνθρωπε, δι' αὐτὸ ἦλθες εἰς τὸν κόσμον αὐτόν; μήπως δι' αὐτὸ ἔγινες ἄνθρωπος, διὰ νὰ κατεργάζεσαι αὐτὰ τὰ μέταλλα καὶ νὰ συγκεντρώνῃς χρήματα; Δὲν σὲ ἔπλασε κατ' εἰκόνα του δι' αὐτά, ἀλλὰ διὰ νὰ ἀρέσῃς εἰς αὐτόν, διὰ νὰ ἐπιτύχῃς τὰ τῆς μελλούσης ζωῆς, διὰ νὰ λάβῃς μέρος εἰς τὴν χορείαν τῶν ἀγγέλων.

Διατί λοιπὸν στερεῖς τὸν ἑαυτόν σου ἀπὸ αὐτὴν τὴν συγγένειαν καὶ τὸν ἐξωθεῖς πρὸς τὴν πιὸ φοβερὰν ἀτιμίαν καὶ ἀσημότητα; Αὐτὸς ποὺ ἔζησε τὰς ἰδίας μὲ ἐσένα ὠδῖνας (ὠδῖνας δὲ ἐννοῶ τὰς πνευματικάς), πεθαίνει ἀπὸ τὴν πεῖναν, ἐνῷ σὺ σκάζεις ἀπὸ τὴν ἀφθονίαν τῶν ἀγαθῶν· ὁ ἀδελφός σου περιφέρεται μὲ γυμνὸν σῶμα, ἐνῷ σὺ κατασκευάζεις ἐνδύματα καὶ διὰ τὰ ἐνδύματα, θέτων ὡς τεῖχος τὴν ἐνδυμασίαν αὐτὴν διὰ τοὺς σκώληκας. Καὶ πόσον καλύτερον θὰ ἦτο νὰ ἐνδύσῃς τὰ σώματα τῶν πτωχῶν! Διότι ἔτσι καὶ αὐτὰ θὰ παρέμειναν ἄφθαρτα καὶ θὰ σὲ ἀπήλασσον ἀπὸ κάθε φροντίδα, καὶ θὰ σοῦ προσέφερον τὴν μέλλουσαν ζωήν· ἐὰν δηλαδὴ δὲν θέλῃς νὰ τὰ φάγουν τὰ σκωλήκια, δῶσε αὐτὰ εἰς τοὺς πτωχούς· διότι ἐκεῖνοι γνωρίζουν νὰ τινάσσουν καλὰ αὐτὰ τὰ ἐνδύματα· καθ' ὅσον τὸ σῶμα τοῦ Χριστοῦ εἶναι τιμιώτερον καὶ ἀσφαλέστερον ἀπὸ τὸ κιβώτιον· διότι ὄχι μόνον φυλάσσει τὰ ἐνδύματα, ὄχι μόνον τὰ διατηρεῖ ἄφθαρτα, ἀλλὰ τὰ κάμνει λαμπρότερα. Τὸ κιβώτιον πολλὲς φορές, κλαπὲν μαζὶ μὲ τὰ ἐνδύματα, σὲ ἐπροξένησε τὴν πιὸ μεγάλην ζημίαν, ἐνῷ αὐτὴν τὴν φύλαξιν οὔτε ὁ θάνατος ἠμπορεῖ νὰ τὴν καταστρέψῃ· διότι δι' αὐτὴν τὴν φύλαξιν δὲν χρειαζόμεθα οὔτε θύρας οὔτε μοχλοὺς οὔτε δούλους ν' ἀγρυπνοῦν, οὔτε καμμίαν ἄλλην παρόμοιον ἀσφάλειαν· καθ' ὅσον εἶναι ἀπηλλαγμένα ἀπὸ κάθε ἐπιβουλὴν καὶ φυλάσσονται, ὡς εἶναι φυσικόν, ὅπως τὰ εὑρισκόμενα εἰς τοὺς οὐρανούς· διότι ἐκεῖνος ὁ τόπος εἶναι ἀδιάβατος διὰ κάθε κακίαν.

Αὐτὰ οὔτε ἐγὼ παύω νὰ τὰ λέγω πάντοτε, οὔτε σεῖς

μεῖς ἀκούοντες πείθεσθε. Τὸ δὲ αἴτιον, ψυχῆς ἐσμεν εὐτελοῦς, καὶ πρὸς τὴν γῆν κεχηνυίας, καὶ χαμαὶ συρομένης. Μᾶλλον δὲ μὴ γένοιτο πάντων ὑμῶν καταγνῶναι κακίαν, ὡς πάντας ἀνίατα νοσεῖν! εἰ γὰρ καὶ οἱ τῷ πλούτῳ μεθύοντες ἐμφράττουσι τὴν ἀκοὴν πρὸς τὰ λεγόμενα, ἀλλ' οἱ πενίᾳ συζῶντες δυνήσονται διαβλέψαι πρὸς τὰ λεγόμενα. Καὶ τί ταῦτα πρὸς τοὺς πένητας; φησίν· οὐ γὰρ χρυσὸς αὐτοῖς ἐστιν, οὐδὲ ἱμάτια τοσαῦτα, φησίν. Ἀλλὰ ἄρτος ἐστὶν αὐτοῖς καὶ ὕδωρ ψυχρόν· ἀλλ' ὀβολοὶ δύο, καὶ πόδες, ὥστε ἐπισκέψασθαι τοὺς ἀρρωστοῦντας· ἀλλὰ γλῶσσα καὶ λόγος, ὥστε παρακαλέσαι τὸν βεβλημένον· ἀλλ' οἰκία καὶ στέγη, ὥστε ὁμοδίαιτον ποιῆσαι τὸν ξένον· οὐ γὰρ δὴ τάλαντα χρυσοῦ τόσα καὶ τόσα ἀπαιτοῦμεν παρὰ τῶν πενήτων, ἀλλὰ ταῦτα μὲν παρὰ τῶν πλουτούντων, εἰ δέ τις πένης εἴη, καὶ ἐπὶ τὰς τῶν ἄλλων ἔρχεται θύρας, οὐδὲ ὀβολὸν λαβεῖν ὁ Δεσπότης ἡμῶν ἐπαισχύνεται, ἀλλὰ καὶ μείζονα ἐρεῖ τῶν πολλὰ βεβληκότων εἰληφέναι παρ' αὐτοῦ. Πόσοι τῶν νῦν ἑστηκότων ηὔξαντο κατ' ἐκεῖνον γενέσθαι τὸν καιρόν, καθ' ὃν μετὰ σαρκὸς ὁ Χριστὸς περιεπόλει τὴν γῆν, ὥστε καὶ ὁμοδίαιτοι αὐτῷ γενέσθαι, καὶ σύσσιτοι; Ἰδοὺ νῦν ἔξεστι τοῦτο γενέσθαι, καὶ καλεῖν αὐτὸν μᾶλλον ἐπὶ ἄριστον καὶ ἑστιαθῆναι μετ' αὐτοῦ, καὶ ἐπὶ μείζονι κέρδει· τῶν μὲν γὰρ τότε αὐτῷ συνεστιαθέντων πολλοὶ καὶ ἀπώλοντο (οἷος καὶ ὁ Ἰούδας ἦν, καὶ ἕτεροι δὲ τοιοῦτοι) τῶν δὲ καλούντων αὐτὸν ἕκαστος νῦν εἰς τὴν οἰκίαν τὴν ἑαυτοῦ, καὶ μεταδιδόντων αὐτῷ τραπέζης καὶ στέγης, εὐλογίας ἀπολαύσεται μεγάλης· «δεῦτε γάρ», φησίν, «οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με· ἠσθένη-

21. Μάρκ. 12, 43.

πείθεσθε ἀκούοντές τα. Καὶ ἡ αἰτία εἶναι ποὺ ἔχομεν ψυχὴν εὐτελῆ ποὺ ἔχει ἐστραμμένον τὸ βλέμμα της πρὸς τὴν γῆν καὶ σύρεται κάτω. Μᾶλλον δὲ ἂς μὴ σᾶς κατηγορῶ ὅλους διὰ κακίαν, ὡσὰν ὅλοι νὰ πάσχετε ἀθεράπευτα· διότι, ἐὰν μὲν οἱ μεθυσμένοι ἀπὸ τὸν πλοῦτον φράσσουν τὰ αὐτιά των πρὸς τὰ λεγόμενα, ἀλλ' ὅμως αὐτοὶ ποὺ ζοῦν μέσα εἰς τὴν πτωχείαν θὰ ἠμπορέσουν νὰ προσέξουν τὰ λεγόμενα. Καὶ ποίαν σχέσιν, λέγει, ἔχουν αὐτὰ μὲ τοὺς πτωχούς; διότι αὐτοί, λέγει, δὲν ἔχουν οὔτε χρήματα οὔτε τόσα πολλὰ ἐνδύματα. Ἀλλ' ἔχουν ἄρτον καὶ νερὸ δροσερόν· ἔχουν δύο ὀβολοὺς καὶ πόδια, ὥστε νὰ ἐπισκεφθοῦν τοὺς ἀσθενεῖς· ἔχουν γλῶσσαν καὶ λόγον, ὥστε νὰ παρηγορήσουν τὸν ἀσθενῆ· ἔχουν οἰκίαν καὶ στέγην, ὥστε νὰ φιλοξενήσουν τὸν ξένον· διότι, βέβαια, δὲν ζητοῦμεν ποσότητας ταλάντων χρυσοῦ ἀπὸ τοὺς πτωχούς, ἀλλ' αὐτὰ μὲν τὰ ζητοῦμεν ἀπὸ τοὺς πλουσίους, ἐὰν ὅμως εἶναι κάποιος πτωχὸς καὶ πηγαίνῃ εἰς τὰς θύρας τῶν ἄλλων, ὁ Κύριός μας δὲν ἐντρέπεται νὰ λάβῃ ἔστω καὶ ἕνα ὀβολόν, ἀλλὰ θὰ εἰπῇ ὅτι ἔλαβεν ἀπὸ αὐτὸν περισσότερα, παρὰ ἀπὸ ἐκείνους ποὺ ἔδωσαν πολλά[21]. Πόσοι ἀπὸ αὐτοὺς ποὺ ζοῦν σήμερον ηὐχήθησαν νὰ ἐζοῦσαν κατ' ἐκεῖνον τὸν καιρόν, ποὺ ὁ Χριστὸς περιήρχετο τὴν γῆν μὲ σάρκα, ὥστε νὰ κάθωνται εἰς τὴν ἰδίαν τράπεζαν μὲ αὐτὸν καὶ νὰ συντρώγουν; Νὰ τώρα εἶναι δυνατὸν αὐτὸ νὰ γίνῃ, καὶ νὰ καλέσωμεν αὐτὸν εἰς γεῦμα καὶ νὰ φάγωμεν μαζί του καὶ μὲ μεγαλύτερον κέρδος· διότι πολλοὶ ἀπὸ ἐκείνους ποὺ ἔφαγον μαζί του τότε ὡδηγήθησαν εἰς τὴν ἀπώλειαν (ὅπως ἦτο ὁ Ἰούδας καὶ ἄλλοι παρόμοιοί του), ἐνῷ ὁ καθένας ἀπὸ αὐτοὺς ποὺ τὸν προσκαλεῖ σήμερα εἰς τὴν οἰκίαν του καὶ τοῦ παρέχει στέγην καὶ τράπεζαν, θὰ ἀπολαύσῃ μεγάλας εὐλογίας· διότι λέγει· «Ἐλᾶτε οἱ εὐλογημένοι τοῦ Πατρός μου καὶ κληρονομήσατε τὴν ἡτοιμασμένην δι' ἐσᾶς βασιλείαν ἀπὸ τῆς δημιουργίας τοῦ κόσμου· διότι ἐπείνασα καὶ μοῦ ἐδώσατε νὰ φάγω· ἐδίψασα καὶ μοῦ ἐδώσατε νὰ πιῶ· ξένος ἤμουν καὶ μὲ ἐπήρατε εἰς τὴν οἰκίαν σας·

σα, καὶ ἐπεσκέψασθέ με· ἐν φυλακῇ ἤμην, καὶ ἤλθετε πρός με».

Ἵν' οὖν τούτων ἀκούσωμεν τῶν ῥημάτων, ἐνδύσωμεν τὸν γυμνόν, συναγάγωμεν τὸν ξένον, θρέψωμεν τὸν πεινῶντα, ποτίσωμεν τὸν διψῶντα, ἐπισκεψώμεθα τὸν ἀρρωστοῦντα, ἴδωμεν τὸν ἐν φυλακῇ, ἵνα παρρησίας ἀπολαύσωμεν, καὶ ἁμαρτημάτων συγχώρησιν λάβωμεν, καὶ τῶν ἀγαθῶν μετάσχωμεν ἐκείνων, τῶν καὶ λόγων ὑπερβαινόντων καὶ νοῦν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

22. Ματθ. 25, 34-36.

ἠσθένησα καὶ μὲ ἐπεσκέφθητε· ἤμουν φυλακισμένος καὶ ἤλθατε πρὸς ἐμένα»[22].

Διὰ ν' ἀκούσωμεν λοιπὸν αὐτὰ τὰ λόγια, ἄς ἐνδύσωμεν τὸν γυμνόν, ἄς τὸν πάρωμεν εἰς τὴν οἰκίαν μας, ἄς θρέψωμεν τὸν πεινασμένον, ἄς ποτίσωμεν τὸν διψασμένον, ἄς ἐπισκεφθοῦμεν τὸν ἄρρωστον, ἄς ἐπισκεφθοῦμεν τὸν φυλακισμένον, διὰ ν' ἀπολαύσωμεν παρρησίαν καὶ νὰ λάβωμεν συγχώρησιν τῶν ἁμαρτημάτων καὶ νὰ μετάσχωμεν ἐκείνων τῶν ἀγαθῶν ποὺ ὑπερβαίνουν τὸν λόγον καὶ τὸν νοῦν, τὰ ὁποῖα εὔχομαι ὅλοι μας νὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Ξ΄

Ἰω. 10, 14-21

«Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, καὶ γινώσκω τὰ ἐμά, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν. Καθὼς γινώσκει με ὁ Πατήρ, κἀγὼ γινώσκω τὸν Πατέρα, καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων».

1. Μέγα, ἀγαπητοί, μέγα Ἐκκλησίας προστασία, καὶ πολλῆς δεόμενον φιλοσοφίας, καὶ ἀνδρείας τοσαύτης, ὅσης ὁ Χριστὸς εἶπεν, ὥστε τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων θεῖναι, ὥστε μηδέποτε ἐγκαταλιπεῖν αὐτὰ ἔρημα καὶ γυμνά, ὥστε πρὸς τὸν λύκον ἵστασθαι γενναίως· τούτῳ γὰρ ὁ ποιμὴν τοῦ μισθωτοῦ διέστηκεν· ὁ μὲν γὰρ τὴν ἰδίαν σωτηρίαν πανταχοῦ σκοπεῖ, τῶν προβάτων ἀμελῶν, οὗτος δὲ πανταχοῦ τὴν τῶν προβάτων ἐπιζητεῖ, τὴν ἑαυτοῦ παρατρέχων. Εἰπὼν τοίνυν τοῦ ποιμένος τὰ δείγματα, δύο τίθησι τοὺς λυμεῶνας· ἕνα τὸν κλέπτην, τὸν θύοντα καὶ ἁρπάζοντα, ἕτερον δέ, τὸν τούτων μὲν οὐδὲν ποιοῦντα, γινομένων δὲ τούτων οὐκ ἐπιστρεφόμενον, οὐδὲ κωλύοντα, δι' ἐκείνων μὲν τοὺς περὶ Θευδᾶν αἰνιττόμενος, διὰ τούτων δὲ τοὺς Ἰουδαίων διδασκάλους ἐκπομπεύων, οὐ κηδομένους, οὐδὲ φροντίζοντας τῶν ἐμπεπιστευμένων αὐτοῖς προβάτων, ὅπερ οὖν καὶ ὁ Ἰεζεκιὴλ ἄνωθεν ἐγκαλῶν αὐτοῖς ἔλεγεν· «Ὦ οἱ ποιμένες Ἰσραήλ! μὴ βόσκουσιν ἑαυτοὺς οἱ ποιμένες;».

Ἀλλ' ἐκεῖνοι τοὐναντίον ἐποίουν, ὅπερ μέγιστόν ἐστιν

1. Πράξ. 5, 36.
2. Ἰεζ. 34, 2.

ΟΜΙΛΙΑ Ξ΄

Ἰω. 10, 14-21

«Ἐγὼ εἶμαι ὁ ποιμὴν ὁ καλὸς καὶ γνωρίζω τὰ ἰδικά μου πρόβατα καὶ γνωρίζομαι ἀπὸ αὐτά. Ὅπως ἀκριβῶς μὲ γνωρίζει ὁ Πατήρ μου, ἔτσι καὶ ἐγὼ γνωρίζω τὸν Πατέρα μου καὶ θυσιάζω τὴν ζωήν μου ὑπὲρ τῶν προβάτων».

1. Εἶναι μεγάλο πρᾶγμα, ἀγαπητοί μου, μεγάλο πρᾶγμα ἡ προστασία τῆς Ἐκκλησίας καὶ ἔχει ἀνάγκην πολλῆς εὐσεβείας καὶ τόσον μεγάλης ἀνδρείας, ὅσην εἶπεν ὁ Χριστός, ὥστε νὰ θυσιάζῃ κανεὶς τὴν ψυχήν του ὑπὲρ τῶν προβάτων, ὥστε ποτὲ νὰ μὴ ἐγκαταλείπῃ αὐτὰ ἔρημα καὶ γυμνά, ὥστε νὰ ἵσταται μὲ γενναιότητα πρὸ τοῦ λύκου· διότι ὡς πρὸς αὐτὸ διαφέρει ὁ ποιμὴν ἀπὸ τὸν μισθωτόν· καθ' ὅσον ὁ μὲν μισθωτὸς φροντίζει πάντοτε διὰ τὴν σωτηρίαν του καὶ παραμελεῖ τὰ πρόβατα, ἐνῷ ὁ ποιμὴν φροντίζει πάντοτε διὰ τὴν σωτηρίαν τῶν προβάτων καὶ παραμελεῖ τὴν ἰδικήν του. Ἀφοῦ λοιπὸν εἶπε τὰ γνωρίσματα τοῦ ποιμένος ἀνέφερε δύο καταστροφεῖς· ἕνα τὸν κλέπτην, ποὺ σφάζει καὶ ἁρπάζει τὰ πρόβατα, ἄλλον δὲ ἐκεῖνον ποὺ δὲν κάμνει μὲν τίποτε ἀπὸ αὐτά, βλέπων ὅμως νὰ γίνωνται αὐτὰ δὲν στρέφεται ἐναντίον τοῦ καταστροφέως, οὔτε τὸν ἐμποδίζει, καὶ διὰ μὲν τῶν κλεπτῶν ὑπονοεῖ τοὺς περὶ τὸν Θευδᾶν[1], διὰ δὲ τῶν ἄλλων τῶν ἀδιαφόρων κατηγορεῖ τοὺς δασκάλους τῶν Ἰουδαίων, ποὺ δὲν προσέχουν οὔτε φροντίζουν τὰ πρόβατα ποὺ τοὺς ἔχουν ἐμπιστευθῆ, πρᾶγμα λοιπὸν διὰ τὸ ὁποῖον παλαιότερον τοὺς κατηγόρει καὶ ὁ Ἰεζεκιήλ, λέγων· «Ὦ ποιμένες τοῦ Ἰεζεκιήλ! μήπως ἆρά γε βόσκουν τοὺς ἑαυτούς των οἱ ποιμένες;»[2].

Ἀλλ' ἐκεῖνοι ἔκαμνον τὸ ἀντίθετον, πρᾶγμα ποὺ εἶναι

εἶδος κακίας, καὶ τῶν ἄλλων αἴτιον πάντων· διὰ τοῦτο γάρ φησιν· «Οὔτε τὸ πεπλανημένον ἐπέστρεφον, οὔτε τὸ ἀπολωλὸς ἐζήτουν, οὐδὲ τὸ συντετριμμένον ἐδέσμουν, οὐδὲ τὸ ἀρρωστοῦν ἐθεράπευον», ἐπειδὴ ἑαυτούς, καὶ οὐ τὰ πρόβατα ἔβοσκον. Ὅπερ καὶ ὁ Παῦλος ἑτέρῳ ῥήματι πάλιν ἐδήλου, λέγων· «Οἱ γὰρ πάντες τὰ ἑαυτῶν ζητοῦσιν, οὐ τὰ Χριστοῦ Ἰησοῦ», καὶ πάλιν· «Μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ τὸ τοῦ πλησίον ἕκαστος». Ἀλλ' ἀμφοτέρων ἑαυτὸν διΐστησιν ὁ Χριστός, ἐκείνων μέν, τῶν ἐπὶ λύμῃ παραγενομένων, τῷ εἰπεῖν «Διὰ τοῦτο ἦλθον, ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσι», τούτων δέ, τῶν περιορώντων ὑπὸ τῶν λύκων ἁρπαζόμενα τὰ πρόβατα, τῷ μὴ καταλιπεῖν, ἀλλὰ καὶ τὴν ψυχὴν αὐτοῦ θεῖναι ὑπὲρ αὐτῶν, ὥστε μὴ τὰ πρόβατα ἀποθανεῖν. Ἐπειδὴ γὰρ αὐτὸν ἐβουλεύοντο ἀνελεῖν, οὔτε τῆς διδασκαλίας μετέθετο, οὔτε τοὺς πιστεύοντας προὔδωκεν, ἀλλ' ἔστη, καὶ εἵλετο ἀποθανεῖν. Διὰ τοῦτο ἄνω καὶ κάτω ἔλεγεν· «Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός».

Εἶτα, ἐπειδὴ ἀμάρτυρα ἐδόκει τὰ λεγόμενα εἶναι (τὸ μὲν γὰρ «τὴν ψυχήν μου τίθημι», οὐ μετὰ πολὺ τὴν ἀπόδειξιν ἔλαβε, τὸ δὲ «ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσι», μετὰ τὴν ἐντεῦθεν ἔμελλεν ἀποδημίαν συμβήσεσθαι κατὰ τὸν αἰῶνα τὸν μέλλοντα), τί ποιεῖ; Θάτερον ἀπὸ θατέρου πιστοῦται, ἀπὸ τοῦ δοῦναι τὴν ψυχήν, ὅτι καὶ τὴν ζωὴν δίδωσιν, ὅπερ καὶ ὁ Παῦλος ἔλεγεν ὅτι, «εἰ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ Υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλλαγέντες σωθησόμεθα»· καὶ πάλιν ἀλλαχοῦ· «Ὅς γε τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν, πῶς οὐχὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται;». Ἀλλὰ τίνος ἕνεκεν οὐκ ἐγκαλοῦ-

3. Ἰεζ. 34, 4.
4. Φιλ. 2, 21.
5. Α' Κορ. 10, 24.
6. Ἰω. 10, 10.
7. Ρωμ. 5, 10.
8. Ρωμ. 8, 32.

μέγιστον εἶδος κακίας καὶ αἰτία ὅλων τῶν ἄλλων κακῶν˙ διὰ τοῦτο λοιπὸν λέγει˙ «Οὔτε τὸ πλανηθὲν ἐπέστρεφον, οὔτε ἀνεζήτουν νὰ εὕρουν τὸ χαμένον πρόβατον, οὔτε τοῦ πληγωμένου ἔδενον τὰς πληγάς, οὔτε τὸν ἄρρωστον ἐθεράπευον»[3], ἐπειδὴ ἔβοσκον τοὺς ἑαυτούς των καὶ ὄχι τὰ πρόβατα. Αὐτὸ ἀκριβῶς ἐδήλωνε καὶ ὁ Παῦλος πάλιν μὲ ἄλλα λόγια, λέγων˙ «Διότι ὅλοι φροντίζουν διὰ τὰ ἰδικά των συμφέροντα, καὶ ὄχι δι' αὐτὰ ποὺ ἀρέσουν εἰς τὸν Ἰησοῦν Χριστόν»[4], καὶ ἀλλοῦ πάλιν˙ «Κανεὶς νὰ μὴ φροντίζῃ δι' αὐτὸ ποὺ ἀρέσει εἰς αὐτόν, ἀλλ' ὁ καθένας νὰ φροντίζῃ διὰ τὸ συμφέρον τοῦ πλησίον»[5]. Ἀλλὰ καὶ ἀπὸ τοὺς δύο ὁ Χριστὸς διαχωρίζει τὸν ἑαυτόν του, ἀπὸ ἐκείνους μέν, ποὺ ἔρχονται πρὸς καταστροφήν, διὰ τῶν λόγων, «Διὰ τοῦτο ἦλθον, διὰ νὰ ἔχουν ζωὴν καὶ περισσότερον μάλιστα ἀπὸ αὐτήν»[6], ἀπὸ αὐτοὺς δὲ ποὺ βλέπουν μὲ ἀδιαφορίαν νὰ ἁρπάζωνται τὰ πρόβατα ἀπὸ τοὺς λύκους, μὲ τὸ νὰ μὴ ἐγκαταλείπῃ, ἀλλὰ καὶ τὴν ζωήν του νὰ θυσιάζῃ ὑπὲρ αὐτῶν, ὥστε νὰ μὴ ἀποθάνουν τὰ πρόβατα. Ἐπειδὴ δηλαδὴ ἤθελον αὐτὸν νὰ φονεύσουν, οὔτε τὴν διδασκαλίαν διέκοψεν, οὔτε ἐπρόδωσε τοὺς πιστεύοντας, ἀλλ' ἐστάθη καὶ ἐπροτίμησε ν' ἀποθάνῃ. Διὰ τοῦτο συνεχῶς ἔλεγεν˙ «Ἐγὼ εἶμαι ὁ ποιμὴν ὁ καλός».

Ἔπειτα, ἐπειδὴ ἐφαίνοντο ἀνεπιβεβαίωτα τὰ λεγόμενά του (διότι τὸ μέν, «τὴν ζωήν μου θυσιάζω», ἀπεδείχθη μετὰ ἀπὸ ὀλίγον, τὸ δέ, «διὰ νὰ ἔχουν ζωὴν καὶ κάτι περισσότερον ἀπὸ αὐτήν», ἐπρόκειτο νὰ συμβῇ μετὰ τὴν ἀναχώρησίν του ἀπὸ τὸν κόσμον αὐτόν, κατὰ τὸν μέλλοντα αἰῶνα), τί κάμνει; Τὸ ἕνα τὸ ἐπιβεβαιώνει ἀπὸ τὸ ἄλλον, ἀπὸ τὸ ὅτι θυσιάζει τὴν ζωήν του, δίδει καὶ τὴν ζωήν, πρᾶγμα ποὺ καὶ ὁ Παῦλος ἔλεγεν, ὅτι «Ἐάν, ἐνῷ ἤμεθα ἐχθροί, συμφιλιώθημεν μὲ τὸν Θεὸν διὰ τοῦ θανάτου τοῦ Υἱοῦ του, πολὺ περισσότερον τώρα ποὺ συνεφιλιώθημεν θὰ σωθῶμεν»[7]˙ καὶ πάλιν εἰς ἄλλο μέρος˙ «Αὐτὸς ποὺ δὲν ἐλυπήθη τὸν Υἱόν του, ἀλλὰ τὸν παρέδωσεν εἰς θάνατον πρὸς χάριν μας, πῶς μαζὶ μὲ αὐτὸν δὲν θὰ μᾶς χαρίσῃ τὰ πάντα;»[8]. Ἀλλὰ διατί δὲν τὸν κατηγοροῦν τώρα, ὅπως

σιν αὐτῷ νῦν, ἃ καὶ πρότερον, λέγοντες, «Σὺ περὶ σαυτοῦ μαρτυρεῖς· ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής»;. Ὅτι πολλάκις ἐπεστόμισεν αὐτούς, καὶ πλείων ἡ παρρησία πρὸς αὐτοὺς ἀπὸ τῶν σημείων ἐγένετο.

Εἶτα, ἐπειδὴ εἶπεν ἀνωτέρω, «Καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει, καὶ ἀκολουθεῖ αὐτῷ», ἵνα μή τις εἴπῃ, 'Τί οὖν πρὸς τοὺς μὴ πιστεύσαντας;», ἄκουσον τί ἐπήγαγε· «Καὶ γινώσκω τὰ ἐμά, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν», ὅπερ καὶ ὁ Παῦλος δηλῶν, ἔλεγεν· «Οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ, ὃν προέγνω», καὶ ὁ Μωϋσῆς· «Ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ»· ἐκείνους λέγω, φησίν, οὓς προέγνων. Εἶτα, ἵνα μὴ τῆς γνώσεως ἴσον τὸ μέτρον νομίσῃς, ἄκουσον πῶς διορθοῦται αὐτὸ τῇ ἐπαγωγῇ· «Γινώσκω τὰ ἐμά», φησί, «καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν». Ἀλλ' οὐκ ἴση ἡ γνῶσις· ἀλλὰ ποῦ ἴση; Ἐπὶ τοῦ Πατρὸς καὶ ἐμοῦ· ἐκεῖ γάρ, «καθὼς γινώσκει με ὁ Πατήρ, κἀγὼ γινώσκω τὸν Πατέρα». Ἐπεί, εἰ μὴ τοῦτο ἐβούλετο κατασκευάσαι, τίνος ἕνεκεν αὐτὸ ἐπήγαγεν; Ἐπειδὴ γὰρ πολλαχοῦ ἑαυτὸν τίθησιν ἐν τάξει τῶν πολλῶν, ἵνα μή τις νομίσῃ, ὅτι ὡς ἄνθρωπος οὕτως ἐγίνωσκεν, ἐπήγαγε· «Καθὼς γινώσκει με ὁ Πατήρ, κἀγὼ γινώσκω τὸν Πατέρα». Οὕτως ἀκριβῶς αὐτὸν ἐπίσταμαι, ὡς αὐτὸς ἐμέ. Διὰ τοῦτο καὶ ἔλεγεν· «Οὐδεὶς γινώσκει τὸν Υἱόν, εἰ μὴ ὁ Πατήρ, καὶ τὸν Πατέρα, εἰ μὴ ὁ Υἱός», κεχωρισμένην τινὰ γνῶσιν λέγων, καὶ τοιαύτην, οἵαν οὐδεὶς ἕτερος δύναται σχεῖν.

«Ἐγὼ τίθημι τὴν ψυχήν μου». Συνεχῶς τοῦτο λέγει, δηλῶν ὅτι οὐκ ἔστι πλάνος· ἐπεὶ καὶ ὁ Ἀπόστολος, ὅτε αὐτὸν ἐβούλετο δεῖξαι γνήσιον ὄντα διδάσκαλον, καὶ πρὸς τοὺς ψευδαποστόλους ἀντιπαρεξήγαγε τὸν λόγον, ἀπὸ τῶν κινδύνων καὶ τῶν θανάτων ἑαυτὸν συνίστησι, λέγων· «Ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν θανάτοις πολλάκις»· τὸ μὲν γὰρ λέγειν ὅτι «φῶς εἰμι», καὶ «ζωή εἰμι», ἐδόκει εἶναι

9. Ἰω. 8, 13.
10. Ἰω. 10, 3.
11. Ρωμ. 11, 1.
12. Λουκᾶ 10, 22 καὶ Ματθ. 11, 27.

καὶ προηγουμένως, λέγοντες, «Σὺ μαρτυρεῖς διὰ τὸν ἑαυτόν σου· ἡ μαρτυρία σου δὲν εἶναι ἀληθής»[9]; Διότι πολλὲς φορὲς τοὺς ἀπεστόμωσε καὶ ἡ παρρησία του πρὸς αὐτοὺς κατέστη μεγαλυτέρα ἐξ αἰτίας τῶν θαυμάτων του.

Ἔπειτα, ἐπειδὴ εἶπε προηγουμένως, «Καὶ τὰ πρόβατα ἀκούουν τὴν φωνήν του καὶ τὸν ἀκολουθοῦν»[10], διὰ νὰ μὴ εἰπῇ κανείς, 'Διατί λοιπὸν τὰ λέγει πρὸς τοὺς μὴ πιστεύσαντας;' ἄκουσε τί προσέθεσε· «Καὶ γνωρίζω τὰ ἰδικά μου καὶ γνωρίζομαι ἀπὸ τὰ ἰδικά μου», πρᾶγμα ποὺ διὰ νὰ δηλώσῃ καὶ ὁ Παῦλος, ἔλεγεν· «Δὲν ἀπέρριψεν ὁ Θεὸς τὸν λαόν του, τὸν ὁποῖον προεγνώρισεν»[11]· καὶ ὁ Μωϋσῆς· «Γνωρίζει ὁ Κύριος τοὺς ἰδικούς του»[12]· ἐννοῶ ἐκείνους, λέγει, τοὺς ὁποίους προεγνώρισα. Εἰς τὴν συνέχειαν, διὰ νὰ μὴ νομίσῃς ὅτι εἶναι ἴσον τὸ μέτρον τῆς γνώσεως, ἄκουσε πῶς τὸ διορθώνει αὐτὸ διὰ τῆς προσθήκης· «Γνωρίζω τὰ ἰδικά μου», λέγει, «καὶ γνωρίζομαι ἀπὸ τὰ ἰδικά μου». Ἀλλὰ δὲν εἶναι ἡ γνῶσις ἴση· καὶ ποῦ εἶναι ἴση; Εἰς τὴν περίπτωσιν τοῦ Πατρὸς καὶ ἐμοῦ· διότι εἰς τὴν περίπτωσιν αὐτήν, «καθὼς μὲ γνωρίζει ὁ Πατήρ, κατὰ τὸν ἴδιον τρόπον γνωρίζω καὶ ἐγὼ τὸν Πατέρα». Μὲ τόσην ἀκρίβειαν γνωρίζω αὐτόν, ὅπως αὐτὸς ἐμένα. Διὰ τοῦτο καὶ ἔλεγεν· «Κανεὶς δὲν γνωρίζει τὸν Υἱόν, παρὰ μόνον ὁ Πατήρ, καὶ τὸν Πατέρα κανείς, παρὰ μόνον ὁ Υἱός»[12], ἐννοῶν ὅλως ἰδιαιτέραν γνῶσιν, καὶ τέτοιαν, ποὺ κανεὶς ἄλλος δὲν ἠμπορεῖ νὰ ἔχῃ.

«Ἐγὼ θυσιάζω τὴν ψυχήν μου». Συνεχῶς αὐτὸ λέγει, διὰ νὰ δηλώσῃ ὅτι δὲν εἶναι πλάνος· διότι καὶ ὁ Ἀπόστολος, ὅταν ἤθελε νὰ δείξῃ ὅτι ἦτο γνήσιος διδάσκαλος καὶ ἐσύγκρινε τὸν ἑαυτόν του μὲ τοὺς ψευδαποστόλους, παρουσιάζει τὸν ἑαυτόν του ἀπὸ τοὺς κινδύνους καὶ τοὺς θανάτους, λέγων· «Εἰς μαστιγώσεις τοὺς ὑπερβάλλω εἰς πολὺ μεγάλον βαθμόν, καὶ πολλὲς φορὲς ἐκινδύνευσα νὰ θανατωθῶ»[13]· διότι τὸ νὰ λέγῃ ὅτι «εἶμαι φῶς»[14], καὶ «Ζωὴ

13. Β΄ Κορ. 11, 23.
14. Ἰω. 9, 5.

τύφου παρὰ τοῖς ἀνοήτοις, τὸ δὲ λέγειν, «Ἀποθανεῖν βούλομαι», οὐδεμίαν βασκανίαν εἶχεν, οὐδὲ φθόνον. Διὰ τοῦτο οὐδὲ λέγουσιν αὐτῷ· «Σὺ μαρτυρεῖς περὶ σεαυτοῦ· ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής»· πολλὴν γὰρ ἐδείκνυ τὸ ρῆμα κηδεμονίαν, εἴ γε ὑπὲρ τῶν λιθαζόντων ἐβούλετο ἑαυτὸν ἐκδοῦναι.

2. Διὰ τοῦτο καὶ εὐκαίρως τὸν περὶ τῶν ἐθνῶν εἰσάγει λόγον· «καὶ γὰρ καὶ ἄλλα πρόβατα ἔχω», φησίν, «ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνά με δεῖ ἀγαγεῖν». Ἰδοὺ πάλιν τὸ «δεῖ» ρῆμα κείμενον οὐκ ἀνάγκης ἐστίν, ἀλλὰ τοῦ πάντως ἐσομένου δηλωτικόν· ὡσανεὶ ἔλεγε· 'Τί θαυμάζετε, εἰ οὗτοί μοι μέλλουσιν ἕπεσθαι, καὶ τὰ πρόβατα τῆς φωνῆς μου ἀκούειν; ὅταν γὰρ καὶ ἄλλα ἴδητέ μοι ἀκολουθοῦντα, καὶ τῆς φωνῆς μου ἀκούοντα, τότε ἐκπλαγήσεσθε μειζόνως'. Εἰ δὲ λέγει, «Ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης», μὴ θορυβηθῇς· ἡ γὰρ διαφορὰ περὶ τὸν νόμον μόνον, καθάπερ καὶ ὁ Παῦλός φησιν· «Οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία». «Κἀκεῖνά με δεῖ ἀγαγεῖν». Δείκνυσιν ἀμφοτέρους ἐσκορπισμένους καὶ μεμιγμένους καὶ ποιμένας οὐκ ἔχοντας, κἀκείνους καὶ τούτους, οὔπω τοῦ καλοῦ παραγενομένου ποιμένος. Εἶτα καὶ τὴν μέλλουσαν αὐτῶν προαναφωνεῖ συνάφειαν, ὅτι «ἔσονται μία ποίμνη», ὅπερ καὶ αὐτὸ πάλιν ὁ Παῦλος ἐδήλωσεν, εἰπών· «Ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον».

«Διὰ τοῦτό με ἀγαπᾷ ὁ Πατήρ, ὅτι ἐγὼ τὴν ψυχήν μου τίθημι, ἵνα πάλιν λάβω αὐτήν». Καὶ τί τοῦ ρήματος τούτου ταπεινότερον γένοιτ' ἄν, εἴ γε δι' ἡμᾶς ὁ Δεσπότης ἀγαπᾶσθαι μέλλει ὁ ἡμέτερος, ἐπειδὴ ὑπὲρ ἡμῶν ἀποθνήσκει; Τί οὖν; εἰπέ μοι, τὸν ἔμπροσθεν χρόνον οὐκ ἠγαπᾶτο, ἀλλὰ νῦν τῆς ἀγάπης ἦρξατο ὁ Πατήρ, καὶ ἡμεῖς γεγόναμεν τῆς ἀγάπης αὐτῷ αἴτιοι; Ὁρᾷς πῶς κέχρηται

15. Ἰω. 14, 6.
16. Ἰω. 8, 13.
17. Γαλ. 5, 6.
18. Ἐφ. 2, 15.

εἶμαι»[15], ἐθεωρεῖτο ἀπὸ τοὺς ἀνοήτους ὡς ἀλαζονεία, ἐνῷ τὸ νὰ λέγῃ «Θέλω ν' ἀποθάνω» δὲν προεκάλει καμμίαν βασκανίαν, οὔτε φθόνον. Διὰ τοῦτο δὲν λέγουν εἰς αὐτόν· «Σὺ μαρτυρεῖς διὰ τὸν ἑαυτόν σου· ἡ μαρτυρία σου δὲν εἶναι ἀληθής»[16]· διότι τὰ λόγια αὐτὰ ἐφανέρωναν μεγάλην φροντίδα, ἐφ' ὅσον ἤθελε νὰ παραδώσῃ τὸν ἑαυτόν του ὑπὲρ ἐκείνων ποὺ τὸν ἐλιθοβολοῦσαν.

2. Διὰ τοῦτο καὶ εἰς κατάλληλον στιγμὴν εἰσάγει τὸν λόγον περὶ τῶν ἐθνικῶν· διότι λέγει· «Ἔχω καὶ ἄλλα πρόβατα, ποὺ δὲν εἶναι ἀπὸ αὐτὴν τὴν μάνδραν· πρέπει καὶ ἐκεῖνα νὰ τὰ ὁδηγήσω μέσα». Νὰ πάλιν τὸ «δεῖ», ρῆμα ποὺ χρησιμοποιεῖται ὄχι διὰ νὰ δηλώσῃ ἀνάγκην, ἀλλὰ διὰ νὰ δηλώσῃ αὐτὸ ποὺ ὁπωσδήποτε θὰ συμβῇ· ὡσὰν νὰ ἔλεγε· Τί θαυμάζετε, ἐὰν αὐτοὶ πρόκειται νὰ μὲ ἀκολουθήσουν καὶ τὸ ὅτι τὰ πρόβατα ἀκούουν τὴν φωνήν μου; διότι ὅταν θὰ ἰδῆτε καὶ ἄλλα πρόβατα νὰ μὲ ἀκολουθοῦν καὶ νὰ ἀκούουν τὴν φωνήν μου, τότε θὰ ἐκπλαγῆτε πάρα πολύ. Ἐὰν ὅμως, λέγῃ, «Τὰ ὁποῖα δὲν εἶναι ἀπὸ αὐτὴν τὴν μάνδραν», μὴ θορυβηθῇς· διότι ἡ διαφορὰ ὑπάρχει μόνον εἰς τὸν νόμον, ὅπως ἀκριβῶς καὶ ὁ Παῦλος λέγει· «Οὔτε ἡ περιτομὴ ἔχει καμμίαν ἰσχύν, οὔτε ἡ ἀκροβυστία»[17]. Καὶ ἐκεῖνα πρέπει νὰ τὰ ὁδηγήσω μέσα». Δείχνει καὶ τοὺς δύο διασκορπισμένους καὶ ἀναμιγμένους καὶ χωρὶς ποιμένας καὶ ἐκείνους καὶ αὐτούς, ἀφοῦ ἀκόμη δὲν εἶχεν ἔλθει ὁ καλὸς ποιμήν. Ἔπειτα προλέγει καὶ τὴν μέλλουσαν ἕνωσιν αὐτῶν, ὅτι «θὰ γίνουν μία ποίμνη», πρᾶγμα ποὺ καὶ αὐτὸ τὸ ἐδήλωσεν ὁ Παῦλος, λέγων· «Διὰ νὰ συνάψῃ εἰς τὸν ἑαυτὸν ἀπὸ τοὺς δύο ἕνα νέον ἄνθρωπον»[18].

«Διὰ τοῦτο μὲ ἀγαπᾷ ὁ Πατήρ, διότι ἐγὼ θυσιάζω τὴν ψυχήν μου, διὰ νὰ τὴν λάβω καὶ πάλιν». Καὶ τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ ταπεινότερον ἀπὸ αὐτὰ τὰ λόγια, ἐὰν πρόκειται ὁ Κύριός μας νὰ ἀγαπηθῇ ἐξ αἰτίας μας, ἐπειδὴ δηλαδὴ πεθαίνει πρὸς χάριν μας; Τί λοιπόν; εἰπέ μου, τὸν προηγούμενον χρόνον δὲν ἠγαπᾶτο, ἀλλὰ τώρα ἤρχισεν ὁ Πατὴρ νὰ τὸν ἀγαπᾷ καὶ ἡμεῖς ἐγίναμεν αἰτία τῆς ἀγάπης αὐτοῦ ὑπὸ τοῦ Πατρός; Βλέπεις πῶς χρησιμοποιεῖ τὴν

τῇ συγκαταβάσει; Τί οὖν ἐνταῦθα κατασκευάσαι βούλεται; Ἐπειδὴ ἀλλότριον αὐτὸν ἔλεγον τοῦ Πατρὸς καὶ πλάνον, καὶ ἐπὶ λύμῃ ἥκειν αὐτὸν καὶ ἀπωλείᾳ, λέγει· Καὶ εἰ μηδὲν ἄλλο, τοῦτο γοῦν με ἔπειθεν ἀγαπᾶν ὑμᾶς, τὸ οὕτω ὑμᾶς ἀγαπᾶσθαι παρὰ τοῦ Πατρὸς ὡς ἐμέ· καὶ διὰ τοῦτο ἀγαπᾶσθαι παρ' αὐτοῦ, ἐπειδὴ ὑπὲρ ὑμῶν ἀποθνήσκω'. Καὶ μετὰ τούτου δὲ καὶ ἐκεῖνο κατασκευάσαι βούλεται, ὅτι τε οὐκ ἄκων ἐπὶ τὸ πρᾶγμα ἔρχεται, (εἰ γὰρ ἄκων, πῶς ἀγάπης ἦν ποιητικὸν τὸ γινόμενον;), καὶ ὅτι καὶ τῷ Πατρὶ μεθ' ὑπερβολῆς τοῦτο δοκεῖ. Εἰ δὲ ὡς ἄνθρωπος τοῦτο διαλέγεται, μὴ θαυμάσῃς· πολλάκις γὰρ τὴν ὑπὲρ τούτων εἰρήκαμεν αἰτίαν, καὶ πάλιν τὰ αὐτὰ λέγειν περιττὸν καὶ ἐπαχθές. «Ἐγὼ τίθημι τὴν ψυχήν μου, ἵνα πάλιν λάβω αὐτήν· καὶ οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ. Ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ. Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω λαβεῖν αὐτήν». Ἐπειδὴ γὰρ πολλάκις ἐβουλεύοντο αὐτὸν ἀνελεῖν, λέγει ὅτι, 'μὴ βουλομένου ἐμοῦ, ἀνόνητος ὑμῖν ἐστιν ὁ πόνος', καὶ ἐκ τοῦ προτέρου τὸ δεύτερον κατασκευάζει, ἀπὸ τοῦ θανάτου τὴν ἀνάστασιν· τοῦτο γάρ ἐστι τὸ θαυμαστὸν καὶ παράδοξον· καὶ γὰρ ἀμφότερα κοινῶς γέγονε, καὶ ὑπὲρ τὴν κοινὴν συνήθειαν.

Προσέχωμεν δὲ μετὰ ἀκριβείας τῷ λεγομένῳ. «Ἐξουσίαν ἔχω θεῖναι», φησί, «τὴν ψυχήν μου». Καὶ τίς οὐκ ἔχει ἐξουσίαν θεῖναι τὴν ψυχὴν τὴν ἑαυτοῦ; ἑκάστῳ γὰρ βουλομένῳ δυνατὸν ἑαυτὸν ἀνελεῖν. Ἀλλ' οὐχ οὕτω φησίν, ἀλλὰ πῶς; 'Οὕτως ἐξουσίαν ἔχω θεῖναι, ὡς μηδένα δυνηθῆναι, ἄκοντος ἐμοῦ, τοῦτο ποιῆσαι', ὅπερ ἐπὶ ἀνθρώπων οὐκ ἔνι· ἡμεῖς γὰρ οὐκ ἔχομεν ἐξουσίαν ἄλλως θεῖναι, ἀλλ' ἀναιροῦντες ἑαυτούς. Εἰ δὲ ἐμπίπτοιμεν εἰς ἐπιβουλεύοντάς τινας καὶ κυρίους ἀνελεῖν, οὐκ ἔτι ἔχομεν ἐξουσίαν τοῦ θεῖναι καὶ μή, ἀλλὰ καὶ ἀκόντων ἡμῶν ἐκεῖνοι αὐτὴν ἀναιροῦσιν.

συγκατάβασιν; Τί θέλει λοιπὸν ἐδῶ νὰ δείξῃ; Ἐπειδὴ τὸν ἀποκαλοῦσαν ξένον τοῦ Πατρὸς καὶ πλάνον καὶ ὅτι ἦλθε πρὸς καταστροφὴν καὶ ἀπώλειαν, λέγει· 'Καὶ ἐὰν τίποτε ἄλλο, αὐτὸ ὁπωσδήποτε μὲ ἔπειθε νὰ σᾶς ἀγαπῶ, τὸ ὅτι ἔτσι ἀγαπᾶσθε ἀπό τὸν Πατέρα μου, ὅπως ἐγώ· καὶ διὰ τοῦτο ἀγαπᾶσθε ἀπὸ αὐτόν, ἐπειδὴ πεθαίνω διὰ σᾶς'. Καὶ μαζὶ μὲ αὐτὸ θέλει νὰ δείξῃ καὶ ἐκεῖνο, ὅτι δὲν ἔρχεται πρὸς τὸ πάθος χωρὶς τὴν θέλησίν του (διότι ἐὰν ἤρχετο χωρὶς νὰ τὸ θέλῃ, πῶς θὰ ἦτο τὸ πάθος του ἀποτέλεσμα ἀγάπης;) καὶ ὅτι καὶ ὁ Πατὴρ συγκατατίθεται εἰς αὐτὸ πάρα πολύ. Ἐὰν δὲ τὸ λέγῃ αὐτὸ ὡς ἄνθρωπος, μὴ θαυμάσῃς· διότι πολλὲς φορὲς εἴπαμεν τὴν αἰτίαν δι' αὐτὰ καὶ εἶναι περιττὸν καὶ φορτικὸν νὰ λέγωμεν καὶ πάλιν τὰ ἴδια. «Ἐγὼ θυσιάζω τὴν ψυχήν μου διὰ νὰ τὴν λάβω πάλιν· καὶ κανεὶς δὲν μοῦ τὴν ἀφαιρεῖ, ἀλλὰ τὴν θυσιάζω μὲ τὴν θέλησίν μου. Ἐξουσίαν ἔχω νὰ θυσιάσω τὴν ζωήν μου καὶ ἐξουσίαν ἔχω νὰ τὴν λάβω πάλιν». Ἐπειδὴ δηλαδὴ πολλὲς φορὲς ἤθελον νὰ τὸν φονεύσουν, λέγει ὅτι 'ἐὰν δὲν θέλω ἐγὼ εἶναι ἀνώφελος ὁ κόπος σας', καὶ ἀπὸ τὸ πρῶτον ἀποδεικνύει τὸ δεύτερον, ἀπὸ τὸν θάνατον τὴν ἀνάστασιν· διότι τὰ δύο συνέβησαν κατὰ πρωτάκουστον τρόπον καὶ ὄχι κατὰ τὸν συνήθη τρόπον.

Ἂς προσέχωμεν δὲ μὲ ὅλην τὴν προσοχήν μας εἰς τὸ λεγόμενον· «Ἐξουσίαν ἔχω νὰ θυσιάσω τὴν ζωήν μου», λέγει. Καὶ ποῖος δὲν ἔχει ἐξουσίαν νὰ θυσιάσῃ τὴν ζωήν του; διότι ὁ καθένας ποὺ θέλει ἠμπορεῖ νὰ θανατώσῃ τὸν ἑαυτόν του. Ἀλλ' ὄχι ἔτσι, λέγει, ἀλλὰ πῶς; 'Ἔχω τέτοιαν ἐξουσίαν νὰ θυσιάσω τὴν ζωήν μου, ὥστε κανεὶς νὰ μὴ ἠμπορέσῃ, ἐὰν δὲν τὸ θέλω ἐγώ, νὰ τὸ κάνῃ αὐτό', πρᾶγμα ποὺ δὲν εἶναι δυνατὸν νὰ γίνῃ εἰς τὸν ἄνθρωπον· διότι ἡμεῖς δὲν ἔχομεν ἐξουσίαν νὰ θυσιάσωμεν τὴν ζωήν μας κατ' ἄλλον τρόπον, ἀλλὰ θανατώνοντες μόνον τὸν ἑαυτόν μας. Ἐὰν δὲ ἠθέλομεν πέσει εἰς ἀνθρώπους ποὺ μᾶς ἐπιβουλεύονται καὶ ποὺ ἠμποροῦν νὰ μᾶς φονεύσουν, δὲν ἔχομεν τότε ἐξουσίαν νὰ θυσιάσωμεν ἢ ὄχι τὴν ζωήν μας, ἀλλὰ καὶ χωρὶς νὰ τὸ θέλωμεν ἐκεῖνοι μᾶς τὴν ἀφαιροῦν.

Ἐπ᾽ αὐτοῦ δὲ οὐχ οὕτως, ἀλλά, καὶ ἑτέρων ἐπιβουλευόντων, κύριος ἦν αὐτὸς μὴ θεῖναι αὐτήν. Εἰπὼν οὖν ὅτι «οὐδεὶς αὐτὴν αἴρει ἀπ᾽ ἐμοῦ», τότε ἐπήγαγεν «Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου»· τουτέστιν, 'ἐγὼ μόνος εἰμὶ κύριος τοῦ θεῖναι αὐτήν ὅπερ ἐφ᾽ ὑμῶν οὐκ ἔστι· καὶ γὰρ καὶ ἄλλοι πολλοὶ κύριοί εἰσι τοῦ λαβεῖν αὐτὴν ἀφ᾽ ἡμῶν'.

Ἀλλὰ τοῦτο παρὰ τὴν ἀρχὴν οὐκ εἶπεν (οὐδὲ γὰρ ἔμελλεν ὁ λόγος ἀξιόπιστος εἶναι), ἀλλά, ὅτε τὴν ἀπὸ τῶν πραγμάτων ἔλαβε μαρτυρίαν, καὶ πολλάκις ἐπιβουλεύσαντες οὐκ ἴσχυσαν αὐτὸν κατασχεῖν (καὶ γὰρ ἐξῆλθεν ἐκ τῶν χειρῶν αὐτῶν μυριάκις), τότε λοιπόν φησιν «Οὐδεὶς αὐτὴν αἴρει ἀπ᾽ ἐμοῦ». Εἰ δὲ τοῦτο ἀληθές, κἀκεῖνο ἕπεται, τὸ ἑκόντα ἐπὶ τοῦτο ἔρχεσθαι. Τούτου δὲ ὄντος ἀληθοῦς, κἀκεῖνο συνέστηκε, τό, ἡνίκα ἂν βουληθῇ λαβεῖν αὐτήν, δυνηθῆναι πάλιν· εἰ γὰρ τὸ ἀποθανεῖν μεῖζον ἢ κατὰ ἄνθρωπον ἦν, μηδὲ περὶ ἐκείνου λοιπὸν ἀμφίβαλλε· τὸ γὰρ αὐτὸν μόνον εἶναι κύριον τοῦ ψυχὴν ἀφεῖναι, δείκνυσι καὶ τοῦ λαβεῖν αὐτὴν κύριον ὄντα ἀπὸ τῆς αὐτῆς ἐξουσίας. Ὁρᾷς πῶς ἀπὸ τοῦ προτέρου τὸ δεύτερον κατεσκεύασε, καὶ ἀπὸ τοῦ θανάτου καὶ τὴν ἀνάστασιν ἔδειξεν ἀναμφισβήτητον;

«Ταύτην τὴν ἐντολὴν ἔλαβον παρὰ τοῦ Πατρός». Ποίαν δὴ ταύτην; Τὸ ἀποθανεῖν ὑπὲρ τοῦ κόσμου. Ἆρ᾽ οὖν ἀνέμεινεν ἀκοῦσαι πρότερον, καὶ τότε εἵλετο, καὶ ἐδέησεν αὐτὸ μαθεῖν; Καὶ τίς ἂν τοῦτο, νοῦν ἔχων, εἴποι; Ἀλλ᾽ ὥσπερ ἀνωτέρω εἰπών, «Διὰ τοῦτό με ὁ Πατὴρ ἀγαπᾷ», τὴν ἑκούσιον ἐδήλωσεν ὁρμήν, καὶ τὴν τῆς ἐναντιότητος ἀνεῖλεν ὑπόνοιαν, οὕτω καὶ ἐνταῦθα, ἐντολὴν εἰληφέναι παρὰ τοῦ Πατρὸς εἰπών, οὐδὲν ἄλλο ἐμφαίνει, ἢ ὅτι 'ἐκείνῳ δοκεῖ τοῦτο, ὃ ἐγὼ ποιῶ', ἵνα, ὅταν αὐτὸν ἀνέλωσι, μὴ νομίσωσιν

Εἰς τὴν περίπτωσιν τοῦ Κυρίου ὅμως δὲν ἔχει τὸ πρᾶγμα ἔτσι, ἀλλά, ἂν καὶ τὸν ἐπεβουλεύοντο ἄλλοι, ὁ ἴδιος ἦτο κύριος νὰ μὴ θυσιάσῃ τὴν ζωήν του. Ἀφοῦ εἶπε λοιπόν, ὅτι «κανεὶς δὲν ἠμπορεῖ νὰ τὴν ἀφαιρέσῃ ἀπὸ ἐμένα», τότε προσέθεσεν· «Ἔχω ἐξουσίαν νὰ θυσιάσω τὴν ζωήν μου»· δηλαδὴ Μόνον ἐγὼ εἶμαι κύριος νὰ θυσιάσω αὐτήν, πρᾶγμα ποὺ σεῖς δὲν ἠμπορεῖτε νὰ τὸ κάνετε· καθ' ὅσον καὶ πολλοὶ ἄλλοι εἶναι κύριοι νὰ ἀφαιρέσουν τὴν ζωὴν σας ἀπὸ ἐσᾶς·

Ἀλλ' αὐτὸ δὲν τὸ εἶπεν ἀπὸ τὴν ἀρχὴν (οὔτε βέβαια ἐπρόκειτο νὰ πιστευθῇ ὁ λόγος), ἀλλά, ὅταν ἔλαβε τὴν μαρτυρίαν ἀπὸ τὰ ἴδια τὰ πράγματα, καὶ τὸν ἐπεβουλεύθησαν πολλὲς φορὲς καὶ δὲν ἠμπόρεσαν νὰ τὸν συλλάβουν (καθ' ὅσον ἔφυγεν ἀπὸ τὰ χέρια των μυρίας φοράς), τότε πλέον λέγει· «Κανεὶς δὲν ἠμπορεῖ νὰ ἀφαιρέσῃ τὴν ζωήν μου». Ἐὰν δὲ αὐτὸ εἶναι ἀληθές, συνάγεται ὅτι καὶ ἐκεῖνο εἶναι, τό, ὅταν θελήσῃ νὰ τὴν λάβῃ, θὰ ἠμπορέσῃ καὶ πάλιν· διότι ἐὰν ὁ θάνατός του ἦτο ἀνώτερος ἀπὸ τὸν θάνατον τῶν ἀνθρώπων, μὴ ἀμφιβάλλῃς λοιπὸν καὶ δι' ἐκεῖνο· καθ' ὅσον, τὸ ὅτι αὐτὸς μόνος εἶναι κύριος νὰ θυσιάσῃ τὴν ζωήν του, δείχνει ὅτι εἶναι κύριος ἀπὸ τὴν ἴδιαν ἐξουσίαν τὸ νὰ λάβῃ αὐτήν. Βλέπεις πῶς ἀπὸ τὸ πρῶτον ἀπέδειξε καὶ τὸ δεύτερον, καὶ ἀπὸ τὸν θάνατον ἔδειξε καὶ τὴν ἀνάστασιν ἀναμφισβήτητον;

«Αὐτὴν τὴν ἐντολὴν τὴν ἔλαβον ἀπὸ τὸν Πατέρα μου». Ποίαν ἐντολὴν λοιπόν; Τὸ ν' ἀποθάνῃ ὑπὲρ τοῦ κόσμου. Ἐπομένως ἐπερίμενε ν' ἀκούσῃ πρῶτα αὐτὸ καὶ τότε τὴν ἀπεδέχθη καὶ ἐχρειάσθη νὰ τὸ μάθῃ αὐτό; Καὶ ποῖος, ποὺ ἔχει νοῦν, εἶναι δυνατὸν νὰ τὸ εἰπῇ αὐτό; Ἀλλὰ ὅπως ἀκριβῶς προηγουμένως, μὲ τὸ νὰ εἰπῇ, «Διὰ τοῦτο ὁ Πατήρ μου μὲ ἀγαπᾷ», ἐδήλωσε τὴν θεληματικὴν προθυμίαν του καὶ ἀφήρησε τὴν ἀντίθετον ὑπόνοιαν, ἔτσι καὶ τώρα, μὲ τὸ νὰ εἰπῇ, ὅτι ἔλαβεν ἐντολὴν ἀπὸ τὸν Πατέρα, τίποτε ἄλλο δὲν δείχνει, παρὰ ὅτι 'συμφωνεῖ καὶ ὁ Πατὴρ μὲ αὐτὸ ποὺ πράττω ἐγώ', ὥστε, ὅταν θὰ τὸν θανατώσουν, νὰ μὴ νομίσουν ὅτι τὸν θανατώνουν ἐγκατα-

ὡς ἐγκαταλελειμμένον καὶ προδιδόμενον ὑπὸ τοῦ Πατρὸς ἀνῃρηκέναι, μηδὲ ὀνειδίσωσιν ἅπερ ὠνείδισαν «Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι», καὶ «Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ». Καὶ μὴν διὰ τοῦτο οὐ καταβαίνει, ἐπειδὴ Υἱός ἐστι τοῦ Θεοῦ.

3. Εἶτα, ἵνα μή, ἀκούων ὅτι «ἐντολὴν ἔλαβον παρὰ τοῦ Πατρός», ἀλλότριον αὐτοῦ τὸ κατόρθωμα εἶναι νομίσῃς, προλαβὼν ἔλεγεν «Ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων», διὰ τούτων δεικνὺς αὐτοῦ ὄντα τὰ πρόβατα, καὶ ὅτι αὐτοῦ τὸ κατόρθωμα ἦν πᾶν τὸ γεγενημένον, καὶ οὐ δεόμενον αὐτὸν ἐντολῆς· εἰ γὰρ ἐντολῆς ἐδεῖτο, πῶς ἔλεγεν «Ἀπ' ἐμαυτοῦ τίθημι»; ὁ γὰρ ἀφ' ἑαυτοῦ τιθεὶς οὐ δέεται ἐντολῆς. Καὶ τὴν αἰτίαν δὲ τίθησι, δι' ἣν τοῦτο ποιεῖ. Ποία δὲ αὕτη ἐστί; Τὸ ποιμένα αὐτὸν εἶναι, καὶ καλὸν ποιμένα. Ὁ δὲ καλὸς ποιμὴν οὐ δεῖται ἑτέρου τοῦ πρὸς τοῦτο αὐτὸν διαναστήσοντος. Εἰ δὲ καλὸς ποιμὴν οὐ δεῖται ἑτέρου τοῦ πρὸς τοῦτο αὐτὸν διαναστήσοντος. Εἰ δὲ ἐπ' ἀνθρώπων τοῦτο, πολλῷ μᾶλλον ἐπὶ Θεοῦ. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγεν ὅτι «ἑαυτὸν ἐκένωσεν». Οὐδὲν οὖν ἄλλο ἡ ἐντολὴ ἐνταῦθα βούλεται κειμένη, ἀλλ' ἢ τὴν πρὸς τὸν Πατέρα ὁμόνοιαν δεῖξαι. Εἰ δὲ οὕτω ταπεινῶς εἴρηται καὶ ἀνθρωπίνως, τῆς τῶν ἀκουόντων ἐστὶν ἀσθενείας ἡ αἰτία.

«Σχίσμα οὖν ἐγένετο ἐν τοῖς Ἰουδαίοις. Καὶ οἱ μὲν ἔλεγον ὅτι δαιμόνιον ἔχει, καὶ μαίνεται· τί αὐτοῦ ἀκούετε; Οἱ δὲ ὅτι τὰ ῥήματα ταῦτα οὐκ ἔστι δαιμονιζομένου. Μὴ δαιμόνιον δύναται ὀφθαλμοὺς τυφλῶν ἀνοῖξαι;». Ἐπειδὴ γὰρ μείζονα ἢ κατὰ ἄνθρωπον τὰ λεγόμενα, καὶ οὐ τῆς κοινῆς συνηθείας, δαιμονῶντα αὐτὸν ἔλεγον, τρίτον ἤδη τούτῳ αὐτὸν προσειπόντες (καὶ γὰρ ἔμπροσθεν ἔλεγον «Δαιμόνιον ἔχεις, τίς σε ζητεῖ ἀποκτεῖναι;»· καὶ πάλιν «Οὐ καλῶς ἐλέ-

19. Ματθ. 27, 42.
20. Ματθ. 27, 40.
21. Ἰω. 10, 11.
22. Φιλ. 2, 7.
23. Ἰω. 7, 20.

λειφθέντα καὶ προδομένον ἀπὸ τὸν Πατέρα, οὔτε νὰ τὸν ὀνειδίσουν μὲ αὐτὰ ποὺ τὸν ὠνείδισαν· «Ἄλλους ἔσωσε, τὸν ἑαυτόν του δὲν ἠμπορεῖ νὰ τὸν σώσῃ»[19], καί· «Ἐὰν εἶσαι Υἱὸς τοῦ Θεοῦ, κατέβα ἀπὸ τὸν σταυρόν»[20]. Καὶ ὅμως δι' αὐτὸ δὲν κατεβαίνει, ἐπειδὴ εἶναι Υἱὸς τοῦ Θεοῦ.

3. Ἔπειτα, διὰ νὰ μὴ νομίσῃς, ἀκούων «ἐντολὴν ἔλαβον ἀπὸ τὸν Πατέρα μου», ὅτι εἶναι ξένον πρὸς αὐτὸν τὸ κατόρθωμα, προλαμβάνων αὐτό, ἔλεγεν· «Ὁ ποιμὴν ὁ καλὸς θυσιάζει τὴν ζωήν του ὑπὲρ τῶν προβάτων»[21], δεικνύων μὲ αὐτὰ τὰ λόγια ὅτι εἶναι ἰδικά του τὰ πρόβατα καὶ ὅτι τὸ πᾶν ποὺ συνέβη ἦτο ἰδικόν του κατόρθωμα, καὶ ὅτι δὲν εἶχεν ἀνάγκην ἀπὸ ἐντολήν· διότι ἐὰν εἶχεν ἀνάγκην ἀπὸ ἐντολήν, πῶς ἔλεγε, «μόνος μου θυσιάζω τὴν ζωήν μου»; καθ' ὅσον αὐτὸς ποὺ θυσιάζει μόνος του τὴν ζωήν του δὲν ἔχει ἀνάγκην ἀπὸ ἐντολήν. Ἀναφέρει δὲ καὶ τὴν αἰτίαν διὰ τὴν ὁποίαν τὸ κάμνει αὐτό. Ποία δὲ εἶναι αὐτή; Ὅτι αὐτὸς εἶναι ποιμὴν καὶ μάλιστα καλὸς ποιμήν. Ὁ δὲ καλὸς ποιμὴν δὲν ἔχει ἀνάγκην ἀπὸ ἄλλον διὰ νὰ τὸν προτρέψῃ δι' αὐτὸ τὸ ἔργον. Ἐὰν δὲ αὐτὸ συμβαίνῃ μεταξὺ τῶν ἀνθρώπων, πολὺ περισσότερον συμβαίνει εἰς τὴν περίπτωσιν τοῦ Θεοῦ. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγεν, ὅτι «ἐκένωσε τὸν ἑαυτόν του»[22]. Τίποτε ἄλλο λοιπὸν δὲν θέλει νὰ δείξῃ ἡ ἐντολὴ ποὺ ἀναφέρεται, παρὰ τὴν ὁμόνοιαν πρὸς τὸν Πατέρα. Ἐὰν δὲ ἐλέχθῃ τόσον ταπεινὰ καὶ ἀνθρώπινα, ἡ αἰτία εἶναι ἡ πνευματικὴ ἀδυναμία τῶν ἀκροατῶν.

«Ἐγένετο λοιπὸν διχασμὸς μεταξὺ τῶν Ἰουδαίων. Καὶ ἄλλοι μὲν ἔλεγον ὅτι ἔχει δαιμόνιον καὶ εἶναι μανιακός· τί τὸν ἀκοῦτε; Ἄλλοι δὲ ὅτι τὰ λόγια αὐτὰ δὲν εἶναι λόγια δαιμονισμένου. Μήπως τὸ δαιμόνιον ἠμπορεῖ ν' ἀνοίξῃ τοὺς ὀφθαλμοὺς τῶν τυφλῶν;». Ἐπειδὴ δηλαδὴ τὰ λεγόμενα ἦσαν ἀνώτερα καὶ ὄχι κατ' ἄνθρωπον λεγόμενα, καὶ ἀπὸ ἐκεῖνα ποὺ συνήθως λέγονται, τὸν ὠνόμαζον δαιμονισμένον, ἀποδώσαντες εἰς αὐτὸν αὐτὴν τὴν ὀνομασίαν τρεῖς ἤδη φορὰς (καθ' ὅσον προηγουμένως ἔλεγον· «Δαιμόνιον ἔχεις· ποῖος θέλει νὰ σὲ φονεύσῃ;»[23]· καὶ πάλιν·

γομεν ὅτι Σαμαρείτης εἶ σύ, καὶ δαιμόνιον ἔχεις;»· καὶ ἐνταῦθα· «Δαιμόνιον ἔχει καὶ μαίνεται· τί αὐτοῦ ἀκούετε;») μᾶλλον δὲ οὐ τρίτον, ἀλλὰ καὶ πολλάκις αὐτὸν ἀκηκοέναι· τὸ γὰρ λέγειν, «Οὐ καλῶς ἐλέγομεν ὅτι δαιμόνιον ἔχεις;», οὐ τοῦ δεύτερον καὶ τρίτον, ἀλλὰ τοῦ πολλάκις εἰρηκέναι τοῦτο σημεῖόν ἐστιν. «Οἱ δὲ ἔλεγον· φησίν· Ταῦτα τὰ ῥήματα οὐκ ἔστι δαιμονιζομένου. Μὴ δαιμόνιον δύναται ὀφθαλμοὺς τυφλῶν ἀνοῖξαι;». Ἐπειδὴ γὰρ ἀπὸ ῥημάτων οὐκ ἠδύναντο ἐπιστομίζειν, τὴν ἀπόδειξιν λοιπὸν ἀπὸ τῶν ἔργων ἐποιοῦντο· μάλιστα μὲν γὰρ οὐδὲ τὰ ῥήματα δαιμονῶντός ἐστιν· εἰ δὲ οὐ πείθεσθε ἀπὸ τῶν ῥημάτων, ἀπὸ τῶν ἔργων δυσωπήθητε· εἰ δὲ μὴ δαιμονῶντός ἐστι, μείζονα δὲ ἢ κατὰ ἄνθρωπον, εὔδηλον ὅτι θείας τινὸς ταῦτά ἐστι δυνάμεως. Εἶδες συλλογισμόν; Ὅτι γὰρ μείζονα ἢ κατὰ ἄνθρωπον ἦν, δῆλον ἐκ τοῦ λέγειν ὅτι «Δαιμόνιον ἔχει»· ὅτι δὲ δαιμόνιον οὐκ εἶχεν, ἐδήλωσεν ἀφ' ὧν ἐποίησε.

Τί οὖν ὁ Χριστός; Οὐδὲν πρὸς ταῦτα ἀποκρίνεται· πρότερον μὲν γὰρ ἀπεκρίνατο, «Ἐγὼ δαιμόνιον οὐκ ἔχω», νυνὶ δὲ οὐ τοῦτο. Ἐπειδὴ γὰρ τὴν διὰ τῶν πραγμάτων παρέσχεν ἀπόδειξιν, ἐσίγα λοιπόν· οὐδὲ γὰρ ἀποκρίσεως ἦσαν ἄξιοι οἱ δαιμονῶντα αὐτὸν καλοῦντες ὑπὲρ τούτων, ὑπὲρ ὧν θαυμάζειν, καὶ Θεὸν ἡγεῖσθαι αὐτὸν ἐχρῆν. Τί δὲ καὶ ἔδει τῶν παρ' αὐτοῦ λοιπὸν ἐλέγχων, αὐτῶν κατ' ἀλλήλων ἱσταμένων καὶ διελεγχόντων ἀλλήλους; Διὰ τοῦτο ἐσίγα καὶ πρᾴως πάντα ἔφερεν. Οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἡμᾶς παιδεύων ἐπιείκειαν καὶ μακροθυμίαν πᾶσαν.

4. Τοῦτον τοίνυν ζηλώσωμεν· οὐδὲ γὰρ ἐσίγησε μόνον, ἀλλὰ καὶ πάλιν ἐπέστη, καὶ ἐρωτηθεὶς ἀποκρίνεται, καὶ τὰ τῆς προνοίας αὐτοῦ ἐπιδείκνυται· καὶ δαιμονῶν κληθεὶς καὶ

24. Ἰω. 8, 48
25. Ἰω. 8, 49.

«Καλὰ δὲν ἐλέγομεν, ὅτι σὺ εἶσαι Σαμαρείτης καὶ ὅτι ἔχεις δαιμόνιον;»[24]· καὶ ἐδῶ· «Δαιμόνιον ἔχει καὶ εἶναι παράφρων· τί τὸν ἀκούετε;»), μᾶλλον δὲ ὄχι διὰ τρίτην φοράν, ἀλλὰ πολλὲς φορὲς αὐτὸς ἤκουσε νὰ τὸν ὀνομάζουν ἔτσι· διότι οἱ λόγοι, «Καλὰ δὲν ἐλέγομεν, ὅτι ἔχεις δαιμόνιον;», δὲν εἶναι σημεῖον, ὅτι διὰ δευτέραν καὶ τρίτην φορὰν τὸ εἶχον εἰπεῖ, ἀλλὰ πολλὲς φορές. «Οἱ δὲ ἔλεγον», λέγει· «Αὐτὰ τὰ λόγια δὲν εἶναι δαιμονισμένου. Μήπως τὸ δαιμόνιον ἠμπορεῖ νὰ ἀνοίξῃ ὀφθαλμοὺς τυφλῶν;». Ἐπειδὴ δηλαδὴ δὲν ἠμποροῦσαν νὰ τὸν ἀποστομώσουν μὲ τὰ λόγια, εἰς τὸ ἑξῆς τὴν ἀπόδειξιν τὴν ἐλάμβανον ἀπὸ τὰ ἔργα· καὶ βέβαια οὔτε τὰ λόγια του εἶναι λόγια δαιμονισμένου· ἀλλ' ἐὰν δὲν πείθεσθε ἀπὸ τὰ λόγια, δείξατε εὐλάβειαν ἀπὸ τὰ ἔργα· ἐὰν δὲ δὲν εἶναι ἔργα δαιμονισμένου καὶ ἀνώτερα ἀπὸ τὰ ἀνθρώπινα, εἶναι φανερόν, ὅτι αὐτὰ εἶναι ἔργα κάποιας θείας δυνάμεως. Εἶδες συλλογισμόν; Διότι τὸ ὅτι ἦσαν ἀνώτερα ἀπὸ τὰ ἀνθρώπινα, γίνεται φανερὸν ἀπὸ τὸ ὅτι ἔλεγον «δαιμόνιον ἔχει»· τὸ ὅτι δὲ δὲν εἶχε δαιμόνιον, τὸ ἐδήλωσεν ἀπὸ αὐτὰ ποὺ ἔκαμεν.

Τί κάμνει λοιπὸν ὁ Χριστός; Δὲν δίδει καμμίαν ἀπάντησιν εἰς αὐτά· προηγουμένως βέβαια ἀπήντησεν, «Ἐγὼ δὲν ἔχω δαιμόνιον»[25], ἐνῷ τώρα δὲν τὸ κάμνει αὐτό. Διότι, ἐπειδὴ τὸ ἀπέδειξε μὲ τὰ ἔργα του, εἰς τὸ ἑξῆς ἐσιώπα· δὲν ἦσαν δηλαδὴ ἄξιοι οὔτε δι' ἀπάντησιν ἐκεῖνοι ποὺ τὸν ὠνόμαζον δαιμονισμένον ἐξ αἰτίας ἐκείνων, διὰ τὰ ὁποῖα ἔπρεπε νὰ τὸν θαυμάζουν καὶ νὰ τὸν θεωροῦν Θεόν. Τί δὲ ἐχρειάζοντο εἰς τὸ ἑξῆς οἱ ἔλεγχοί του, τὴν στιγμὴν ποὺ οἱ ἴδιοι ἵσταντο ἀντιμέτωποι μεταξύ των καὶ ἤλεγχον ὁ ἕνας τὸν ἄλλον; Διὰ τοῦτο ἐσιώπα καὶ τὰ ὑπέμενεν ὅλα μὲ πραότητα. Ὄχι δὲ μόνον δι' αὐτό, ἀλλὰ καὶ ἐπειδὴ ἤθελε νὰ μᾶς διδάξῃ νὰ δείχνωμεν κάθε ἐπιείκειαν καὶ μακροθυμίαν.

4. Ἂς μιμηθῶμεν λοιπὸν αὐτόν· διότι ὄχι μόνον δὲν ἐσιώπησεν, ἀλλὰ καὶ πάλιν ἦλθεν εἰς αὐτοὺς καὶ ἐρωτηθεὶς δίδει ἀπάντησιν καὶ δείχνει τὰ ἔργα τῆς προνοίας του· καὶ ἂν καὶ ἐκλήθη δαιμονιζόμενος καὶ μανιακὸς ὑπὸ τῶν ἀν-

μαινόμενος παρὰ ἀνθρώπων, μυρία εὐηργετημένων, καὶ οὐχ ἅπαξ, οὐδὲ δίς, ἀλλὰ καὶ πολλάκις, οὐ μόνον οὐκ ἠμύνατο, ἀλλὰ καὶ εὐεργετῶν αὐτοὺς οὐ διέλιπε. Καὶ τί λέγω εὐεργετῶν; Ὑπὲρ αὐτῶν καὶ τὴν ψυχὴν αὐτοῦ ἔθηκε, καὶ σταυρούμενος ὑπὲρ αὐτῶν τῷ Πατρὶ διαλέγεται. Ταῦτ' οὖν καὶ ἡμεῖς μιμησώμεθα· τοῦτο γάρ ἐστι Χριστοῦ εἶναι μαθητήν, τὸ πρᾶον εἶναι καὶ ἐπιεικῆ. Πόθεν δὲ γένοιτ' ἂν ἡμῖν αὕτη ἡ πραότης; Ἂν τὰς ἁμαρτίας ἡμῶν λογιζώμεθα συνεχῶς, ἂν πενθῶμεν, ἂν δακρύωμεν· οὐδὲ γὰρ ἀνέχεται ψυχή, τοσαύτῃ συνοικοῦσα ὀδύνῃ, παροξύνεσθαι καὶ ὀργίζεσθαι· ἔνθα γὰρ ἂν ᾖ πένθος, ὀργὴν εἶναι ἀμήχανον· ἔνθα λύπη, πᾶσα ἐκποδῶν ὀργή· ἔνθα συντριβὴ διανοίας, οὐδεὶς παροξυσμός. Ὑπὸ γὰρ πένθους μαστιζομένη ἡ διάνοια, οὐδὲν σχολὴν ἔχει διεγερθῆναι, ἀλλὰ στενάζει πικρόν, καὶ κλαύσεται πικρότερον. Καὶ οἶδα μὲν ὅτι πολλοὶ γελῶσι, ταῦτα ἀκούοντες, ἀλλ' ἐγὼ τοὺς γελῶντας θρηνῶν οὐ παύσομαι· πένθους γὰρ ὁ παρὼν καιρός, καὶ θρήνων, καὶ ὀδυρμῶν· πολλὰ γὰρ καὶ ἐν χρήμασι καὶ ἐν πράγμασιν ἁμαρτάνομεν. Τοὺς δὲ τοιαῦτα πλημμελοῦντας γέεννα ἐκδέχεται, καὶ ποταμός, ζέων τῷ ῥοθίῳ τοῦ πυρός, καὶ βασιλείας ἔκπτωσις, τὸ πάντων χαλεπώτατον.

Τούτων οὖν ἠπειλημένων, εἰπέ μοι, γελᾷς σὺ καὶ τρυφᾷς; καί, τοῦ Δεσπότου σου παροξυνομένου καὶ ἀπειλοῦντος, ἕστηκας ἀναπεπτωκώς; καὶ οὐ δέδοικας μὴ τούτῳ σαυτῷ λαμπρὰν ἀνάψῃς τὴν κάμινον; Οὐκ ἀκούεις τί καθ' ἑκάστην ἡμέραν βοᾷ; «Πεινῶντά με εἴδετε, καὶ οὐκ ἐθρέψατε· διψῶντα, καὶ οὐκ ἐποτίσατε. Πορεύεσθε εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ»· καὶ ταῦτα ἀπειλεῖ καθ' ἑκάστην ἡμέραν. Ἀλλ' ἔθρεψα, φησίν, αὐτόν. Πότε, καὶ πόσας ἡμέρας; δέκα καὶ εἴκοσιν; Ἀλλ' οὐ τοσοῦτον βούλεται χρόνον μόνον, ἀλλ' ὅσον ἐπὶ τῆς γῆς διατρίβεις. Ἐπεὶ καὶ αἱ παρθένοι εἶχον ἔλαιον, ἀλλ' οὐκ ἀρκοῦν

---

26. Ματθ. 25, 42· 41.

θρώπων πού ἐδέχθησαν ἀμετρήτους εὐεργεσίας, καὶ ὄχι μίαν καὶ δύο, ἀλλὰ πολλὰς φοράς, ὄχι μόνον δὲν ἐσταμάτησεν, ἀλλὰ καὶ δὲν ἔπαυσε νὰ τοὺς εὐεργετῇ. Καὶ διατί λέγω νὰ τοὺς εὐεργετῇ; Χάριν αὐτῶν καὶ τὴν ζωήν του ἐθυσίασε καὶ κατὰ τὴν ὥραν τοῦ σταυροῦ του ὁμιλεῖ εἰς τὸν Πατέρα ὑπὲρ αὐτῶν. Αὐτὰ λοιπὸν καὶ ἡμεῖς ἂς μιμηθῶμεν· διότι αὐτὸ σημαίνει νὰ εἶναι κανεὶς μαθητὴς τοῦ Χριστοῦ, τὸ νὰ εἶναι πρᾷος καὶ ἐπιεικής. Πῶς θὰ ἠμπορούσαμεν ν' ἀποκτήσωμεν αὐτὴν τὴν πραότητα; Ἐὰν σκεπτώμεθα συνεχῶς τὰς ἁμαρτίας μας, ἂν πενθῶμεν, ἂν δακρύωμεν· διότι δὲν ἀνέχεται ἡ ψυχή, ὅταν ζῇ μὲ τόσην πολλὴν ὀδύνην, νὰ ἐξάπτεται καὶ νά ὀργίζεται· καθ' ὅσον, ὅπου ὑπάρχει λύπη, κάθε ὀργὴ ἐκδιώκεται· ὅπου ὑπάρχει συντριβὴ πνεύματος, δὲν ὑπάρχει παρoργισμός. Διότι ὅταν τὸ πνεῦμα ὑποφέρῃ ἀπὸ τὸ πένθος, δὲν ἔχει εὐκαιρίαν νά διεγερθῇ, ἀλλὰ στενάζει πικρὰ καὶ κλαίει πικρότερα. Καὶ γνωρίζω μὲν ὅτι πολλοὶ γελοῦν ἀκούοντες αὐτά, ἀλλ' ἐγὼ δὲν θὰ παύσω νὰ θρηνῶ αὐτοὺς ποὺ γελοῦν· διότι ὁ παρὼν καιρὸς εἶναι καιρὸς πένθους καὶ θρήνων καὶ ὀδυρμῶν· διότι πολλὰς ἁμαρτίας διαπράττομεν μὲ λόγια καὶ μὲ ἔργα. Αὐτοὺς δὲ ποὺ διαπράττουν τέτοια ἁμαρτήματα τοὺς ἐπιφυλάσσεται γέεννα καὶ ποταμὸς ποὺ βράζει ἀπὸ τὰ ὁρμητικὰ κύματα τοῦ πυρός, καὶ ἔκπτωσις ἀπὸ τὴν βασιλείαν τῶν οὐρανῶν, ποὺ εἶναι τὸ πιὸ φοβερώτερον ἀπὸ ὅλα.

Εἰπέ μου λοιπόν· ἐνῷ ἀπειλούμεθα ἀπὸ αὐτά, σὺ γελᾷς καὶ ἐπιδίδεσαι εἰς τὰς ἀπολαύσεις; καί, ἐνῷ ὁ Κύριός σου παροργίζεται καὶ σὲ ἀπειλεῖ, σὺ μένεις ἀδιάφορος; καὶ δὲν φοβεῖσαι μήπως μὲ αὐτὸ ἀνάψῃς διά τὸν ἑαυτόν σου ἀκόμη περισσότερον τὴν κάμινον; Δὲν ἀκούεις τί φωνάζει καθημερινῶς; «Μὲ εἴδετε πεινασμένον καὶ δὲν μοῦ ἐδώσατε νὰ φάγω· διψασμένον, καὶ δὲν μὲ ἐποτίσατε! Πορεύεσθε εἰς τὸ πῦρ ποὺ ἔχει ἑτοιμασθῆ διὰ τὸν διάβολον καὶ τοὺς ἀγγέλους αὐτοῦ»[28]· καὶ μὲ αὐτὰ μᾶς ἀπειλεῖ καθημερινῶς. Ἀλλὰ τὸν ἔθρεψα, λέγει. Πότε καὶ πόσας ἡμέρας; δέκα καὶ εἴκοσιν; Ἀλλὰ δὲν θέλει τόσον μόνον χρόνον, ἀλλ' ὅσον ζῇς ἐπάνω εἰς τὴν γῆν. Διότι καὶ αἱ παρθένοι εἶχον

πρὸς σωτηρίαν αὐταῖς· καὶ γὰρ καὶ αὗται ἀνῆψαν τὰς λαμπάδας, ἀλλ' ἀπεκλείσθησαν τοῦ νυμφῶνος. Καὶ μάλα εἰκότως· ἔφθησαν γὰρ σβεσθεῖσαι πρὸ τῆς τοῦ νυμφίου παρουσίας. Διὰ τοῦτο πολλοῦ ἡμῖν δεῖ τοῦ ἐλαίου, καὶ δαψιλοῦς τῆς φιλανθρωπίας. Ἄκουσον γοῦν τί φησιν ὁ Προφήτης· «Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου». Οὐκοῦν καὶ ἡμᾶς τοὺς πλησίον οὕτως ἐλεεῖν δεῖ κατὰ τὸ μέγα ἔλεος, τὸ παρ' ἡμῖν· οἷοι γὰρ ἂν γενώμεθα περὶ τοὺς ὁμοδούλους, τοιούτου τευξόμεθα τοῦ Δεσπότου. Ποῖον δὲ ἔλεος μέγα; Ὅταν μὴ ἐκ τοῦ περισσεύματος δῶμεν, ἀλλ' ἐκ τοῦ ὑστερήματος. Εἰ δὲ μηδὲ ἐκ τοῦ περισσεύματος, τίς ἡμῖν ἔσται ἐλπίς; πόθεν τῶν κακῶν ἐκείνων ἀπαλλαγή; ποῦ δυνησόμεθα φυγεῖν καὶ σωτηρίαν εὑρεῖν;

Εἰ γὰρ αἱ παρθένοι μετὰ τοσούτους καὶ τηλικούτους ἱδρῶτας οὐδεμίαν οὐδαμόθεν ἔσχον παραμυθίαν, τίς ἡμῶν προστήσεται, ὅταν ἀκούσωμεν ἐκεῖνα τὰ φοβερὰ ῥήματα αὐτοῦ τοῦ δικάζοντος, λέγοντος καὶ ὀνειδίζοντος ἡμᾶς ὅτι «πεινῶντά με οὐκ ἐθρέψατε»; «ἐφ' ὅσον γὰρ οὐκ ἐποιήσατε ἑνί, φησί, τῶν ἐλαχίστων τούτων, οὐδὲ ἐμοὶ ἐποιήσατε»· οὐ περὶ τῶν μαθητῶν λέγων ταῦτα μόνον, οὐδὲ περὶ τῶν ἀνῃρημένων τὸν τῶν μοναχῶν βίον, ἀλλὰ περὶ παντὸς ἀνθρώπου πιστοῦ· ὁ γὰρ τοιοῦτος, κἂν δοῦλος ᾖ, κἂν τῶν ἐν ἀγορᾷ προσαιτούντων, πιστεύῃ δὲ εἰς τὸν Θεόν, δίκαιον πάσης αὐτὸν ἀπολαύειν εὐνοίας. Κἂν περιίδωμεν τὸν τοιοῦτον γυμνὸν ἢ πεινῶντα, ταῦτα ἀκουσόμεθα τὰ ῥήματα. Καὶ μάλα εἰκότως· τί γὰρ βαρὺ ἢ τί ἐπαχθὲς ᾔτησε παρ' ἡμῶν; τί δὲ οὐ τῶν σφόδρα εὐκολωτάτων καὶ ῥᾴστων; Οὐδὲ γὰρ εἶπεν, "Ἀσθενῶν ἤμην, καὶ οὐκ ἀνεστήσατέ με", ἀλλ' «οὐκ

27. Ψαλμ. 50, 1.
28. Ματθ. 25, 42.
29. Ματθ. 25, 40.

ἔλαιον, ἀλλὰ δὲν ἐπαρκοῦσε διὰ τὴν σωτηρίαν των˙ καθ' ὅσον καὶ αὐταὶ ἤναψαν τὰς λαμπάδας, ἀλλ' ἀπεκλείσθησαν τοῦ νυμφῶνος. Καὶ πολὺ φυσικά˙ διότι αἱ λαμπάδες ἔσβησαν πρό τοῦ ἐρχομοῦ τοῦ νυμφίου. Διὰ τοῦτο ἔχομεν ἀνάγκην ἀπὸ πολὺ ἔλαιον καὶ ἄφθονον φιλανθρωπίαν. Ἄκουσε λοιπὸν τί λέγει ὁ προφήτης˙ «Ἐλέησέ με, Θεέ μου, κατὰ τὸ μέγα ἔλεός σου»[27]. Ἔτσι λοιπὸν πρέπει καὶ ἡμεῖς νὰ ἐλεῶμεν τοὺς πλησίον, μὲ ὅσον τὸ δυνατὸν περισσοτέραν εὐσπλαγχνίαν˙ διότι ὁποία θὰ εἶναι ἡ συμπεριφορά μας πρὸς τοὺς ὁμοδούλους μας, τέτοια θὰ εἶναι καὶ τοῦ Κυρίου μας πρός ἡμᾶς. Ποῖον δὲ ἔλεος εἶναι μέγα; Ὅταν δίδωμεν ὄχι ἀπὸ τὸ περίσσευμά μας, ἀλλὰ ἀπὸ τὸ ὑστέρημά μας. Ἐὰν δὲ δὲν δώσωμεν οὔτε καὶ ἀπὸ τὸ περίσσευμά μας, ποίαν ἐλπίδα θὰ ἔχωμεν; ἀπὸ ποῦ θὰ ἐπιτύχωμεν τὴν ἀπαλλαγὴν ἐκείνων τῶν κακῶν; ποῦ θὰ ἠμπορέσωμεν νὰ καταφύγωμεν καὶ νὰ εὕρωμεν σωτηρίαν;

Πράγματι, ἐὰν αἱ παρθένοι μετὰ ἀπὸ τόσους πολλοὺς καὶ τόσον μεγάλους ἱδρῶτας δὲν εὗρον ἀπὸ πουθενὰ καμμίαν παρηγορίαν, ποῖος θὰ μᾶς βοηθήσῃ, ὅταν θὰ ἀκούσωμεν ἐκεῖνα τὰ φοβερὰ λόγια αὐτοῦ ποὺ θὰ μᾶς δικάζῃ καὶ θὰ λέγῃ καὶ θὰ μᾶς κατηγορῇ, ὅτι «ἤμουν πειvασμένος καὶ δὲν μοῦ ἐδώσατε νὰ φάγω»;[28] «Ἐφ' ὅσον λοιπόν», λέγει, «δὲν τὸ ἐκάματε αὐτὸ εἰς ἕνα ἀπὸ αὐτοὺς τοὺς ἐλαχίστους, οὔτε καὶ εἰς ἐμένα τὸ ἐκάματε»[29]˙ δὲν τὰ λέγει αὐτὰ μόνον διὰ τοὺς μαθητάς του, οὔτε δι' αὐτοὺς ποὺ ἐπροτίμησαν τὸν μοναχικὸν βίον, ἀλλὰ διὰ κάθε πιστὸν ἄνθρωπον˙ διότι αὐτός, καὶ ἂν ἀκόμη εἶναι δοῦλος, καὶ ἂν ἀκόμη κάποιος ἀπὸ τοὺς ἐπαίτας τῆς ἀγορᾶς, ἀλλὰ πιστεύει εἰς τὸν Θεόν, δικαιοῦται ν' ἀπολαύῃ ὅλης τῆς εὐνοίας μας. Καὶ ἂν τὸν παραβλέψωμεν αὐτὸν τὸν ἄνθρωπον ποὺ εἶναι γυμνὸς ἢ πεινασμένος, θ' ἀκούσωμεν αὐτὰ τὰ λόγια. Καὶ πάρα πολὺ σωστά˙ διότι τί τὸ βαρὺ ἢ τί τὸ φορτικὸν ἐζήτησεν ἀπὸ ἡμᾶς; τί δὲ κάτι ἀπὸ ἐκεῖνα ποὺ δὲν εἶναι ἀπὸ τὰ πάρα πολὺ εὔκολα καὶ ἐλαφριά; Διότι δὲν εἶπεν, '"Ημουν ἀσθενὴς καὶ δὲν μὲ ἀνεστήσατε', ἀλλὰ

ἐπεσκέψασθέ με»· οὐκ εἶπεν, "Ἐν φυλακῇ ἤμην καὶ οὐκ ἐξεβάλετέ με", ἀλλ' «οὐκ ἤλθετε πρός με».[30]

Ὅσῳ τοίνυν κοῦφα τὰ ἐπιτάγματα, τοσούτῳ μείζων ἡ κόλασις τοῖς παρακούουσι· τί γὰρ κουφότερον, εἰπέ μοι, τοῦ βαδίσαι καὶ εἰς δεσμωτήριον εἰσελθεῖν; τί δὲ ἥδιον; Ὅταν γὰρ ἴδῃς τοὺς μὲν δεδεμένους, τοὺς δὲ αὐχμῶντας, τοὺς δὲ κομῶντας, καὶ ῥάκια περικειμένους, τοὺς δὲ ὑπὸ λιμοῦ φθειρομένους, καὶ ὡς κύνας τοῖς ποσὶ προστρέχοντας, ἑτέρους τὰς πλευρὰς διορωρυγμένους, ἄλλους ἐκ τῆς ἀγορᾶς νῦν ἐπανιόντας δεδεμένους, καὶ μεθ' ἡμέραν μὲν ἐπαιτοῦντας, καὶ οὐδὲ τὴν ἀναγκαίαν συλλέγοντας τροφήν, ἐν ἑσπέρᾳ δὲ παρὰ τῶν ἐφεστώτων τὴν πονηρὰν ἐκείνην καὶ ὠμὴν ἀπαιτουμένους λειτουργίαν, κἂν λίθος τις ᾖς, πάντως ἔσῃ φιλανθρωπότερος, κἂν τὸν ὑγρὸν καὶ διαλελυμένον ζῶν βίον, πάντως ἔσῃ φιλοσοφώτερος, τὰ ἀνθρώπινα πράγματα ἐπὶ ταῖς ἀλλοτρίαις ἐπισκοπῶν συμφοραῖς· καὶ γὰρ τῆς φοβερᾶς ἐκείνης ἡμέρας ἔννοιαν λήψῃ πάντως, καὶ τῶν ποικίλων κολάσεων. Ταῦτα δὲ στρέφων καὶ λογιζόμενος, καὶ θυμὸν καὶ ἡδονὴν καὶ τὸν τῶν βιωτικῶν πραγμάτων ἔρωτα ἐκβαλεῖς πάντως, καὶ παντὸς λιμένος γαληνοτάτου γαληνοτέραν ἐργάσῃ τὴν ψυχήν, καὶ περὶ τοῦ δικαστηρίου φιλοσοφήσεις ἐκείνου, ἐννοῶν ὅτι, εἰ παρὰ ἀνθρώποις τοσαύτη πρόνοια καὶ τάξις καὶ φόβος καὶ ἀπειλαί, πολλῷ μᾶλλον παρὰ Θεῷ· «οὐ γὰρ ἔστιν ἐξουσία, εἰ μὴ παρὰ Θεοῦ».[31] *Ὁ τοίνυν τοῖς ἄρχουσι ταῦτα δοὺς διατάσσειν, πολλῷ μᾶλλον αὐτὸς αὐτὰ ἐργάσεται.*

5. Καὶ γάρ, εἰ μὴ οὗτος ἦν ὁ φόβος, πάντα ἂν ἀπολώλει· ὅπου γε τοσούτων κολάσεων ἐπικειμένων, πολλοὶ οἱ πρὸς

---

30. Ματθ. 25, 43.
31. Ρωμ. 13, 1.

«δὲν μὲ ἐπεσκέφθητε»· δὲν εἶπεν, 'Εἰς τὴν φυλακὴν ἤμουν καὶ δὲν μὲ ἐβγάζατε ἔξω', ἀλλὰ «δὲν ἤλθατε νὰ μὲ ἰδῆτε»[30].

Ὅσον περισσότερον λοιπὸν ἐλαφρὰ εἶναι τὰ προστάγματα, τόσον περισσότερον μεγαλυτέρα εἶναι ἡ κόλασις δι' αὐτοὺς ποὺ τὰ παρακούουν· διότι εἰπέ μου· τί ὑπάρχει ἐλαφρύτερον τὸ νὰ βαδίσῃς καὶ νὰ εἰσέλθῃς εἰς τὴν φυλακήν; τί δὲ πιὸ εὐχάριστον; Ὅταν λοιπὸν ἰδῇς ἄλλους μὲν δεμένους, ἄλλους δὲ γεμάτους ἀπὸ βρωμιάν, ἄλλους μὲ μακρυὰ μαλλιὰ καὶ ντυμένους μὲ κουρέλια, ἄλλους νὰ πεθαίνουν ἀπὸ τὴν πεῖναν καὶ νὰ τρέχουν εἰς τὰ πόδια σου ὡσὰν τὰ σκυλιά, ἄλλους μὲ πληγωμένα τὰ πλευρά των, ἄλλους νὰ τοὺς φέρουν ἀπὸ τὴν ἀγορὰν τὴν στιγμὴν ἐκείνην δεμένους, ποὺ ὅλην τὴν ἡμέραν μὲν ζητιανεύουν χωρὶς νὰ συγκεντρώνουν τὴν ἀναγκαίαν διὰ νὰ ζήσουν τροφήν των, κατὰ τὴν νύκτα δὲ νὰ ζητῆται ἀπὸ τοὺς προϊσταμένους νὰ κάμνουν τὴν κακὴν καὶ σκληρὰν ἐκείνην ὑπηρεσίαν, καὶ ἂν ἀκόμη εἶσαι λίθος, ὁπωσδήποτε θὰ γίνῃς φιλανθρωπότερος, καὶ ἂν ἀκόμη ζῇς τὸν φιλήδονον καὶ ἀκόλαστον ἐκεῖνον βίον, ὁπωσδήποτε θὰ γίνῃς φιλοσοφώτερος, ἐξετάζων τὰ ἀνθρώπινα πράγματα εἰς τὰς συμφορὰς τῶν ξένων· καθ' ὅσον θὰ λάβῃς ὁπωσδήποτε μίαν ἰδέαν τῆς φοβερᾶς ἐκείνης ἡμέρας καὶ τῶν ποικίλων κολάσεων. Αὐτὰ δὲ σκεπτόμενος καὶ ἀναλογιζόμενος, ὁπωσδήποτε θὰ ἐκδιώξῃς καὶ τὸν θυμὸν καὶ τὴν ἡδονὴν καὶ τὸν ἔρωτα διὰ τὰ κοσμικὰ πράγματα καὶ θὰ καταστήσῃς τὴν ψυχήν σου πιὸ γαλήνιον καὶ ἀπὸ ὁποιονδήποτε γαληνότατον λιμένα, καὶ θὰ φιλοσοφήσῃς δι' ἐκεῖνο τὸ δικαστήριον, σκεπτόμενος ὅτι, ἐὰν ἀπὸ τοὺς ἀνθρώπους ἐπιδεικνύεται τόση μεγάλη πρόνοια καὶ ὑπάρχει τόση τάξις καὶ φόβος καὶ ἀπειλαί, πολὺ περισσότερον θὰ συμβῇ αὐτὸ ἀπὸ τὸν Θεόν· «διότι δὲν ὑπάρχει καμμία ἐξουσία, παρὰ μόνον ἡ ἐξουσία τοῦ Θεοῦ»[31]. Αὐτὸς λοιπὸν ποὺ ἔδωσεν εἰς τοὺς ἄρχοντας τὴν ἐξουσίαν αὐτὴν νὰ διατάσσουν αὐτά, πολὺ περισσότερον θὰ τὰ κάμῃ αὐτὸς ὁ ἴδιος.

5. Πράγματι λοιπόν, ἐὰν δὲν ὑπῆρχεν αὐτὸς ὁ φόβος θὰ ἦτο δυνατὸν τὰ πάντα νὰ καταστραφοῦν, ἀφοῦ ἂν καὶ

τὴν κακίαν αὐτομολοῦντές εἰσι. Ταῦτα καὶ φιλοσοφῶν, καὶ πρὸς τὴν ἐλεημοσύνην ἔσῃ προθυμότερος, καὶ πολλὴν καρπώσῃ τὴν ἡδονήν, καὶ πολλῷ μείζονα τῶν ἀπὸ θεάτρου καταβαινόντων· οἱ μὲν γὰρ ἐκεῖθεν ἀναστάντες φλέγονται ὑπὸ τῆς ἐπιθυμίας καιόμενοι· ὅταν γὰρ ἴδωσι τὰς ἀνεπτερωμένας ἐκείνας ἐπὶ τῆς σκηνῆς γυναῖκας, καὶ μυρία λάβωσιν ἐκεῖθεν τραύματα, θαλάσσης κυμαινούσης οὐδὲν ἄμεινον διακείσονται, τοῦ τύπου τῶν ὄψεων, τῶν σχημάτων, τῶν ῥημάτων, τῆς βαδίσεως, τῶν ἄλλων πάντων πρὸ τῶν ὀφθαλμῶν ἱσταμένων, καὶ τὴν ψυχὴν αὐτοῖς πολιορκούντων. Οἱ δὲ ἐντεῦθεν ἐξελθόντες, οὐδὲν ὑποστήσονται τοιοῦτον, ἀλλὰ πολλὴν καρπώσονται τὴν γαλήνην καὶ τὴν ἀταραξίαν· ἡ γὰρ κατάνυξις, ἡ ἐκ τῆς ὄψεως τῶν δεδεμένων ἐγγενομένη, ἅπαν ἐκεῖνο σβέννυσι τὸ πῦρ. Κἂν ἀπαντήσῃ γυνὴ πορνευομένη καὶ ἀκόλαστος ἐξελθόντι τῶν δεσμωτῶν, οὐδὲν αὐτὸν ἐργάσεται χαλεπόν· ὡς γὰρ ἄπλαστος λοιπὸν γενόμενος, οὕτως οὐχ ἁλώσεται τοῖς δικτύοις τῆς ὄψεως ἐκείνης, ἀντὶ τῆς ὄψεως τῆς ἀκολάστου, τοῦ φόβου τῆς κρίσεως πρὸ ὀφθαλμῶν αὐτῷ τότε κειμένου. Διὰ τοῦτο καὶ τὸ πᾶν εἶδος τρυφῆς ἐπελθὼν ἔλεγεν· «Ἀγαθὸν πορευθῆναι εἰς οἶκον πένθους ἢ πορευθῆναι εἰς οἶκον γέλωτος». Καὶ ἐνταῦθα μὲν τοσαύτην ἐπιδείξῃ τὴν φιλοσοφίαν, ἐκεῖ δὲ ἀκούσῃ τὰ μυρίων μακαρισμῶν ἄξια ῥήματα.

Μὴ τοίνυν ἀμελῶμεν τῆς τοιαύτης πράξεως καὶ πραγματείας· κἂν γὰρ μὴ δυνηθῶμεν τροφὴν εἰσενεγκεῖν, μηδὲ ἀργύριον βοηθῆσαι δόντες, ἀλλὰ παρακαλέσαι λόγῳ, καὶ τὴν κειμένην ἀναστῆσαι ψυχὴν δυνησόμεθα, καὶ ἕτερα ἐπιορκῆσαι πολλά, καὶ τοῖς ἐμβαλοῦσι διαλεγόμενοι, καὶ τοὺς ἐφεστῶτας ἡμερωτέρους ποιοῦντες, καὶ ἢ μικρὸν ἢ μέγα πάν-

32. Ἐκκλ. 7, 3.

ἐπιφυλάσσονται τόσαι τιμωρίαι, ὑπάρχουν πολλοὶ ποὺ ἀκολουθοῦν τὸν δρόμον τῆς κακίας. Σκεπτόμενος αὐτὰ θὰ γίνῃς προθυμότερος διὰ τὴν ἐλεημοσύνην καὶ θὰ καρπωθῇς πολλὴν ἡδονήν, καὶ πολὺ μεγαλυτέραν ἀπὸ ἐκείνην ποὺ δοκιμάζουν ἐκεῖνοι ποὺ ἐπιστρέφουν ἀπὸ τὸ θέατρον· καθ' ὅσον ἐκεῖνοι μὲν ὅταν ἀναχωρήσουν ἀπὸ ἐκεῖ καταφλέγονται ἀπὸ τὴν ἐπιθυμίαν· διότι, ὅταν ἰδοῦν ἐπάνω εἰς τὴν σκηνὴν τὰς ἐξάλλους ἐκείνας γυναῖκας καὶ λάβουν ἀπὸ ἐκεῖ μύρια τραύματα, δὲν θὰ εὑρεθοῦν εἰς καλυτέραν κατάστασιν ἀπὸ φουρτουνιασμένην θάλασσαν, τὴν στιγμὴν ποὺ προβάλλουν εἰς τὰ μάτια των αἱ εἰκόνες τῶν προσώπων, τῶν σχημάτων, τῶν λόγων, τῆς βαδίσεως καὶ ὅλων τῶν ἄλλων καὶ πολιορκοῦν τὴν ψυχήν των. Αὐτοὶ ὅμως ποὺ θὰ ἐξέλθουν ἀπὸ ἐδῶ, δὲν θὰ πάθουν τίποτε τὸ παρόμοιον, ἀλλὰ θὰ ἀποκομίσουν πολλὴν γαλήνην καὶ ἀταραξίαν· διότι ἡ συγκίνησις ποὺ δημιουργεῖται ἀπὸ τὸ θέαμα τῶν φυλακισμένων, σβήνει ὅλην ἐκείνην τὴν φλόγα. Καὶ ἂν ἀκόμη συναντήσῃ τὸν ἐξερχόμενον ἀπὸ τὸ δεσμωτήριον γυναῖκα πόρνη καὶ ἀκόλαστος, δὲν θὰ τοῦ κάμῃ τίποτε τὸ φοβερόν· διότι γενόμενος εἰς τὸ ἑξῆς ὡσὰν ἀσώματος, ἐξ αἰτίας αὐτοῦ δὲν θὰ συλληφθῇ ἀπὸ τὰ δίκτυα τῆς ὄψεως ἐκείνης, ἀφοῦ, ἀντὶ τῆς ὄψεως τῆς ἀκολάστου, θὰ προβάλλῃ τότε πρὸ τῶν ὀφθαλμῶν του ὁ φόβος τῆς κρίσεως. Διὰ τοῦτο καὶ ἐκεῖνος ποὺ ἀπήλαυσε κάθε εἶδος τρυφῆς, ἔλεγεν· «Εἶναι προτιμότερον νὰ μεταβῇ κανεὶς εἰς οἶκον πένθους, παρὰ νὰ μεταβῇ εἰς οἶκον γέλωτος»[32]. Καὶ ἐδῶ μὲν θὰ ἐπιδείξῃ τόσην φιλοσοφίαν, ἐνῷ ἐκεῖ θὰ ἀκούσῃ τὰ λόγια ἐκεῖνα ποὺ εἶναι ἄξια ἀπείρων μακαρισμῶν.

Ἂς μὴ δείχνωμεν λοιπὸν ἀμέλειαν διὰ μίαν τόσον μεγάλην πρᾶξιν καὶ πραγματείαν· διότι, καὶ ἂν ἀκόμη δὲν ἠμπορέσωμεν νὰ προσφέρωμεν τροφήν, οὔτε νὰ δώσωμεν χρηματικὴν βοήθειαν, ἀλλὰ θὰ ἠμπορέσωμεν νὰ παρηγορήσωμεν μὲ λόγια καὶ νὰ ἐνθαρρύνωμεν τὴν ἀπελπισμένην ψυχὴν καὶ νὰ παράσχωμεν πολλὰς ἄλλας βοηθείας, καὶ συνομιλοῦντες μὲ ἐκείνους ποὺ τοὺς ἐφυλάκισαν καὶ κάμνοντες ἡμερωτέρους τοὺς φύλακας, ὁπωσδήποτε θὰ ἀπο-

τως ἐργασόμεθα κέρδος. Εἰ δὲ λέγεις ὅτι οὐκ εὐδαίμονές εἰσιν ἐκεῖ, οὐδὲ εὔχρηστοι, οὐδὲ ἐπιεικεῖς ἄνδρες, ἀλλ' ἀνδροφόνοι, καὶ τυμβωρύχοι, καὶ βαλαντιοτόμοι, καὶ μοιχοί, καὶ ἀκόλαστοι, καὶ πολλῶν γέμοντες κακῶν, πάλιν ἀναγκαίαν μοι καὶ ἐντεῦθεν δεικνύεις τῆς ἐκεῖ διατριβῆς τὴν πρόφασιν· οὐ γὰρ δὴ τοὺς μὲν ἀγαθοὺς ἐλεεῖν, τοὺς δὲ πονηροὺς κολάζειν ἐκελεύσθημεν, ἀλλὰ περὶ πάντας ἐνδείκνυσθαι τὴν φιλανθρωπίαν ταύτην· «γίνεσθε» γάρ φησίν, «ὅμοιοι τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς, ὅτι ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους».

Μὴ τοίνυν κατηγόρει τῶν ἀλλοτρίων πικρῶς, μηδὲ ἔσο σφοδρὸς δικαστής, ἀλλ' ἥμερος καὶ φιλάνθρωπος· καὶ γὰρ καὶ ἡμεῖς, εἰ καὶ μὴ μοιχοί, μηδὲ τυμβωρύχοι, μηδὲ βαλαντιοτόμοι γεγόναμεν, ἀλλ' ἔχομεν ἕτερα πλημμελήματα, μυρίας ἄξια κολάσεως· καὶ γὰρ καὶ τὸν ἀδελφὸν μωρὸν ἐκαλέσαμεν πολλάκις (ὅπερ τὴν γέενναν ἡμῖν προξενεῖ), καὶ γυναῖκας ἀκολάστοις εἴδομεν ὀφθαλμοῖς (ὅπερ μοιχείαν ἀπηρτισμένην συνίστησι), καὶ τὸ πάντων χαλεπώτερον τῶν μυστηρίων οὐ μετέχομεν ἀξίως (ὅπερ ἐνόχους ἡμᾶς ποιεῖ καὶ τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ). Μὴ τοίνυν πικροὶ γενώμεθα τῶν ἄλλων ἐξετασταί, ἀλλὰ τὰ ἡμῶν αὐτῶν ἐννοῶμεν, καὶ οὕτω παυσόμεθα τῆς ἀπανθρωπίας ταύτης καὶ τῆς ὠμότητος. Χωρὶς δὲ τούτων κἀκεῖνο ἔστιν εἰπεῖν, ὅτι καὶ ἐπιεικεῖς ἄνδρας πολλοὺς εὑρήσομεν αὐτόθι, καὶ τῆς πόλεως πολλάκις ἀνταξίους πάσης. Ἐπεὶ καὶ τὸ δεσμωτήριον ἐκεῖνο, ἔνθα ὁ Ἰωσὴφ ἦν, πολλοὺς εἶχε πονηρούς, ἀλλ' ὅμως πάντων ἐπεμελεῖτο ὁ δίκαιος ἐκεῖνος, καὶ ἦν καὶ αὐτὸς μετὰ τῶν ἄλλων, κρυπτόμενος ὅστις ἦν· καὶ γὰρ τῆς Αἰγύπτου πάσης ἀντάξιος ἦν, καὶ τὸ δεσμωτήριον ὅμως ᾤκει, καὶ οὐδεὶς ᾔδει τῶν ἔνδον ὄντων.

Καὶ νῦν τοίνυν πολλοὺς εἶναι εἰκὸς χρηστοὺς καὶ ἐπιεικεῖς, εἰ καὶ μὴ πᾶσιν εἶεν κατάδηλοι· καὶ ἡ περὶ τοὺς τοιούτους ἐπιμέλεια, τῆς περὶ πάντας σπουδῆς δίδωσί σοι

---

33. Ματθ. 5, 45.

κομίσωμεν μικρὸν ἢ μέγα κέρδος. Ἐὰν ὅμως λέγῃς ὅτι δὲν ὑπάρχουν ἐκεῖ εὐτυχισμένοι, οὔτε χρήσιμοι, οὔτε ἀγαθοὶ ἄνδρες, ἀλλὰ δολοφόνοι καὶ τυμβωρύχοι καὶ κλέπται καὶ μοιχοὶ καὶ ἀκόλαστοι καὶ γεμᾶτοι ἀπὸ πολλὰ κακά, πάλιν μοῦ παρουσιάζεις καὶ μὲ αὐτὸ ἀναγκαίαν τὴν αἰτίαν τῆς ἐκεῖ ἐπισκέψεώς σου˙ διότι δὲν ἐλάβομεν ἐντολὴν τοὺς μὲν ἀγαθοὺς νὰ ἐλεοῦμεν, τοὺς δὲ πονηροὺς νὰ τοὺς τιμωροῦμεν, ἀλλὰ νὰ δείχνωμεν πρὸς ὅλους αὐτὴν τὴν φιλανθρωπίαν˙ διότι λέγει˙ «Γίνεσθε ὅμοιοι μὲ τὸν Πατέρα σας τὸν οὐράνιον, διότι ἀνατέλλει τὸν ἥλιόν του καὶ εἰς τοὺς πονηροὺς καὶ εἰς τοὺς ἀγαθούς, καὶ βρέχει διὰ τοὺς δικαίους καὶ τοὺς ἀδίκους»[33].

Μὴ κατηγορῇς λοιπὸν μὲ τόσην κακίαν τὰ ξένα πράγματα, οὔτε νὰ εἶσαι πολὺ αὐστηρὸς δικαστής, ἀλλὰ ἥμερος καὶ φιλάνθρωπος˙ καθ' ὅσον καὶ ἡμεῖς, ἐὰν δὲν ἐγίναμεν μοιχοὶ οὔτε τυμβωρύχοι, οὔτε κλέπται, ἀλλ' ἔχομεν ἄλλα πλημμελήματα, ἄξια ἀπείρων τιμωριῶν˙ διότι καὶ τὸν ἀδελφὸν τὸν ὠνομάσαμεν πολλὲς φορὲς μωρὸν (πρᾶγμα ποὺ προξενεῖ εἰς ἡμᾶς τὴν γέενναν), καὶ γυναῖκας εἴδομεν μὲ ἀκολάστους ὀφθαλμοὺς (πρᾶγμα ποὺ ἀποτελεῖ τετελεσμένην μοιχείαν), καὶ τὸ φοβερώτερον ἀπὸ ὅλα, ὅτι δὲν μετέχομεν ἐπαξίως τῶν μυστηρίων (πρᾶγμα ποὺ μᾶς καθιστᾷ ἐνόχους τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ). Ἂς μὴ γενώμεθα λοιπὸν κακοὶ ἐξετασταὶ τῶν ἄλλων, ἀλλὰ ἂς σκεπτώμεθα τὰ ἰδικά μας καὶ ἔτσι θὰ παύσωμεν αὐτὴν τὴν ἀπανθρωπίαν καὶ σκληρότητα. Ἐκτὸς δὲ ἀπὸ αὐτὰ καὶ ἐκεῖνο θὰ ἠμπορούσαμεν νὰ εἰποῦμεν, ὅτι θὰ εὕρωμεν ἐκεῖ πολλοὺς ἄνδρας ἀγαθοὺς καὶ πολλὲς φορὲς ἀνταξίους ὅλης τῆς πόλεως. Διότι καὶ τὸ δεσμωτήριον ἐκεῖνο, ὅπου ἦτο ὁ Ἰωσήφ, εἶχε πολλοὺς πονηρούς, ἀλλ' ὅμως δι' ὅλους ἐφρόντιζεν ἐκεῖνος ὁ δίκαιος ποὺ ἦτο καὶ αὐτὸς μαζὶ μὲ τοὺς ἄλλους, χωρὶς νὰ φανερώνῃ ποῖος ἦτο˙ καθ' ὅσον ἦτο ἀντάξιος ὅλης τῆς Αἰγύπτου καὶ ὅμως κατώκει εἰς τὸ δεσμωτήριον καὶ κανεὶς δὲν τὸν ἐγνώριζεν ἀπὸ ἐκείνους ποὺ ἦσαν ἐκεῖ μέσα.

Καὶ τώρα λοιπὸν φυσικὸν εἶναι νὰ ὑπάρχουν πολλοὶ ἀγαθοὶ καὶ δίκαιοι, ἂν καὶ δὲν εἶναι εἰς ὅλους φανεροί, καὶ

τὴν ἀμοιβήν. Ἂν δὲ καὶ μηδεὶς ᾖ τοιοῦτος, καὶ ἐνταῦθα πολλὴ ἡ ἀντίδοσις· ἐπεὶ καὶ ὁ Δεσπότης ὁ σὸς οὐχὶ δικαίοις διελέγετο μόνον, τοὺς δὲ ἀκαθάρτους ἔφευγεν, ἀλλὰ καὶ τὴν Χαναναίαν μετὰ πολλῆς ἐδέξατο τῆς εὐνοίας, καὶ τὴν Σαμαρεῖτιν τὴν ἐναγῆ καὶ ἀκάθαρτον, καὶ ἑτέραν δὲ πόρνην πάλιν, ὑπὲρ ἧς καὶ ὠνείδιζον οἱ Ἰουδαῖοι, καὶ ἐδέξατο, καὶ ἐθεράπευσε, καὶ τοὺς πόδας βρεχομένους ὑπὸ τῶν δακρύων τῆς ἐναγοῦς ἠνείχετο, παιδεύων ἡμᾶς συγκατιέναι τοῖς ἐν ἁμαρτίαις οὖσι· τοῦτο γὰρ μάλιστα φιλανθρωπία. Τί φῄς; λῃσταὶ καὶ τυμβωρύχοι τὸ δεσμωτήριον οἰκοῦσι; Τὴν δὲ πόλιν, εἰπέ μοι, δίκαιοι πάντες εἰσὶν οἱ κατοικοῦντες; ἀλλ' οὐχὶ πολλοὶ καὶ τούτων χείρους μετὰ πλείονος λῃστεύοντες ἀναισχυντίας; οἱ μὲν γάρ, εἰ καὶ μηδὲν ἕτερον, τὴν γοῦν ἐρημίαν καὶ τὸ σκότος περιβάλλονται, καὶ τὸ λανθάνοντες ταῦτα ποιεῖν, οἱ δέ, τὸ προσωπεῖον ῥίψαντες, γυμνῇ τῇ κεφαλῇ τὰ κακὰ μετέρχονται, βίαιοι καὶ ἅρπαγες ὄντες καὶ πλεονέκται· καὶ γὰρ δύσκολον εὑρεῖν ἄνθρωπον ἀδικίας καθαρόν.

6. Εἰ δὲ μὴ χρυσίον ἁρπάζομεν, μηδὲ πλέθρα γῆς τόσα καὶ τόσα, ἀλλ' ὅμως ἀπάτῃ τινὶ καὶ κλοπῇ τὸ αὐτὸ ἐπ' ἐλάττοσι, καὶ οἷς δυνάμεθα κατεργαζόμεθα· ὅταν γὰρ ἐν τοῖς συμβολαίοις, καὶ ἡνίκα δ' ἂν ἀγοράσαι δέῃ τι ἢ καὶ ἀποδόσθαι, φιλονεικῶμεν, καὶ βιαζώμεθα ἔλαττον τῆς ἀξίας καταβαλεῖν, καὶ πάντα ὑπὲρ τούτου ποιῶμεν, οὐ λῃστεία τὸ πρᾶγμά ἐστιν; οὐ κλοπὴ καὶ πλεονεξία; Μὴ γάρ μοι εἴπῃς ὅτι οὐκ οἰκίαν, οὐκ ἀνδράποδα παρεσπάσω· ἡ γὰρ ἀδικία οὐ τῷ μέτρῳ τῶν ἀφαιρουμένων, ἀλλὰ τῇ προαιρέσει τῶν κλεπτόντων κρίνεται· τὸ γὰρ ἄδικον καὶ τὸ δίκαιον ἐν μεγάλοις καὶ ἐν μικροῖς τὴν αὐτὴν ἔχει δύναμιν· καὶ βαλαν-

---

34. Ματθ. 15, 22ἑ.
35. Ἰω. 4, 7 ἑ.
36. Λουκᾶ 7, 37 ἑ.

σου πρὸς ὅλους. Ἀλλὰ καὶ κανεὶς νὰ μὴ ὑπάρχῃ τέτοιος καὶ πάλιν εἶναι μεγάλη ἡ ἀνταπόδοσις· διότι καὶ ὁ Κύριός σου δὲν συνωμίλει μόνον μὲ δικαίους, τοὺς δὲ ἀκαθάρτους τοὺς ἀπέφευγεν, ἀλλὰ καὶ τὴν Χαναναίαν[34] τὴν ἐδέχθη μὲ πολλὴν εὔνοιαν, καὶ τὴν Σαμαρεῖτιν[35] τὴν μιαρὰν καὶ ἀκάθαρτον, καὶ ἄλλην πάλιν πόρνην[36], διὰ τὴν ὁποίαν καὶ τὸν κατηγόρουν οἱ Ἰουδαῖοι, καὶ τὴν ἐδέχθη καὶ τὴν ἐθεράπευσε καὶ ἠνέχθη νὰ βραχοῦν τὰ πόδια του ἀπὸ τὰ δάκρυα τῆς μιαρᾶς, διὰ νὰ μᾶς διδάξῃ νὰ εἴμεθα ἀνεκτικοὶ πρὸς τοὺς ἁμαρτάνοντας· διότι αὐτὸ πρὸ πάντων εἶναι φιλανθρωπία. Τί λέγεις; λησταὶ καὶ τυμβωρύχοι κατοικοῦν τὸ δεσμωτήριον; Τὴν δὲ πόλιν, εἰπέ μου, εἶναι δίκαιοι ὅλοι ὅσοι τὴν κατοικοῦν; μήπως πολλοὶ δὲν εἶναι χειρότεροι καὶ ἀπὸ αὐτούς, ληστεύοντες μὲ περισσοτέραν ἀναισχυντίαν; διότι οἱ μέν, καὶ ἂν δὲν ἔχουν τίποτε ἄλλο, προβάλλουν τὴν ἐρημίαν καὶ τὸ σκότος καὶ διαπράττουν αὐτὰ ἀπαρατήρητοι, οἱ δὲ ρίψαντες τὸ προσωπεῖον, διαπράττουν τὰ κακὰ μὲ γυμνὴν τὴν κεφαλὴν καὶ εἶναι βίαιοι καὶ ἅρπαγες καὶ πλεονέκται· καθ' ὅσον εἶναι δύσκολον νὰ εὕρῃ κανεὶς ἄνθρωπον καθαρὸν ἀπὸ ἀδικίαν.

6. Ἐὰν δὲ δὲν ἁρπάζωμεν χρήματα οὔτε τόσην καὶ τόσην ἔκτασιν γῆς, ἀλλ' ὅμως μὲ κάποιαν ἀπάτην καὶ κλοπὴν κάμνομεν τὸ ἴδιο εἰς ὀλιγώτερον βαθμόν, καὶ ἐκμεταλλευόμεθα αὐτοὺς ποὺ ἠμποροῦμεν· διότι, ὅταν κάμνωμεν συμβόλαιον καὶ ὅταν χρειάζεται ν' ἀγοράσωμεν κάτι ἢ καὶ νὰ πληρώσωμεν, φιλονεικῶμεν καὶ προσπαθοῦμεν νὰ καταβάλωμεν ὀλιγώτερα τῆς ἀξίας καὶ ὅλα τὰ κάμνομεν πρὸς τὸν σκοπὸν αὐτόν, δὲν εἶναι ληστεία τὸ πρᾶγμα; δὲν εἶναι κλοπὴ καὶ πλεονεξία; Μὴ μοῦ εἰπῇς βέβαια, ὅτι δὲν ἀπέσπασες βιαίᾳ οἰκίαν οὔτε δούλους· καθ' ὅσον ἡ ἀδικία δὲν κρίνεται μὲ τὸ μέτρον τῶν ἀφαιρουμένων, ἀλλὰ μὲ τὴν προαίρεσιν τῶν κλεπτῶν· διότι τὸ ἄδικον καὶ τὸ δίκαιον εἰς μεγάλας καὶ ἀσημάντους περιπτώσεις ἔχει τὴν ἰδίαν δύναμιν· καθ' ὅμοιον τρόπον δὲ ἐγὼ ὀνομάζω κλέπτας πορτοφολιῶν εἴτε κανεὶς διαρρήξει βαλάντιον καὶ πάρει χρήματα, εἴτε, ἀγοράζων ἀπὸ κάποιον πωλητὴν τῆς ἀγορᾶς,

τοτόμους ὁμοίως ἐγὼ καλῶ, κἂν βαλάντιόν τις διατεμὼν χρυσίον λάβῃ, καὶ ὠνούμενος παρά τινος τῶν ἀγοραίων τῆς ἀξίας παρασπάσῃ τι τιμῆς· καὶ τοιχωρύχος δὲ οὐχ ὁ τοῖχον διελὼν μόνον καὶ ὑφελόμενός τι τῶν ἔνδον, ἀλλὰ καὶ ὁ δίκην διαφθείρας καὶ ἀφελόμενός τι τοῦ πλησίον.

Μὴ τοίνυν, τὰ ἡμέτερα παρατρέχοντες, τῶν ἀλλοτρίων γενώμεθα δικασταί, μηδέ, ὅπου φιλανθρωπίας καιρός, ἐξετάζωμεν πονηρίαν, ἀλλά, ἐννοήσαντες πῶς καὶ ἡμεῖς διακείμεθα πάλαι, γενώμεθά ποτε ἥμεροι καὶ φιλάνθρωποι. Πῶς οὖν διακείμεθα; Ἄκουσον Παύλου λέγοντος· «Ἦμεν γάρ ποτε καὶ ἡμεῖς ἀπειθεῖς, ἀνόητοι, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις, στυγητοί, μισοῦντες ἀλλήλους»· καὶ πάλιν· «Ἦμεν γὰρ φύσει τέκνα ὀργῆς». Ἀλλ' ὁ Θεός, ὥσπερ ἐν δεσμωτηρίῳ κατεχομένους ἰδών, καὶ ἁλύσεσι χαλεπαῖς δεδεμένους, πολὺ τῶν ἀπὸ σιδήρου χαλεπωτέραις, οὐκ ἐπῃσχύνθη, ἀλλ' ἦλθε καὶ ἐπέστη τῷ δεσμωτηρίῳ, καὶ τοὺς μυρίων ἀξίους κολάσεων ἐξήγαγέ τε ἐκεῖθεν, καὶ εἰς βασιλείαν ἤγαγε, καὶ τοῦ οὐρανοῦ λαμπροτέρους ἐποίησεν, ἵνα καὶ ἡμεῖς τὰ αὐτὰ ποιῶμεν κατὰ δύναμιν τὴν ἡμετέραν· καὶ γάρ, ὅταν λέγῃ τοῖς μαθηταῖς, «Εἰ οὖν ἐγὼ ἔνιψα τοὺς πόδας, ὁ Κύριος καὶ ὁ Διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας· ὑπόδειγμα γὰρ ἔδωκα ὑμῖν, ἵνα, καθὼς ἐγὼ ἐποίησα, καὶ ὑμεῖς ποιῆτε», οὐκ ἐπὶ τῷ νίπτειν τοὺς πόδας τοῦτον γράφει τὸν νόμον μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν, οἷς περὶ ἡμᾶς ἐπεδείξατο.

Ἀνδροφόνος ἐστὶν ὁ τὸ δεσμωτήριον οἰκῶν; Ἀλλ' ἡμεῖς τὸ «καλὸν ποιοῦντες μὴ ἐκκακῶμεν». Τυμβωρύχος ἐστὶ καὶ μοιχός; Ἀλλὰ μὴ τὴν κακίαν, ἀλλὰ τὴν συμφορὰν ἐλεῶμεν. Πολλάκις δέ, ὅπερ ἔφην, εὑρεθήσεται ἐκεῖ καὶ εἷς μυρίων ἀντάξιος ἀνδρῶν. Κἂν συνεχῶς ἀπίῃς πρὸς τοὺς δεδεμένους, οὐκ ἀποτεύξῃ τῆς τοιαύτης θήρας. Ὥσπερ γὰρ ὁ Ἀβραάμ, καὶ τοὺς τυχόντας ξενοδοχῶν, ἐπέτυχέ ποτε καὶ

37. Τίτ. 3, 3.
38. Ἐφ. 2, 3.
39. Ἰω. 13, 14-15.
40. Γαλ. 6, 9.

ἀποσπάσει μὲ πλάγιον τρόπον κάτι ἀπὸ τὴν πραγματικὴν ἀξίαν τοῦ πράγματος ποὺ ἀγοράζει· καὶ τοιχωρύχος δὲν εἶναι μόνον ἐκεῖνος ποὺ διέρρηξε τοῖχον καὶ ἔκλεψε κάτι ἀπὸ τὰ ὑπάρχοντα ἐκεῖ μέσα, ἀλλὰ καὶ ἐκεῖνος ποὺ ἐδωροδόκησεν εἰς κάποιαν δίκην καὶ ἀφήρησε κάτι ἀπὸ τὰ τοῦ πλησίον.

Μὴ λοιπόν, παραβλέποντες τὰ ἰδικά μας, γενώμεθα δικασταὶ τῶν ξένων, οὔτε, ὅπου εἶναι εὐκαιρία διὰ φιλανθρωπίαν, νὰ ἐξετάζωμεν πονηρίαν, ἀλλά, σκεπτόμενοι πῶς ἤμεθα καὶ ἡμεῖς προηγουμένως, νὰ γίνωμεν κάποτε καὶ ἡμεῖς ἥμεροι καὶ φιλάνθρωποι. Πῶς λοιπὸν ἤμεθα προηγουμένως; Ἄκουσε τὸν Παῦλον ποὺ λέγει· «Κάποτε λοιπὸν καὶ ἡμεῖς ἤμεθα ἀπειθεῖς, ἀνόητοι, εὑρισκόμεθα εἰς τὴν πλάνην, ἤμεθα δοῦλοι διαφόρων ἐπιθυμιῶν καὶ ἡδονῶν, μισητοὶ καὶ ἐμισούσαμεν ὁ ἕνας τὸν ἄλλον»[37]· καὶ πάλιν· «Διότι ἤμεθα τέκνα ὀργῆς»[38]. Ἀλλ' ὁ Θεός, ὅταν μᾶς εἶδεν νὰ κρατούμεθα μέσα εἰς τὴν φυλακὴν καὶ δεμένους μὲ βαρείας ἀλυσίδας, πολὺ πιὸ φοβερωτέρας ἀπὸ τὰς σιδηρᾶς, δὲν ἐντράπη, ἀλλ' ἦλθε καὶ μᾶς ἐπεσκέφθη εἰς τὴν φυλακὴν καὶ ἡμᾶς ποὺ ἤμεθα ἄξιοι μυρίων τιμωριῶν, καὶ μᾶς ἔβγαλεν ἀπὸ ἐκεῖ καὶ μᾶς ὡδήγησεν εἰς τὴν οὐράνιον βασιλείαν, καὶ μᾶς ἔκαμε λαμπροτέρους ἀπὸ τὸν οὐρανόν, ὥστε καὶ ἡμεῖς νὰ κάμνωμεν τὰ ἴδια σύμφωνα μὲ τὴν δύναμίν μας· καθ' ὅσον, ὅταν λέγῃ εἰς τοὺς μαθητάς του, «Ἐὰν λοιπὸν ἐγώ, ὁ Κύριός σας καὶ διδάσκαλός σας, σᾶς ἔνιψα τὰ πόδια, καὶ σεῖς ὀφείλετε νὰ νίπτετε ἀναμεταξύ σας τὰ πόδια σας· σᾶς ἔδωσα δηλαδὴ παράδειγμα, ὥστε, ὅπως ἔπραξα ἐγώ, νὰ πράττετε καὶ σεῖς»[39], δὲν τὸν γράφει αὐτὸν τὸν νόμον μόνον διὰ τὴν νίψιν τῶν ποδιῶν, ἀλλὰ καὶ δι' ὅλα τὰ ἄλλα πράγματα, ποὺ μᾶς ἐδίδαξεν.

Εἶναι δολοφόνος αὐτὸς ποὺ εἶναι φυλακισμένος; Ἀλλ' ἡμεῖς «ἂς μὴ ἀποθαρρυνώμεθα κάμνοντες τὸ καλόν»[40]. Εἶναι τυμβωρύχος καὶ μοιχός; Πολλὲς φορὲς ὅμως, ὅπως προανέφερα, θὰ εὑρεθῇ ἐκεῖ καὶ κάποιος ποὺ εἶναι ἀντάξιος μυρίων ἀνδρῶν. Καὶ ἂν μεταβαίνῃς συνεχῶς πρὸς τοὺς φυλακισμένους, θὰ ἐπιτύχῃς ἕνα τέτοιο θύραμα. Διότι ὅπως

ἀγγέλων, οὕτω καὶ ἡμεῖς ἐπιτευξόμεθα καὶ μεγάλων ἀνδρῶν, ἂν ἔργον τὸ πρᾶγμα ποιησώμεθα. Εἰ δὲ χρὴ καὶ θαυμαστόν τι εἰπεῖν, οὐχ οὕτως ἐπαίνων ἄξιος ὁ μέγαν ὑποδεχόμενος, ὡς ὁ τὸν οἰκτρὸν καὶ ταλαίπωρον· ἐκεῖνος μὲν γὰρ οὐ μικρὰν ἀφορμὴν ἔχει τὸν ἑαυτοῦ βίον πρὸς τὸ παθεῖν εὖ, ὁ δὲ ἀπερριμμένος, καὶ ὑπὸ πάντων προδεδομένος ἕνα λιμένα μόνον ἔχει, τὸν ἔλεον τοῦ ποιοῦντος αὐτὸν εὖ· ὥστε φιλανθρωπία καθαρὰ τοῦτο μάλιστά ἐστι. Καὶ ὁ μὲν τὸν θαυμαστὸν καὶ περιφανῆ θεραπεύων πολλάκις καὶ πρὸς ἀνθρώπων ἐπίδειξιν τοῦτο ἐποίησεν, ὁ δὲ τὸν ἀπερριμμένον καὶ ἀπεγνωσμένον διὰ μόνην τὴν ἐντολὴν τοῦ Θεοῦ τοῦτο ἐργάζεται. Διό, κἂν δοχὴν ποιῶμεν, χωλοὺς καὶ ἀναπήρους ὑποδέχεσθαι κελευόμεθα· κἂν ἐλεημοσύνην ἐργαζώμεθα, ἐλαχίστους καὶ εὐτελεῖς ἐλεεῖν ἐπετάγημεν· «ἐφ᾽ ὅσον γὰρ ἐποιήσατε, φησίν, ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε».

Εἰδότες τοίνυν τὸν ἐκεῖ κείμενον θησαυρόν, εἰσίωμεν συνεχῶς, καὶ πραγματευώμεθα, καὶ τὰς περὶ τὰ θέατρα σπουδὰς ἐκεῖ τρέψωμεν. Κἂν μηδὲν ἔχῃς, εἰσενεγκεῖν, εἰσάγαγε τὴν ἀπὸ τῶν λόγων παράκλησιν· οὐ γὰρ δὴ μόνον τὸν τρέφοντα, ἀλλὰ καὶ τὸν εἰσιόντα ὁ Θεὸς ἀμείβεται· ὅταν γὰρ εἰσελθὼν τρέμουσαν καὶ δεδοικυῖαν τὴν ψυχὴν διαναστήσῃς, παρακαλῶν, βοηθῶν, ὑπισχνούμενος ἀμύνειν, φιλοσοφεῖν παρασκευάζων, οὐ μικρὸν καὶ ἐντεῦθεν λήψῃ τὸν μισθόν· ἔξω μὲν γὰρ σοῦ τοιαῦτα διαλεγομένου, πολλοὶ καὶ γελάσονται ὑπὸ τῆς πολλῆς τρυφῆς διακεχυμένοι, οἱ δὲ ἐν συμφοραῖς ὄντες, κατεσταλμένης αὐτοῖς τῆς διανοίας, μετὰ πολλῆς τῆς ἐπι-

41. Λουκᾶ 14, 13.
42. Ματθ. 25, 40.

ἀκριβῶς ὁ Ἀβραάμ, φιλοξενῶν καὶ τοὺς τυχόντας, ἐπέτυχε κάποτε τοὺς ἀγγέλους, ἔτσι καὶ ἡμεῖς θὰ ἐπιτύχωμεν νὰ συναντήσωμεν καὶ σπουδαίους ἄνδρας, ἐὰν τὸ πρᾶγμα αὐτὸ τὸ κάμωμεν ἔργον μας. Ἐὰν δὲ πρέπει νὰ εἰπῶ καὶ κάτι τὸ ἄξιον θαυμασμοῦ, ὅτι δὲν εἶναι τόσον πολὺ ἄξιος ἐπαίνων ἐκεῖνος ποὺ ὑποδέχεται ἕνα σπουδαῖον ἄνθρωπον, ὅσον ἐκεῖνος ποὺ ὑποδέχεται τὸν ἐλεεινὸν καὶ ταλαίπωρον ἄνθρωπον· διότι ἐκεῖνος μὲν ἔχει ὡς μεγάλην ἀφορμὴν διὰ νὰ εὐεργετηθῇ τὴν κατάστασίν του, ἐνῷ ὁ περιφρονημένος καὶ προδομένος ἀπὸ ὅλους ἕνα μόνον λιμένα ἔχει, τὴν φιλανθρωπίαν αὐτοῦ ποὺ τὸν εὐεργετεῖ· ὥστε αὐτὸ εἶναι καθαρὰ κατ' ἐξοχὴν φιλανθρωπία. Καὶ ἐκεῖνος μὲν ποὺ φιλοξενεῖ τὸν θαυμαστὸν καὶ σπουδαῖον, πολλὲς φορὲς τὸ κάμνει αὐτὸ διὰ νὰ ἐπιδειχθῇ εἰς τοὺς ἀνθρώπους, ἐνῷ αὐτὸς ποὺ φιλοξενεῖ τὸν περιφρονημένον καὶ τὸν δυστυχῆ ἐκεῖνον τὸ κάμνει αὐτὸ διὰ τὴν ἐντολὴν καὶ μόνον τοῦ Θεοῦ. Διὰ τοῦτο, καὶ ὅταν παρέχωμεν δεξίωσιν, ἔχομεν ἐντολὴν νὰ δεχώμεθα χωλοὺς καὶ ἀναπήρους[41]· καὶ ὅταν κάμνωμεν ἐλεημοσύνην, ἐλάβομεν ἐντολὴν νὰ ἐλεοῦμεν ἀσήμους καὶ εὐτελεῖς· διότι λέγει· «Ἐφ' ὅσον τὸ ἐκάματε εἰς ἕνα ἀπὸ αὐτοὺς τοὺς ἀσήμους, τὸ ἐκάματε εἰς ἐμένα»[42].

Γνωρίζοντες λοιπὸν τὸν ἐκεῖ ὑπάρχοντα θησαυρόν, ἄς ἐπισκεπτώμεθα συνεχῶς τὴν φυλακὴν καὶ ἄς ἀσχολούμεθα μὲ τοὺς ἐκεῖ καὶ τὰ ἐνδιαφέροντά μας διὰ τὸ θέατρον ἄς τὰ στρέψωμεν πρὸς τὰ ἐκεῖ. Καὶ ἄν ἀκόμη δὲν ἔχῃς νὰ προσφέρῃς τίποτε, δῶσε τὴν παρηγορίαν ἀπὸ τοὺς λόγους σου· καθ' ὅσον βέβαια ὁ Θεὸς δὲν ἀμείβει μόνον ἐκεῖνον ποὺ δίδει τροφήν, ἀλλὰ καὶ ἐκεῖνον ποὺ εἰσέρχεται εἰς τὴν φυλακήν· διότι, ὅταν εἰσέλθῃς καὶ ἐνθαρρύνῃς τὴν ψυχὴν τὴν γεμάτην ἀπὸ τρόμον καὶ φόβον, παρηγορῶν, βοηθῶν, προτρέπων αὐτὴν νὰ κάμνῃ ὑπομονὴν καὶ τὴν καθιστᾷς ἱκανὴν νὰ φιλοσοφῇ, δὲν θὰ εἶναι μικρὸς ὁ μισθὸς ποὺ θὰ λάβῃς ἀπὸ ἐκεῖ· διότι ἐὰν τὰ εἰπῇς αὐτὰ ἔξω, πολλοὶ καὶ θὰ γελάσουν ἀπορροφημένοι ἀπὸ τὴν πολλὴν ἡδονήν, ἐνῷ αὐτοὶ ποὺ εὑρίσκονται μέσα εἰς τὰς συμφορὰς καὶ εἶναι πεσμένον τὸ φρόνημά των καὶ θὰ προσέξουν μὲ

εικείας καὶ προσέξουσι τοῖς λεγομένοις, καὶ ἐπαινέσονται, καὶ ἔσονται βελτίους. Ἐπεὶ καί, Παύλου δημηγοροῦντος, Ἰουδαῖοι μὲν πολλάκις κατεγέλων, οἱ δὲ δεσμῶται μετὰ πολλῆς ἐπηκροῶντο τῆς ἡσυχίας· οὐδὲν γὰρ οὕτως εἰς φιλοσοφίαν ἐπιτηδείαν κατασκευάζει τὴν ψυχήν, ὡς συμφορά, καὶ πειρασμός, καὶ θλῖψις ἐπικειμένη.

Ταῦτ' οὖν ἐννοήσαντες ἅπαντα, ὅσα μὲν τοὺς ἔνδον ἀγαθά, ὅσα δὲ ἡμᾶς αὐτοὺς ἐργασόμεθα, συνεχῶς αὐτοῖς ἀναμιγνύμενοι, καὶ τὰς ἐν ἀγορᾷ διατριβάς, καὶ τὰς ἀκαίρους ἀσχολίας ἐκεῖ καταναλώσωμεν, ἵνα κἀκείνους κερδάνωμεν, καὶ ἡμᾶς αὐτοὺς εὐφράνωμεν, καί, τὸν Θεὸν δοξασθῆναι παρασκευάσαντες, τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα σὺν τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

πολλὴν ἠρεμίαν τὰ λόγια σου καὶ θὰ σὲ ἐπαινέσουν καὶ θὰ γίνουν καλύτεροι. Διότι καὶ ὁ Παῦλος ὅταν ὡμίλει, οἱ μὲν Ἰουδαῖοι πολλὲς φορὲς τὸν περιεγελοῦσαν, οἱ δεσμῶται ὅμως τὸν ἤκουον μὲ πολλὴν ἡσυχίαν· καθ' ὅσον τίποτε δὲν συντελεῖ τόσον εἰς τὴν εὐσέβειαν τῆς ψυχῆς, ὅσον ἡ συμφορὰ καὶ ἡ δοκιμασία καὶ ἡ θλῖψις ποὺ ἐκυρίευσεν αὐτήν.

Ἀναλογιζόμενοι λοιπὸν ὅλα αὐτά, τὰ ὅσα δηλαδὴ ἀγαθὰ θὰ παράσχωμεν εἰς τοὺς φυλακισμένους καὶ τὰ ὅσα εἰς ἡμᾶς τοὺς ἰδίους, ἂς ἐπισκεπτώμεθα αὐτοὺς συνεχῶς καὶ ἂς καταναλώσωμεν εἰς αὐτοὺς τὰς ὥρας ποὺ περνοῦμεν εἰς τὴν ἀγορὰν καὶ τὰς ἀκαίρους ἀσχολίας μας, ὥστε καὶ ἐκείνους νὰ κερδίσωμεν καὶ τὸν ἑαυτόν μας νὰ εὐφράνωμεν καί, ἀφοῦ γίνωμεν αἰτία νὰ δοξασθῇ ὁ Θεός, νὰ ἐπιτύχωμεν τῶν αἰωνίων ἀγαθῶν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου ἀνήκει ἡ δόξα εἰς τὸν Πατέρα, μαζὶ καὶ εἰς τὸ ἅγιον Πνεῦμα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΞΑ΄

Ἰω. 10, 22 - 41

«Ἐγένετο δὲ τὰ ἐγκαίνια ἐν Ἱεροσολύμοις καὶ χειμὼν ἦν. Καὶ περιεπάτει ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ, ἐν τῇ στοᾷ Σολομῶντος. Ἐκύκλωσαν οὖν αὐτὸν οἱ Ἰουδαῖοι, καὶ ἔλεγον αὐτῷ· Ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις;».

1. Πᾶσα μὲν ἀρετὴ καλόν, μάλιστα δὲ ἐπιείκεια καὶ πρᾳότης. Τοῦτο ἀνθρώπους δείκνυσιν ἡμᾶς, τοῦτο τῶν θηρίων διΐστησι, τοῦτο τοῖς ἀγγέλοις ἁμιλλᾶσθαι παρασκευάζει. Διὰ τοῦτο καὶ ὁ Χριστὸς συνεχῶς περὶ ταύτης πολλοὺς λόγους ἀναλίσκει τῆς ἀρετῆς, πρᾴους εἶναι καὶ ἐπιεικεῖς κελεύων. Οὐ λόγους δὲ ἀναλίσκει μόνον, ἀλλὰ καὶ διὰ πραγμάτων τοῦτο παιδεύει, νῦν μὲν ῥαπιζόμενος καὶ φέρων, νῦν δὲ λοιδορούμενος καὶ ἐπιβουλευόμενος, καὶ πάλιν ἐπὶ τοῖς ἐπιβουλεύουσιν ἐφιστάμενος· οἱ γὰρ καὶ δαιμονῶντα καλέσαντες, καὶ Σαμαρείτην, καὶ πολλάκις θελήσαντες ἀνελεῖν, καὶ λιθάσαντες, οὗτοι κυκλώσαντες αὐτὸν ἠρώτων· «Εἰ σὺ εἶ ὁ Χριστός». Καὶ οὐδὲ οὕτως αὐτοὺς διεκρούετο μετὰ τοσαύτας καὶ τοιαύτας ἐπιβουλάς, ἀλλὰ μετὰ πολλῆς ἀπεκρίνατο τῆς ἐπιεικείας· μᾶλλον δὲ ἄνωθεν ἀναγκαῖον ἐξετάσαι τὸν λόγον ἅπαντα.

«Ἐγένετο» γάρ, φησί, «τὰ ἐγκαίνια ἐν Ἱεροσολύμοις, καὶ χειμὼν ἦν». Μεγάλη τις ἦν αὕτη ἡ ἑορτὴ καὶ δημοτελής· τὴν γὰρ ἡμέραν, καθ' ἣν ὁ ναὸς ᾠκοδομήθη, ἐπανελθόντων αὐτῶν

ΟΜΙΛΙΑ ΞΑ΄

'Ιω. 10, 22 - 41

«'Εωρτάζετο δὲ τότε εἰς τὰ 'Ιεροσόλυμα ἡ ἑορτὴ τῶν ἐγκαινίων καὶ ἦτο χειμών. Καὶ περιεπάτει ὁ 'Ιησοῦς εἰς τὸ ἱερόν, εἰς τὴν στοὰν τοῦ Σολομῶντος. Τὸν ἐκύκλωσαν λοιπὸν οἱ 'Ιουδαῖοι καὶ ἔλεγον εἰς αὐτόν· "Εως πότε θὰ κρατᾷς εἰς ἀμφιβολίαν τὴν ψυχήν μας;».

1. Κάθε ἀρετὴ μὲν εἶναι καλή, πρὸ πάντων ὅμως ἡ ἐπιείκεια καὶ ἡ πραότης. Αὐτὸ δείχνει ὅτι εἴμεθα ἄνθρωποι, αὐτὸ μᾶς διακρίνει ἀπὸ τὰ θηρία, αὐτὸ μᾶς κάμνει νὰ συναγωνιζώμεθα τοὺς ἀγγέλους. Διὰ τοῦτο καὶ ὁ Χριστὸς συνεχῶς ἀφιερώνει πολλοὺς λόγους δι' αὐτὴν τὴν ἀρετήν, προτρέπων ἡμᾶς νὰ εἴμεθα πρᾶοι καὶ ἐπιεικεῖς. Καὶ δὲν ὁμιλεῖ μόνον περὶ αὐτῆς, ἀλλὰ μᾶς τὸ διδάσκει αὐτὸ καὶ μὲ τὰ ἔργα του, ἄλλοτε μὲν δεχόμενος κτυπήματα εἰς τὸ πρόσωπον καὶ ἀνεχόμενος αὐτά, ἄλλοτε δὲ ὑβριζόμενος καὶ ἐπιβουλευόμενος καὶ πάλιν ἐπισκεπτόμενος αὐτοὺς ποὺ τὸν ἐπεβουλεύοντο· διότι αὐτοὶ ποὺ τὸν ὠνόμασαν δαιμονισμένον καὶ Σαμαρείτην καὶ ἠθέλησαν πολλὲς φορὲς νὰ τὸν φονεύσουν, καὶ τὸν ἐλιθοβόλησαν, αὐτοὶ τὸν ἐκύκλωσαν καὶ τὸν ἐρωτοῦσαν· «'Εὰν σὺ εἶσαι ὁ Χριστός». "Ομως οὔτε καὶ πάλιν τοὺς ἐξεδίωξε μετὰ ἀπὸ τὰς τόσας πολλὰς καὶ τέτοιου εἴδους ἐπιβουλάς, ἀλλὰ ἀπήντησε μὲ πολλὴν ἐπιείκειαν· μᾶλλον ὅμως εἶναι ἀνάγκη νὰ ἐξετάσωμεν ὅλον τὸν λόγον αὐτὸν ἀπὸ τὴν ἀρχήν.

Λέγει λοιπόν· «'Εωρτάζετο εἰς τὰ 'Ιεροσόλυμα ἡ ἑορτὴ τῶν ἐγκαινίων καὶ ἦτο χειμών». Αὐτὴ ἦτο μία μεγάλη ἑορτὴ καὶ ἑωρτάζετο μὲ συμμετοχὴν τοῦ λαοῦ· διότι ἀπὸ τὴν ἡμέραν κατὰ τὴν ὁποίαν ἐκτίσθη ὁ ναός, μετὰ τὴν ἐπιστρο-

ἀπὸ τῆς μακρᾶς αἰχμαλωσίας, τῆς ἐν τῇ Περσίδι, ταύτην ἦγον μετὰ πολλῆς τῆς σπουδῆς. Ἐν ταύτῃ παρῆν καὶ ὁ Χριστὸς τῇ ἑορτῇ· λοιπὸν γὰρ τῇ Ἰουδαίᾳ συνεχῶς ἐπεχωρίαζεν, ἐπειδὴ τὸ πάθος ἦν ἐπὶ θύραις. «Ἐκύκλωσαν οὖν αὐτὸν οἱ Ἰουδαῖοι, καὶ ἔλεγον· Ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις; Εἰ σὺ εἶ ὁ Χριστός, εἰπὲ ἡμῖν παρρησίᾳ». Καὶ οὐκ εἶπε· 'Τί ζητεῖτε πρός με; δαιμονῶντα ἐκαλέσατε πολλάκις καὶ μαινόμενον καὶ Σαμαρείτην, καὶ ἀντίθεον εἶναι ἐνομίσατε καὶ πλάνον, καὶ πρώην ἐλέγετε, «Σὺ μαρτυρεῖς περὶ σεαυτοῦ· ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής», πῶς οὖν ἐξετάζετε καὶ παρ' ἐμοῦ βούλεσθε μαθεῖν, οὗ τὴν μαρτυρίαν ἐκβάλλετε;'. Ἀλλ' οὐδὲν τούτων εἶπε, καίτοι γε εἰδὼς τὴν γνώμην, μεθ' ἧς ἐξήταζον, πονηρὰν οὖσαν· τὸ μὲν γὰρ κυκλῶσαι αὐτόν, καὶ εἰπεῖν, «Ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις;», ἐδόκει πόθου τινὸς εἶναι καὶ φιλομαθείας, ἡ δὲ διάνοια, μεθ' ἧς ἠρώτων, διεφθαρμένη τις ἦν καὶ ὕπουλος.

Ἐπεὶ γὰρ τὰ μὲν ἔργα οὐκ ἀνεδέξαντο συκοφαντίαν τε καὶ ἐπήρειαν, τοῖς δὲ λόγοις ἐπισκήπτειν εἶχον, ἑτέρως ἐξετάζοντες ἢ ὡς εἴρηται, ἀεὶ πεύσεις προσῆγον, ἐπιστομίζειν αὐτὸν ἀπὸ τῶν λόγων βουλόμενοι, καὶ τοῖς ἔργοις οὐδὲν ἐγκαλεῖν δυνάμενοι, λαβήν τινα ἀπὸ τῶν ῥημάτων ἐπεθύμουν εὑρεῖν. Διὰ τοῦτο ἔλεγον, «Εἰπὲ ἡμῖν», καίτοι πολλάκις εἶπε· καὶ γὰρ τῇ Σαμαρείτιδι ἔλεγεν· «Ἐγώ εἰμι ὁ λαλῶν σοι»· καὶ τῷ τυφλῷ· «Καὶ ἑώρακας αὐτόν, καὶ ὁ λαλῶν μετὰ σοῦ, ἐκεῖνός ἐστι»· κἀκείνοις δὲ εἶπεν, εἰ καὶ μὴ οὕτως, ἀλλὰ δι' ἑτέρων ῥημάτων. Καίτοι γε, εἰ νοῦν εἶχον καὶ ὀρθῶς ἐξετάζειν ἠβούλοντο, διὰ λόγων αὐτὸν ὁμολογῆσαι λοιπὸν ἐκείνων ἦν· διὰ γὰρ τῶν ἔργων αὐτὸς

1. Ἰω. 8, 13.
2. Ἰω. 4, 26
3. Ἰω. 9, 37.

φήν των άπό τήν μακροχρόνιον αίχμαλωσίαν είς τήν χώραν τών Περσών, έώρταζον αύτήν μέ πολλήν φροντίδα. Είς αύτήν τήν έορτήν ήτο παρών καί ό Χριστός· διότι τότε πλέον έπεσκέπτετο συνεχώς τήν Ίουδαίαν, έπειδή τό πάθος του εύρίσκετο πρό τών θυρών. «Τόν έκύκλωσαν λοιπόν οί Ίουδαίοι καί έλεγον είς αύτόν· Έως πότε θά κρατᾷς τήν ψυχήν μας είς άμφιβολίαν; Έάν σύ είσαι ό Χριστός νά μάς τό είπῇς μέ παρρησίαν». Καί δέν άπήντησε· Τί θέλετε άπό έμένα; δαιμονισμένον μέ ώνομάσατε πολλές φορές καί μανιακόν καί Σαμαρείτην, καί μέ έθεωρήσατε άντίθεον καί πλάνον καί πρό όλίγου έλέγατε, «Σύ δίδεις μαρτυρίαν διά τόν έαυτόν σου· ή μαρτυρία σου δέν είναι άληθής»[1], πώς λοιπόν έρωτάτε καί θέλετε νά μάθετε άπό έμένα, τήν στιγμήν πού άπορρίπτετε τήν μαρτυρίαν μου;'. Άλλ' όμως τίποτε άπό αύτά δέν είπεν, άν καί βέβαια έγνώριζε τήν γνώμην των, μέ τήν όποίαν τόν έρωτοῦσαν, ότι ήτο πονηρά· διότι τό νά τόν κυκλώσουν καί νά τοῦ είποῦν, «Έως πότε θά κρατᾷς είς άμφιβολίαν τήν ψυχήν μας;» έφαίνετο ώσάν άποτέλεσμα κάποιου πόθου καί φιλομαθείας, ή σκέψις όμως, μέ τήν όποίαν τόν έρωτοῦσαν, ήτο διεστραμμένη καί ύπουλος.

Έπειδή λοιπόν τά μέν έργα του δέν έπεδέχθησαν συκοφαντίαν καί κατηγορίαν, ένῷ τά λόγια του ήμποροῦσαν νά τά κατηγορήσουν, έξετάζοντες αύτά ύπό άλλην έννοιαν καί όχι ύπ' αύτήν πού έλέχθησαν, συνεχώς τοῦ ύπέβαλλον έρωτήσεις, θέλοντες νά τόν άποστομώσουν άπό τά λόγια του, καί έπειδή δέν ήμποροῦσαν ώς πρός τά έργα του νά τόν κατηγορήσουν είς τίποτε, έπιθυμοῦσαν νά εύρουν κάποιαν άφορμήν νά τόν κατηγορήσουν άπό τά λόγια του. Διά τοῦτο έλεγον, «Είπέ μας», άν καί πολλές φορές τό είπε· καθ' όσον είς τήν Σαμαρείτιδα έλεγεν· «Έγώ είμαι πού σοῦ όμιλῶ»[2]· καί είς τόν τυφλόν· «Καί τόν έχεις ίδεῖ καί αύτός πού όμιλεῖ μαζί σου, αύτός είναι»[3]· καί είς έκείνους δέ είπεν, άν καί όχι μέ τόν ίδιον τρόπον, άλλά μέ άλλα λόγια. Μολονότι βέβαια, έάν είχον νοῦν καί ήθελον νά τόν έξετάζουν όρθώς, θά ήμποροῦσαν νά τόν όμολογήσουν πλέον διά τών λόγων του έκείνων, διότι διά μέν τά έργα του αύτός τούς τά έπέ-

ἐπεδείξατο τοῦτο πολλάκις. Νυνὶ δὲ σκόπει τὸ διεστραμμένον αὐτῶν καὶ φιλόνεικον· ὅταν μὲν γὰρ δημηγορῇ, καὶ διὰ λόγων παιδεύῃ, λέγουσι· «Τί σημεῖον δεικνύεις;», ὅταν δὲ διὰ τῶν ἔργων παρέχηται τὰς ἀποδείξεις, λέγουσιν αὐτῷ, «Εἰ σὺ εἶ ὁ Χριστός, εἰπὲ ἡμῖν παρρησίᾳ», τῶν ἔργων βοώντων, ῥήματα ζητοῦντες· καὶ τῶν ῥημάτων διδασκόντων, ἐπὶ τὰ ἔργα καταφεύγουσι, πρὸς τὸ ἐναντίον ἀεὶ ἱστάμενοι· ὅτι γὰρ οὐ τοῦ μαθεῖν ἕνεκεν ἐζήτουν τὸ τέλος ἔδειξεν· ὃν γὰρ οὕτως ἀξιόπιστον εἶναι ἐνόμιζον, ὡς καὶ περὶ ἑαυτοῦ μαρτυροῦντα δέξασθαι, μικρά τινα φθεγξάμενον, εὐθέως ἐλίθασαν, ὥστε καὶ τὸ κυκλῶσαι καὶ τὸ ἐπικεῖσθαι μετὰ πονηρίας ἐγίνετο.

Καὶ ὁ τρόπος δὲ τῆς ἐρωτήσεως πολλῆς ἔγεμεν ἀπεχθείας· «εἰπὲ γὰρ ἡμῖν παρρησίᾳ, εἰ σὺ εἶ ὁ Χριστός», καίτοι γε μετὰ παρρησίας ἅπαντα ἔλεγεν, ἐν ταῖς ἑορταῖς ἐπιχωριάζων ἀεί, καὶ οὐδὲν κρύφα ἐλάλει, ἀλλὰ διὰ τοῦτο κολακείας προβάλλονται ῥήματα, λέγοντες, «Ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις;», ἵνα, αὐτὸν ἐκκαλεσάμενοι, πάλιν τινὰ λαβὴν εὕρωσιν· ὅτι γὰρ πανταχοῦ διὰ τοῦτο ἠρώτων, οὐχ ἵνα μάθωσιν, ἀλλ' ἵνα τοῖς λεγομένοις ἐπισκήψωσιν, οὐκ ἐντεῦθεν μόνον, ἀλλὰ καὶ ἀλλαχόθεν πολλαχόθεν δῆλόν ἐστι· καὶ γάρ, ὅτε προσῆλθον ἐρωτῶντες, «Εἰ ἔξεστι δοῦναι κῆνσον Καίσαρι ἢ οὔ», καὶ ὅτε περὶ ἀφέσεως γυναικὸς διελέγοντο, καὶ ὅτε περὶ ἐκείνης ἐπυνθάνοντο, ἣν ἔφασαν ἑπτὰ ἄνδρας ἐσχηκέναι, ἑάλωσαν, οὐκ ἀπὸ φιλομαθείας, ἀλλ' ἀπὸ γνώμης σκαιᾶς αὐτῷ προσάγοντες. Ἀλλ' ἐκεῖ μὲν αὐτοὺς ἐλέγχει, λέγων, «Τί με πειράζετε, ὑποκριταί;», δεικνὺς ὅτι οἶδεν αὐτῶν τὰ ἀπόρρητα, ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον φθέγγεται, παιδεύων ἡμᾶς μὴ πάντοτε ἐλέγχειν,

4. Ἰω. 2, 18.
5. Ματθ. 22, 17.
6. Ματθ. 22, 18.

δειξε πολλὲς φορές. Τώρα ὅμως πρόσεχε τὴν διεστραμμένην καὶ φιλόνεικον διάθεσίν των· διότι ὅταν μὲν τοὺς ὁμιλῇ καὶ τοὺς διδάσκῃ μὲ τὰ λόγια του, λέγουν, «Τί σημεῖον δικνύεις;»[4], ὅταν δὲ τοὺς ἀποδεικνύῃ μὲ τὰ ἔργα του, λέγουν εἰς αὐτόν, «Ἐὰν σὺ εἶσαι ὁ Χριστός, νὰ μᾶς τό εἰπῇς μὲ παρρησίαν», ζητοῦντες λόγια, ἐνῷ τὸ βροντοφωνάζουν τὰ ἔργα του· καὶ ἐνῷ τὰ λόγια του τοὺς τό διδάσκουν, καταφεύγουν εἰς τὰ ἔργα, λαμβάνοντες πάντοτε τὴν ἀντίθετον θέσιν· τὸ ὅτι δὲ δὲν τὸν ἐρωτοῦσαν διὰ νὰ μάθουν, τὸ ἔδειξε τὸ ἀποτέλεσμα· διότι αὐτὸν ποὺ τὸν ἐθεωροῦσαν τόσον ἀξιόπιστον, ὥστε καὶ νὰ δεχθοῦν νὰ μαρτυρήσῃ περὶ τοῦ ἑαυτοῦ του, ὀλίγα μόλις εἶπε λόγια, ἀμέσως τὸν ἐλιθοβόλησαν, καὶ συνεπῶς καὶ τὸ νὰ τὸν κυκλώσουν καὶ νὰ πλησιάζουν κοντά του ἐγίνετο μὲ πονηρίαν.

Καὶ ὁ τρόπος δὲ τῆς ἐρωτήσεως ἦτο γεμᾶτος ἀπὸ πολλὴν ἐχθρότητα· διότι τὸν ἐρωτοῦν· «Εἰπέ μας μὲ παρρησίαν, ἐὰν σὺ εἶσαι ὁ Χριστός», ἂν καὶ βέβαια πάντα τοὺς ὡμίλει μὲ παρρησίαν, λαμβάνων πάντοτε μέρος εἰς τὰς ἑορτὰς καὶ τίποτε δὲν ἔλεγε κρυφά, ἀλλὰ διὰ τοῦτο τοῦ ἀπευθύνουν κολακευτικὰ λόγια, λέγοντες, «Ἕως πότε θὰ κρατᾷς εἰς ἀμφιβολίαν τὴν ψυχήν μας;», ὥστε, ἀφοῦ τὸν προκαλέσουν, νὰ εὕρουν πάλιν κάποιαν ἀφορμὴν διὰ νὰ τὸν κατηγορήσουν· τὸ ὅτι βέβαια πάντοτε δι' αὐτὸ τὸν ἐρωτοῦσαν, ὄχι διὰ νὰ μάθουν, ἀλλὰ διὰ νὰ τὸν κατηγορήσουν ἀπὸ τὰ λεγόμενά του, γίνεται φανερόν, ὄχι μόνον ἀπὸ ἐδῶ, ἀλλὰ καὶ ἀπὸ πολλὰς ἄλλας περιπτώσεις· καθ' ὅσον ὅταν τὸν ἐπλησίασαν καὶ τὸν ἐρωτοῦσαν, «Ἐὰν ἐπιτρέπεται νὰ πληρώνωμεν φόρον εἰς τὸν Καίσαρα ἢ ὄχι»[5], καὶ ὅταν συνομιλοῦσαν διὰ τὴν συγχώρησιν τῆς γυναικὸς καὶ ὅταν ἐζητοῦσαν πληροφορίας δι' ἐκείνην τὴν γυναῖκα ποὺ ἔλεγον ὅτι εἶχεν ἑπτὰ ἄνδρας, ἀπεδείχθη ὅτι τὸν ἐρωτοῦσαν ὄχι ἀπὸ φιλομάθειαν. ἀλλὰ ἀπὸ κακὴν διάθεσιν. Ἀλλ' εἰς ἐκείνην μὲν τὴν περίπτωσιν τοὺς ἐλέγχει, λέγων, «Τί μὲ πειράζετε, ὑποκριταί;»[6], δεικνύων ὅτι γνωρίζει τὰς ἀποκρύφους σκέψεις των, ἐδῶ ὅμως τίποτε παρόμοιον δὲν τοὺς λέγει, διὰ νὰ μᾶς διδάξῃ νὰ μὴ ἐλέγχωμεν πάντοτε αὐτοὺς ποὺ μᾶς ἐπιβουλεύονται,

τοὺς ἐπιβουλεύοντας, ἀλλ' ἐπιεικείᾳ καὶ πραότητι πολλὰ φέρειν.

Ἐπεὶ οὖν ἀνοίας ἦν, τῶν ἔργων αὐτὸν ἀνακηρυττόντων, τὴν ἀπὸ τῶν λόγων ζητεῖν μαρτυρίαν, ἄκουσον πῶς αὐτοῖς ἀποκρίνεται ὁμοῦ μὲν αὐτοὺς αἰνιττόμενος ὅτι περισσῶς τοῦτο ἐζήτουν, καὶ οὐχ ὑπὲρ τοῦ μαθεῖν, ὁμοῦ δὲ δηλῶν ὅτι καὶ τῆς διὰ τῶν ῥημάτων σαφεστέραν ἀφῆκε φωνήν, τὴν διὰ τῶν ἔργων· «πολλάκις» γάρ, φησίν, «εἶπον ὑμῖν, καὶ οὐ πιστεύετέ μοι· τὰ ἔργα, ἃ ἐγὼ ποιῶ ἐν τῷ ὀνόματι τοῦ Πατρός μου, ἐκεῖνά ἐστι τὰ μαρτυροῦντα περὶ ἐμοῦ»· ὅπερ καὶ οἱ ἀνεκτότεροι αὐτῶν συνεχῶς πρὸς ἀλλήλους ἔλεγον· «Οὐ γὰρ δύναται ἄνθρωπος ἁμαρτωλὸς τοιαῦτα σημεῖα ποιεῖν»· καὶ πάλιν· «Οὐ δύναται δαιμόνιον ὀφθαλμοὺς τυφλῶν ἀνοίγειν», καὶ «οὐδεὶς δύναται σημεῖα τοιαῦτα ποιεῖν, ἐὰν μὴ ᾖ μετ' αὐτοῦ ὁ Θεός»· καὶ θεωροῦντες τὰ σημεῖα, ἃ ἐποίει, ἔλεγον· «Μή τι οὗτός ἐστιν ὁ Χριστός»· ἄλλοι δὲ ἔλεγον· «Ὅταν ἔλθῃ ὁ Χριστός, μὴ πλείονα σημεῖα ποιήσει ὧν ἐποίησεν οὗτος;»· καὶ αὐτοὶ δὲ οὗτοι ἐντεῦθεν ἐβούλοντο πιστεῦσαι αὐτῷ, λέγοντες· «Τί σημεῖον δεικνύεις ἡμῖν, ἵνα ἴδωμεν καὶ πιστεύσωμέν σοι;».

2. Ἐπεὶ οὖν προσεποιοῦντο τότε ἀπὸ ψιλοῦ πείθεσθαι ῥήματος οἱ τοσούτοις μὴ πεισθέντες ἔργοις, ἐλέγχει τὴν πονηρίαν αὐτῶν, λέγων ὅτι, «εἰ τοῖς ἔργοις οὐ πιστεύετε, πῶς τοῖς ῥήμασι πιστεύσετε;». Ὥστε περιττὴ ἡ ἐρώτησις. «Ἀλλ' εἶπον ὑμῖν», φησί, «καὶ οὐ πιστεύετέ μοι, ὅτι οὐκ ἐστὲ ἐκ τῶν προβάτων τῶν ἐμῶν»· ἐγὼ μὲν γὰρ τὰ παρ' ἐμαυτοῦ πάντα ἐπλήρωσα, ἃ τὸν ποιμένα ποιῆσαι ἐχρῆν, εἰ δὲ μὴ ἀκολουθεῖτέ μοι, οὐκ ἐπειδὴ οὐκ εἰμὶ ποιμήν, ἀλλ' ἐπειδὴ ὑμεῖς οὐκ ἐστε πρόβατα τὰ ἐμά· «τὰ γὰρ πρόβατα τὰ ἐμά», φησί, «τῆς φωνῆς μου ἀκούει, καὶ ἀκολουθεῖ μοι· καὶ ζωὴν αἰώνιον δίδωμι αὐτοῖς, καὶ οὐ μὴ ἀπόλωνται

---

7. Ἰω. 9, 16.
8. Ἰω. 10, 21.
9. Ἰω. 3, 2.
10. Ἰω. 4, 29.
11. Ἰω. 7, 31.
12. Ἰω. 6, 30.

ἀλλὰ νὰ τοὺς ἀνεχώμεθα μὲ πολλὴν ἐπιείκειαν καὶ πραότητα.

δέκα πέντε στάδια». Ἀπὸ αὐτὸ γίνεται φανερὸν ὅτι φυσικὸν ἦτο νὰ εὑρίσκοντο ἐκεῖ πολλοὶ ἀπὸ τὰ Ἱεροσόλυμα. Ἀμέσως λοιπὸν ἐπρόσθεσεν ὁ εὐαγγελιστής, ὅτι εὑρίσκοντο πλησίον των πολλοὶ Ἰουδαῖοι παρηγοροῦντες αὐτάς. Καὶ πῶς παρηγόρουν αὐτὰς ποὺ ἠγαπῶντο ἀπὸ τὸν Χριστόν, τὴν στιγμὴν ποὺ εἶχον ἀποφασίσει, ἐὰν κάποιος πιστεύσῃ εἰς τὸν Χριστὸν ν' ἀπομακρύνεται ἀπὸ τὴν συναγωγήν; Ἢ ἐξ αἰτίας τῆς συμφορᾶς, ἢ ἐπειδὴ ἐξετίμων τὴν εὐγένειάν των, ἢ ἦσαν παρόντες ἄνθρωποι χωρὶς κακίαν· διότι πολλοὶ ἀπὸ αὐτοὺς ἐπίστευσαν. Αὐτὰ δὲ τὰ λέγει ὁ Εὐαγγελιστής, διὰ νὰ βεβαιώσῃ ὅτι ὁ Λάζαρος εἶχεν ἀποθάνει.

Καὶ διατί τέλος πάντων ἡ Μάρθα δὲν παίρνει τὴν ἀδελφήν της μαζί της ἐρχομένη νὰ συναντήσῃ τὸν Χριστόν; Θέλει κατ' ἰδίαν νὰ συναντήσῃ τὸν Χριστὸν καὶ νὰ τοῦ ἀναγγείλῃ τὸ γεγονός. Ὅταν ὅμως τῆς ἔδωσε καλὰς ἐλπίδας, τότε πηγαίνει καὶ καλεῖ καὶ τὴν Μαρίαν καὶ συνήντησεν αὐτόν, ἐνῷ ἀκόμη τὸ πένθος εὑρίσκετο εἰς τὸ ἀποκορύφωμά του. Βλέπεις πόσον θερμὴ ἦτο ἡ ἀγάπη της; Αὐτὴ εἶναι ἐκείνη διὰ τὴν ὁποίαν ἔλεγεν· «Ἡ Μαρία δὲ ἐδιάλεξε τὴν καλὴν μερίδα»[6]. Πῶς, λοιπόν, τώρα φαίνεται θερμοτέρα ἡ Μάρθα; Ὄχι θερμοτέρα, ἀλλ' ἐπειδὴ δὲν εἶχε μάθει ἀκόμη τὸν ἐρχομὸν τοῦ Κυρίου· καὶ ἐπειδὴ ἦτο αὐτὴ πνευματικὰ ἀσθενεστέρα· καθ' ὅσον, ἂν καὶ ἤκουσε τόσα πολλὰ περὶ τοῦ Χριστοῦ, ὁμιλεῖ ἀκόμη μὲ ταπεινὰ φρονήματα· «Ἤδη μυρίζει· διότι εἶναι νεκρὸς πρὶν ἀπὸ τέσσαρας ἡμέρας». Ἐνῷ ἡ Μαρία, ἂν καὶ δὲν ἤκουσε τίποτε, δὲν εἶπε τίποτε τὸ παρόμοιον, ἀλλ' ἀμέσως ἐπίστευσε καὶ λέγει· «Κύριε, ἐὰν ἦσουν ἐδῶ δὲν θὰ ἦτο δυνατὸν ν' ἀποθάνῃ ὁ ἀδελφός μου».

3. Βλέπετε πόση εἶναι ἡ φιλοσοφία τῶν γυναικῶν, ἂν καὶ ἡ γνώμη των εἶναι πνευματικὰ ἀτελής; Διότι μόλις εἶδον τὸν Χριστὸν δὲν ἐκσποῦν ἀμέσως εἰς θρήνους οὔτε εἰς κραυγάς, οὔτε εἰς ὀλολυγμοὺς (πρᾶγμα ποὺ πάσχομεν ἡμεῖς, ὅταν ἰδοῦμεν κάποιους γνωστοὺς νὰ μᾶς ἐπισκέπτωνται κατὰ τὴν ὥραν τοῦ πένθους), ἀλλ' ἀμέσως θαυμάζουν τὸν διδάσκαλον. Ἐπίστευσαν βέβαια καὶ αἱ δύο εἰς

ἀλλ' οὐχ ὡς προσῆκεν· οὔπω γὰρ ἀκριβῶς ἠπίσταντο, οὔτε ὅτι Θεὸς ἦν, οὔτε ὅτι οἰκείᾳ δυνάμει καὶ αὐθεντίᾳ ταῦτα ποιεῖ· ἅπερ ἀμφότερα αὐτὰς ἐδίδαξεν. Ὅτι δὲ οὐκ ᾔδεσαν, δῆλον καὶ ἐκ τοῦ εἰπεῖν, «Εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανεν ὁ ἀδελφὸς ἡμῶν», καὶ ἐκ τοῦ ἐπαγαγεῖν· «Ὅσα ἂν αἰτήσῃ τὸν Θεόν, δώσει σοι», ὡς περὶ ἐναρέτου τινὸς καὶ εὐδοκίμου διαλεγόμεναι. Ὅρα δὲ καὶ τί φησιν ὁ Χριστός· «Ἀναστήσεται ὁ ἀδελφός σου». Ἐκεῖνο τέως ἀναιρέπει, τὸ «ὅσα ἂν αἰτήσῃ»· οὐ γὰρ εἶπεν Αἰτῶ', ἀλλὰ τί; «Ἀναστήσεται ὁ ἀδελφός σου». Τὸ μὲν οὖν εἰπεῖν, "Ὦ γύναι, ἔτι κάτω βλέπεις; οὐ δέομαι βοηθείας ἑτέρας, ἀπ' ἐμαυτοῦ πάντα ποιῶ', σφόδρα ἦν φορτικόν, καὶ προσέστη ἂν τῇ γυναικί, νῦν δέ, εἰπών, «Ἀναστήσεται», μέσον ἐποίησεν ἀναγκαίως τὸν λόγον, καὶ διὰ τῶν ἑξῆς δὲ ταῦτα, ἅπερ εἶπον ᾐνίξατο· εἰπούσης γάρ, «Οἶδα ὅτι ἀναστήσεται ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ», σαφέστερον δεικνὺς αὐτοῦ τὴν αὐθεντίαν, λέγει· «Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή», δηλῶν ὅτι οὐ δεῖται ἑτέρου βοηθοῦντος, εἴ γε αὐτός ἐστιν ἡ ζωή. Εἰ δὲ δεῖται ἑτέρου, πῶς ἂν εἴη αὐτὸς ἡ ἀνάστασις καὶ ἡ ζωή; Ἀλλ' οὕτω φανερῶς οὐκ εἶπεν, ᾐνίξατο δὲ αὐτό. Πάλιν δὲ ἐκείνης εἰπούσης, «Ὅσα ἂν αἰτήσῃ», αὐτὸς πάλιν λέγει· «Ὁ πιστεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ, ζήσεται», δεικνὺς ὅτι αὐτός ἐστιν ὁ χορηγὸς τῶν ἀγαθῶν, καὶ παρ' αὐτοῦ δεῖ αἰτεῖν. «Καὶ πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμὲ οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα».

Ὅρα πῶς αὐτῆς ἀνάγει τὸν νοῦν· οὐ γὰρ τοῦτο ἦν τὸ ζητούμενον μόνον, τὸ Λάζαρον ἀναστῆσαι, ἀλλ' ἔδει καὶ ταύτην καὶ τοὺς παρόντας μετ' αὐτῆς τὴν ἀνάστασιν μαθεῖν. Διὰ τοῦτο πρὸ τῆς ἀναστάσεως φιλοσοφεῖ διὰ τῶν ῥημάτων. Εἰ δὲ ἡ ἀνάστασις αὐτός ἐστι καὶ ἡ ζωή, οὐ τόπῳ περικλείεται, ἀλλὰ πανταχοῦ παρὼν οἶδεν ἰᾶσθαι. Εἰ μὲν οὖν εἶπαν

τὸν Χριστόν, ἀλλὰ ὄχι ὅπως ἔπρεπε· διότι ἀκόμη δὲν ἐγνώριζον ἀκριβῶς, οὔτε ὅτι ἦτο Θεός, οὔτε ὅτι μὲ ἰδικήν του δύναμιν καὶ ἐξουσίαν κάμνει αὐτά, πράγματα ποὺ καὶ τὰ δύο της τὰ ἐδίδαξεν. Τὸ ὅτι δὲ δὲν τὸ ἐγνώριζον γίνεται φανερὸν ἀπὸ τοὺς λόγους, «Ἐὰν ἦσουν ἐδῶ, δὲν θὰ ἦτο δυνατὸν ν' ἀποθάνῃ ὁ ἀδελφός μου», καὶ ἀπὸ αὐτὸ ποὺ ἐπρόσθεσαν, «Ὅσα ζητήσεις ἀπὸ τὸν Θεόν, θὰ σοῦ τὰ δώσῃ», ὡσὰν δηλαδὴ νὰ ὡμίλουν διὰ κάποιον ἐνάρετον καὶ διακεκριμένον ἄνθρωπον. Πρόσεχε δὲ καὶ τί λέγει ὁ Χριστός· «θὰ ἀναστηθῇ ὁ ἀδελφός σου». Κατ' ἀρχὴν ἀνατρέπει ἐκεῖνο, τὸ «ὅσα ἂν ζητήσῃς»· διότι δὲν εἶπε, Ζητῶ', ἀλλὰ τί; «Θ' ἀναστηθῇ ὁ ἀδελφός σου». Τὸ νὰ εἰπῇ δηλαδή, 'Γυναῖκα, ἀκόμη κάτω βλέπεις; δὲν ἔχω ἀνάγκην ἀπὸ ἄλλην βοήθειαν, ἀλλὰ μόνος μου τὰ κάνω ὅλα', ἦτο πάρα πολὺ βαρὺ καὶ θὰ ἐστενοχώρει τὴν γυναῖκα, τώρα ὅμως μὲ τὸ νὰ εἰπῇ, «Θ' ἀναστηθῇ», ἐμετρίασε κατ' ἀνάγκην τὸν λόγον, καὶ μὲ τὰ ὅσα λέγει εἰς τὴν συνέχειαν ὑπηνίχθη αὐτὰ ποὺ προανέφερα· διότι ὅταν εἶπεν, «Γνωρίζω, ὅτι θ' ἀναστηθῇ κατὰ τὴν μέλλουσαν ἡμέραν», διὰ νὰ δείξῃ σαφέστερα τὴν ἐξουσίαν του, λέγει, «Ἐγὼ εἶμαι ἡ ἀνάστασις καὶ ἡ ζωή», φανερώνων μὲ αὐτό, ὅτι δὲν ἔχει ἀνάγκην ἀπὸ ἄλλον βοηθόν, ἐφ' ὅσον αὐτὸς εἶναι ἡ ζωή. Ἐὰν ὅμως ἔχῃ ἀνάγκην ἄλλου, πῶς θὰ ἦτο ὁ ἴδιος ἡ ἀνάστασις καὶ ἡ ζωή; Ὅμως δὲν τὸ εἶπε τόσον φανερά, ἀλλὰ τὸ ὑπηνίχθη ἁπλῶς. Ὅταν δὲ πάλιν ἐκείνη εἶπεν, «Ὅσα θὰ ζητήσῃς», αὐτὸς πάλιν λέγει, «Αὐτὸς ποὺ πιστεύει εἰς ἐμένα, καὶ ἂν ἀκόμη ἀποθάνῃ σωματικά, θὰ ζήσῃ», δεικνύων μὲ αὐτό, ὅτι αὐτὸς εἶναι ὁ χορηγὸς τῶν ἀγαθῶν καὶ ἀπὸ αὐτὸν πρέπει νὰ τὰ ζητῇ. «Καὶ ὁ καθένας ποὺ ζῇ ἀκόμη καὶ πιστεύει εἰς ἐμένα δὲν θ' ἀποθάνῃ εἰς τὸν αἰῶνα».

Πρόσεχε πῶς τὴν ἐξυψώνει πνευματικά· διότι δὲν ἦτο αὐτὸς μόνον ὁ σκοπός του, ν' ἀναστήσῃ τὸν Λάζαρον, ἀλλὰ ἔπρεπε καὶ αὐτὴν καὶ αὐτοὺς ποὺ παρευρίσκοντο μὲ αὐτὴν νὰ μάθουν τὴν ἀνάστασιν. Διὰ τοῦτο τοὺς διδάσκει πρὶν ἀπὸ τὴν ἀνάστασιν μὲ λόγια. Ἐὰν δὲ αὐτὸς εἶναι ἡ

ὡς ὁ ἑκατοντάρχης, «Εἰπὲ λόγῳ, καὶ ἰαθήσεται ὁ παῖς μου», τοῦτο ἂν ἐποίησεν, ἐπειδὴ δὲ ἐκάλεσαν αὐτὸν πρὸς ἑαυτάς, καὶ παραγενέσθαι ἠξίωσαν, τούτου ἕνεκεν συγκάτεισιν, ὥστε αὐτὰς ἀναστῆσαι ἀπὸ τῆς ταπεινότητος τῆς περὶ αὐτόν, καὶ παραγίνεται κατὰ τὸν τόπον. Ὅμως καὶ συγκατιὼν δείκνυσι καὶ οὕτως ὅτι καὶ ἀπὼν δύναται θεραπεύειν· διὰ τοῦτο δὴ καὶ βραδύνει· οὐ γὰρ ἂν ἐφάνη ἡ χάρις εὐθέως δοθεῖσα, εἰ μὴ καὶ ἡ δυσωδία προεχώρησε. Καὶ πόθεν ᾔδει ἡ γυνὴ τὴν μέλλουσαν ἀνάστασιν; Ἤκουσε πολλὰ τοῦ Χριστοῦ περὶ ἀναστάσεως λέγοντος, ἀλλ' ὅμως ἐκείνη ἄρτι ἐπεθύμει ἰδεῖν· καὶ ὅρα πῶς κάτω στρέφεται ἔτι· ἀκούσασα γὰρ ὅτι «ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή», οὐδὲ οὕτως εἶπεν· 'Ἀνάστησον αὐτόν', ἀλλὰ τί; «Πιστεύω ὅτι σὺ εἶ ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ».

Τί οὖν ὁ Χριστὸς πρὸς αὐτήν; «Πᾶς ὁ πιστεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ, ζήσεται», τοῦτον τὸν θάνατον λέγων, «καὶ πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμὲ οὐ μὴ ἀποθάνῃ», τὸν θάνατον ἐκεῖνον δηλῶν. Ἐπεὶ οὖν ἐγώ εἰμι ἡ ἀνάστασις, μὴ θορυβηθῇς, εἰ καὶ τέθνηκεν ἤδη, ἀλλὰ πίστευε· οὐ γάρ ἐστι τοῦτο θάνατος. Τέως αὐτὴν ἐπὶ τῷ συμβεβηκότι παρεμυθήσατο, καὶ ἐλπίδας ὑπέφηνε, καὶ τῷ εἰπεῖν ὅτι «ἀναστήσεται», καὶ τῷ εἰπεῖν «Ἐγώ εἰμι ἡ ἀνάστασις», καὶ ὅτι ἀναστάς, κἂν πάλιν ἀποθάνῃ, οὐδὲν πείσεται. Ὥστε οὐ χρὴ φρίττειν τοῦτον τὸν θάνατον. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, ὅτι 'οὔτε οὗτος τέθνηκεν, οὔτε ὑμεῖς τεθνήξεσθε'. Πιστεύεις τοῦτο; Λέγει ἐκείνη· Πιστεύω ὅτι σὺ εἶ ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ εἰς τὸν κόσμον ἐρχόμενος». Δοκεῖ μοι μὴ συνιέναι τὸ γύναιον τὸ λεχθέν. Ἀλλ' ὅτι μὲν μέγα τι ἦν συνεῖδεν, οὐ μὴν κατενόησε τὸ πᾶν· διὰ τοῦτο, ἕτερον ἐρω-

7. Ματθ. 8, 8.

ἀνάστασις καὶ ἡ ζωή, δὲν περιορίζεται εἰς ἕνα τόπον, ἀλλὰ εὑρισκόμενος παντοῦ, γνωρίζει νὰ θεραπεύῃ. Ἐὰν βέβαια τοῦ ἔλεγον ὅπως ὁ ἑκατοντάρχης, «Εἰπὲ μόνον ἕνα λόγον καὶ θὰ θεραπευθῇ ὁ δοῦλος μου»[7], θὰ ἠμποροῦσε νὰ τὸ 'κάμῃ αὐτό, ἐπειδὴ ὅμως ἐκάλεσαν αὐτὸν εἰς τὴν οἰκίαν των καὶ ἐζήτησαν νὰ ἔλθῃ, ἐξ αἰτίας αὐτοῦ ἔρχεται, ὥστε νὰ ἀπαλλάξῃ αὐτὰς ἀπὸ τὴν ταπεινὴν σκέψιν δι' αὐτὸν καὶ ἔρχεται εἰς τὸ μέρος ἐκεῖνο. Ὅμως ἂν καὶ ἔρχεται δείχνει καὶ μ' αὐτό, ὅτι ἠμπορεῖ καὶ ἀπὼν νὰ θεραπεύσῃ· διὰ τοῦτο λοιπὸν καὶ ἀργοπορεῖ· διότι δὲν θὰ ἐφαίνετο ἡ χάρις δοθεῖσα ἀμέσως, ἐὰν δὲν ἐπροχωροῦσε καὶ ἡ δυσωδία τοῦ νεκροῦ. Καὶ ἀπὸ ποῦ ἐγνώριζεν ἡ γυναῖκα τὴν ἀνάστασιν ποὺ ἐπρόκειτο νὰ γίνῃ; Ἤκουσε πολλὰ ἀπὸ τὸν Χριστὸν νὰ λέγῃ περὶ ἀναστάσεως, ἀλλ' ὅμως ἐκείνη ἐπεθύμει τώρα νὰ τὴν ἰδῇ. Καὶ πρόσεχε πῶς ἀκόμη σκέπτεται γήϊνα· διότι ἀκούσασα ὅτι «Ἐγὼ εἶμαι ἡ ἀνάστασις καὶ ἡ ζωή», δὲν εἶπε 'Ἀνάστησε αὐτόν', ἀλλὰ τί λέγει; «Πιστεύω, ὅτι σὺ εἶσαι ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ».

Τί λέγει λοιπὸν ὁ Χριστὸς πρὸς αὐτήν; «Ὁ καθένας ποὺ πιστεύει εἰς ἐμένα, καὶ ἂν ἀκόμη ἀποθάνῃ, θὰ ζήσῃ», ἐννοῶν αὐτὸν τὸν θάνατον, «καὶ ὁ καθένας ποὺ εὑρίσκεται εἰς αὐτὴν τὴν ζωὴν καὶ πιστεύει εἰς ἐμένα δὲν θὰ πεθάνῃ», δηλῶν τὸν θάνατον ἐκεῖνον. Ἀφοῦ λοιπὸν ἐγὼ εἶμαι ἡ ἀνάστασις, μὴ θορυβηθῇς, ἂν καὶ ἀπέθανεν ἤδη, ἀλλὰ πίστευε· διότι αὐτὸ δὲν εἶναι θάνατος. Πρῶτα παρηγόρησεν αὐτὴν διὰ τὸ συμβὰν καὶ τῆς ἔδωσεν ἐλπίδας καὶ μὲ τὸ νὰ εἰπῇ ὅτι «θὰ ἀναστηθῇ» καὶ μὲ τὸ νὰ εἰπῇ «Ἐγὼ εἶμαι ἡ ἀνάστασις», καὶ ὅτι θὰ ἀναστηθῇ, καὶ ἂν ἀκόμη ἀποθάνῃ, δὲν θὰ πάθῃ τίποτε. Ὥστε δὲν πρέπει νὰ νοιώθῃ φρίκην δι' αὐτὸν τὸν θάνατον. Αὐτὸ δὲ ποὺ λέγει, σημαίνει τὸ ἑξῆς, ὅτι 'οὔτε αὐτὸς ἔχει ἀποθάνει, οὔτε σεῖς θ' ἀποθάνετε'. «Τὸ πιστεύεις αὐτό; Λέγει ἐκείνη· Πιστεύω ὅτι σὺ εἶσαι ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ, ποὺ ἐπρόκειτο νὰ ἔλθῃ εἰς τὸν κόσμον». Ἔχω τὴν γνώμην ὅτι ἡ γυναῖκα δὲν ἀντελήφθη τὸ νόημα τῶν λόγων τοῦ Χριστοῦ. Ἀλλ' ὅτι μὲν ἐσήμαινε κάτι τὸ σπουδαῖον τὸ ἀντελήφθη, δὲν ἀντελήφθη

τηθεῖσα, ἕτερον ἀποκρίνεται. Τέως μέντοι ἐκεῖνο ἐκέρδανε, τὸ καταλῦσαι τὸ πένθος· τοιαύτη γὰρ τῶν τοῦ Χριστοῦ λόγων ἡ δύναμις. Διὰ τοῦτο καὶ ἐκείνη προέφθασε καὶ αὕτη ἠκολούθησεν· ἡ γὰρ εἰς τὸν διδάσκαλον εὔνοια τοῦ παρόντος οὐ σφόδρα αἰσθάνεσθαι συνεχώρει. Ὥστε μετὰ τῆς χάριτος καὶ ἡ γνώμη τῶν γυναικῶν φιλόσοφος ἦν.

4. Ἀλλὰ νῦν μετὰ τῶν ἄλλων κακῶν καὶ τοῦτο τῶν γυναικῶν τὸ νόσημα κρατεῖ· ἐπίδειξιν γὰρ ἐν τοῖς θρήνοις ποιοῦνται καὶ τοῖς κωκυτοῖς γυμνοῦσαι βραχίονας, σπαράττουσαι τρίχας, χαράδρας ποιοῦσαι κατὰ τῶν παρειῶν. Καὶ τοῦτο ποιοῦσιν, αἱ μὲν ὑπὸ πένθους, αἱ δὲ ὑπὸ ἐπιδείξεως καὶ φιλοτιμίας, αἱ δὲ ὑπὸ ἀσωτίας· καὶ τοὺς βραχίονας γυμνοῦσιν, ἐν ὄψεσι καὶ ταῦτα ἀνδρῶν. Τί ποιεῖς, ὦ γύναι; γυμνοῖς σεαυτὴν ἀσχημόνως, εἰπέ μοι, ἐπὶ μέσης τῆς ἀγορᾶς, τοῦ Χριστοῦ μέλος οὖσα, ἀνδρῶν παρόντων κατὰ τὴν ἀγοράν; καὶ τρίχας τίλλεις, καὶ διασχίζεις ἐσθῆτα, καὶ μέγα κωκύεις, καὶ χορὸν περιϊστᾷς, καὶ μαινάδων γυναικῶν εἰκόνα διασώζεις, καὶ οὐχ ἡγῇ τῷ Θεῷ προσκρούειν; Πόσης ταῦτα μανίας; ἆρ' οὐ γελάσονται Ἕλληνες; ἆρ' οὐ μύθους τὰ ἡμέτερα εἶναι νομίσουσιν; Ἐροῦσι γάρ· Οὐκ ἔστιν ἀνάστασις, ἀλλὰ χλεύη τὰ τῶν Χριστιανῶν, ἀπάτη, καὶ συσκευή· καθάπερ γὰρ οὐδενὸς ὄντος μετὰ ταῦτα, οὕτω κωκύουσιν αἱ παρ' αὐτοῖς γυναῖκες· οὐ προσέχουσι τοῖς ῥήμασι, τοῖς ἐν τοῖς βιβλίοις αὐτῶν κεχαραγμένοις. Πλάσματα ἐκεῖνα πάντα, καὶ δηλοῦσιν αὗται· εἰ γὰρ ἐπίστευον ὅτι ὁ τετελευτηκὼς οὐ τετελεύτηκεν, ἀλλ' ἐπὶ βελτίονα ζωὴν μετέστη, οὐκ ἂν αὐτὸν ὡς οὐκ ἔτι ὄντα ἐθρήνησαν, οὐκ ἂν οὕτω κατεκόπτοντο, οὐκ ἂν τοιαύτας ἀφῆκαν φωνάς, ἀπιστίας γεμούσας· Οὐκ ἔτι σε ὄψομαι, οὐκ ἔτι σε ἀπολή-

ὅμως τὸ ὅλον νόημα αὐτοῦ· διὰ τοῦτο, ἄλλο ἠρωτήθη καὶ ἄλλην ἀπάντησιν δίδει. Κατ' ἀρχὴν λοιπὸν ἐκεῖνο ἦτο τὸ κέρδος της, ἡ κατάπαυσις τοῦ πένθους της· διότι τέτοια εἶναι ἡ δύναμις τῶν λόγων τοῦ Χριστοῦ. Διὰ τοῦτο καὶ ἐκείνη ἐπρόλαβε καὶ αὐτὴ ἠκολούθησεν· διότι ἡ συμπάθειά των πρὸς τὸν διδάσκαλον δὲν ἐπέτρεπε νὰ σκέπτωνται τὸ συμβὰν εἰς μεγάλον βαθμόν. Ὥστε μαζὶ μὲ τὴν χάριν τοῦ Θεοῦ καὶ ἡ σκέψις τῶν γυναικῶν ἦτο φιλοσοφημένη.

4. Ἀλλὰ τώρα μαζὶ μὲ τὰ ἄλλα κακὰ ἐπικρατεῖ καὶ αὐτὸ τὸ νόσημα τῶν γυναικῶν· κάμνουν δηλαδὴ ἐπίδειξιν εἰς τοὺς θρήνους καὶ εἰς τὰς κραυγάς, γυμνώνουν τοὺς βραχίονας, τραβοῦν τὰ μαλλιά των, ξεσχίζουν τὰ μάγουλά των. Καὶ αὐτὸ τὸ κάμνουν ἄλλαι μὲν ἐξ αἰτίας τοῦ πένθους, ἄλλαι δὲ ἀπὸ ἐπίδειξιν καὶ ἀνταγωνισμόν, καὶ ἄλλαι ἀπὸ ἀσωτίαν· ἀπογυμνώνουν τοὺς βραχίονάς των καὶ ὅλα αὐτὰ τὴν στιγμὴν ποὺ εἶναι παρόντες καὶ ἄνδρες. Τί κάμνεις, γυναῖκα; γυμνώνεσαι καὶ ἀσχημονεῖς, εἰπέ μου, εἰς τὸ μέσον τῆς ἀγορᾶς, ἐνῷ εἶσαι μέλος τοῦ Χριστοῦ καὶ εἶναι παρόντες εἰς τὴν ἀγορὰν ἄνδρες; καὶ μαδᾷς τὰ μαλλιά σου καὶ ξεσχίζεις τὰ ἐνδύματά σου καὶ βγάζεις μεγάλας κραυγὰς καὶ σχηματίζεις γύρω σου χορὸν καὶ παρουσιάζεις εἰκόνα μαινάδων γυναικῶν καὶ δὲν νομίζεις ὅτι προσκρούεις εἰς τὸν Θεόν; Πόσης μανίας δείγματα εἶναι αὐτά; ἆρά γε δὲν θὰ γελάσουν οἱ ἐθνικοί; ἆρά γε δὲν θὰ θεωρήσουν τὰ τῆς πίστεώς μας μύθους; Διότι θὰ εἰποῦν· Δὲν ὑπάρχει ἀνάστασις, ἀλλὰ τὰ τῶν Χριστιανῶν εἶναι ἐμπαιγμοί, ἀπάτη καὶ ψευδεῖς ἐπινοήσεις· διότι αἱ γυναῖκες των θρηνοῦν καὶ κραυγάζουν ὡσὰν νὰ μὴ ὑπάρχῃ τίποτε μετὰ τὸν θάνατον, δὲν προσέχουν τὰ λόγια ποὺ εἶναι γραμμένα εἰς τὰ βιβλία των. Ὅλα ἐκεῖνα εἶναι φαντασίαι καὶ τὸ ἀποδεικνύουν αὐταί· διότι, ἐὰν ἐπίστευον, ὅτι δὲν ἀπέθανεν αὐτὸς ποὺ ἔχει ἀποθάνει, ἀλλ' ὅτι μετέβη εἰς ἄλλην καλυτέραν ζωήν, δὲν θὰ ἐθρηνοῦσαν αὐτὸν ὡσὰν νὰ μὴ ὑπάρχῃ πλέον, δὲν θὰ ἐθρηνοῦσαν τόσον πολύ, δὲν θὰ ἔβγαζαν τέτοιας κραυγάς, γεμάτας ἀπὸ ἀπιστίαν· Δὲν θὰ σὲ ἰδῶ πλέον, δὲν θὰ σὲ ξαναφέρω πίσω! Μῦθος εἶναι ὅλα

ψομαι!». Μῦθος ἅπαντα τὰ παρ' αὐτοῖς. Εἰ δὲ τὸ κεφάλαιον τῶν ἀγαθῶν οὕτω διαπιστεῖται, πολλῷ μᾶλλον καὶ τὰ ἄλλα τὰ παρ' αὐτοῖς σεμνά'.

Οὐχ οὕτως Ἕλληνες γυναικίζονται· πολλοὶ παρ' αὐτοῖς ἐφιλοσόφησαν. Καὶ ἀκούσασα Ἑλληνὶς γυνὴ περὶ παιδός, ἐν πολέμῳ πεσόντος, εὐθέως ἤρετο· 'Τὰ δὲ τῆς πόλεως πῶς διάκειται πράγματα;' καὶ ἄλλος φιλόσοφος ἐστεφανωμένος, ἐπειδὴ ἤκουσεν ὅτι ὑπὲρ τῆς πατρίδος ὁ παῖς ἔπεσεν, ἀφελόμενος τὸν στέφανον, καὶ ἐρόμενος ὁπότερος τοῖν δυοῖν, ἐπειδὴ ἔμαθε τὸν πεσόντα, τὸν στέφανον εὐθὺς πάλιν ἐπέθηκε. Πολλοὶ δὲ καὶ υἱεῖς καὶ θυγατέρας ἐπέδωκαν εἰς σφαγήν, δαίμονας τιμῶντες. Αἱ δὲ Λακωνικαὶ γυναῖκες καὶ παραινοῦσι τοῖς παισίν, ἢ τὴν ἀσπίδα διασῶσαι ἐκ τοῦ πολέμου, ἢ ἐπ' αὐτῆς ἐνεχθῆναι νεκρόν. Διὰ ταῦτα αἰσχύνομαι ὅτι Ἕλληνες τοιαῦτα φιλοσοφοῦσιν, ἡμεῖς δὲ ἀσχημονοῦμεν. Οἱ περὶ ἀναστάσεως οὐδὲν εἰδότες τὰ τῶν εἰδότων πράττουσιν, οἱ δὲ εἰδότες τὰ τῶν ἀγνοούντων. Πολλοὶ καὶ ὃ διὰ Θεὸν οὐ ποιοῦσι, τοῦτο δι' ἀνθρώπων αἰδῶ πράττουσι πολλάκις· αἱ γὰρ εὐπορώτεραι τῶν γυναικῶν τρίχας οὐ τίλλουσιν, οὐ βραχίονας γυμνοῦσιν· ὃ καὶ αὐτὸ κατηγορίας ἐσχάτης, οὐκ ἐπειδὴ οὐ γυμνοῦσιν, ἀλλ' ἐπειδὴ οὐ δι' εὐλάβειαν αὐτὸ πράττουσιν, ἀλλὰ διὰ τὸ μὴ δόξαι καταισχύνειν ἑαυτάς. Εἶτα αἰδὼς μὲν πένθους κρατεῖ, ὁ δὲ τοῦ Θεοῦ φόβος οὐ κρατεῖ; καὶ πῶς οὐκ ἐσχάτης ταῦτα κατηγορίας ἄξια; Ἐχρῆν οὖν, ὃ ποιοῦσιν αἱ πλουτοῦσαι διὰ τὸν πλοῦτον, τὰς πενομένας διὰ τὸν τοῦ Θεοῦ φόβον ποιεῖν. Νῦν

τὰ διδάγματά των. 'Εὰν δὲ ἔτσι ἀμφισβητῆται τὸ ἀποκορύφωμα τῶν ἀγαθῶν, πολὺ περισσότερον καὶ τὰ ἄλλα τὰ σεμνὰ αὐτῶν'.

'Αλλ' ὅμως οἱ Ἕλληνες δὲ προβαίνουν εἰς τέτοιου εἴδους γυναικείας μικροπρεπείας· πολλοὶ ἀπὸ αὐτοὺς ἐπέδειξαν φιλοσοφικότητα. Ὅταν δηλαδὴ κάποια Ἑλληνίδα ἤκουσε διὰ τὸν υἱόν της ὅτι ἐφονεύθη εἰς τὸν πόλεμον, ἀμέσως ἠρώτησεν· 'Τὰ πράγματα τῆς πόλεως εἰς ποίαν κατάστασιν εὑρίσκονται;'. Καὶ κάποιος ἄλλος φιλόσοφος ποὺ ἔφερε στέφανον, ὅταν ἤκουσεν ὅτι ὁ υἱός του ἔπεσε ὑπὲρ τῆς πατρίδος, ἀφοῦ ἀφήρησε τὸν στέφανον καὶ ἠρώτησε, ποῖος ἀπὸ τοὺς δύο, ὅταν ἔμαθε τὸ ὄνομα τοῦ πεσόντος, ἀμέσως ἔθεσε καὶ πάλιν τὸν στέφανον εἰς τὴν κεφαλήν του. Πολλοὶ δὲ καὶ υἱοὺς καὶ θυγατέρας παρέδωσαν εἰς τὴν σφαγήν, τιμῶντες δαίμονας. Αἱ δὲ Σπαρτιάδες γυναῖκες καὶ διδάσκουν τοὺς υἱούς των ἢ νὰ διασώσῃ τὴν ἀσπίδα εἰς τὸν πόλεμον, ἢ νὰ τὸν φέρουν νεκρὸν ἐπάνω εἰς αὐτήν. Καὶ ἀκριβῶς δι' αὐτὸ ἐντρέπομαι, διότι οἱ Ἕλληνες ἐπιδεικνύουν τέτοιου εἴδους φιλοσοφικότητα, ἐνῷ ἡμεῖς ἀσχημονοῦμεν. Ἐκεῖνοι ποὺ δὲν γνωρίζουν τίποτε περὶ ἀναστάσεως, πράττουν τὰ ἔργα ἐκείνων ποὺ γνωρίζουν, ἐνῷ οἱ γνωρίζοντες πράττουν τὰ ἔργα ἐκείνων ποὺ δὲν γνωρίζουν. Πολλοὶ καὶ ἐκεῖνο ποὺ δὲν τὸ κάμνουν χάριν τοῦ Θεοῦ, αὐτὸ τὸ κάμνουν πολλὲς φορὲς ἀπὸ ἐντροπὴν πρὸς τοὺς ἀνθρώπους· αἱ πλουσιώτεραι δηλαδὴ ἀπὸ τὰς γυναῖκας δὲν μαδοῦν τὰ μαλλιά των καὶ δὲν γυμνώνουν τοὺς βραχίονάς των, πρᾶγμα ποὺ εἶναι ἄξιον τῆς πιὸ βαρείας κατηγορίας, ὄχι ἐπειδὴ δὲν τοὺς γυμνώνουν, ἀλλ' ἐπειδὴ δὲν τὸ κάμνουν αὐτὸ ἀπὸ εὐλάβειαν, ἀλλὰ διὰ νὰ μὴ φανοῦν ὅτι καταισχύνουν τὸν ἑαυτόν των. Ὥστε λοιπὸν ἡ μὲν ἐντροπὴ συγκρατεῖ τὸ πένθος, ὁ δὲ φόβος τοῦ Θεοῦ δὲν τὸ συγκρατεῖ; καὶ πῶς αὐτὰ δὲν εἶναι ἄξια τῆς πιὸ φοβερῆς κατηγορίας; Ἔπρεπε λοιπόν, αὐτὸ ποὺ κάμνουν αἱ πλούσιαι ἐξ αἰτίας τοῦ πλούτου, νὰ τὸν κάμνουν αἱ πτωχαὶ διὰ τὸν φόβον τοῦ Θεοῦ. Τώρα ὅμως συμβαί-

δὲ πάντα ἀπ' ἐναντίας, κἀκεῖνα διὰ κενοδοξίαν φιλοσοφοῦσι, καὶ αὗται διὰ μικροψυχίαν ἀσχημονοῦσι.

Τί ταύτης τῆς ἀνωμαλίας χεῖρον; Πάντα δι' ἀνθρώπους, πάντα διὰ τὰ ἐνταῦθα πράττομεν. Καὶ ῥήματα παραφροσύνης γέμοντα φθέγγονται καὶ πολλοῦ γέλωτος. Καὶ ὁ μὲν Κύριός φησι, «Μακάριοι οἱ πενθοῦντες», τοὺς τὰ ἁμαρτήματα πενθοῦντας λέγων, καὶ οὐδεὶς ἐκεῖνο πενθεῖ τὸ πένθος, οὐδὲ φροντίζει τῆς ψυχῆς ἀπολωλυίας, τοῦτο δὲ οὐκ ἐκελεύσθημεν πράττειν, καὶ πράττομεν. Τί οὖν; φησί· καὶ ἄνθρωπον ὄντα ἔνι μὴ δακρύειν; Οὐδὲ ἐγὼ τοῦτο κωλύω, ἀλλὰ κωλύω τὸ κόπτεσθαι, τὸ ἀμέτρως τοῦτο ποιεῖν. Οὐκ εἰμι θηριώδης, οὐδὲ ἀπηνής· οἶδα ὅτι ἡ φύσις ἐλέγχεται, καὶ ἐπιζητεῖ τὴν συνήθειαν καὶ τὴν ὁμιλίαν τὴν καθημερινήν. Οὐκ ἔνεστι μὴ λυπεῖσθαι. Τοῦτο καὶ ὁ Χριστὸς ἔδειξεν· ἐδάκρυσε γὰρ ἐπὶ τοῦ Λαζάρου. Τοῦτο καὶ σὺ ποίησον· δάκρυσον, ἀλλ' ἠρέμα, ἀλλὰ μετὰ εὐσχημοσύνης, ἀλλὰ μετὰ τοῦ φόβου τοῦ Θεοῦ. Ἂν δακρύσῃς οὕτως, οὐχ ὡς τῇ ἀναστάσει διαπιστῶν τοῦτο ποιεῖς, ἀλλ' ὡς οὐ φέρων τὸν χωρισμόν.

5. Ἐπεὶ καὶ τοὺς ἀποδημοῦντας καὶ ἀναχωροῦντας δακρύομεν, ἀλλ' οὐ ποιοῦμεν τοῦτο ὡς ἀπογινώσκοντες· οὕτω καὶ σὺ δάκρυσον, ὡς ἀποδημοῦντα προπέμπων. Ταῦτα οὐ νομοθετῶν λέγω, ἀλλὰ συγκατιών. Εἰ μὲν γὰρ ἁμαρτωλὸς ὁ τεθνηκὼς καὶ πολλὰ τῷ Θεῷ προσκεκρουκώς, δεῖ δακρύειν, μᾶλλον δὲ οὐδὲ δακρύειν μόνον (τοῦτο γὰρ οὐδὲν ὄφελος ἐκείνῳ), ἀλλὰ ποιεῖν τὰ δυνάμενα τινὰ παραμυθίαν αὐτῷ περιποιῆσαι, ἐλεημοσύνας καὶ προσφορὰς (δεῖ δὲ καὶ ἐπὶ τούτῳ χαίρειν, ὅτι ἐνεκόπη τὰ τῆς κακίας αὐτῷ), εἰ δὲ δίκαιος, ἀγάλλεσθαι πλέον ὅτι ἐν ἀσφαλείᾳ τὰ ἐκείνου κεῖ-

8. Ματθ. 5, 4.

νουν ὅλα ἀντίθετα, καὶ ἐκεῖναι ἀπὸ ματαιοδοξίαν δείχνουν ἐγκαρτέρησιν, καὶ αὐταὶ ἀπὸ μακροψυχίαν ἀσχημονοῦν.

Τί χειρότερον ὑπάρχει ἀπὸ αὐτὴν τὴν ἀνωμαλίαν; Ὅλα τὰ κάμνομεν διὰ τοὺς ἀνθρώπους, ὅλα τὰ κάμνομεν διά τὰ ἐδῶ. Καὶ λέγονται λόγια γεμᾶτα ἀπὸ παραφροσύνην καὶ ἄξια πολλοῦ γέλωτος. Καὶ ὁ μὲν Κύριος λέγει, «Μακάριοι οἱ πενθοῦντες»[8], ἐννοῶν αὐτούς ποὺ πενθοῦν διὰ τὰ ἁμαρτήματά των, καὶ κανεὶς δὲν πενθεῖ ἐκεῖνο τὸ πένθος οὔτε φροντίζει διὰ τὴν ψυχήν του ποὺ ἔχει χαθῇ, ἐνῷ αὐτὸ τὸ πένθος δὲν ἐλάβομεν ἐντολὴν νά τὸ πράττωμεν, καὶ τὸ πράττομεν˙ Τί λοιπόν; λέγει˙ ἠμπορεῖ κανεὶς νὰ μὴ δακρύζῃ τὴν στιγμὴν ποὺ εἶναι ἄνθρωπος; Οὔτε ἐγὼ τὸ ἐμποδίζω αὐτό, ἀλλ᾽ ἐμποδίζω τοὺς κοπετούς, τὸ νά τὸ κάμνῃ κανεὶς αὐτὸ εἰς ὑπερβολικὸν βαθμόν. Δὲν εἶμαι σκληρόψυχος, οὔτε σκληρός˙ γνωρίζω ὅτι ἡ φύσις ἐλέγχεται καὶ ἐπιζητεῖ τὴν συνήθειαν καὶ τὴν καθημερινὴν συναναστροφήν. Δὲν εἶναι δυνατὸν νὰ μὴ λυπῆται κανείς. Αὐτὸ τὸ ἀπέδειξε καὶ ὁ Χριστός˙ διότι ἐδάκρυσε πρὸ τοῦ Λαζάρου. Αὐτὸ κάμε καὶ σύ˙ δάκρυσε, ἀλλὰ ἥρεμα, μὲ εὐπρέπειαν καὶ μὲ φόβον Θεοῦ. Ἂν δακρύσῃς ἔτσι, τὸ κάμνεις αὐτὸ ὄχι ὡσὰν νὰ δυσπιστῇς εἰς τὴν ἀνάστασιν, ἀλλά ὡς μὴ ὑποφέρων τὸν χωρισμόν.

5. Βέβαια δακρύζομεν καὶ δι᾽ αὐτοὺς ποὺ ἀποδημοῦν καὶ ἀναχωροῦν διὰ ξένην χώραν, ἀλλὰ δὲν τὸ κάμνομεν αὐτὸ ὡσὰν ἀπελπισμένοι˙ ἔτσι καὶ σὺ δάκρυσε, ὡσὰν νὰ ἀποστέλλῃς ἀποδημοῦντα. Αὐτὰ δὲν τὰ λέγω ὑπὸ μορφὴν νόμου, ἀλλὰ ὡσὰν ὑπόδειξιν. Διότι ἐὰν μὲν εἶναι ἁμαρτωλὸς ὁ ἀποθανὼν καὶ διέπραξε πολλὰ παραπτώματα ἀπέναντι εἰς τὸν Θεόν, πρέπει νὰ δακρύζωμεν, μᾶλλον δὲ ὄχι μόνον νὰ δακρύζωμεν (διότι αὐτὸ δὲν τὸν ὠφελεῖ ἐκεῖνον εἰς τίποτε), ἀλλὰ νὰ κάμνωμεν ἐκεῖνα ποὺ ἠμποροῦν νὰ δώσουν εἰς ἐκεῖνον κάποιαν παρηγορίαν, ὅπως ἐλεημοσύνας καὶ προσφορὰς (πρέπει δὲ καὶ δι᾽ αὐτὸ νὰ χαίρωμεν, διότι ἔλαβον τέλος εἰς αὐτὸν τὰ τῆς κακίας), ἐὰν δὲ εἶναι δίκαιος, πρέπει νὰ χαιρώμεθα ἐπὶ πλέον, διότι εὑρίσκονται τὰ κέρδη ἐκείνου εἰς ἀσφάλειαν καὶ ἔχει ἀ-

ται, καὶ ἀπήλλακται τῆς τοῦ μέλλοντος ἀδηλίας· ἂν μὲν νέος, ὅτι ταχέως ἀπηλλάγη τῶν ἐν τῷ μέσῳ κακῶν, ἂν δὲ πρεσβύτης, ὅτι, ὃ δοκεῖ ποθεινὸν εἶναι, τοῦτο μετὰ κόρου λαβὼν ἀπῆλθε. Σὺ δέ, ταῦτα ἀφεῖσα λογίζεσθαι, τὰς θεραπαινίδας κατακόπτεσθαι παρορμᾷς, ὡς δῆθεν τιμῶσα τὸν ἀπελθόντα, ὅπερ ἐσχάτης ἐστὶν ἀτιμίας· ἡ γὰρ τιμὴ τῷ τετελευτηκότι οὐ θρῆνοι καὶ οἰμωγαί, ἀλλ' ὕμνοι καὶ ψαλμῳδίαι καὶ βίος ἄριστος· ἐκεῖνος μὲν γὰρ ἀπελθὼν μετ' ἀγγέλων ἀπελεύσεται, κἂν μηδεὶς παρατύχῃ τῷ λειψάνῳ, ὁ δὲ διεφθαρμένος, κἂν τὴν πόλιν ἔχῃ προπέμπουσαν, οὐδὲν καρπώσεται.

Βούλει τιμῆσαι τὸν ἀπελθόντα; Ἑτέρως τίμησον, ἐλεημοσύνας ποιῶν, εὐεργεσίας, λειτουργίας. Τί τὸ ὄφελος ἀπὸ τῶν πολλῶν ὀδυρμῶν; Ἐγὼ δὲ καὶ ἕτερον ἤκουσα χαλεπόν, ὅτι δὴ πολλαὶ καὶ ἐραστὰς ἐπισπῶνται διὰ τῶν θρήνων, τῇ θερμότητι τῶν κοπετῶν φιλανδρίας δόξαν ἑαυταῖς κατασκευάζουσαι. Ὢ διαβολικῆς ἐπινοίας! ὢ σατανικῆς ἐφευρέσεως! μέχρι πότε γῆ καὶ σποδὸς ἡμεῖς, μέχρι πότε αἷμα καὶ σάρκες; Ἀναβλέψωμεν εἰς τοὺς οὐρανούς, λάβωμεν ἔννοιαν τῶν πνευματικῶν. Πῶς Ἕλλησιν ἐπιτιμῆσαι δυνησόμεθα; πῶς παραμυθήσασθαι, τοιαῦτα ποιοῦντες; πῶς αὐτοῖς περὶ ἀναστάσεως διαλεξόμεθα; πῶς περὶ τῆς ἄλλης φιλοσοφίας; πῶς αὐτοὶ βιωσόμεθα μετ' ἀδείας; οὐκ οἶδας ὅτι ἀπὸ λύπης ἐκβαίνει θάνατος; σκοτίζουσα γὰρ τὸ διορατικὸν τῆς ψυχῆς, οὐ μόνον οὐδὲν ἀφίησιν ἰδεῖν τῶν δεόντων, ἀλλὰ καὶ πολὺ τὸ βλάβος ἐργάζεται. Ἐκείνως μὲν οὖν καὶ τῷ Θεῷ προσκρούομεν, καὶ οὔτε ἑαυτούς, οὔτε τὸν ἀπελθόντα ὠφελοῦμεν, οὕτω δὲ καὶ τῷ Θεῷ εὐαρεστοῦμεν, καὶ παρὰ ἀνθρώποις εὐδοκιμοῦμεν· ἐὰν γὰρ μὴ καταπέσω-

παλλαγῆ ἀπὸ τὴν μέλλουσαν ἀβεβαιότητα· ἂν μὲν εἶναι νέος, διότι ἀπηλλάγη ἀμέσως ἀπὸ τὰ κακὰ τοῦ κόσμου, ἂν δὲ γέρων, διότι, ἀνεχώρησε διὰ τὴν ἄλλην ζωὴν ἀφοῦ ἔλαβε μὲ ὑπεραφθονίαν αὐτὸ ποὺ ποθεῖ ὁ κάθε ἄνθρωπος. Σὺ ὅμως, ἀφήσασα κατὰ μέρος αὐτὰς τὰς σκέψεις, προτρέπεις τὰς ὑπηρετρίας νὰ θρηνολογοῦν, ὡσὰν δῆθεν νὰ τιμᾷς τὸν ἀποθανόντα, πρᾶγμα ποὺ εἶναι δεῖγμα μεγίστης ἀτιμίας· διότι ἡ τιμὴ διὰ τὸν ἀποθανόντα δὲν εἶναι οἱ θρῆνοι καὶ αἱ κραυγαί, ἀλλὰ ὕμνοι καὶ ψαλμῳδίαι καὶ βίος ἄριστος· καθ' ὅσον ἐκεῖνος μὲν ἀποθνήσκων, ἀναχωρεῖ διὰ τὴν ἄλλην ζωὴν μαζὶ μὲ τοὺς ἀγγέλους, καὶ ἂν ἀκόμη δὲν παρευρεθῇ κανεὶς κοντὰ εἰς τὸ λείψανόν του, ἐνῷ ὁ διεφθαρμένος, καὶ ἂν ἀκόμη ἔχῃ ὅλην τὴν πόλιν νὰ τὸν ἀποστέλλῃ, δὲν θὰ ἔχῃ κανένα ὄφελος.

Θέλεις νὰ τιμήσῃς τὸν ἀποθανόντα, τίμησέ τον μὲ ἄλλον τρόπον, κάμνων ἐλεημοσύνας, εὐεργεσίας, λειτουργίας. Ποῖον τὸ ὄφελος ἀπὸ τοὺς πολλοὺς ὀδυρμούς; Ἐγὼ δὲ ἤκουσα καὶ ἄλλο φοβερόν, ὅτι δηλαδὴ πολλαὶ προσελκύουν μὲ τοὺς θρήνους των καὶ ἐραστάς, καθ' ὅσον προσπαθοῦν μὲ τοὺς ὑπερβολικοὺς θρήνους των νὰ δώσουν τὴν ἐντύπωσιν διὰ τὸν ἑαυτόν των ὅτι ἀγαποῦν τὸν σύζυγόν των. Τί διαβολικὴ ἐπινόησις, τί σατανικὴ ἐφεύρεσις! μέχρι πότε θὰ εἴμεθα γῆ καὶ στάκτη, μέχρι πότε αἷμα καὶ σάρκες; Ἂς στρέψωμεν τὰ βλέμματά μας πρὸς τὸν οὐρανὸν καὶ ἂς σκεφθῶμεν τὰ πνευματικά. Πῶς θὰ ἠμπορέσωμεν νὰ ἐπιτιμήσωμεν τοὺς Ἐθνικούς; πῶς θὰ τοὺς παρηγορήσωμεν, ὅταν κάμνωμεν τέτοια; πῶς θὰ τοὺς ὁμιλήσωμεν περὶ τῆς ἀναστάσεως; πῶς περὶ τῆς ἄλλης εὐσεβείας; πῶς οἱ ἴδιοι θὰ ζήσωμεν χωρὶς φόβον; δὲν γνωρίζεις ὅτι ἀπὸ τὴν λύπην προέρχεται ὁ θάνατος; διότι, σκοτίζουσα τὴν διορατικὴν ἱκανότητα τῆς ψυχῆς, ὄχι μόνον δὲν ἀφήνει νὰ ἰδῇ κανένα ἀπὸ τὰ πρέποντα, ἀλλὰ προξενεῖ καὶ μεγάλην βλάβην. Μὲ τὸν τρόπον λοιπὸν ἐκεῖνον προσκρούομεν καὶ εἰς τὸν Θεόν, καὶ οὔτε τοὺς ἑαυτούς μας ὠφελοῦμεν οὔτε τὸν ἀποθανόντα, ἐνῷ μὲ τὸν τρόπον αὐτὸν καὶ τὸν Θεὸν εὐαρεστοῦμεν καὶ εὐτυχοῦμεν μεταξὺ

μεν καὶ αὐτοί, ταχέως ἀναιρεῖ τὸ λείψανον τῆς ἀθυμίας, ἐὰν δὲ ἀγανακτῶμεν, ἀφίησιν ἡμᾶς ἐκδότους τῇ λύπῃ γενέσθαι. Ἐὰν εὐχαριστῶμεν, οὐκ ἀθυμήσομεν.

Καὶ πῶς δύναται, φησί, μὴ λυπεῖσθαι ὁ υἱὸν ἢ θυγατέρα ἢ γυναῖκα ἀποβαλών; Οὐ λέγω μὴ λυπεῖσθαι, ἀλλὰ μὴ ἀμέτρως τοῦτο ποιεῖν· ἐὰν γὰρ ἐννοήσωμεν ὅτι ὁ Θεὸς ἀφείλετο, ὅτι θνητὸν ἔσχομεν ἄνδρα καὶ υἱόν, ταχέως ληψόμεθα παραμυθίαν· τὸ γὰρ ἀγανακτεῖν, μεῖζόν τι τῆς φύσεως ἐπιζητούντων ἐστίν. Ἄνθρωπος ἐγεννήθης καὶ θνητός, τί οὖν ἀλγεῖς, ὅτι τὸ κατὰ φύσιν ἐγένετο; Μὴ ἀλγεῖς ὅτι ἐσθίων τρέφῃ; μὴ ζητεῖς χωρὶς τούτου ζῆν; Οὕτω ποίει καὶ ἐπὶ τοῦ θανάτου, καὶ μὴ ζήτει τέως ἀθανασίαν, θνητὸς γενόμενος. Ἅπαξ τοῦτο ὡρίσθη. Μὴ τοίνυν ἄλγει, μηδὲ κατακόπτου, ἀλλὰ στέργε τὰ κοινῇ πᾶσι νομοθετηθέντα, ἄλγει δὲ ὑπὲρ τῶν ἁμαρτημάτων· τοῦτο γὰρ πένθος καλόν, τοῦτο φιλοσοφία μεγίστη.

Οὐκοῦν τοῦτο πενθῶμεν διηνεκῶς, ἵνα τῆς ἐκεῖ χαρᾶς ἐπιτύχωμεν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τῶν ἀνθρώπων· διότι, ἐάν δέν καταπέσωμεν καί οἱ ἴδιοι ἀμέσως ὁ Θεός ἀφαιρεῖ καί τά ὑπολείμματα τῆς θλίψεως, ἐάν ὅμως ἀγανακτῶμεν, μᾶς ἀφήνει εἰς τήν διάθεσιν τῆς λύπης. Ἐάν εὐχαριστῶμεν τόν Θεόν, δέν θά αἰσθανθῶμεν λύπην.

Καί πῶς ἠμπορεῖ, λέγει, νά μή λυπῆται ἐκεῖνος πού ἔχασεν υἱόν, ἤ θυγατέρα ἤ γυναῖκα; Δέν λέγω νά μή λυπῆται, ἀλλά νά μή τό κάμνῃ αὐτό πέραν τοῦ μέτρου· διότι ἐάν σκεφθῶμεν, ὅτι ὁ Θεός τόν ἐπῆρεν, ὅτι ἔχομεν θνητόν ἄνδρα καί υἱόν, ἀμέσως θά λάβωμεν παρηγορίαν· καθ' ὅσον ἡ ἀγανάκτησις εἶναι γνώρισμα ἐκείνων πού ἐπιδιώκουν κάτι ὑπεράνω τῆς φύσεως. Ἄνθρωπος ἐγεννήθης καί θνητός, διατί λοιπόν θλίβεσαι πού συνέβη αὐτό πού ἦτο φυσικόν νά συμβῇ; Μήπως νοιώθεις θλῖψιν πού τρέφεσαι τρώγων; μήπως ζητεῖς νά ζῇς χωρίς αὐτόν τόν τρόπον; Αὐτό κάμνε καί εἰς τήν περίπτωσιν τοῦ θανάτου, καί μή ζητῇς ἐκ τῶν προτέρων ἀθανασίαν, τήν στιγμήν πού ἐγεννήθης θνητός. Αὐτό ὡρίσθη ἀπό τήν ἀρχήν. Μή λοιπόν λυπῆσαι, οὔτε νά θρηνῇς, ἀλλ' ὑπέμενε ἐκεῖνα πού ὡρίσθησαν δι' ὅλους, νά λυπῆσαι δέ διά τά ἁμαρτήματά σου· διότι αὐτό τό πένθος εἶναι καλόν, αὐτό φιλοσοφία μεγίστη.

Δι' αὐτό λοιπόν ἄς πενθῶμεν συνεχῶς, διά νά ἐπιτύχωμεν τήν χαράν τῆς ἐκεῖ ζωῆς μέ τήν χάριν καί φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τόν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΞΓ΄

Ἰω. 11, 30-40

«Οὔπω δὲ ἐληλύθει ὁ Ἰησοῦς εἰς τὴν κώμην, ἀλλ' ἦν ἐν τῷ τόπῳ, ὅπου ἀπήντησεν αὐτῷ ἡ Μάρθα. Οἱ δὲ Ἰουδαῖοι οἱ ὄντες μετ' αὐτῆς» καὶ τὰ ἑξῆς.

1. Μέγα ἀγαθὸν φιλοσοφία (φιλοσοφίαν δὲ λέγω τὴν παρ' ἡμῖν· τὰ γὰρ τῶν ἔξωθεν, ρήματα καὶ μῦθοι μόνον εἰσί· καὶ οὐδὲ αὐτοὶ οἱ μῦθοι φιλόσοφόν τι ἔχοντες· δόξης γὰρ ἕνεκεν ἅπαντα γίνονται τὰ παρ' ἐκείνοις. Μέγα τοίνυν ἀγαθὸν ἡ φιλοσοφία, καὶ τὰς ἀμοιβὰς ἐντεῦθεν ἡμῖν ἀποδίδωσιν· ὅ τε γὰρ χρημάτων καταφρονῶν ἐντεῦθεν ἤδη καρποῦται τὸ ὄφελος, φροντίδων ἀπαλλαττόμενος περιττῶν καὶ ἀνοήτων, ὅ τε δόξαν καταπατῶν ἐντεῦθεν ἤδη λαμβάνει τὸν μισθόν, οὐδενὸς δοῦλος ὤν, ἀλλὰ τὴν ὄντως ἐλευθερίαν ἐλεύθερος· ὁ τῶν οὐρανίων ἐπιθυμῶν ἐντεῦθεν λαμβάνει τὴν ἀντίδοσιν, οὐδὲν τὰ παρόντα εἶναι νομίζων πράγματα, καὶ λύπης ἁπάσης κρατῶν ραδίως. Ἰδοὺ γοῦν καὶ ἡ γυνὴ αὕτη φιλοσοφοῦσα τὸν μισθὸν ἐντεῦθεν ἀπέλαβε· καὶ γάρ, πάντων παρακαθημένων πενθούσῃ καὶ κοπτομένῃ, οὐ περιέμενεν ἐλθεῖν πρὸς αὐτὴν τὸν διδάσκαλον, οὔτε τὴν ἀξίαν ἐτήρησεν, οὔτε ὑπὸ τοῦ πένθους κατεσχέθη· καὶ γὰρ μετὰ τῆς ἄλλης ταλαιπωρίας αἱ πενθοῦσαι καὶ τοῦτο τὸ νόσημα ἔχουσι, φιλοτιμεῖσθαι ἐπὶ τῶν παρόντων βουλόμεναι. Ἀλλ' οὐδὲν τούτων αὕτη ἔπαθεν, ἀλλ' ἅμα ἤκουσε, καὶ ἔρχεται ταχὺ πρὸς αὐτόν.

ΟΜΙΛΙΑ ΞΓ΄

'Ιω. 11, 30 - 40

«Δὲν εἶχεν ἔλθει ἀκόμη ὁ 'Ιησοῦς μέσα εἰς τὴν κώμην, ἀλλ' εὑρίσκετο εἰς τὸ μέρος, ὅπου τὸν συνήντησεν ἡ Μάρθα. Οἱ δὲ 'Ιουδαῖοι ποὺ ἦσαν μαζί της» καὶ τὰ ἑξῆς.

1. Εἶναι μεγάλο ἀγαθὸν ἡ φιλοσοφία. (Λέγων δὲ φιλοσοφία ἐννοῶ τὴν ἰδικήν μας φιλοσοφίαν· διότι τὰ διδάγματα τῶν εἰδωλολατρῶν εἶναι μόνον λόγια καὶ μῦθοι· καὶ οὔτε καὶ αὐτοὶ οἱ μῦθοι περιέχουν κάποιο δεῖγμα φιλοσοφίας, διότι ὅλα ἐκείνων γίνονται διὰ δόξαν). Μέγα λοιπὸν ἀγαθὸν εἶναι ἡ φιλοσοφία καὶ μᾶς ἀμείβει καὶ εἰς τὴν ἐδῶ ζωήν· διότι καὶ αὐτὸς ποὺ περιφρονεῖ τὰ χρήματα ἤδη καρποῦται τὴν ὠφέλειαν εἰς τὴν ἐδῶ ζωήν, ἀπαλλασσόμενος ἀπὸ τὰς περιττὰς καὶ ἀνοήτους φροντίδας, καὶ ἐκεῖνος ποὺ καταπατεῖ τὴν κοσμικὴν δόξαν λαμβάνει ἤδη τὸν μισθὸν εἰς τὴν ἐδῶ ζωήν, διότι δὲν εἶναι δοῦλος κανενός, ἀλλ' εἶναι πραγματικὰ ἐλεύθερος· καὶ αὐτὸς ποὺ ἐπιθυμεῖ τὰ οὐράνια ἀγαθὰ λαμβάνει τὴν ἀνταπόδοσιν εἰς τὴν ἐδῶ ζωήν, διότι θεωρεῖ τὰ παρόντα πράγματα χωρὶς καμμίαν ἀξίαν καὶ εὔκολα νικᾷ τὴν ὅλην λύπην. Νὰ λοιπὸν καὶ αὐτὴ ἡ γυναῖκα, μὲ τὴν φιλοσοφικότητα ποὺ ἐπέδειξεν, ἔλαβε τὸν μισθὸν εἰς τὴν ἐδῶ ζωήν· καθ' ὅσον, ἐνῷ ὅλοι ἐκάθοντο πλησίον της καὶ αὐτὴ ἐπενθοῦσε καὶ ἐθρηνοῦσε, δὲν ἐπερίμενε νὰ ἔλθῃ ὁ διδάσκαλος πρὸς αὐτήν, οὔτε ἐτήρησε τὴν ἀξίαν, οὔτε κατενικήθη ἀπὸ τὸ πένθος· καθ' ὅσον μαζὶ μὲ τὴν ἄλλην ταλαιπωρίαν αἱ πενθοῦσαι ἔχουν καὶ αὐτὴν τὴν ἀσθένειαν, θέλουν νὰ τιμῶνται ἀπὸ τοὺς εὑρισκομένους ἐκεῖ. Ὅμως αὐτὴ τίποτε παρόμοιον δὲν ἔπαθεν, ἀλλὰ μόλις ἤκουσεν, ἔρχεται ἀμέσως πρὸς τὸν διδάσκαλον.

«Ὁ δὲ Ἰησοῦς οὔπω ἐληλύθει εἰς τὴν κώμην»· σχολαιότερον γὰρ ἐβάδιζεν, ἵνα μὴ δόξῃ ἐπιρρίπτειν ἑαυτὸν τῷ σημείῳ, ἀλλὰ ἀξιούμενος παρ' ἐκείνων. Ἢ τοῦτο γοῦν βουλόμενος αἰνίξασθαι ὁ Εὐαγγελιστής, τὸ «ἐγείρεται ταχὺ» εἶπεν ἢ δείκνυσιν ὅτι οὕτως ἔδραμεν, ὡς προφθάσαι αὐτὸν ἐρχόμενον. Ἔρχεται δὲ οὐ μόνη, ἀλλὰ καὶ τοὺς ἐν τῇ οἰκίᾳ ἐπισυρομένη Ἰουδαίους. Σφόδρα συνετῶς διὰ τοῦτο καὶ λάθρα ἐφώνησεν αὐτὴν ἡ ἀδελφή, ὥστε μὴ διαταράξαι τοὺς συνελθόντας· καὶ οὐδὲ τὴν αἰτίαν εἶπεν· ἢ γὰρ ἂν πολλοὶ καὶ ἀνεχώρησαν. Νῦν δὲ ὡς κλαῦσαι ἀπερχομένῃ πάντες ἠκολούθουν· τάχα δὲ καὶ διὰ τούτων πάλιν ὅτι τέθνηκε Λάζαρος πιστοῦται. «Καὶ ἔπεσεν ἐπὶ τοὺς πόδας αὐτοῦ». Θερμοτέρα αὕτη τῆς ἀδελφῆς· οὐ τὸν ὄχλον ᾐδέσθη, οὐ τὴν ὑποψίαν, ἣν εἶχον περὶ αὐτοῦ (ἦσαν γὰρ πολλοὶ καὶ τῶν ἐχθρῶν, οἵ γε καὶ ἔλεγον· «Οὐκ ἠδύνατο οὗτος, ὁ ἀνοίξας τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ, ποιῆσαι, ἵνα καὶ οὗτος μὴ ἀποθάνῃ;), ἀλλὰ πάντα ἐξέβαλε τὰ ἀνθρώπινα, παρόντος τοῦ Διδασκάλου, καὶ ἑνὸς ἐγένετο μόνου, τῆς εἰς τὸν Διδάσκαλον τιμῆς.

Καὶ τί φησι; «Κύριε, εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανεν ὁ ἀδελφός μου». Τί δὲ ὁ Χριστός; Οὐδὲν αὐτῇ διαλέγεται τέως, οὐδὲ λέγει ταῦτα, ἃ καὶ πρὸς τὴν ἀδελφὴν αὐτῆς (ὄχλος γὰρ παρῆν πολύς, καὶ οὐκ ἦν τῶν ῥημάτων καιρὸς ἐκείνων), ἀλλὰ μόνον μετριάζει τε, καὶ συγκαταβαίνει, καί, τὴν ἀνθρωπίνην φύσιν πιστούμενος, δακρύει ἠρέμα, καὶ τὸ σημεῖον πρὸς τὸ παρὸν ἀναβάλλεται. Ἐπειδὴ γὰρ τὸ θαῦμα μέγα ἦν, καὶ τοσοῦτον, οἷον ὀλιγάκις ἐποίησε, καὶ ἔμελλον πολλοὶ πιστεύειν δι' αὐτοῦ, ἵνα μὴ τὸ ἄνευ αὐτῶν ποιῆσαι προστῇ τοῖς ὄχλοις, καὶ μηδὲν κερδάνωσιν ὑπὸ τοῦ μεγέθους, πολλοὺς ἐπισπᾶται μάρτυρας τῇ συγκαταβάσει, ἵνα μὴ

«Ὁ δὲ Ἰησοῦς δὲν εἶχεν εἰσέλθει ἀκόμη εἰς τὴν κώμην»· ἐβάδιζε δηλαδὴ ἀργά, διὰ νὰ μὴ φανῇ ὅτι ἔρχεται μὲ σκοπὸν νὰ κάμῃ τὸ θαῦμα, ἀλλ' ἔρχεται ἐπειδὴ ἐκλήθη ἀπὸ ἐκείνους. Ἡ λοιπὸν εἶπεν ὁ εὐαγγελιστής, «ἐγείρεται ταχὺ» θέλων νὰ ὑποδηλώσῃ αὐτό, ἢ θέλει νὰ δείξῃ, ὅτι ἔτσι ἔτρεξεν, ὥστε νὰ προφθάσῃ αὐτὸν ἐρχόμενον. Ἔρχεται δὲ ὄχι μόνη, ἀλλ' ἔχουσα μαζί της καὶ τοὺς Ἰουδαίους ποὺ εὑρίσκοντο εἰς τὴν οἰκίαν της. Μὲ πάρα πολλὴν σύνεσιν διὰ τοῦτο καὶ κρυφὰ ἐκάλεσεν αὐτὴν ἡ ἀδελφή της, ὥστε νὰ μὴ ἀνησυχήσῃ τοὺς συγκεντρωθέντας ἐκεῖ· καὶ οὔτε τὴν αἰτίαν εἶπε, διότι ὁπωσδήποτε πολλοὶ θὰ ἀνεχώρουν. Ἐνῷ τώρα τὴν ἠκολούθουν ὅλοι μὲ τὴν σκέψιν ὅτι ἀπέρχεται διὰ νὰ κλαύσῃ· καὶ μὲ αὐτὸ δὲ πάλιν ἐπιβεβαιώνεται ὅτι ὁ Λάζαρος ἀπέθανεν. «Καὶ ἔπεσεν εἰς τὰ πόδια αὐτοῦ». Ἦτο θερμοτέρα αὐτὴ ἀπὸ τὴν ἀδελφήν της· οὔτε τὸ πλῆθος ἐντράπη, οὔτε τὴν ὑπόνοιαν ποὺ εἶχον περὶ αὐτοῦ (διότι ἦσαν πολλοὶ καὶ ἀπὸ τοὺς ἐχθρούς, ποὺ ἔλεγον βέβαια «Δὲν ἠμποροῦσεν αὐτός, ποὺ ἤνοιξε τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ, νὰ κάμῃ, ὥστε νὰ μὴ ἀποθάνῃ αὐτός;»), ἀλλ' ἀπεμάκρυνεν ὅλα τὰ ἀνθρώπινα πρὸ τοῦ διδασκάλου, καὶ δι' ἕνα μόνον ἐνδιεφέρετο, διὰ τὴν τιμὴν τοῦ διδασκάλου.

Καὶ τί λέγει; «Κύριε, ἐὰν ἤσουν ἐδῶ, δὲν θὰ ἦτο δυνατὸν ν' ἀποθάνῃ ὁ ἀδελφός μου». Τί κάμνει δὲ ὁ Χριστός; Κατ' ἀρχὴν δὲν λέγει τίποτε εἰς αὐτήν, οὔτε λέγει αὐτὰ ποὺ εἶπε πρὸς τὴν ἀδελφήν της (διότι παρευρίσκετο πολὺ πλῆθος καὶ δὲν ἦτο καιρὸς δι' ἐκεῖνα τὰ λόγια), ἀλλὰ μόνον δείχνει μετριοφροσύνην καὶ συγκατάβασιν καὶ ἐπιβεβαιώνων τὴν ἀνθρωπίνην φύσιν του, δακρύζει ἤρεμα καὶ ἀναβάλλει πρὸς τὸ παρὸν τὸ θαῦμα. Ἐπειδὴ δηλαδὴ τὸ θαῦμα ἦτο μέγα καὶ τέτοιο, ποὺ ὀλίγας φορὰς ἔκαμε, καὶ ἐπρόκειτο πολλοὶ νὰ πιστεύσουν εἰς αὐτὸν δι' αὐτοῦ, διὰ νὰ μὴ προβάλλῃ τὸ πλῆθος τὴν πρόφασιν, ὅτι ἔκαμεν τὸ θαῦμα αὐτὸ χωρὶς τὴν παρουσίαν ἐκείνων καὶ δὲν ἀποκομίσουν καμμίαν ὠφέλειαν ἀπὸ τὸ μέγεθος τοῦ θαύματος, ἀποσπᾷ πολλοὺς μάρτυρας μὲ τὴν συγκατάβασίν του αὐ-

τὴν θήραν ἀπολέσῃ, καὶ δείκνυσιν ὅπερ ἦν ἀνθρωπίνης φύσεως· δακρύει γὰρ καὶ συγχεῖται· οἶδε γὰρ πάθος ἀναρριπίζειν πένθος. Εἶτα, ἐπιτιμήσας τῷ πάθει (τὸ γὰρ «ἐνεβριμήσατο τῷ πνεύματι» τοῦτό ἐστιν), ἐπέσχε τὴν σύγχυσιν, καὶ οὕτως ἐρωτᾷ, «Ποῦ τεθείκατε αὐτόν;», ὥστε μὴ μετὰ ὀλοφυρμοῦ γενέσθαι τὴν ἐρώτησιν. Τί δήποτε δὲ ἐρωτᾷ; Οὐ βουλόμενος ἑαυτὸν ἐπιρρίπτειν, ἀλλὰ πάντα παρ᾽ ἐκείνων μανθάνειν καὶ παρακαλούμενος ποιεῖν, ὥστε πάσης ὑποψίας ἀπαλλάξαι τὸ σημεῖον.

«Λέγουσιν αὐτῷ· Ἔρχου καὶ ἴδε. Ἐδάκρυσεν ὁ Ἰησοῦς». Ὁρᾷς ὅτι οὐδὲν οὔπω ἀναστάσεως σημεῖον ἐπεδέδεικτο, οὐδὲ οὕτως ἄπεισιν, ὡς ἀναστήσων, ἀλλ᾽ ὡς δακρύσων; Ὅτι γὰρ οὕτως ἀπιέναι ἐδόκει, ὡς θρηνήσων, ἀλλ᾽ οὐχ ὡς ἀναστήσων, δηλοῦσιν Ἰουδαῖοι, οἳ δὴ καὶ ἔλεγον· «Ἴδε πῶς ἐφίλει αὐτόν. Τινὲς δὲ ἐξ αὐτῶν εἶπον· Οὐκ ἠδύνατο οὗτος, ὁ ποιήσας ἀνοιγῆναι τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ, ποιῆσαι, ἵνα καὶ οὗτος μὴ ἀποθάνῃ;». Οὐδὲ ἐν ταῖς συμφοραῖς τῆς πονηρίας καθυφίεσαν, καίτοι ὃ μέλλει ποιεῖν, πολὺ θαυμαστότερον· τοῦ γὰρ στῆσαι τὸν θάνατον ἐπιόντα, παραγενόμενον καὶ κρατήσαντα ἀπελάσαι πολλῷ μεῖζόν ἐστιν. Ἐξ ὧν οὖν ἔδει θαυμάζειν αὐτοῦ τὴν δύναμιν, ἐκ τούτων αὐτὸν διαβάλλουσι. Τέως ὁμολογοῦσιν ὅτι ἀνέῳξε τοῦ τυφλοῦ τοὺς ὀφθαλμούς, καὶ δέον ὑπὲρ ἐκενου θαυμάζειν, ἀπὸ τούτου καὶ ἐκεῖνο ἐνδιαβάλλουσιν ὡς οὐδὲ γεγονός. Οὐκ ἐντεῦθεν δὲ μόνον δείκνυνται πάντες διεφθαρμένοι, ἀλλὰ καὶ ἐκ τοῦ, μήπω ἐλθόντος, μηδὲ ἐπιδειξαμένου, προλαμβάνειν αὐτοὺς ταῖς κατηγορίαις, οὐκ ἀναμείναντας τοῦ πράγματος τὸ τέλος. Εἶδες πῶς διεφθαρμένη αὐτῶν ἡ κρίσις ἦν;

τήν, διὰ νὰ μὴ χάσῃ τὸ θήραμα, καὶ φανερώνει αὐτὸ ποὺ ἦτο γνώρισμα τῆς ἀνθρωπίνης φύσεως· δακρύζει δηλαδὴ καὶ νοιώθει ταραχήν· διότι γνωρίζει ὅτι τὸ πάθος προκαλεῖ συνήθως πένθος. Ἔπειτα, ἀφοῦ ἐπέδειξε τὴν συγκίνησίν του διὰ τὸ πάθος, (διότι τὸ «ἐνεβριμήσατο τῷ πνεύματι» αὐτὸ σημαίνει), συνεκράτησε τὴν ταραχήν του καὶ ἐρωτᾷ μὲ τὸν τρόπον αὐτόν, «ποῦ ἔχετε θέσει αὐτόν;», ὥστε νὰ μὴ ἐρωτήσῃ μὲ θρήνους. Καὶ διατί τέλος πάντων ἐρωτᾷ; Ἐπειδὴ δὲν θέλει νὰ φανῇ ὅτι τὸ κάμνει ἀπὸ μόνος του, ἀλλὰ νὰ φανῇ ὅτι ὅλα τὰ πληροφορεῖται ἀπὸ ἐκείνους καὶ τὰ κάμνει παρακαλούμενους ἀπὸ ἐκείνους, ὥστε ν' ἀπαλλάξῃ τὸ θαῦμα ἀπὸ κάθε ὑποψίαν.

«Λέγουν εἰς αὐτόν· Ἔλα καὶ ἴδε. Ἐδάκρυσεν ὁ Ἰησοῦς». Βλέπεις ὅτι δὲν εἶχεν ἀκόμη δείξει κανένα σημεῖον διὰ τὴν ἀνάστασιν, καὶ οὔτε ὅτι πηγαίνει μὲ τέτοιον σκοπόν, ν' ἀναστήσῃ δηλαδή, ἀλλ' ὡσὰν διὰ νὰ κλαύσῃ; Τὸ ὅτι βέβαια ἐφαίνετο ὅτι ἐπήγαινε μὲ τέτοιον σκοπόν, ὡσὰν διὰ νὰ θρηνήσῃ καὶ ὄχι ὡσὰν διὰ ν' ἀναστήσῃ, τὸ φανερώνουν οἱ Ἰουδαῖοι, ποὺ καὶ ἔλεγον ὡς γνωστόν· «Κοίταξε πόσον ἠγάπα αὐτόν. Μερικοὶ δὲ ἀπὸ αὐτοὺς εἶπον· Δὲν ἠμποροῦσεν αὐτός, ποὺ ἔκαμε ν' ἀνοίξουν οἱ ὀφθαλμοὶ τοῦ τυφλοῦ, νὰ κάμῃ, ὥστε καὶ αὐτὸς νὰ μὴ ἀποθάνῃ. Οὔτε καὶ κατὰ τὰς συμφορὰς ἐγκαταλείπουν τὴν πονηρίαν των, μολονότι βέβαια ἦτο πολὺ θαυμαστότερον αὐτὸ ποὺ πρόκειται νὰ κάμῃ· διότι ἀπὸ τὸ νὰ σταματήσῃ τὸν θάνατον ἐρχόμενον, πολὺ πιὸ μεγαλύτερον εἶναι τὸ νὰ νικήσῃ ἀφοῦ ἔλθῃ καὶ νὰ τὸν ἀπομακρύνῃ. Ἀπὸ αὐτὰ δηλαδὴ ποὺ ἔπρεπε νὰ θαυμάζουν τὴν δύναμιν αὐτοῦ, ἀπὸ αὐτὰ τὸν διαβάλλουν. Κατ' ἀρχὴν ὁμολογοῦν, ὅτι ἤνοιξε τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ καὶ ἐνῷ πρέπει νὰ τὸν θαυμάζουν δι' ἐκεῖνο, μὲ αὐτὸ καὶ ἐκεῖνο διαβάλλουν, ὡσὰν νὰ μὴ συνέβη. Καὶ δὲν ἀποδεικνύονται μόνον ἀπὸ αὐτὸ ὅτι ὅλοι ἦσαν διεφθαρμένοι, ἀλλὰ καὶ ἀπὸ τὸ ὅτι, πρὶν ἀκόμη ἔλθῃ καὶ πρὶν δείξῃ τὴν δύναμίν του, τὸν κατηγοροῦν ἐκ τῶν προτέρων, καὶ δὲν περιμένουν τὸ τέλος τοῦ πράγματος. Εἶδες πῶς εἶναι διεφθαρμένη ἡ σκέψις των;

2. Ἔρχεται τοίνυν εἰς τὸ μνῆμα, καὶ πάλιν ἐπιτιμᾷ τῷ πάθει. Τί δήποτε δὲ περισπουδάστως ὁ Εὐαγγελιστὴς ἄνω καὶ κάτω φησὶν ὅτι ἐδάκρυσε, καὶ ὅτι ἐνεβριμήσεν; Ἵνα μάθῃς ὅτι ἀληθῶς τὴν φύσιν τὴν ἡμετέραν περιεβάλετο. Ἐπειδὴ γὰρ μεγάλα περὶ αὐτοῦ δῆλός ἐστι λέγων τῶν ἄλλων μᾶλλον οὗτος, καὶ ἐν τοῖς σωματικοῖς πολὺ ταπεινότερον ἐνταῦθα φθέγγεται. Οὐδὲν γοῦν περὶ τοῦ θανάτου τοιοῦτον εἶπεν, οἷον οἱ λοιποί, ὅτι περίλυπος γέγονεν, ὅτι ἐναγώνιος, ἀλλὰ πᾶν τοὐναντίον, ὅτι καὶ ὑπτίους ἔρριψε. Τὸ γοῦν ἐλλειφθὲν ἐκεῖ ἀνεπλήρωσεν ἐνταῦθα διὰ τοῦ πένθους· περὶ γὰρ τοῦ θανάτου διαλεγόμενος, λέγει, «Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου», καὶ οὐδὲν ταπεινὸν ἐκεῖ φθέγγεται. Διὰ τοῦτο δὲ καὶ ἐν τῷ πάθει πολὺ τὸ ἀνθρώπινον αὐτῷ προσάπτουσιν, ἀπὸ τούτου δηλοῦντες ὅτι ἀλήθεια τὰ τῆς οἰκονομίας. Καὶ ὁ μὲν Λουκᾶς ἀπὸ τῆς ἀγωνίας καὶ τοῦ θορύβου καὶ ἀπὸ τοῦ ἱδρῶτος, οὗτος δὲ ἀπὸ τοῦ πένθους πιστοῦται. Οὐκ ἂν δέ, εἰ μὴ τῆς φύσεως ἦν τῆς ἡμετέρας, ὑπὸ τοῦ πένθους ἐκρατήθη καὶ ἅπαξ καὶ δεύτερον.

Τί δὲ ὁ Ἰησοῦς; Τῶν μὲν ἐγκλημάτων ἕνεκεν οὐδὲν αὐτοῖς ἀπολογεῖται (τί γὰρ ἔδει διὰ ῥημάτων ἐπιστομίζειν μέλλοντας αὐτίκα διὰ τῶν ἔργων τοῦτο πάσχειν, ὅπερ ἀνεπαχθέστερον ἦν, καὶ μᾶλλον καταισχῦναι αὐτοὺς ἱκανόν;), φησὶ δέ, «Ἄρατε τὸν λίθον». Τί δήποτε δὲ οὐχὶ ἀπὼν ἐκάλεσε, καὶ παρέστησεν αὐτόν; μᾶλλον δὲ διὰ τί οὐχὶ τοῦ λίθου ἐπικειμένου ἐποίησεν ἀναστῆναι; (καὶ γὰρ ὁ δυνάμενος σῶμα κινῆσαι νεκρὸν τῇ φωνῇ, καὶ ἐμψυχωμένον πάλιν δεῖξαι, πολλῷ μᾶλλον λίθον κινῆσαι ἴσχυσεν ἂν τῇ αὐτῇ φωνῇ· ὁ τὸν δεδεμένον κειρίαις καὶ ταύταις συμπεποδισμέ-

1. Ματθ. 26, 38. Μάρκ. 14, 34.
2. Ἰω. 18, 6.
3. Ἰω. 10, 18.
4. Λουκᾶ 22, 43-44.

2. Ἔρχεται λοιπὸν εἰς τὸ μνῆμα καὶ πάλιν δείχνει τὴν συγκίνησίν του διὰ τὸ πάθος. Καὶ διατί τέλος πάντων ὁ εὐαγγελιστὴς τονίζει συνέχεια μὲ τόσην ἐπιμονὴν καὶ λέγει, ὅτι ἐδάκρυσε καὶ ὅτι ἔνοιωσε συγκίνησιν; Διὰ νὰ μάθης ὅτι πραγματικὰ ἔφερε τὴν ἰδικήν μας φύσιν. Ἐπειδὴ δηλαδὴ εἶναι φανερὸν ὅτι αὐτὸς διηγεῖται περὶ τοῦ Κυρίου καὶ κατὰ πολὺ περισσότερον ἀπὸ τοὺς ἄλλους εὐαγγελιστὰς τά πολὺ σπουδαῖα ἔργα καὶ λόγια αὐτοῦ, ὁμιλεῖ καὶ ἐδῶ διὰ τὰ σωματικὰ γνωρίσματά του μὲ πολὺ ἀνθρωπίνους ἐκφράσεις. Τίποτε δηλαδὴ παρόμοιον δὲν εἶπε περὶ τοῦ θανάτου του, ἀπὸ αὐτά ποὺ εἶπαν οἱ ἄλλοι εὐαγγελισταί, ὅπως ὅτι ἔγινε περίλυπος[1], ὅτι κατελήφθη ἀπὸ ἀγωνίαν, ἀλλ' ἐντελῶς τὸ ἀντίθετον, ὅτι δηλαδὴ τοὺς ἔρριψεν ὑπτίους[2]. Αὐτὸ λοιπὸν ποὺ παρέλειψε νὰ τονίσῃ εἰς τὰς περιπτώσεις ἐκείνας, τὸ ἐσυμπλήρωσεν ἐδῶ μὲ τὸ πένθος· διότι ὁμιλῶν περὶ τοῦ θανάτου του, λέγει, «Ἐξουσίαν ἔχω νὰ θυσιάσω τὴν ζωήν μου»[3], καὶ δὲν ἀναφέρει ἐκεῖ τίποτε τὸ ταπεινόν. Διὰ τοῦτο δὲ καὶ κατὰ τὸ σταυρικὸν πάθος του ἀναφέρουν πολὺ τὸ ἀνθρώπινον στοιχεῖον του, διὰ νὰ φανερώσουν μὲ αὐτό, ὅτι εἶναι ἀληθὴς ἡ κατ' οἰκονομία ἐνσάρκωσίς του. Καὶ ὁ μὲν Λουκᾶς τὸ ἐπιβεβαιώνει αὐτὸ ἀπὸ τὴν ἀγωνίαν καὶ τὴν ταραχὴν καὶ τὸν ἱδρῶτα του[4], αὐτὸς δὲ ἀπὸ τὸ πένθος του αὐτό. Δὲν θὰ ἐκυριεύετο, δηλαδὴ ἀπὸ τὸ πένθος μίαν καὶ δευτέραν φοράν, ἐὰν δὲν ἔφερε τὴν ἰδικήν μας φύσιν.

Τί κάμνει δὲ ὁ Ἰησοῦς; Διὰ μὲν τὰς κατηγορίας των δὲν δίδει καμμίαν ἀπάντησιν (διότι τί ἐχρειάζετο ν' ἀποστομώνῃ αὐτοὺς μὲ λόγια, ἀφοῦ ἐπρόκειτο ἀμέσως νὰ τὸ πάθουν αὐτὸ μὲ τὰ ἔργα, πρᾶγμα ποὺ ἦτο ὀλιγώτερον ἐνοχλητικὸν καὶ ἱκανὸν νὰ κατεντροπιάσῃ αὐτοὺς περισσότερον;), λέγει δέ, «Σηκώσατε τὸν λίθον». Διατί τέλος πάντων δὲν τὸν ἐκάλεσε ἀπὼν καὶ δὲν τὸν παρουσίασεν; μᾶλλον δὲ διατί δὲν τὸν ἀνέστησεν ἐνῷ ὁ λίθος εὑρίσκετο ἐπάνω εἰς τὸν τάφον; (καθ' ὅσον αὐτὸς ποὺ ἠμποροῦσε νὰ θέσῃ εἰς κίνησιν σῶμα νεκρὸν διὰ τῆς φωνῆς του καὶ νὰ τὸ παρουσιάσῃ πάλιν μὲ ζωήν, πολὺ περισσότερον

ον διὰ τῆς φωνῆς βαδίζειν παρασκευάσας, πολλῷ μᾶλλον λίθον ἐκίνησεν ἄν. Τί λέγω; Καὶ ἀπὼν τοῦτο ἔπραξεν ἄν). Τί δήποτε οὖν οὐκ ἐποίησεν; Ἵνα αὐτοὺς μάρτυρας ποιήσῃ τοῦ θαύματος, ἵνα μὴ τοῦτο λέγωσιν, ὃ καὶ ἐπὶ τοῦ τυφλοῦ, ὅτι «οὗτός ἐστιν· οὐκ ἔστιν οὗτος»· αἱ γὰρ χεῖρες καὶ τὸ παραγενέσθαι εἰς τὸ μνημεῖον ἐμαρτύρουν ὅτι αὐτός ἐστιν.

Ὥστε, εἰ μὴ παρεγένοντο, καὶ φάντασμα ἂν ἐνόμισαν, ἢ ἕτερον ἀνθ᾽ ἑτέρου ὁρᾶν. Νῦν δὲ τὸ παραγενέσθαι εἰς τὸν τόπον, καὶ τὸν λίθον ἆραι, καὶ τὸ ἐσπαργανωμένον τὸν τεθνηκότα ἐπιτραπῆναι λῦσαι τῶν δεσμῶν, καὶ τὸ τοὺς φίλους τοὺς ἐξενεγκόντας τοῦ τάφου, ὡς αὐτός ἐστιν, ἀπὸ τῶν σπαργάνων ἐπιγινώσκειν, καὶ τὸ τὰς ἀδελφὰς μὴ ἀπολειφθῆναι καὶ τὸ ταύτην εἰπεῖν, «Ἤδη ὄζει· τεταρταῖος γάρ ἐστι», πάντα ἤδη ταῦτα ἱκανὰ ἐπιστομίσαι ἀγνωμονοῦντας, μάρτυρας γενομένους τοῦ σημείου. Διὰ τοῦτο αὐτοὺς κελεύει τὸν λίθον ἆραι ἀπὸ τοῦ τάφου, δεικνὺς ὅτι αὐτὸν ἐγείρει· διὰ τοῦτο καὶ ἐρωτᾷ, «Ποῦ τεθείκατε αὐτόν;», ἵνα οἱ εἰπόντες, «Ἔρχου καὶ ἴδε», καὶ ἀγαγόντες αὐτὸν μὴ ἔχωσι λέγειν ὅτι ἕτερον ἤγειρεν, ἵνα καὶ ἡ φωνὴ καὶ αἱ χεῖρες μαρτυρῶσιν (ἡ μὲν φωνή, λέγουσα, «Ἔρχου καὶ ἴδε», αἱ δὲ χεῖρες, τὸν λίθον ἄρασαι, τὰ σπάργανα λύσασαι), καὶ ἡ ὄψις καὶ ἡ ἀκοή, (ἐκείνη, τῆς φωνῆς ἀκούσασα, αὕτη, ἰδοῦσα ἐξελθόντα), καὶ ἡ ὄσφρησις δέ, τῆς δυσωδίας ἀντιλαμβανομένη· φησὶ γάρ· «Ἤδη ὄζει· τεταρταῖος γάρ ἐστιν». Εἰκότως ἄρα ἔλεγον ὅτι οὐδὲν οὐ συνίει τὸ γύναιον, ὧν εἶπεν ὁ Χριστός, ὅτι, «κἂν ἀποθάνῃ, ζήσεται».

Ὅρα γοῦν ἐνταῦθα τί φησιν, ὡς ἀδυνάτου τοῦ πρά-

5. Ἰω. 11, 43 - 44.

θὰ ἠμποροῦσε νὰ κινήσῃ λίθον μὲ τὴν φωνήν του· αὐτὸς ποὺ ἔδωσε μὲ τὴν φωνήν του τὴν ἱκανότητα νὰ βαδίσῃ ἐκεῖνος ποὺ ἦτο δεμένος μὲ σπάργανα καὶ ποὺ ἠμποδίζετο ἀπὸ αὐτά, πολὺ περισσότερον θὰ ἠμποροῦσε λίθον νὰ κινήσῃ. Τί λέγω; Θὰ ἠμποροῦσε νὰ τὸ κάνῃ αὐτὸ καὶ ἀπών). Διατί λοιπὸν τέλος πάντων δὲν τὸ ἔκαμεν; Διὰ νὰ κάνῃ αὐτοὺς μάρτυρας τοῦ θαύματος, διὰ νὰ μὴ λέγουν αὐτὸ ποὺ ἔλεγον καὶ διὰ τὸν τυφλόν· «αὐτὸς εἶναι· δὲν εἶναι αὐτός»[5]· διότι τὰ χέρια καὶ τὸ γεγονὸς ὅτι ἦλθεν εἰς τὸ μνημεῖον ἐπεβεβαίωνον ὅτι αὐτὸς ἦτο.

Ὥστε, ἐὰν δὲν μετέβαινον εἰς τὸ μνημεῖον, θὰ τὸν ἐθεωροῦσαν καὶ φάντασμα, ἢ θὰ ἐνόμιζον ὅτι βλέπουν ἄλλον ἀντὶ ἄλλου. Τώρα ὅμως μὲ τὸ νὰ ἔλθουν εἰς τὸν τόπον τοῦ μνημείου καὶ νὰ σηκώσουν τὸν λίθον καὶ τὸ νὰ δώσῃ ἐντολὴν νὰ λύσουν ἀπὸ τὰ δεσμὰ τὸν σπαργανωμένον νεκρὸν καὶ τὸ ν' ἀναγνωρίσουν αὐτὸν οἱ φίλοι του ἀπὸ τὰ σπάργανα καὶ νὰ εἰποῦν, ὅτι αὐτὸς εἶναι, καὶ τὸ νὰ μὴ τὸν ἐγκαταλείψουν οἱ ἀδελφοί του καὶ τὸ νὰ εἰπῇ ἡ μία, «Ἤδη μυρίζει· διότι τέσσαρας ἡμέρας εἶναι νεκρός», ὅλα αὐτὰ πλέον ἦσαν ἱκανὰ νὰ ἀποστομώσουν τοὺς ἀγνώμονας, μὲ τὸ νὰ γίνουν οἱ ἴδιοι μάρτυρες τοῦ θαύματος. Διὰ τοῦτο τοὺς λέγει νὰ σηκώσουν τὸν λίθον ἀπὸ τὸν τάφον, διὰ νὰ δείξῃ ὅτι ἀνασταίνει αὐτόν· διὰ τοῦτο καὶ ἐρωτᾷ, «Ποῦ τὸν ἔχετε θέσει;», ὥστε, αὐτοὶ ποὺ εἶπαν, «Ἔλα καὶ ἴδε», καὶ τὸν ὡδήγησαν ἐκεῖ, νὰ μὴ ἠμποροῦν νὰ εἰποῦν ὅτι ἄλλον ἀνέστησεν, ὥστε καὶ ἡ φωνὴ καὶ τὰ χέρια νὰ γίνουν μάρτυρες (ἡ μὲν φωνή, λέγουσα, «Ἔλα καὶ ἴδε», τὰ δὲ χέρια μὲ τὸ ν' ἀρπάσουν τὸν λίθον καὶ νὰ λύσουν τὰ σπάργανα), καὶ οἱ ὀφθαλμοὶ καὶ ἡ ἀκοὴ (ἡ μὲν ἀκοὴ ἀκούσασα τὴν φωνήν, οἱ δὲ ὀφθαλμοὶ βλέποντες αὐτὸν νὰ ἐξέρχεται τοῦ τάφου), καὶ ἡ ὄσφρησις, μὲ τὸ ὅτι ἀντελήφθη τὴν δυσωδίαν· διότι λέγει· «Ἤδη μυρίζει· διότι εἶναι τέσσαρας ἡμέρας νεκρός». Ὥστε εἶχον δίκαιον ποὺ ἔλεγον ὅτι ἡ γυναῖκα δὲν ἀντελήφθη τίποτε ἀπὸ ἐκεῖνα ποὺ εἶπεν ὁ Χριστός, ὅτι «καὶ ἂν ἀκόμη ἀποθάνῃ, θὰ ζήσῃ».

Πρόσεχε λοιπὸν τί λέγει ἐδῶ, ἐπειδὴ ἐφαίνετο πλέον

γματος ὄντος λοιπὸν διὰ χρόνον· καὶ γὰρ ἦν ξένον, τὸ τεταρταῖον καὶ διεφθορότα ἀναστῆσαι νεκρόν. Καὶ τοῖς μὲν μαθηταῖς εἶπεν, «Ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ Θεοῦ», περὶ ἑαυτοῦ δηλῶν, τῇ γυναικὶ δέ, «Ὄψει τὴν δόξαν τοῦ Θεοῦ», περὶ τοῦ Πατρὸς λέγων. Ὁρᾷς ὅτι ἡ ἀσθένεια τῶν ἀκουόντων, τῆς διαφορᾶς τῶν λεγομένων αἰτία ἐστίν; Ἀναμιμνήσκει δὲ ὧν διελέχθη πρὸς αὐτήν, σχεδὸν ἐπιτιμῶν, ὡς ἂν ἀμνημονούσῃ. Ἢ καί, ἐπεὶ οὐκ ἠβούλετο τέως ἐκπλῆξαι τοὺς παρόντας, ἠρέμα φησίν· «Οὐκ εἶπόν σοι ὅτι, ἐὰν πιστεύσῃς, ὄψει τὴν δόξαν τοῦ Θεοῦ;».

3. Μέγα ἄρα πίστις ἀγαθόν, μέγα, καὶ πολλῶν ἀγαθῶν αἴτιον· ὥστε τὰ τοῦ Θεοῦ δύνασθαι τοὺς ἀνθρώπους ποιεῖν ἐν τῷ ὀνόματι τῷ ἐκείνου· «ἐὰν γὰρ πιστεύσητε», φησίν, «ἐρεῖτε τῷ ὄρει τούτῳ· Μετάβηθι, καὶ μεταβήσεται», καὶ πάλιν, «Ὁ πιστεύων εἰς ἐμέ, τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, ποιήσει, καὶ μείζονα τούτων ποιήσει». Ποῖα, φησί, μείζονα; Ἃ οἱ μαθηταὶ φαίνονται μετὰ ταῦτα ποιοῦντες· καὶ γὰρ ἡ σκιὰ Πέτρου νεκρὸν ἤγειρεν. Οὕτως ἐκηρύττετο καὶ ἡ τοῦ Χριστοῦ μᾶλλον δύναμις· καὶ γὰρ οὐχ οὕτω θαυμαστὸν ζῶντα αὐτὸν θαυματουργεῖν, ὡς θανόντος αὐτοῦ ἑτέρους ἐν τῷ ὀνόματι ἐκείνου μείζονα αὐτοῦ δυνηθῆναι· ἀναμφισβήτητος γὰρ ἦν τοῦτο τῆς ἀναστάσεως ἀπόδειξις· οὐκ ἄν, οὐδὲ εἰ πᾶσιν ὤφθη, οὕτως ἐπιστεύθη· ἐκεῖνοι μὲν γὰρ εἶχον ἂν καὶ εἰπεῖν ὅτι φάντασμα ἦν, ὁ δὲ ὁρῶν ἀπὸ τοῦ ὀνόματος αὐτοῦ μόνου πολλῷ μείζονα γινόμενα σημεῖα, ἤ, ὅτε αὐτὸς συνανεστρέφετο μετὰ ἀνθρώπων, οὐκ ἂν ἠπίστησεν, εἰ μὴ σφόδρα ἀναίσθητος ἦν.

Μέγα τοίνυν ἀγαθὸν πίστις, ὅταν ἀπὸ θερμῆς γίνηται διανοίας, ἀπὸ φίλτρου πολλοῦ καὶ ζεούσης ψυχῆς. Αὕτη

---

6. Ἰω. 8, 8-9.
7. Ἰω. 11, 25.
8. Ἰω. 11, 4.
9. Ματθ. 17, 20 καὶ 21, 21.
10. Ἰω. 14, 12.
11. Πράξ. 5, 15.

ἀδύνατον τὸ πρᾶγμα ἐξ αἰτίας τοῦ χρόνου ποὺ ἐπέρασε˙ καθ' ὅσον ἦτο παράξενον τὸ ν' ἀναστήσῃ νεκρὸν τεσσάρων ἡμερῶν καὶ ἀποσυνθέντα. Καὶ εἰς μὲν τοὺς μαθητὰς εἶπεν, «διὰ νὰ δοξασθῇ ὁ Υἱὸς τοῦ Θεοῦ»[9], δηλώνων μὲ αὐτὸ τὸν ἑαυτόν του, εἰς δὲ τὴν γυναῖκα, «Θὰ ἴδῃς τὴν δόξαν τοῦ Θεοῦ», ὁμιλῶν περὶ τοῦ Πατρός. Βλέπεις ὅτι ἡ πνευματικὴ ἀδυναμία τῶν ἀκροατῶν γίνεται αἰτία νὰ διαφέρουν οἱ λόγοι; Ὑπενθυμίζει ἐκεῖνα ποὺ εἶπε πρὸς αὐτήν, σχεδὸν ἐπιτιμῶν αὐτήν, ὡς νὰ τὰ ἐλησμόνησεν. Ἤ, ἐπειδὴ δὲν ἤθελεν ἀπὸ τὴν ἀρχὴν νὰ ἐκπλήξῃ τοὺς παρευρισκομένους, τῆς λέγει μὲ ἠρεμίαν˙ «Δὲν σοῦ εἶπα, ὅτι, ἐὰν πιστεύσῃς, θὰ ἴδῃς τὴν δόξαν τοῦ Θεοῦ;».

3. Ἑπομένως εἶναι μέγα ἀγαθὸν ἡ πίστις, μέγα καὶ αἴτιον πολλῶν ἀγαθῶν, ὥστε νὰ ἠμποροῦν οἱ ἄνθρωποι νὰ πράττουν ἐκεῖνα ποὺ πράττει ὁ Θεὸς ἐν τῷ ὀνόματι ἐκείνου˙ διότι λέγει˙ «Ἐὰν πιστεύσετε, θὰ εἰπῆτε εἰς τὸ ὄρος αὐτό, μετακινήσου, καὶ θὰ μετακινηθῇ»˙ καὶ πάλιν˙ «Ἐκεῖνος ποὺ πιστεύει εἰς ἐμένα, θὰ κάμῃ τὰ ἔργα ἐκεῖνα ποὺ κάμνω ἐγὼ καὶ ἀκόμη θὰ κάμῃ μεγαλύτερα ἀπὸ αὐτά»[10]. Ποῖα, λέγει, εἶναι μεγαλύτερα; Ἐκεῖνα ποὺ φαίνεται νὰ κάμνουν εἰς τὴν συνέχειαν οἱ μαθηταί˙ καθ' ὅσον ἡ σκιὰ τοῦ Πέτρου ἀνέστησε νεκρόν[11]. Μὲ τὸν τρόπον αὐτὸν διεκηρύσσετο περισσότερον καὶ ἡ δύναμις τοῦ Χριστοῦ˙ καθ' ὅσον δὲν ἦτο τόσον θαυμαστὸν νὰ θαυματουργῇ αὐτὸς ἐν ὅσῳ ἔζη, ὅσον τὸ νὰ ἠμπορέσουν ἄλλοι, ἀφοῦ ἀπέθανεν αὐτός, νὰ πράξουν ἐν τῷ ὀνόματι ἐκείνου μεγαλύτερα ἀπὸ αὐτόν˙ καὶ αὐτὸ βέβαια ἦτο ἀναμφισβήτητος ἀπόδειξις τῆς ἀναστάσεώς του˙ δὲν θὰ ἦτο δυνατὸν τόσον νὰ πιστευθῇ, οὔτε καὶ ἐὰν ἐφανερώνετο εἰς ὅλους˙ διότι ἐκεῖνοι μὲν θὰ ἠμποροῦσαν καὶ νὰ εἰποῦν ὅτι ἦτο φάντασμα, ἐνῷ ἐκεῖνος ποὺ ἔβλεπε καὶ μόνον ἀπὸ τὸ ὄνομά του νὰ γίνωνται πολὺ πιὸ μεγαλύτερα θαύματα τώρα, παρὰ ὅταν αὐτὸς συναναστρέφετο μὲ τοὺς ἀνθρώπους, δὲν θὰ ἠμποροῦσε ν' ἀπιστήσῃ, ἐὰν δὲν ἦτο πάρα πολὺ ἀναίσθητος.

Μέγα λοιπὸν ἀγαθὸν ἡ πίστις, ὅταν προέρχεται ἀπὸ θερμὴν διάνοιαν, ἀπὸ πολλὴν ἀγάπην καὶ φλογερὰν ψυχήν.

φιλοσόφους ἡμᾶς δείκνυσιν, αὕτη τὴν εὐτέλειαν τὴν ἀνθρωπίνην ἀποκρύπτει, καί, τοὺς λογισμοὺς ἀφεῖσα κάτω, περὶ τῶν ἐν οὐρανοῖς φιλοσοφεῖ πραγμάτων, μᾶλλον δέ, ὅπερ ἡ τῶν ἀνθρώπων σοφία εὑρεῖν οὐ δύναται, ἐκ περιουσίας τοῦτο αὕτη καταλαμβάνει καὶ κατορθοῖ. Ἐχώμεθα τοίνυν ταύτης, καὶ μὴ λογισμοῖς τὰ καθ᾽ ἑαυτοὺς ἐπιτρέπωμεν· διὰ τί γὰρ Ἕλληνες, εἰπέ μοι, οὐδὲν εὑρεῖν ἠδυνήθησαν; οὐχὶ σοφίαν πᾶσαν τὴν ἔξωθεν ἔγνωσαν; πόθεν οὖν ἁλιέων καὶ σκηνοποιῶν καὶ τῶν ἀσυνέτων περιγενέσθαι οὐκ ἴσχυσαν; ἆρ᾽ οὐχ ὅτι ἐκεῖνοι μὲν λογισμοῖς, οὗτοι δὲ πίστει τὸ πᾶν ἐπέτρεψαν; Διὰ τοῦτο Πλάτωνος καὶ Πυθαγόρου καὶ πάντων ἁπλῶς τῶν πλανηθέντων οὗτοι περιεγένοντο, καὶ τοὺς ἀστρολογίᾳ καὶ μαθηματικῇ καὶ γεωμετρίᾳ, καὶ ἀριθμητικῇ κατατριβέντας καὶ πᾶσαν παίδευσιν ἐκμαθόντας ὑπερέβησαν, καὶ τοσοῦτον ἐγένοντο βελτίους, ὅσον οἱ ἀληθῶς φιλόσοφοι καὶ ὄντως τῶν φύσει μωρῶν καὶ παραπαιόντων.

Ὅρα γάρ. Ἀθάνατον εἶπον τὴν ψυχὴν οὗτοι, μᾶλλον δὲ οὐκ εἶπον μόνον, ἀλλὰ καὶ ἔπεισαν· ἐκεῖνοι δὲ πρότερον μὲν οὐδὲ ᾔδεσαν ὅ,τι ποτέ ἐστι ψυχή, ἐπειδὴ δὲ εὗρον, καὶ διέστησαν ἀπὸ τοῦ σώματος αὐτήν, οἱ δὲ σῶμα, καὶ αὐτῷ τῷ σώματι συνδιαλύεσθαι. Περὶ οὐρανοῦ πάλιν οἱ μὲν εἶπον ὅτι ἔμψυχος καὶ θεός, οἱ δὲ ἁλιεῖς ὅτι ἔργον Θεοῦ καὶ τέχνημα, καὶ ἐδίδαξαν καὶ ἔπεισαν. Ἀλλὰ τὸ μὲν Ἕλληνας λογισμοῖς κεχρῆσθαι θαυμαστὸν οὐδέν, τὸ δὲ τοὺς δοκοῦντας εἶναι πιστούς, τούτους εὑρίσκεσθαι ψυχικούς, τοῦτό ἐστι τὸ θρήνων ἄξιον. Διὰ τοῦτο καὶ οὗτοι ἐπλανήθησαν, ὅτι οἱ μὲν οὕτως ἔλεγον εἰδέναι Θεόν, ὡς αὐτὸς ἑαυτὸν οἶδεν, ὅπερ οὐδεὶς οὐδὲ ἐκείνων ἐτόλμησεν εἰπεῖν, οἱ δὲ

Αὐτὴ μᾶς καθιστᾷ φιλοσόφους, αὐτὴ ἀποκρύπτει τὴν ἀνθρωπίνην εὐτέλειαν καί, ἐγκαταλείπουσα τὰ γήϊνα φρονήματα, φιλοσοφεῖ περὶ τῶν οὐρανίων πραγμάτων, ἢ καλύτερα, ἐκεῖνο ποὺ ἡ ἀνθρωπίνη σοφία δὲν ἠμπορεῖ νὰ εὕρῃ, αὐτὸ αὐτὴ τὸ συλλαμβάνει καὶ τὸ κατορθώνει σὲ ὑπερβολικὸν βαθμόν. Ἂς ἔχωμεν λοιπὸν αὐτὴν μέσα μας καὶ ἂς μὴ ἀφήνωμεν εἰς τοὺς λογισμοὺς τὰ ἀφορῶντα ἡμᾶς· διότι εἰπέ μου, διατί οἱ Ἕλληνες δὲν ἠμπόρεσαν νὰ εὕρουν τίποτε; δὲν ἐγνώρισαν ὅλην τὴν θύραθεν σοφίαν; διὰ ποῖον λόγον λοιπὸν δὲν ἠμπόρεσαν νὰ ὑπερισχύσουν τῶν ἁλιέων καὶ σκηνοποιῶν καὶ τῶν ἀσυνέτων; δὲν συνέβη ἆρά γε αὐτὸ ἐπειδὴ ἐκεῖνοι ἐπέτρεψαν τὸ πᾶν εἰς τὸν νοῦν, ἐνῷ αὐτοὶ εἰς τὴν πίστιν; Διὰ τοῦτο ὑπερίσχυσαν αὐτοὶ τοῦ Πλάτωνος, τοῦ Πυθαγόρα καὶ ὅλων γενικῶς ἐκείνων ποὺ ἐπλανήθησαν καὶ ὑπερέβαλον ἐκείνους ποὺ ἠσχολήθησαν μὲ τὴν ἀστρολογίαν, τὰ μαθηματικά, τὴν γεωμετρίαν καὶ τὴν ἀριθμητικὴν καὶ ἐκείνους ποὺ ἐδιδάχθησαν πᾶσαν γνῶσιν, καὶ τόσον πολὺ ἀνώτεροι ἔγιναν, ὅσον ἀνώτεροι εἶναι οἱ ἀληθινοὶ καὶ πραγματικοὶ φιλόσοφοι ἀπὸ τοὺς μωροὺς καὶ παραλόγους.

Πρόσεχε λοιπόν. Αὐτοὶ μὲν ἐδίδαξαν ὅτι ἡ ψυχὴ εἶναι ἀθάνατος, μᾶλλον δὲ ὄχι μόνον τὸ ἐδίδαξαν, ἀλλὰ καὶ ἔπεισαν τοὺς ἀνθρώπους νὰ τὸ δεχθοῦν, ἐνῷ οἱ φιλόσοφοι κατ' ἀρχὴν μὲν οὔτε κἂν ἐγνώρισαν τί τέλος πάντων εἶναι ἡ ψυχή, ὅταν δὲ τὸ ἔμαθον καὶ διέκριναν αὐτὴν ἀπὸ τὸ σῶμα, πάλιν τὸ ἴδιο ἔπαθον, ἄλλοι μὲν εἶπον ὅτι αὐτὴ εἶναι ἀσώματος, ἄλλοι δὲ ὅτι εἶναι σῶμα, καὶ ὅτι μαζὶ μὲ τὸ σῶμα διαλύεται. Περὶ τοῦ οὐρανοῦ δὲ πάλιν ἐδίδαξαν ὅτι εἶναι ἔμψυχος καὶ θεός, ἐνῷ οἱ ἁλιεῖς καὶ ἐδίδαξαν καὶ ἔπεισαν τοὺς ἀνθρώπους ὅτι εἶναι ἔργον καὶ δημιούργημα τοῦ Θεοῦ. Ἀλλὰ τὸ νὰ χρησιμοποιοῦν οἱ Ἕλληνες τοὺς λογισμοὺς δὲν εἶναι καθόλου θαυμαστόν, τὸ νὰ ἀποδεικνύωνται ὅμως σαρκικοὶ αὐτοὶ ποὺ θεωροῦνται πιστοί, αὐτὸ εἶναι ἄξιον διὰ θρήνους. Διὰ τοῦτο καὶ αὐτοὶ ἐπλανήθησαν, διότι ἄλλοι μὲν ἔλεγον, ὅτι γνωρίζουν τὸν Θεὸν τόσον, ὅσον ὁ ἴδιος γνωρίζει τὸν ἑαυτόν του, πρᾶγμα ποὺ κανεὶς οὔτε ἀπὸ ἐκείνους ἐ-

ἔλεγον μὴ δύνασθαι τὸν Θεὸν ἀπαθῶς γεννᾶν, μηδὲ συγχωροῦντες αὐτῷ πλέον τι τῶν ἀνθρώπων ἔχειν, οἱ δέ, λέγοντες ὅτι οὔτε δὴ βίος ὀρθὸς οὐδὲν ὠφελεῖ, οὔτε πολιτεία ἀκριβής. Ἀλλ' οὐ καιρὸς ταῦτα ἐλέγειν νῦν.

4. Ὅτι μὲν γὰρ οὐδὲν ὠφελεῖ πίστις ὀρθή, βίου ὄντος διεφθαρμένου, καὶ ὁ Χριστὸς καὶ ὁ Παῦλος δηλοῦσι, τὸ πλεῖον τούτου τοῦ μέρους φροντίσαντες· ὁ μὲν Χριστός, ὅταν διδάσκῃ· «Οὐ πᾶς ὁ λέγων μοι· Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν», καὶ πάλιν· «Πολλοὶ ἐροῦσι μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν; Καὶ τότε ὁμολογήσω αὐτοῖς ὅτι οὐδέποτε ἔγνων ὑμᾶς· ἀποχωρεῖτε ἀπ' ἐμοῦ, οἱ ἐργαζόμενοι τὴν ἀνομίαν» (οἱ γὰρ μὴ προσέχοντες ἑαυτοῖς εὐκόλως εἰς πονηρίαν ἐξολισθαίνουσι, κἂν πίστιν ἔχωσιν ὀρθήν), ὁ δὲ Παῦλος, ὅταν, Ἑβραίοις ἐπιστέλλων, οὕτω λέγῃ καὶ παραινῇ· «Εἰρήνην μετὰ πάντων διώκετε, καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον», ἁγιασμὸν καλῶν τὴν σωφροσύνην, ὥστε ἕκαστον ἀρκεῖσθαι τῇ ἰδίᾳ γυναικὶ χρή, καὶ μὴ περιπίπτειν ἑτέρᾳ· τὸν γὰρ μὴ ἀρκούμενον ἀμήχανον σωθῆναι, ἀλλ' ἀνάγκη πάντως ἀπολέσθαι, κἂν μυρία ἔχῃ κατορθώματα· μετὰ γὰρ πορνείας ἀδύνατον εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, μᾶλλον δὲ οὐ πορνεία τοῦτο λοιπόν, ἀλλὰ μοιχεία· ὥσπερ γὰρ ἡ δεδεμένη ἀνδρί, ἂν ἑτέρῳ συνέλθῃ, λοιπὸν μεμοίχευται, οὕτως ὁ δεδεμένος γυναικί, ἂν ἑτέραν ἔχῃ, ἐμοίχευσεν. Ὁ δὲ τοιοῦτος οὐ κληρονομήσει βασιλείαν, ἀλλ' εἰς γέενναν ἐμπεσεῖται.

Ἄκουσον ἃ περὶ τούτων φησὶν ὁ Χριστός· «Ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ οὐ σβεσθήσεται»· οὐδε-

---

12. Ματθ. 7, 21.
13. Ματθ. 22, 23.

τόλμησε νά τό είπῆ, ἄλλοι δέ ἔλεγον ὅτι ὁ Θεός δέν ἠμπορεῖ νά γεννᾷ ἀπαθῶς, οὔτε ἀναγνωρίζουν ὅτι ὑπάρχει εἰς αὐτόν κάτι περισσότερον ἀπό τούς ἀνθρώπους, καί ἄλλοι λέγοντες ὅτι οὔτε ὁ ὀρθός βίος ὠφελεῖ καθόλου, οὔτε ἡ ὀρθή πολιτεία. 'Αλλά τώρα δέν εἶναι καιρός νά ἐξετάζωμεν αὐτά.

4. Τό ὅτι λοιπόν δέν ὠφελεῖ καθόλου ἡ ὀρθή πίστις, ὅταν ὁ βίος εἶναι αἰσχρός, καί ὁ Χριστός καί ὁ Παῦλος τό διδάσκουν, πού ἐφρόντισαν περισσότερον δι' αὐτό τό μέρος· ὁ μέν Χριστός ὅταν διδάσκῃ, «Δέν θά εἰσέλθῃ εἰς τήν βασιλείαν τῶν οὐρανῶν ὁ καθένας πού μέ ἀποκαλεῖ, Κύριε, Κύριε»[12], καί πάλιν, «Πολλοί θά μοῦ εἰποῦν κατ' ἐκείνην τήν ἡμέραν· Κύριε, δέν ἐπροφητεύσαμεν ἐν τῷ ὀνόματί σου; Καί τότε θά εἰπῶ εἰς αὐτούς ὅτι οὐδέποτε σᾶς ἐγνώρισα ὡς ἰδικούς μου· φύγετε ἀπό κοντά μου σεῖς πού ἐργάζεσθε τήν ἀνομίαν»[13] (διότι αὐτοί πού δέν προσέχουν τούς ἑαυτούς των εὔκολα παρασύρονται πρός τήν κακίαν καί ἄν ἀκόμη ἔχουν ὀρθήν πίστιν), ὁ δέ Παῦλος ὅταν, γράφων πρός τούς 'Εβραίους, λέγῃ καί συμβουλεύῃ τά ἑξῆς· «'Επιδιώκετε τήν εἰρήνην μέ ὅλους καί τόν ἁγιασμόν, χωρίς τόν ὁποῖον κανείς δέν θά ἰδῇ τόν Κύριον»[13], ὀνομάζων ἁγιασμόν τήν σωφροσύνην, ὥστε πρέπει ὁ καθένας νά ἀρκῆται εἰς τήν γυναῖκα του καί νά μή σχετίζεται μέ ἄλλην· διότι ἐκεῖνος πού δέν ἀρκεῖται εἰς τήν γυναῖκα του, εἶναι ἀδύνατον νά σωθῇ, ἀλλά κατ' ἀνάγκην θά ὁδηγηθῇ ὁπωσδήποτε εἰς τήν ἀπώλειαν καί ἄν ἀκόμη ἔχῃ ἄπειρα κατορθώματα· καθ' ὅσον εἶναι ἀδύνατον νά εἰσέλθῃ κανείς εἰς τήν βασιλείαν τῶν οὐρανῶν μέ τήν πορνείαν, μᾶλλον δέ αὐτό δέν εἶναι πλέον πορνεία, ἀλλά μοιχεία· διότι ὅπως ἀκριβῶς ἡ συνήψασα γάμον μέ ἄνδρα, ἄν ἔλθῃ εἰς σαρκικήν ἕνωσιν μέ ἄλλον, μοιχεύει πλέον, ἔτσι καί ὁ ἄνδρας πού συνῆψε γάμον μέ γυναῖκα, ἄν ἔχῃ ἄλλην γυναῖκα, μοιχεύει. 'Ο παρόμοιος ἄνθρωπος δέν θά κληρονομήσῃ τήν βασιλείαν τῶν οὐρανῶν, ἀλλά θά ριφθῇ εἰς τήν γέενναν τοῦ πυρός.

"Ακουσε αὐτά πού λέγει ὁ Χριστός δι' αὐτούς· «'Ο σκώληξ αὐτῶν δέν θά σταματήσῃ νά τούς κατατρώγῃ καί

μίαν γὰρ ἔχει συγγνώμην ὁ μετὰ γυναῖκα καὶ παραμυθίαν τοσαύτην ἐξυβρίζων εἰς ἑτέραν· τοῦτο γὰρ ἀκρασία λοιπόν. Εἰ δὲ καὶ αὐτῆς ἀπέχονται οἱ πολλοί, ὅταν νηστείας καιρὸς ᾖ, ὅταν προσευχῆς, ὁ μηδὲ ταύτῃ ἀρκούμενος, ἀλλὰ καὶ ἑτέρᾳ μιγνύμενος, πόσον οὗτος σωρεύει πῦρ ἑαυτῷ; Εἰ τὸν ἀπολύσαντα τὴν ἑαυτοῦ καὶ ἐκβαλόντα, ἑτέρᾳ μίγνυσθαι οὐκ ἔνι (μοιχεία γάρ τοῦτό ἐστιν), ὁ ἔνδον αὐτῆς ἑτέραν ἐπεισάγων πόσον ἐργάζεται κακόν; Μηδεὶς τοίνυν τοῦτο τὸ νόσημα συγχωρείτω μένειν ἐν τῇ ψυχῇ, ἀλλὰ πρόρριζον ἀνασπάτω. Οὐχ οὕτως ἀδικεῖ τὴν γυναῖκα, ὡς ἑαυτόν· οὕτω γὰρ τὸ ἁμάρτημα τοῦτο χαλεπὸν καὶ ἀσύγγνωστον, ὅτι, ἂν μὲν εἰδωλολάτρου χωρισθῇ, μὴ βουλομένου ἐκείνου, κολάζει τὴν γυναῖκα ὁ Θεός, πόρνου δὲ ἐὰν χωρισθῇ, οὐκ ἔτι.

Ὁρᾷς ὅσον ἐστὶ τοῦτο κακόν; «Ἐὰν γάρ τις», φησί, «πιστὴ ἄνδρα ἔχῃ ἄπιστον, καὶ αὐτὸς συνευδοκῇ οἰκεῖν μετ' αὐτῆς, μὴ ἀφιέτω αὐτόν». Περὶ δὲ πόρνης οὐχ οὕτως· ἀλλὰ τί; «Ἐάν τις ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι»· εἰ γὰρ ἡ συνουσία σῶμα ἓν ποιεῖ, τὸν συγγινόμενον πόρνῃ ἀνάγκη ἓν σῶμα γίνεσθαι. Πῶς οὖν δέξεται ἡ κοσμία τοῦτον, Χριστοῦ μέλος οὖσα; ἢ πῶς ἑαυτῇ συνάψει τὸ τέλος τῆς πόρνης; Καὶ ὅρα τὴν ὑπερβολήν. Ἡ μὲν τῷ ἀπίστῳ συνοικοῦσα οὐκ ἔστιν ἀκάθαρτος («ἡγίασται γάρ, φησίν, ὁ ἀνὴρ ὁ ἄπιστος ἐν τῇ γυναικί»), ἐπὶ δὲ τῆς πόρνης οὐχ οὕτως, ἀλλὰ τί; «Ἄρας οὖν τὰ μέλη τοῦ Χριστοῦ, ποιήσω μέλη πόρνης;». Ἐκεῖ μὲν γὰρ ὁ ἁγιασμὸς μένει, κἀκείνου συνοικοῦντος, καὶ οὐκ ἐξίσταται, ἐνταῦθα δὲ ἀναχωρεῖ· δεινὸν γὰρ

13. Ἑβρ. 12, 14.
14. Μάρκ. 9, 46.
15. Α' Κορ. 7, 13.
16. Ματθ. 5, 32.
17. Α' Κορ. 7, 14.
18. Α' Κορ. 6, 15.

τὸ πῦρ δέν θὰ σβήση»[14]· διότι καμμίαν συγχώρησιν δὲν ἔχει αὐτὸς ποὺ ἔχει γυναῖκα καὶ τοῦ παρέχει τόσην ἀνακούφισιν νὰ τὴν προσβάλη μὲ τὴν σχέσιν του μὲ ἄλλην· διότι αὐτὸ πλέον εἶναι ἀκολασία. Ἐὰν ὅμως πολλοὶ ἀπέχουν καὶ ἀπό τὴν γυναῖκα των, ὅταν εἶναι περίοδος νηστείας, ὅταν προσευχῆς, ἐκεῖνος πού δὲν ἀρκεῖται εἰς τὴν γυναῖκα του, ἀλλὰ καὶ ἔρχεται εἰς σχέσιν μὲ ἄλλην, πόσον πῦρ σωρεύει αὐτὸς διὰ τὸν ἑαυτόν του; Ἐάν, ἐκεῖνος ποὺ ἐχώρισε τὴν γυναῖκα του καὶ τὴν ἐξεδίωξε ἀπὸ τὴν οἰκίαν, δὲν ἐπιτρέπεται νὰ συνάπτη σχέσιν μὲ ἄλλην (διότι αὐτὸ εἶναι μοιχεία), αὐτός, ποὺ ὁδηγεῖ ἄλλην εἰς τὴν οἰκίαν του, ἐνῷ εὑρίσκεται μέσα ἡ γυναῖκα του, πόσον κακὸν διαπράττει; Κανεὶς λοιπὸν νὰ μὴ ἐπιτρέπη αὐτὸ τὸ νόσημα νὰ μένῃ εἰς τὴν ψυχήν του, ἀλλὰ νὰ τὸ βγάζη ἀπὸ τὴν ρίζαν. Δὲν ἀδικεῖ τόσον τὴν γυναῖκα του, ὅσον τὸν ἑαυτόν του· διότι τὸ ἁμάρτημα αὐτὸ εἶναι τόσον φοβερὸν καὶ ἀσυγχώρητον, ὥστε, ἂν μὲν ἡ γυναῖκα χωρισθῇ ἀπὸ εἰδωλολάτρην, χωρὶς νὰ τὸ θέλη ἐκεῖνος, τὴν τιμωρεῖ ὁ Θεὸς τὴν γυναῖκα, ἐνῷ ἐὰν χωρισθῇ ἀπὸ πόρνον, ὄχι πλέον.

Βλέπεις πόσον κακὸν εἶναι αὐτό; Διότι λέγει· «Ἐὰν κάποια πιστὴ ἔχῃ ἄνδρα ἄπιστον καὶ αὐτὸς ἀνέχεται νὰ κατοικῇ μαζί της, νὰ μὴ τὸν ἐγκαταλείπη αὐτή»[15]. Διὰ τὴν πόρνην ὅμως δὲν λέγει τὸ ἴδιο, ἀλλὰ τί; «Ἐὰν κάποιος χωρίση τὴν γυναῖκα του, ἐκτὸς ἀπὸ αἰτίαν πορνείας, τὴν κάμνει νὰ διαπράξη μοιχείαν»[16]· διότι, ἐὰν ἡ σαρκικὴ ἕνωσις δημιουργῇ ἕνα σῶμα, κατ' ἀνάγκην γίνεται ἕνα σῶμα καὶ αὐτὸς ποὺ ἔρχεται εἰς σχέσιν μὲ πόρνην. Πῶς λοιπὸν θὰ δεχθῇ αὐτὸν ἡ φρόνιμη γυναῖκα, ἐνῷ εἶναι μέλος τοῦ Χριστοῦ; ἢ πῶς θὰ ἑνώση μὲ τὸν ἑαυτόν της τὸ μέλος τῆς πόρνης; Καὶ πρόσεχε τὴν ὑπερβολήν. Ἐκείνη μὲν ποὺ συγκατοικεῖ μὲ τὸν ἄπιστον δὲν εἶναι ἀκάθαρτος (διότι λέγει· «Ἔχει ἁγιασθῇ ὁ ἄπιστος ἄνδρας διὰ τῆς γυναικός του»[17]), διὰ τὴν πόρνην ὅμως δὲν λέγει τὸ ἴδιο, ἀλλὰ τί; «Νὰ πάρω λοιπὸν τὰ μέλη τοῦ Χριστοῦ καὶ νὰ τὰ κάνω μέλη πόρνης;»[18]. Εἰς τὴν πρώτην περίπτωσιν παραμένει ὁ ἁγιασμὸς καὶ ἂν ἀκόμη ἐκεῖνος συγκατοικῇ μαζί της καὶ δὲν φεύγῃ,

ἡ πορνεία, καὶ ἀθάνατον προξενοῦσα κόλασιν. Καὶ ἐνταῦθα δὲ μυρία ἐπισπᾶται κακά· βίον γὰρ ταλαίπωρον καὶ μοχθηρὸν ἀναγκάζεται ζῆν ὁ τοιοῦτος, καὶ τῶν κολαζομένων οὐδὲν ἄμεινον διάκειται, εἰς τὴν ἀλλοτρίαν οἰκίαν ὑπεισιὼν μετὰ δέους καὶ τρόμου πολλοῦ, καὶ πάντας ὁμοῦ ὑποπτεύων, καὶ οἰκέτας, καὶ ἐλευθέρους.

Διό, παρακαλῶ, σπουδάσατε ἀπηλλάχθαι τοῦ νοσήματος τούτου. Εἰ δὲ μὴ πείθεσθε, τῶν προθύρων μὴ ἐπιβαίνετε τῶν ἱερῶν· καὶ γὰρ τὰ ψώρας ἐμπεπλησμένα πρόβατα, καὶ νόσου γέμοντα οὐ δεῖ μετὰ τῶν ὑγιαινόντων ἀγελάζεσθαι, ἀλλ' ἀπελαύνειν τῆς ποίμνης, ἕως ἂν τὴν νόσον ἀποθῶνται. Μέλη γὰρ Χριστοῦ γεγόναμεν, μὴ δὴ μέλη πόρνης γενώμεθα. Οὐκ ἔστι τὰ ἐνταῦθα πορνεῖον, ἀλλ' Ἐκκλησία. Τὰ δὲ μέλη τῆς πόρνης ἂν ἔχῃς, μὴ στῇς ἐν ἐκκλησίᾳ, ἵνα μὴ ἐξυβρίσῃς τὸν τόπον. Εἰ γὰρ μὴ γέεννα ἦν, εἰ γὰρ μὴ κόλασις ἦν, μετὰ τὰς συνθήκας ἐκείνας καὶ τὰς γαμηλίους λαμπάδας, μετὰ τὴν εὐνὴν τὴν δικαίαν, μετὰ τὴν παιδοποιΐαν, μετὰ τὴν κοινωνίαν πῶς ἀνέξῃ προσκολλᾶσθαι ἑτέρᾳ; πῶς οὐκ αἰσχύνῃ, οὐδὲ ἐρυθριᾷς; Οὐκ οἶδας ὅτι οἱ μετὰ τὴν τελευτὴν τῆς ἑαυτῶν ἑτέραν ἐπεισαγόμενοι παρὰ πολλῶν καταγινώσκονται, καίτοι οὐ κόλασιν ἔχει τὸ πρᾶγμα; Σὺ δὲ καὶ ζώσης ἑτέραν ἐπεισάγεις. Καὶ πόσης οὐχὶ ταῦτα λαγνείας; Μάθε τί περὶ τῶν τοιούτων εἴρηται· «Ὁ σκώληξ», φησίν, «αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ οὐ σβεσθήσεται». Φρῖξον τὴν ἀπειλήν, φοβήθητι τὴν κόλασιν. Οὐκ ἔστιν ἐνταῦθα τοσαύτη ἡ ἡδονή, ὅση ἐκεῖ τιμωρία. Ἀλλὰ μὴ γένοιτό τινα ὑπεύθυνον γενέσθαι τῆς κολάσεως ἐκείνης, ἀλλὰ τὴν ἁγιωσύνην ἀσκοῦντας ἰδεῖν τὸν Χριστόν, καὶ τῶν

19. Μαρκ. 9, 46.

ἐνῷ εἰς αὐτὴν τὴν περίπτωσιν ἀναχωρεῖ· διότι εἶναι φοβερὸν πρᾶγμα ἡ παρουσία, φοβερὸν καὶ προξενεῖ ἀθάνατον τιμωρίαν. Καὶ εἰς τὴν ἐδῶ ζωὴν προξενεῖ ἀμέτρητα κακά· διότι ὁ ἄνθρωπος αὐτοῦ τοῦ εἴδους ἀναγκάζεται νὰ ζῇ ζωὴν ἀθλίαν καὶ μοχθηρὰν καὶ εὑρίσκεται καθόλου εἰς καλυτέραν θέσιν ἀπὸ τοὺς τιμωρημένους, καθ' ὅσον εἰσέρχεται εἰς τὴν ξένην οἰκίαν μὲ πολλὴν φόβον καὶ τρόμον, καὶ ὅλους τοὺς ὑποπτεύεται ἐξ ἴσου, καὶ δούλους καὶ ἐλευθέρους.

Διὰ τοῦτο, παρακαλῶ, φροντίσατε νὰ ἀπαλλαχθῆτε ἀπὸ αὐτὸ τὸ νόσημα. Ἐὰν ὅμως δὲν πείθεσθε, μὴ πατῆτε τὰ ἱερὰ πρόθυρα· καθ' ὅσον τὰ πρόβατα, πού εἶναι γεμᾶτα ἀπὸ τὴν ψώραν καὶ εἶναι ἀσθενῆ, δὲν πρέπει νὰ ζοῦν εἰς τὴν ἰδίαν ποίμνην μὲ τὰ ὑγιῆ, ἀλλὰ νὰ τὰ ἀπομακρύνουν ἀπὸ τὴν ποίμνην ἕως ὅτου ἀπαλλαγοῦν ἀπὸ τὴν νόσον. Μέλη λοιπὸν τοῦ Χριστοῦ ἔχομεν γίνει, ἄς μὴ γενώμεθα μέλη πόρνης. Δὲν εἶναι ὁ χῶρος αὐτὸς πορνεῖον, ἀλλ' Ἐκκλησία. Ἄν ὅμως ἔχῃς τὰ μέλη τῆς πόρνης, μὴ ἔλθῃς εἰς τὴν ἐκκλησίαν, διὰ νὰ μὴ προσβάλῃς τὸν τόπον. Διότι καὶ ἂν ἀκόμη δὲν ὑπῆρχε γέεννα, καὶ ἂν ἀκόμη δὲν ὑπῆρχε κόλασις, μετὰ τὰς συμφωνίας ἐκείνας καὶ τὰς γαμηλίους λαμπάδας, μετὰ τὴν νόμιμον συνεύρεσιν ἐπὶ τῆς ἰδίας κλίνης, μετὰ τὴν τεκνοποιΐαν, μετὰ ἀπὸ αὐτὴν τὴν κοινωνίαν πῶς θ' ἀνεχθῇς νὰ προσκολληθῇς εἰς ἄλλην; πῶς δὲν ἐντρέπεσαι οὔτε κοκκινίζεις; Δὲν γνωρίζεις ὅτι ἐκεῖνοι πού εἰσάγουν εἰς τὴν οἰκίαν των, μετὰ τὸν θάνατον τῆς συζύγου των, ἄλλην γυναῖκα, ἐπικρίνονται ἀπὸ τοὺς πολλούς, ἂν καὶ δὲν εἶναι ἄξιον τιμωρίας τὸ πρᾶγμα. Σὺ δὲ καὶ ἐν ὅσῳ ζῇ ἀκόμη εἰσάγεις ἄλλην; Καὶ πόσης φιληδονίας δείγματα δὲν εἶναι αὐτά; Μάθε τί ἔχει λεχθῆ διὰ τοὺς ἀνθρώπους αὐτοῦ τοῦ εἴδους· «Ὁ σκώληξ», λέγει, «αὐτῶν δὲν θὰ πεθάνῃ καὶ τὸ πῦρ δὲν θὰ σβησθῇ»[19]. Νοιῶσε φρίκην διὰ τὴν ἀπειλὴν καὶ φόβον διὰ τὴν κόλασιν. Δὲν εἶναι ἐδῶ τόση ἡ ἡδονή, ὅση εἶναι ἐκεῖ ἡ τιμωρία. Ἀλλ' εἴθε νὰ μὴ συμβῇ νὰ γίνῃ κανεὶς ὑπεύθυνος ἐκείνης τῆς τιμωρίας, ἀλλά, ἀσκοῦντες τὴν ἁγιωσύνην, νὰ ἰδοῦ-

ἐπηγγελμένων τυχεῖν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἀπολαῦσαι χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

μεν τόν Χριστόν καὶ νὰ ἐπιτύχωμεν τὰ ἀγαθὰ ποὺ μᾶς ὑπεσχέθη ὁ Θεός, τὰ ὁποῖα εἴθε νὰ συμβῇ ὅλοι μας νὰ ἀπολαύσωμεν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα ἀνήκει ἡ δόξα συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΞΔ΄

Ἰω. 11, 41 - 48

«Ὁ δὲ Ἰησοῦς ἦρε τοὺς ὀφθαλμοὺς ἄνω, καὶ εἶπε· Πάτερ, εὐχαριστῶ σοι, ὅτι ἤκουσάς μου. Ἐγὼ δὲ ᾔδειν ὅτι πάντοτέ μου ἀκούεις, ἀλλὰ διὰ τὸν ὄχλον τὸν περιεστῶτα εἶπον», καὶ τὰ ἑξῆς.

1. Ὃ πολλάκις εἶπον, τοῦτο καὶ νῦν ἐρῶ, ὅτι ὁ Χριστὸς οὐχ οὕτω πρὸς τὴν ἀξίαν ὁρᾷ τὴν ἑαυτοῦ, ὡς πρὸς τὴν σωτηρίαν τὴν ἡμετέραν, οὐδ᾽ ὅπως τι μέγα φθέγξηται, ἀλλ᾽ ὅπως δυνάμενον ἡμᾶς ἐπισπάσασθαι. Διὰ τοῦτο τὰ μὲν ὑψηλὰ καὶ μεγάλα, ὀλίγα, καὶ αὐτὰ δὲ κεκρυμμένα, τὰ δὲ ταπεινὰ καὶ εὐτελῆ, πολλὰ περιρρεῖ τοῖς αὐτοῦ λόγοις. Ἐπειδὴ γὰρ τούτοις ἐνήγοντο μᾶλλον, τούτοις καὶ ἐνδιατρίβει, καὶ οὔτε αὐτὰ διόλου φθέγγεται, ὥστε μὴ τοὺς μετὰ ταῦτα βλαβῆναι, οὔτε αὐτὰ ἀποσιωπᾷ, ὥστε μὴ τοὺς τότε σκανδαλισθῆναι· οἱ μὲν γὰρ τῆς ταπεινότητος ἐξελθόντες, καὶ ἐξ ἑνὸς ὑψηλοῦ δόγματος τὸ πᾶν δυνήσονται κατιδεῖν, οἱ δὲ ἀεὶ ταπεινοὶ ὄντες, εἰ μὴ πολλάκις ταῦτα ἤκουον, οὐδ᾽ ἂν ὅλως προσῆλθον. Ἀμέλει γοῦν οὐδὲ μετὰ τοσαῦτα μένουσιν, ἀλλὰ καὶ λιθάζουσι, καὶ διώκουσι, καὶ ἀναιρεῖν ἐπιχειροῦσι, καὶ βλάσφημον ἀποκαλοῦσι, καί, ὅταν μὲν ἴσον ἑαυτὸν ποιῇ τῷ Θεῷ, οὕτω λέγουσιν, «Οὗτος βλασφημεῖ», ὅταν δὲ εἴπῃ, «Ἀφέωνταί σοι αἱ ἁμαρτίαι», ἔτι καὶ δαιμονῶντα καλοῦσιν, ὥσπερ καὶ ὅταν θανάτου κρείττονα

---

1. Μάρκ. 2, 7.
2. Ματθ. 9, 2.

ΟΜΙΛΙΑ ΞΔ'

'Ιω. 11, 41-48

«Ὁ δὲ Ἰησοῦς ἐσήκωσεν τοὺς ὀφθαλμούς του ἐπάνω καὶ εἶπε· Πάτερ, σ' εὐχαριστῶ ποὺ μὲ ἤκουσες. Ἐγὼ δὲ τὸ ἐγνώριζα ὅτι πάντοτε μὲ ἀκούεις· ἀλλὰ τὸ εἶπα διὰ τὸ πλῆθος τὸ παρευρισκόμενον ἐδῶ» καὶ τὰ ἑξῆς.

1. Αὐτὸ ποὺ πολλὲς φορὲς εἶπα, αὐτὸ καὶ τώρα θὰ εἰπῶ, ὅτι ὁ Χριστὸς δὲν ἀποβλέπει τόσον πρὸς τὴν ἰδικήν του ἀξίαν, ὅσον πρὸς τὴν σωτηρίαν τὴν ἰδικήν μας, οὔτε πῶς νὰ εἰπῇ κάτι τὸ σπουδαῖον, ἀλλὰ κάτι ποὺ νὰ ἠμπορῇ νὰ μᾶς προσελκύσῃ κοντά του. Διὰ τοῦτο τὰ μὲν ὑψηλὰ καὶ μεγάλα νοήματα εἶναι ὀλίγα εἰς τοὺς λόγους του καὶ αὐτὰ συγκεκαλυμμένα, ἐνῷ τὰ ταπεινὰ καὶ ἀσήμαντα νοήματα καταπλημμυρίζουν τοὺς λόγους του. Ἐπειδὴ δηλαδὴ μὲ αὐτὰ ἐσυγκινοῦντο περισσότερον, αὐτὰ καὶ προτιμᾷ, καὶ οὔτε αὐτὰ τὰ φανερώνει ἐξ ὁλοκλήρου, ὥστε νὰ μὴ βλαβοῦν ὅσοι θὰ ἐπίστευον εἰς τὸ μέλλον, οὔτε τὰ ἀποσιωπᾷ, ὥστε νὰ μὴ σκανδαλισθοῦν οἱ τότε πιστοί· διότι ἐκεῖνοι μὲν ποὺ ἐξῆλθον ἀπὸ τὴν ταπεινότητα θὰ ἠμπορέσουν καὶ ἀπὸ ἕνα ὑψηλὸν δόγμα νὰ ἀντιληφθοῦν τὸ πᾶν, ἐνῷ ἐκεῖνοι ποὺ ἐξακολουθοῦν νὰ ζοῦν εἰς τὴν ταπεινότητα, ἐὰν δὲν τὰ ἤκουον αὐτὰ πολλὲς φορές, δὲν θὰ ἦτο δυνατὸν οὔτε κἂν νὰ τὸν πλησιάσουν. Ὅταν λοιπὸν οὔτε καὶ μετὰ ἀπὸ τὰ τόσα μένουν κοντά του, ἀλλὰ καὶ τὸν λιθοβολοῦν καὶ τὸν ἐκδιώκουν καὶ προσπαθοῦν νὰ τὸν φονεύσουν καὶ τὸν ὀνομάζουν βλάσφημον, καὶ ὅταν μὲν ἐξισώνῃ τὸν ἑαυτόν του μὲ τὸν Θεόν, λέγουν τὰ ἑξῆς, «Αὐτὸς βλασφημεῖ»[1], ὅταν δὲ λέγῃ, «Συγχωροῦνται αἱ ἁμαρτίαι σου»[2], τὸν ἀποκαλοῦν ἀκόμη καὶ δαιμονισμένον, ὅπως ἀ-

εἶναι τὸν ἀκούοντα αὐτοῦ τῶν ῥημάτων, ἢ καὶ ὅταν λέγῃ· «Ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί», ἐγκαταλιμπάνουσιν αὐτόν, καὶ σκανδαλίζονται πάλιν, ὅταν λέγῃ ἐκ τοῦ οὐρανοῦ καταβεβηκέναι.

Εἰ γοῦν ταῦτα οὐκ ἔφερον, σπανιάκις λεγόμενα, σχολῇ γ' ἄν, εἰ διὰ πάντων ὑψηλὸς ἦν ὁ λόγος καὶ οὕτως ὑφαίνετο, παρέσχον ἂν αὐτῷ. Ὅταν γοῦν λέγῃ, «Καθὼς ἐνετείλατό μοι ὁ Πατήρ, οὕτω λαλῶ», καὶ ὅτι «ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα», τότε πιστεύουσι. Καὶ ὅτι τότε, δῆλον ἀπὸ τοῦ τὸν Εὐαγγελιστὴν τοῦτο ἐπισημήνασθαι καὶ εἰπεῖν ὅτι, «ταῦτα αὐτοῦ λαλοῦντος, πολλοὶ ἐπίστευσαν εἰς αὐτόν». Εἰ τοίνυν τὸ μὲν ταπεινὰ φθέγγεσθαι πρὸς πίστιν ἐφεῖλκε, τὸ δὲ ὑψηλά, ἀπεσόβει, πῶς οὐκ ἐσχάτης ἀνοίας μὴ λογίζεσθαι τῶν ταπεινῶν τὴν αἰτίαν πᾶσαν ὅτι διὰ τοὺς ἀκροατὰς εἴρηται; Ἐπεὶ καὶ ἀλλαχοῦ, μέγα τι εἰπεῖν βουληθείς, ἐσίγησε, τὴν αἰτίαν ταύτην προσθεὶς καὶ εἰπών· «Ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτούς, βάλε ἄγκιστρον εἰς τὴν θάλασσαν», ὃ δὴ ποιεῖ καὶ ἐνταῦθα· μετὰ γὰρ τὸ εἰπεῖν, «Ἐγὼ ᾔδειν ὅτι πάντοτέ μου ἀκούεις», ἐπήγαγεν· «Ἀλλὰ διὰ τὸν ὄχλον τὸν περιεστῶτα εἶπον, ἵνα πιστεύσωσι». Μὴ ἡμέτερα τὰ ῥήματα; μὴ στοχασμὸς ἀνθρώπινος; Ὅταν οὖν τις ἀπὸ τῶν γεγραμμένων μὴ ἀνέχηται πείθεσθαι ὅτι ἐσκανδαλίζοντο ἐπὶ τοῖς ὑψηλοῖς, ἀκούων τοῦ Χριστοῦ λέγοντος διὰ τοῦτο ταπεινὰ φθέγγεσθαι, ἵνα μὴ σκανδαλισθῶσι, πῶς λοιπὸν τῆς φύσεως εἶναι τὰ εὐτελῆ ὑποπτεύσει ῥήματα, ἀλλὰ μὴ συγκαταβάσεως;

Οὕτω καὶ ἀλλαχοῦ, φωνῆς ἐνεχθείσης ἄνωθεν, ἔλεγεν· «Οὐ δι' ἐμὲ ἡ φωνὴ αὕτη γέγονεν, ἀλλὰ δι' ὑμᾶς», καίτοι τῷ μὲν ὑψηλῷ ἔξεστι πολλὰ περὶ ἑαυτοῦ λέγειν ταπεινά, τῷ δὲ ταπεινῷ οὐ θέμις περὶ ἑαυτοῦ μέγα τι καὶ ὑψηλὸν

---

3. Ἰω. 14, 10.
4. Ἰω. 14, 31.
5. Ἰω. 7, 28.
6. Ἰω. 8, 30.
7. Ματθ. 17, 27.
8. Ἰω. 12, 30.

κριβῶς πάλιν καὶ ὅταν λέγῃ ὅτι αὐτὸς ποὺ ἀκούει τὰ λόγια του δὲν ἔχει νὰ φοβηθῇ τὸν θάνατον, ἢ καὶ ὅταν λέγῃ, «Ἐγὼ εἶμαι μέσα εἰς τὸν Πατέρα καὶ ὁ Πατὴρ εἰς ἐμένα»[3], τὸν ἐγκαταλείπουν, καὶ σκανδαλίζονται πάλιν, ὅταν λέγῃ ὅτι ἔχει κατεβῆ ἀπὸ τὸν οὐρανόν.

Ἐὰν λοιπὸν δὲν ὑπέφερον αὐτὰ ποὺ σπανίως ἐλέγοντο, μετὰ μεγάλης δυσκολίας θὰ ἠμποροῦσαν νὰ τὸν προσέχουν, ἐὰν ὅλος ὁ λόγος του ἦτο γεμᾶτος ἀπὸ ὑψηλὰ νοήματα καὶ ἐξεφράζοντο μὲ αὐτὸν τὸν τρόπον. Ὅταν λοιπὸν λέγῃ, «Σύμφωνα μὲ τὴν ἐντολὴν ποὺ μοῦ ἔδωσεν ὁ Πατήρ μου, ἔτσι καὶ ἐνεργῶ»[4], καὶ ὅτι, «Δὲν ἦλθον ἀπὸ μόνος μου»[5], τότε πιστεύουν. Καὶ τὸ ὅτι τότε, γίνεται φανερὸν ἀπὸ τὸ ὅτι τὸ ἐπεσήμανεν αὐτὸ ὁ Εὐαγγελιστὴς μὲ τὰ λόγια, «ἐνῷ ἔλεγεν αὐτά, πολλοὶ ἐπίστευσαν εἰς αὐτόν»[6]. Ἐὰν λοιπὸν οἱ μὲν ταπεινοὶ λόγοι προσείλκυον εἰς τὴν πίστιν, οἱ δὲ ὑψηλοὶ ἀπεμάκρυνον, πῶς δὲν ἀποτελεῖ μεγίστην ἀνοησίαν νὰ μὴ θεωροῦμεν ὅτι οἱ ταπεινοὶ λόγοι ἐλέχθησα ἐξ αἰτίας τῶν ἀκροατῶν; Διότι καὶ εἰς ἄλλην περίπτωσιν, θέλων νὰ εἰπῇ κάτι τὸ σπουδαῖον, ἐσιώπησεν, ἀφοῦ ἐπρόσθεσεν αὐτὴν τὴν αἰτίαν καὶ εἶπε, «Διὰ νὰ μὴ σκανδαλίσωμεν ὅμως αὐτούς, ρίψε ἀγκίστρι εἰς τὴν θάλασσαν»[7], πρᾶγμα λοιπὸν ποὺ κάμνει καὶ ἐδῶ· διότι μετὰ τοὺς λόγους, «Ἐγὼ ἐγνώριζα ὅτι πάντοτε μὲ ἀκούεις», ἐπρόσθεσεν· «Ἀλλὰ τὸ εἶπα αὐτὸ ἐξ αἰτίας τοῦ παρευρισκομένου πλήθους, διὰ νὰ πιστεύσουν». Μήπως εἶναι ἰδικά μας τὰ λόγια; μήπως εἶναι ἀνθρωπίνη σκέψις; Ὅταν λοιπὸν κανεὶς δὲν ἀνέχεται ἀπὸ τὰ γραμμένα νὰ πεισθῇ, διότι ἐσκανδαλίζοντο μὲ τὰ ὑψηλοῦ περιεχομένου λόγια, ἀκούων τὸν Χριστὸν νὰ λέγῃ, ὅτι δι' αὐτὸ ὁμιλεῖ μὲ ταπεινὰ λόγια, διὰ νὰ μὴ σκανδαλισθοῦν, πῶς λοιπὸν θὰ σκεφθῇ ὅτι εἶναι λόγια εὐτελῆ ἐκ φύσεως καὶ ὄχι ἐκ συγκαταβάσεως;

Ἔτσι καὶ εἰς ἄλλην περίπτωσιν, ὅταν ἠκούσθη φωνὴ ἀπὸ τὸν οὐρανόν, ἔλεγεν· «Δὲν ἠκούσθη αὐτὴ ἡ φωνὴ δι' ἐμένα, ἀλλὰ δι' ἐσᾶς»[8], ἂν καὶ βέβαια ὁ μὲν ὑψηλὸς πνευματικὰ ἠμπορεῖ νὰ λέγῃ πολλὰ ταπεινὰ διὰ τὸν ἑαυτόν του, ἐνῷ ὁ ταπεινὸς δὲν ἐπιτρέπεται νὰ λέγῃ διὰ τὸν ἑαυτόν

φθέγξασθαι· ἐκεῖνο μὲν γὰρ ἀπὸ συγκαταβάσεως γίνεται, καὶ τὴν τῶν διδασκομένων ἀσθένειαν αἰτίαν ἔχει, μᾶλλον δὲ τὸ ἐνάγειν εἰς ταπεινοφροσύνην ὁρᾶν, καὶ τὸ σάρκα περικεῖσθαι, καὶ τὸ παιδεύειν τοὺς ἀκούοντας μηδὲν περὶ ἑαυτῶν μέγα λαλεῖν, καὶ τὸ νομίζεσθαι ἀντίθεον, καὶ τὸ ἀπιστεῖσθαι ἥκειν παρὰ τοῦ Θεοῦ, καὶ τὸ ὑποπτεύεσθαι λύειν τὸν νόμον, καὶ τὸ βασκαίνειν τοὺς ἀκούοντας, καὶ πρὸς αὐτὸν ἀπεχθῶς διακεῖσθαι (διότι ἔλεγεν ἑαυτὸν ἴσον τῷ Θεῷ), τὸ δὲ ταπεινὸν ὄντα τινὰ ὑψηλόν τι περὶ ἑαυτοῦ λέγειν, οὐδεμίαν ἔχει αἰτίαν οὔτε εὔλογον, οὔτε ἄλογον, ἀλλ' ἢ ἀπόνοια ἂν εἴη μόνον καὶ ἀναίδεια, καὶ τόλμα ἀσύγγνωστος. Τίνος οὖν ἕνεκεν ταπεινὰ φθέγγεται, τῆς ἀπορρήτου καὶ μεγάλης οὐσίας ἐκείνης ὤν; Τῶν τε εἰρημένων ἕνεκεν, καὶ ὥστε μὴ νομισθῆναι ἀγέννητος· καὶ γὰρ Παῦλος τοιοῦτόν ἐστι φαίνεται φοβηθείς. Διὸ καὶ ἔλεγε· «Χωρὶς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα»· ἀσεβὲς γὰρ τοῦτο καὶ λογίσασθαι.

Εἴ γε, ἐλάττων τοῦ γεγεννηκότος ὢν καὶ ἑτέρας οὐσίας, ἴσος ἐνομίζετο, οὐκ ἂν οὖν πάντα ἐποίησεν, ὥστε μὴ νομισθῆναι τοῦτο; Νῦν δὲ αὐτὸς τοὐναντίον ποιεῖ, λέγων· «Εἰ μὴ ποιῶ τὰ ἔργα τοῦ πέμψαντός με, μὴ πιστεύετέ μοι»· καὶ τὸ λέγειν δὲ ὅτι «ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί», τὴν ἰσότητα ἡμῖν αἰνίττεται. Ἐχρῆν δὲ μετὰ πολλῆς αὐτὸ σφοδρότητος καθελεῖν, εἴ γε καταδεέστερος ἦν, καὶ μηδαμοῦ ὅλως εἰπεῖν ὅτι «ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί», ἢ ὅτι «ἕν ἐσμεν», ἢ ὅτι «ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα»· καὶ γάρ, περὶ δυνάμεως ὅτε λόγος ἦν αὐτῷ, ἔλεγεν· «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν»· καὶ περὶ ἐξουσίας ὅτε λόγος ἦν, πάλιν ἔλεγεν· «Ὥσπερ γὰρ ὁ Πατὴρ ἐγείρει

---

9. Α' Κορ. 15, 27.
10. Ἰω. 10, 37.
11. Ἰω. 14, 10.
12. Ἰω. 10, 30.
13. Ἰω. 14, 9.
14. Ἰω. 10, 30.

του κάτι τὸ ἀνώτερον καὶ ὑψηλόν˙ διότι τὸ μὲν πρῶτο γίνεται ἀπὸ συγκατάβασιν καὶ ἔχει ὡς αἰτίαν τὴν πνευματικὴν ἀδυναμίαν τῶν διδασκομένων, μᾶλλον δὲ νὰ τοὺς ὁδηγήσῃ εἰς τὸ ν' ἀποβλέπουν πρὸς τὴν ταπεινοφροσύνην καὶ ὅτι περιβάλλονται ἀπὸ σάρκα καὶ νὰ διδάξῃ τοὺς ἀκροατὰς νὰ μὴ λέγουν τίποτε τὸ μέγα διὰ τὸν ἑαυτόν των καὶ τὸ νὰ τὸν θεωροῦν ἀντίθεον καὶ τὸ νὰ μὴ γίνεται πιστευτὸν ὅτι ἦλθεν ἀπὸ τὸν Θεὸν καὶ τὸ νὰ ὑποπτεύωνται ὅτι καταλύει τὸν νόμον καὶ τὸ νὰ τὸν φθονοῦν οἱ ἀκροαταὶ καὶ τὸ νὰ συμπεριφέρωνται ἐχθρικὰ πρὸς αὐτὸν (διότι ἔλεγον ὅτι ἐξισώνει τὸν ἑαυτόν του μὲ τὸν Θεόν), ἐνῷ τὸ νὰ εἶναι κανεὶς ταπεινὸς καὶ νὰ λέγῃ περὶ τοῦ ἑαυτοῦ του κάτι τὸ ὑψηλόν, δὲν ἔχει καμμίαν αἰτίαν οὔτε λογικὴν οὔτε παράλογον, ἀλλ' εἶναι μόνον ἀνοησία, ἀναίδεια καὶ τόλμη ἀσυγχώρητος. Διὰ ποίαν αἰτίαν λοιπὸν ὁμιλεῖ μὲ ταπεινὰ λόγια, ἐνῷ προέρχεται ἀπὸ τὴν ἀπερίγραπτον καὶ μεγάλην ἐκείνην οὐσίαν; Καὶ ἐξ αἰτίας τῶν ὅσων ἐλέχθησαν καὶ διὰ νὰ θεωρηθῇ ἀγέννητος˙ καθ' ὅσον ὁ Παῦλος φαίνεται νὰ φοβῆται κάτι παρόμοιον. Διὰ τοῦτο καὶ ἔλεγε˙ «Ἐκτὸς ἀπὸ ἐκεῖνον εἰς τὸν ὁποῖον ὑπέταξε τὰ πάντα»[9]˙ διότι αὐτὸ θὰ ἦτο ἀσέβεια καὶ τὸ νὰ τὸ σκεφθῇ κανείς.

Ἐὰν λοιπὸν ἦτο κατώτερος ἀπὸ τὸν Πατέρα του καὶ ἀπὸ ἄλλην οὐσίαν καὶ ἐθεωρεῖτο ἴσος, δὲν θὰ ἔκαμνε τὰ πάντα, ὥστε νὰ μὴ σχηματισθῇ αὐτὴ ἡ γνώμη; Ἐνῷ τώρα αὐτὸς κάμνει τὸ ἀντίθετον, λέγων˙ «Ἐὰν δὲν ἐκτελῶ τὰ ἔργα ἐκείνου ποὺ μὲ ἀπέστειλε, μὴ μὲ πιστεύετε»[10]˙ καὶ μὲ τὸ νὰ λέγῃ δὲ ὅτι «Ἐγὼ εὑρίσκομαι μέσα εἰς τὸν Πατέρα καὶ ὁ Πατὴρ εἰς ἐμένα»[11], ὑπαινίσσεται εἰς ἡμᾶς τὴν ἰσότητα μὲ τὸν Πατέρα. Ἔπρεπε δέ, ἐὰν ἦτο βέβαια κατώτερος, μὲ πολλὴν σφοδρότητα νὰ ἐξαλείψῃ αὐτὴν τὴν σκέψιν, καὶ οὔτε κἂν νὰ εἰπῇ, «Ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί», ἢ ὅτι «εἴμεθα ἕνα»[12], ἢ ὅτι «Ἐκεῖνος ποὺ εἶδεν ἐμένα, ἔχει ἰδεῖ καὶ τὸν Πατέρα»[13]˙ καθ' ὅσον, καὶ ὅταν ὡμίλει περὶ τῆς δυνάμεως, ἔλεγεν˙ «Ἐγὼ καὶ ὁ Πατὴρ εἴμεθα ἕνα»[14]˙ καὶ ὅταν ὡμίλει περὶ τῆς ἐξουσίας, πάλιν ἔλεγεν˙ «Ὅπως ἀκριβῶς δηλαδὴ ὁ Πατὴρ ἀνασταίνει

τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ», ὅπερ οὐ δυνατὸν ἦν ἑτέρας ὄντα οὐσίας ποιεῖν. Εἰ δὲ καὶ δυνατὸν ἦν, οὐκ ἐχρῆν τοῦτο εἰπεῖν, ἵνα μὴ ὑποπτεύσωσι μίαν καὶ τὴν αὐτὴν οὐσίαν εἶναι· εἰ γάρ, ἵνα μὴ ὑποπτεύσωσιν ὅτι ἀντίθεός ἐστι, καὶ τὰ μὴ προσήκοντα αὐτῷ φθέγγεται πολλάκις, πολλῷ μᾶλλον ἔδει τότε. Νῦν δὲ τὸ λέγειν, «Ἵνα τιμῶσι τὸν Υἱόν, καθὼς τιμῶσι τὸν Πατέρα», καὶ τὸ λέγειν· «Τὰ ἔργα, ἃ ἐκεῖνος ἐργάζεται, κἀγὼ ὁμοίως ποιῶ», καὶ τὸ λέγειν ἑαυτὸν ἀνάστασιν εἶναι καὶ ζωὴν καὶ φῶς τοῦ κόσμου, ἐξισοῦντός ἐστι τῷ γεγεννηκότι ἑαυτόν, καὶ τὴν ὑποψίαν ἱστῶντος, ἣν εἶχον ἐκεῖνοι. Εἶδες πῶς ὅτι μὲν τὸν νόμον οὐ λύει, τοσαῦτα λέγει καὶ ἀπολογεῖται, τὴν δὲ δόξαν τῆς ἰσότητος τῆς πρὸς τὸν Πατέρα οὐ μόνον οὐ καθαιρεῖ, ἀλλὰ καὶ ἵστησιν; Οὕτω καί, εἰπόντων ὅτι «βλασφημεῖς, ὅτι ποιεῖς σεαυτὸν Θεόν», ἀπὸ τῆς τῶν ἔργων ἰσότητος αὐτὸ ἔστησε.

2. Καὶ τί λέγω ὅτι ὁ Υἱὸς τοῦτο ἐποίησεν, ὅπου γε καὶ ὁ Πατήρ, ὁ μὴ σάρκα λαβών, τὸ αὐτὸ τοῦτο ποιεῖ; καὶ γὰρ καὶ αὐτὸς ἠνέσχετο πολλὰ περὶ αὐτοῦ ταπεινὰ λεχθῆναι διὰ τὴν σωτηρίαν τῶν ἀκουόντων· τὸ γάρ, «Ἀδάμ, ποῦ εἶ;», καὶ τὸ «ἵνα γνῶ εἰ ἄρα κατὰ τὴν κραυγὴν αὐτῶν συντελοῦνται», καὶ τό, «Νῦν ἔγνων ὅτι φοβῇ τὸν Θεὸν σύ», καὶ τὸ «Ἐὰν ἄρα ἀκούσωσι», καὶ τό, «ἐὰν ἄρα συνῶσι», καί, «τίς δώσει τὴν καρδίαν τοῦ λαοῦ τούτου οὕτως εἶναι;», καὶ τὸ λέγεσθαι, «Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε», καὶ πολλὰ ἕτερα τοιαῦτα ἐν τῇ Παλαιᾷ εἴ τις ἐκλέγοι, ἀνάξια τῆς τοῦ Θεοῦ ἀξίας ὄντα εὑρήσει. Καὶ ἐπὶ τοῦ Ἀχαὰβ δὲ εἴρηται· «Τίς ἀπατήσει μοι τὸν Ἀχαάβ;». Καὶ τὸ ἀεὶ τῶν ἑλληνικῶν θεῶν κατὰ σύγκρισιν ἑαυτὸν προτιθέναι,

15. Ἰω. 5, 21.
16. Ἰω. 5, 23.
17. Ἰω. 5, 19.
18. Ἰω. 10, 33.
19. Γεν. 3, 9.
20. Γεν. 18, 21.
21. Γεν. 22, 12.
22. Ἰεζ. 3, 11.
23. Δευτ. 5, 29.
24. Ψαλμ. 85, 8.
25. Β΄ Παραλ. 18, 19.

τοὺς νεκροὺς καὶ χαρίζει εἰς αὐτοὺς ζωήν, ἔτσι καὶ ὁ Υἱός του, ἐκείνους ποὺ θέλει τοὺς ζωοποιεῖ»[15], πρᾶγμα ποὺ δὲν ἦτο δυνατὸν νὰ τὸ κάμῃ ἐὰν ἦτο ἀπὸ ἄλλην οὐσίαν. Καὶ ἂν ἀκόμη ἦτο δυνατόν, δὲν ἔπρεπε νὰ τὸ εἰπῇ αὐτό, διὰ νὰ μὴ σκεφθοῦν ὅτι εἶναι αὐτὸς καὶ ὁ Πατὴρ μία καὶ ἡ ἰδία οὐσία˙ διότι, ἐάν, διὰ νὰ μὴ ὑποπτευθοῦν ὅτι εἶναι ἀντίθετος, πολλὲς φορὲς λέγει καὶ αὐτὰ ποὺ δὲν ταιριάζουν εἰς αὐτόν, πολὺ περισσότερον ἔπρεπε τότε. Τώρα ὅμως μὲ τὸ νὰ λέγῃ, «Διὰ νὰ τιμοῦν τὸν Υἱόν, ὅπως τιμοῦν τὸν Πατέρα»[16], καθὼς ἐπίσης, «Τὰ ἔργα ποὺ κάμνει ἐκεῖνος, τὰ ἴδια τὰ κάμνω καὶ ἐγώ»[17], καὶ τὸ νὰ ὀνομάζῃ τὸν ἑαυτόν του ἀνάστασιν καὶ ζωὴν καὶ φῶς τοῦ κόσμου, ἀποδεικνύουν ὅτι ἐξισώνει τὸν ἑαυτόν του μὲ τὸν Πατέρα καὶ φανερώνουν τὴν γνώμην ποὺ εἶχον ἐκεῖνοι. Εἶδες πῶς λέγει τόσα πολλὰ καὶ ἀπολογεῖται ὅτι δὲν καταργεῖ τὸν νόμον, τὴν δὲ γνώμην τῆς ἰσότητός του πρὸς τὸν Πατέρα ὄχι μόνον δὲν ἀπορρίπτει, ἀλλὰ καὶ τὴν ἐπιβεβαιώνει; Ἔτσι, καὶ ὅταν εἶπαν, ὅτι «βλασφημεῖς, διότι κάμνεις τὸν ἑαυτόν σου Θεόν»[18], τὸ ἐπεβεβαίωσεν αὐτὸ ἀπὸ τὴν ἰσότητα τῶν ἔργων του.

2. Καὶ διατί λέγω, ὅτι ὁ Υἱὸς τὸ ἔκαμεν αὐτό, τὴν στιγμὴν ποὺ καὶ ὁ Πατήρ, πού δὲν ἔλαβε σάρκα, κάμνει τὸ ἴδιο; καθ᾿ ὅσον καὶ αὐτὸς ἠνείχετο νὰ λέγωνται πολλὰ ταπεινὰ δι᾿ αὐτὸν χάριν τῆς σωτηρίας τῶν ἀκροατῶν˙ διότι τὸ «Ἀδὰμ ποῦ εἶσαι;»[19], καὶ τὸ «Διὰ νὰ γνωρίσω, ἐὰν πράγματι γίνωνται αὐτὰ σύμφωνα μὲ τὴν κραυγήν των»[20], καὶ τό, «Τώρα ἐγνώρισα ὅτι φοβεῖσαι τὸν Θεόν»[21], καὶ τὸ «Ἐὰν λοιπὸν ὑπακούσουν»[22], καὶ τὸ «Ἐὰν λοιπὸν συνετισθοῦν», καὶ «Ποῖος θὰ κάμῃ τὴν καρδίαν αὐτοῦ τοῦ λαοῦ νὰ εἶναι τέτοια;»[23], καὶ οἱ λόγοι, «Δὲν ὑπάρχει, Κύριε, ἀπὸ τοὺς θεοὺς ὅμοιος μὲ σένα»[24], καὶ πολλὰ ἄλλα παρόμοια ἐὰν ἤθελεν ἐκλέξει κάποιος ἀπὸ τὴν Παλαιὰν Διαθήκην, θὰ τὰ εὕρῃ νὰ εἶναι ἀνάξια τῆς ἀξίας τοῦ Θεοῦ. Καὶ εἰς τὴν περίπτωσιν δὲ τοῦ Ἀχαὰβ ἔχει λεχθῇ˙ «Ποῖος θὰ ἐξαπατήσῃ τὸν Ἀχαάβ;»[25]. Καὶ τὸ νὰ συγκρίνῃ αὐτὸν συνεχῶς μὲ τοὺς εἰδωλολατρικοὺς θεούς, ὅλα αὐτὰ εἶναι ἀνά-

πάντα ἀνάξια τοῦ Θεοῦ, ἀλλ' ἑτέρως ἄξια γίνεται· καὶ γὰρ οὕτω φιλάνθρωπός ἐστιν, ὡς διὰ τὴν ἡμετέραν σωτηρίαν καὶ τῶν τῇ ἀξίᾳ αὐτοῦ πρεπόντων ῥημάτων ὑπεριδεῖν· καὶ γὰρ καὶ αὐτὸ τὸ ἄνθρωπον γενέσθαι ἀνάξιον, καὶ τὸ δούλου μορφὴν λαβεῖν, καὶ ταπεινὰ φθέγγεσθαι ῥήματα, καὶ ταπεινὰ περιβληθῆναι ἀνάξιον μέν, εἴ τις πρὸς τὴν ἀξίαν ἐκείνην ἴδοι, ἄξιον δέ, εἴ τις τὸν ἄφατον τῆς αὐτοῦ φιλανθρωπίας πλοῦτον λογίσαιτο.

Ἔστι δὲ καὶ ἑτέρα τῆς ταπεινότητος τῶν ῥημάτων αἰτία. Ποία αὕτη; Ὅτι τὸν μὲν Πατέρα καὶ ᾔδεσαν καὶ ὡμολόγουν, αὐτὸν δὲ οὐκ ᾔδεσαν. Διὰ τοῦτο συνεχῶς ἐπ' αὐτὸν καταφεύγει ὡς ὡμολογημένον, ἅτε αὐτὸς οὐκ ὢν οὐδέπω ἀξιόπιστος. Οὐ παρὰ τὴν οἰκείαν εὐτέλειαν, ἀλλὰ παρὰ τὴν ἄνοιαν τῶν ἀκουόντων καὶ τὴν ἀσθένειαν. Διὰ τοῦτο καὶ εὔχεται, καὶ λέγει· «Πάτερ, εὐχαριστῶ σοι, ὅτι ἤκουσάς μου». Εἰ γὰρ οὓς θέλει ζωοποιεῖ, καὶ καθὼς ὁ Πατήρ, οὕτω ζωοποιεῖ, τίνος ἕνεκεν παρακαλεῖ; Ἀλλ' ὥρα λοιπὸν εἰς αὐτὸ ἐμβῆναι τὸ χωρίον. «Ἦραν οὖν τὸν λίθον, οὗ ἦν ὁ τεθνηκὼς κείμενος. Ὁ δὲ Ἰησοῦς ἦρε τοὺς ὀφθαλμοὺς ἄνω, καὶ εἶπε· Πάτερ, εὐχαριστῶ σοι, ὅτι ἤκουσάς μου. Ἐγὼ δὲ ᾔδειν ὅτι πάντοτέ μου ἀκούεις· ἀλλὰ διὰ τὸν ὄχλον τὸν περιεστῶτα εἶπον, ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας». Ἐρωτήσωμεν οὖν τὸν μὲν αἱρετικόν· Ἀπὸ τῆς εὐχῆς ῥοπὴν ἔλαβε καὶ τὸν νεκρὸν ἀνέστησε; πῶς οὖν τὰ ἄλλα χωρὶς εὐχῆς ἐποίει, λέγων· «Σοὶ λέγω, τὸ δαιμόνιον, ἔξελθε ἀπ' αὐτοῦ», καί, «θέλω, καθαρίσθητι», καί, «ἆρον τὸν κράββατόν σου», καὶ «ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου», καὶ τῇ θαλάσσῃ, «Σιώπα, πεφίμωσο», τί δὲ ὅλως ἔχει τῶν ἀποστόλων πλέον, εἴ γε καὶ αὐτὸς ἐπὶ εὐχῆς ποιεῖ; Μᾶλλον δὲ οὔτε ἐκεῖνοι μετὰ εὐχῆς πάντα ἐποίουν, ἀλλὰ καὶ χωρὶς εὐχῆς πολλάκις,

---

26. Μαρκ. 9, 25.
27. Μάρκ. 1, 41.
28. Ἰω. 5, 8.
29. Ματθ. 9, 2.
30. Μάρκ. 4, 39.

ξια τοῦ Θεοῦ, ὑπὸ ἄλλην ὅμως σκοπιὰν γίνονται ἄξια· καθ' ὅσον τόσον φιλάνθρωπος εἶναι, ὥστε χάριν τῆς σωτηρίας μας νὰ παραβλέπῃ καὶ τοὺς λόγους ἐκείνους ποὺ ἁρμόζουν εἰς τὴν ἀξίαν του· διότι καὶ τὸ ὅτι ἔγινεν ἄνθρωπος εἶναι ἀνάξιον, καὶ τὸ ὅτι ἔλαβε μορφὴν δούλου καὶ ὡμίλει μὲ ταπεινὰ λόγια καὶ περιεβάλλετο τὰ ταπεινά, εἶναι μὲν ἀνάξια δι' αὐτόν, ἐὰν κάποιος ἤθελε τὰ συγκρίνει πρὸς τὴν θείαν ἐκείνην ἀξίαν, ἄξια δέ, ἐὰν ἀναλογισθῇ κανεὶς τὸν ἀπερίγραπτον πλοῦτον τῆς φιλανθρωπίας του.

Ὑπάρχει δὲ καὶ ἄλλη αἰτία τῆς ταπεινότητος τῶν λόγων του. Ποία εἶναι αὐτή; Τὸ ὅτι τὸν μὲν Πατέρα καὶ τὸν ἐγνώρισαν καὶ τὸν ὡμολόγουν, ἐνῷ αὐτὸν δὲν τὸν ἐγνώρισαν. Διὰ τοῦτο καταφεύγει συνεχῶς εἰς ἐκεῖνον ποὺ ἔχει ὁμολογηθῆ, ἐπειδὴ αὐτὸς δὲν ἦτο ἀκόμη ἀξιόπιστος. Ὄχι λόγῳ τῆς ἰδικῆς του εὐτελείας, ἀλλὰ ἐξ αἰτίας τῆς ἀφροσύνης τῶν ἀκροατῶν καὶ τῆς πνευματικῆς ἀδυναμίας των. Διὰ τοῦτο καὶ προσεύχεται καὶ λέγει· «Πάτερ, σ' εὐχαριστῶ ποὺ μὲ ἤκουσες». Διότι, ἐὰν ζωοποιῇ ἐκείνους ποὺ θέλει καὶ ζωοποιεῖ ὅπως καὶ ὁ Πατήρ, διὰ ποῖον λόγον παρακαλεῖ τὸν Πατέρα; Ὅμως εἶναι ὥρα πλέον νὰ ἐξετάσωμεν αὐτὸ τὸ χωρίον. «Ἐσήκωσαν λοιπὸν τὸν λίθον, ὅπου εὑρίσκετο ὁ νεκρός. Ὁ δὲ Ἰησοῦς ἐσήκωσε τοὺς ὀφθαλμοὺς ἐπάνω πρὸς τὸν οὐρανὸν καὶ εἶπε· Πάτερ, σ' εὐχαριστῶ, διότι μὲ ἤκουσες. Ἐγὼ βέβαια ἤξευρα ὅτι πάντοτε μὲ ἀκούεις, ἀλλὰ τὸ εἶπα διὰ τὸ παρευρισκόμενον πλῆθος, διὰ νὰ πιστεύσουν ὅτι σὺ μὲ ἀπέστειλες». Ἂς ἐρωτήσωμεν λοιπὸν τὸν μὲν αἱρετικόν· Ἀπὸ τὴν προσευχὴν ἔλαβε τὴν δύναμιν καὶ ἀνέστησε τὸν νεκρόν; πῶς λοιπὸν ἔκαμνε τὰ ἄλλα θαύματα χωρὶς προσευχήν, λέγων, Εἰς ἐσένα τὸ λέγω, τὸ δαιμόνιον, ἔξελθε ἀπὸ αὐτόν»[26], καί, «θέλω, καθαρίσου»[27], καί, «Σήκωσε τὸ κρεββάτι σου»[28], καὶ «Συγχωροῦνται αἱ ἁμαρτίαι σου»[29], καὶ εἰς τὴν θάλασσαν, «Σιώπα, βουβάσου»;[30] τί δὲ περισσότερον ἔχει ἀπὸ τοὺς ἀποστόλους, ἐὰν καὶ ὁ αὐτὸς κάμνῃ τὰ θαύματα κατόπιν προσευχῆς; Μᾶλλον δὲ οὔτε ἐκεῖνοι ἔκαμνον ὅλα τὰ θαύματα κατόπιν προσευχῆς, ἀλλὰ πολλὲς φορὲς καὶ

τὸ ὄνομα τοῦ Ἰησοῦ καλοῦντες. Εἰ δὲ τὸ ὄνομα αὐτοῦ τοσαύτην εἶχεν ἰσχύν, πῶς ἂν αὐτὸς εὐχῆς ἐδεήθη; Εἰ δὲ εὐχῆς ἐδεῖτο, οὐκ ἂν τὸ ὄνομα αὐτοῦ ἴσχυσεν. Ὅτε δὲ ὅλως ἐποίει τὸν ἄνθρωπον, ποίας εὐχῆς ἐδεήθη; οὐχὶ ὁμοτιμία ἐκεῖ πολλή; «ποιήσωμεν» γάρ, φησίν, «ἄνθρωπον». Τί δὲ ἀσθενέστερον, εἰ εὐχῆς ἐδεῖτο;». Ἴδωμεν δὲ καὶ τίς ἡ εὐχή.

«Πάτερ, εὐχαριστῶ σοι, ὅτι ἤκουσάς μου». Τίς τοίνυν οὕτως ηὔξατό ποτε; Πρὶν ἢ γάρ τι εἰπεῖν, «εὐχαριστῶ σοι» λέγει, δεικνὺς ὅτι οὐ δεῖται εὐχῆς. «Ἐγὼ δὲν ᾔδειν ὅτι πάντοτέ μου ἀκούεις». Τοῦτο εἶπεν, οὐχ ὡς αὐτοῦ ἀδυνατοῦντος, ἀλλ' ὡς μιᾶς γνώμης οὔσης. Τίνος δὲ ἕνεκεν καὶ εὐχῆς σχῆμα ἀνέλαβε; Μὴ ἐμοῦ, ἀλλ' αὐτοῦ ἄκουσον, λέγοντος· «Διὰ τὸν περιεστῶτα ὄχλον, ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας». Οὐκ εἶπεν· "Ἵνα πιστεύσωσιν ὅτι ἐλάττων εἰμί· ὅτι χρείαν ἔχω ῥοπῆς τῆς ἄνωθεν· ὅτι χωρὶς εὐχῆς οὐ δύναμαι ποιῆσαι", ἀλλ' «ὅτι σύ με ἀπέστειλας». Ταῦτα γὰρ πάντα εὐχὴ δηλοῖ, ἂν ἁπλῶς αὐτὴν ἐκλάβωμεν. Οὐκ εἶπεν· "Ἀπέστειλάς με τὸν ἀσθενοῦντα, τὸν τὴν δουλείαν ἀπεγνωκότα, τὸν ἀφ' ἑαυτοῦ οὐδὲν ποιοῦντα", ἀλλά, ταῦτα πάντα ἀφείς, ἵνα μηδὲν τούτων ὑποπτεύσῃς, τίθησι τὴν ἀληθῆ τῆς εὐχῆς αἰτίαν, 'ἵνα μὴ ἀντίθεόν με νομίσωσιν· ἵνα μὴ λέγωσιν· Οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ· ἵνα δείξω κατὰ γνώμην σὴν τὸ ἔργον γινόμενον', μονονουχὶ λέγων ὅτι, εἰ ἤμην ἀντίθεος, οὐκ ἂν προεχώρησε τὸ γινόμενον. Τὸ δὲ «ἤκουσάς μου» καὶ ἐπὶ φίλων λέγεται, καὶ ἐπὶ ὁμοτίμων. «Ἐγὼ δὲ ᾔδειν ὅτι πάντοτέ μου ἀκούεις»· τουτέστι, πρὸς τὸ γενέσθαι μου τὸ θέλημα οὐ δέομαι εὐχῆς, ἀλλ' ὥστε πεῖσαι

---

31. Γεν. 1, 26.

χωρὶς προσευχήν, ἐπικαλούμενοι τὸ ὄνομα τοῦ Ἰησοῦ. Ἐὰν δὲ τὸ ὄνομα αὐτοῦ εἶχε τόσον μεγάλην δύναμιν, πῶς θὰ εἶχεν αὐτὸς ἀνάγκην προσευχῆς; Ἐάν εἶχεν ἀνάγκην προσευχῆς, δὲν θὰ εἶχε δύναμιν τὸ ὄνομά του. Ὅταν δὲ εἰς τὴν ἀρχὴν ἐδημιούργει τὸν ἄνθρωπον, ποίαν προσευχὴν ἐχρειάσθη; μήπως δὲν ὑπῆρξεν ἐκεῖ πλήρης ἰσοτιμία; διότι λέγει· «ἄς δημιουργήσωμεν ἄνθρωπον»[31]. Τί δὲ θὰ ὑπῆρχεν ἀσθενέστερον, ἐάν εἶχεν ἀνάγκην προσευχῆς; Ἄς ἰδοῦμεν δὲ καὶ ποία ἦτο ἡ προσευχή του.

Πάτερ, σ' εὐχαριστῶ, διότι μὲ ἤκουσες». Ποῖος λοιπὸν προσηυχήθη ποτὲ κατ' αὐτὸν τὸν τρόπον; Διότι, πρὶν νὰ εἴπῃ κάτι, λέγει, «σ' εὐχαριστῶ», καθιστῶν φανερὸν μὲ αὐτὸ ὅτι δὲν ἔχει ἀνάγκην προσευχῆς. «Ἐγὼ δὲ ἤξευρα ὅτι πάντοτε μὲ ἀκούεις». Αὐτὸ τὸ εἶπεν, ὄχι ἐπειδὴ ὁ ἴδιος δὲν εἶχε τὴν δύναμιν, ἀλλ' ἐπειδὴ εἶναι μία ἡ θέλησις αὐτοῦ καὶ τοῦ Πατρός. Καὶ διὰ ποῖον λόγον προσέδωσε μορφὴν προσευχῆς; Ὄχι ἐμένα, ἀλλὰ ἄκουσε τὸν ἴδιον, ποὺ λέγει· «Διὰ τὸ παρευρισκόμενον πλῆθος, διὰ νὰ πιστεύσουν ὅτι σὺ μὲ ἀπέστειλες». Δὲν εἶπε, Διὰ νὰ πιστεύσουν ὅτι εἶμαι κατώτερός σου· ὅτι ἔχω ἀνάγκην τῆς ἐξ οὐρανοῦ δυνάμεως· ὅτι δὲν ἠμπορῶ νὰ τὸ κάνω χωρὶς προσευχήν', ἀλλά «διότι σὺ μὲ ἀπέστειλες». Διότι ὅλα αὐτὰ προβάλλονται ὡς προσευχή, ἐὰν τὴν ἐκλάβωμεν ἀπὸ τὴν γενικὴν ἄποψιν. Δὲν εἶπεν, Ἀπέστειλες ἐμένα τὸν ἀνίσχυρον, τὸν γνωρίσαντα τὴν δουλείαν, τὸν μὴ ἐκτελοῦντα τίποτε ἀφ' ἑαυτοῦ', ἀλλά, ἀφήσας ὅλα αὐτά, διὰ νὰ μὴ σκεφθῇς τίποτε ἀπὸ αὐτά, ἀναφέρει τὴν πραγματικὴν αἰτίαν τῆς προσευχῆς, Διὰ νὰ μὴ μὲ θεωρήσουν ἀντίθεον, διὰ νὰ μὴ λέγουν· Δὲν προέρχεται ἀπὸ τὸν Θεόν, διὰ νὰ δείξω ὅτι αὐτὸ ποὺ κάμνω εἶναι σύμφωνον μὲ τὴν θέλησίν σου', ὡσὰν δηλαδὴ νὰ λέγῃ ὅτι, ἐὰν ἤμουν ἀντίθεος, δὲν θὰ ἦτο δυνατὸν νὰ συμβῇ αὐτὸ ποὺ συνέβη. Τὸ δὲ «ἤκουσάς μου», λέγεται καὶ ἐπὶ φίλων καὶ ἐπὶ ἰσοτίμων ἀνθρώπων. «Ἐγὼ δὲ τὸ ἐγνώριζον, ὅτι πάντοτε μὲ ἀκούεις» δηλαδή, δὲν χρειάζομαι προσευχὴν διὰ νὰ γίνῃ αὐτὸ ποὺ θέλω, ἀλλὰ διὰ νὰ πείσω τὸ πλῆθος, ὅτι ἔχομεν σὺ καὶ ἐγὼ μίαν θέλησιν.

ὅτι σοὶ καὶ ἐμοὶ μία βούλησις. Τί οὖν εὐχῇ; Διὰ τοὺς ἀσθενεῖς καὶ παχυτέρους.

«Καὶ ταῦτα εἰπών, ἔκραξε φωνῇ μεγάλῃ». Διὰ τί γὰρ οὐκ εἶπεν· 'Ἐν τῷ ὀνόματι τοῦ Πατρός μου δεῦρο ἔξω'; διὰ τί μὴ εἶπεν· 'Ἀνάστησον αὐτόν, Πάτερ'; ἀλλά, ταῦτα πάντα ἀφείς, καὶ εὐχομένου σχῆμα ἀναλαβών, διὰ τῶν πραγμάτων τὴν αὐθεντίαν ἐνδείκνυται; Ὅτι καὶ τοῦτο τῆς αὐτοῦ σοφίας, διὰ μὲν ῥημάτων συγκατάβασιν, διὰ δὲ τῶν ἔργων ἐξουσίαν ἐπιδείκνυσθαι· ἐπειδὴ γὰρ οὐδὲν ἄλλο εἶχον ἐγκαλεῖν αὐτῷ, ἀλλ' ἢ ὅτι οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, καὶ οὕτω τοὺς πολλοὺς ἠπάτων, τούτου ἕνεκεν μεθ' ὑπερβολῆς δείκνυσι τοῦτό τε αὐτό, δι' ὧν φησι, καὶ καθ' ὃν τρόπον ἡ ἀσθένεια ἐκείνων ἀπῄτει· ἐνῆν μὲν γὰρ καὶ ἄλλως δεῖξαι τὴν συμφωνίαν μετὰ τῆς οἰκείας ἀξίας, ἀλλ' οὐκ ἐδύνατο ἀναβῆναι τοσοῦτον ὁ ὄχλος. Καί φησι· «Λάζαρε, δεῦρο ἔξω». Τοῦτό ἐστιν, ὃ ἔλεγεν· «Ἔρχεται ὥρα, ὅτε οἱ νεκροὶ ἀκούσουσι τῆς φωνῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ οἱ ἀκούσαντες ζήσονται». Ἵνα γὰρ μὴ νομίσῃς ὅτι παρ' ἑτέρου ἔλαβε τὴν ἐνέργειαν, ἄνωθέν σε τοῦτο ἐδίδαξε, καὶ διὰ τῶν ἔργων ἐπέδειξε. Καὶ οὐκ εἶπεν· 'Ἀνάστηθι', ἀλλὰ «δεῦρο ἔξω», ὡς ζῶντι διαλεγόμενος τῷ τετελευτηκότι.

3. Τί ταύτης τῆς ἐξουσίας γένοιτ' ἂν ἴσον; Εἰ δὲ μὴ ἰδίᾳ δυνάμει τοῦτο ποιεῖ, τί πλέον ἕξει τῶν ἀποστόλων, τῶν λεγόντων, «Τί ἡμῖν προσέχετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν;». Εἰ γάρ, οὐ ποιῶν ἰδίᾳ δυνάμει, οὐ προσετίθει τοῦτο, ὅπερ οἱ ἀπόστολοι περὶ ἑαυτῶν ἔλεγον, ἔσονταί πως ἐκεῖνοι μᾶλλον φιλοσοφοῦντες τῷ διακρούεσθαι τὴν δόξαν. Καὶ ἀλλαχοῦ· «Ἄνδρες, τί ταῦτα ποιεῖτε; Καὶ ἡμεῖς ὁμοιοπαθεῖς ἐσμεν ὑμῖν ἄνθρωποι». Εἶτα οἱ μὲν ἀπόστολοι, ἐπειδὴ οὐδὲν οἴκοθεν ἔπραττον,

---

32. Ἰω. 5, 25.
33. Πράξ. 3, 12.
34. Πράξ. 14, 15.

Διατί λοιπὸν προσεύχεσαι; Διὰ τοὺς πνευματικὰ ἀδυνάτους καὶ προσκολλημένους εἰς τὴν ὕλην.

«Καὶ ἀφοῦ εἶπεν αὐτά, ἐφώναξε δυνατά». Διατί δὲν εἶπεν, 'ἐν ὀνόματι τοῦ Πατρός μου ἔλα ἔξω'; διατί δὲν εἶπε, 'Πάτερ, ἀνάστησε αὐτόν', ἀλλά, ἀφοῦ τὰ ἄφησεν ὅλα αὐτά, καὶ ἔλαβε θέσιν προσευχομένου, φανερώνει τὴν ἐξουσίαν του διὰ τῶν ἰδίων τῶν πραγμάτων. Διότι καὶ αὐτὸ εἶναι δεῖγμα τῆς σοφίας του, νὰ ἐπιδεικνύῃ διὰ μὲν τῶν λόγων του συγκατάβασιν, διὰ δὲ τῶν ἔργων του ἐξουσίαν· ἐπειδὴ δηλαδὴ δὲν ἠμποροῦσαν νὰ τὸν κατηγορήσουν διὰ τίποτε ἄλλο, παρὰ μόνον ὅτι δὲν προέρχεται ἀπὸ τὸν Θεόν, καὶ ἔτσι ἐξαπατοῦσαν πολλούς, διὰ τοῦτο μὲ ὑπερβολὴν ἀποδεικνύει αὐτὸ τὸ ἴδιο καὶ μὲ ὅσα λέγει καὶ ὅπως τὸ ἀπαιτοῦσεν ἡ πνευματικὴ ἀδυναμία αὐτῶν· διότι ἠμποροῦσε καὶ μὲ ἄλλον τρόπον νὰ δείξῃ τὴν συμφωνίαν του μὲ τὸν Πατέρα, μὲ τὴν ἀξίαν του, ἀλλὰ δὲν ἠμποροῦσεν εἰς τόσον πνευματικὸν ὕψος ν' ἀνεβῇ τὸ πλῆθος. Καὶ λέγει· «Λάζαρε, ἔβγα ἔξω». Δηλαδὴ εἶναι αὐτὸ ποὺ ἔλεγεν· «Ἔρχεται ἡ ὥρα, κατὰ τὴν ὁποίαν οἱ νεκροὶ θ' ἀκούσουν τὴν φωνὴν τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ θὰ ζήσουν αὐτοὶ ποὺ θὰ τὴν ἀκούσουν»[32]. Διὰ νὰ μὴ νομίσῃς λοιπόν, ὅτι ἀπὸ ἄλλον ἔλαβεν αὐτὴν τὴν δύναμιν, σοῦ τὸ ἐδίδαξεν αὐτὸ προηγουμένως καὶ τὸ ἀπέδειξε διὰ τῶν ἔργων. Καὶ δὲν εἶπεν, 'Ἀναστήσου', ἀλλὰ «ἔβγα ἔξω», συνομιλῶν μὲ τὸν ἀποθανόντα, ὡσὰν νὰ ἦτο ζωντανός.

3. Τί θὰ ἠμποροῦσε νὰ ἐξισωθῇ μὲ αὐτὴν τὴν ἐξουσίαν; Ἐὰν δὲ δὲν τὸ κάμνῃ αὐτὸ μὲ τὴν ἰδικήν του δύναμιν, τί περισσότερον θὰ ἔχῃ ἀπὸ τοὺς Ἀποστόλους, ποὺ λέγουν, «Τί μᾶς θαυμάζετε, ὡσὰν νὰ τὸν ἐκάμαμεν νὰ περιπατῇ μὲ τὴν ἰδικήν μας δύναμιν ἢ εὐσέβειαν;»[33]. Διότι, ἐάν, χωρὶς νὰ τὸ κάμνῃ μὲ τὴν ἰδικήν του δύναμιν, δὲν προσέθετεν αὐτὸ ποὺ οἱ ἀπόστολοι ἔλεγον διὰ τὸν ἑαυτόν των, τότε θὰ εὑρεθοῦν ἐκεῖνοι νὰ δίδουν κάπως μεγαλυτέραν σησημασίαν εἰς τὴν ἀπομάκρυνσιν τῆς δόξης. Καὶ εἰς ἄλλην περίπτωσιν· «Ἄνδρες, διατί τὰ κάμνετε αὐτά; Καὶ ἡμεῖς εἴμεθα ἄνθρωποι ὁμοιοπαθεῖς μὲ σᾶς»[34]. Ἔπειτα, οἱ μὲν

ταῦτα ἔλεγον, ὥστε πεῖσαι τοῦτο, αὐτὸς δέ, τοιαύτην περὶ ἑαυτοῦ δόξαν ἔχων, οὐκ ἂν τὴν ὑπόνοιαν ἀνεῖλεν, εἴ γε μὴ οἰκείᾳ αὐθεντίᾳ ἐποίει; καὶ τίς ἂν τοῦτο εἴποι; Καὶ μὴν τὸ ἐναντίον ποιεῖ ὁ Χριστός, λέγων· «Διὰ τὸν περιεστῶτα ὄχλον εἶπον, ἵνα πιστεύσωσιν». Ὥστε, εἰ ἐπίστευον, οὐκ ἦν χρεία τῆς εὐχῆς. Εἰ δὲ μὴ ἦν ἀνάξιον αὐτοῦ τὸ εὔχεσθαι, διὰ τί ἐκείνους τὴν αἰτίαν λογίζεται; διὰ τί δὲ μὴ εἶπεν ὅτι Ἵνα πιστεύσωσιν ὅτι οὐκ εἰμί σου ἴσος', (ἐχρῆν γὰρ διὰ τὴν ὑπόνοιαν πρὸς τοῦτο ἐλθεῖν), ἀλλά, ὅτε μὲν ὑπωπτεύετο λύειν τὸν νόμον, τὴν λέξιν αὐτὴν τέθεικε (μηδὲ εἰρηκότων τι ἐκείνων), «μὴ νομίσητε ὅτι ἦλθον λῦσαι τὸν νόμον», ἐνταῦθα δὲ ἴατησι τὴν ὑπόνοιαν; Ὅλως δὲ τί ἔδει περιόδου τοσαύτης καὶ αἰνιγμάτων; ἤρκει γὰρ εἰπεῖν, 'Οὐκ εἰμι ἴσος', καὶ ἀπαλλαγῆναι.

Τί οὖν; Οὐκ εἶπε, φησίν, ὅτι «οὐ ποιῶ τὸ θέλημα τὸ ἐμόν»; Ἀλλὰ καὶ τοῦτο συνεσκιασμένως, καὶ πρὸς τὴν ἐκείνων ἀσθένειαν, καὶ ἀπὸ τῆς αὐτῆς αἰτίας, ἀφ' ἧς καὶ ἡ εὐχὴ γέγονε. Τί δέ ἐστιν, «Ὅτι ἤκουσάς μου»; Τουτέστιν, ὅτι οὐδὲν ἐναντίον ἐμοῦ πρὸς σέ. Ὥσπερ οὖν τὸ «ὅτι ἤκουσάς μου» οὐ τοῦτό ἐστι δηλοῦντος, ὅτι αὐτὸς οὐκ ἴσχυσεν (εἰ γὰρ τοῦτο ἦν, οὐκ ἀδυναμία μόνον ἔσται, ἀλλὰ καὶ ἄγνοια, εἴ γε πρὸ τοῦ εὔξασθαι οὐκ ἤδει ὅτι μέλλει ἐπινεύειν ὁ Θεός· εἰ δὲ οὐκ ἤδει, πῶς ἔλεγεν ὅτι «πορεύομαι, ἵνα ἐξυπνίσω αὐτόν», καὶ οὐκ εἶπεν, 'Πορεύομαι, ἵνα εὔξωμαι τῷ Πατρί, ἵνα ἐξυπνίσῃ αὐτόν'; ὥσπερ οὖν τοῦτο οὐκ ἀσθενείας, ἀλλ' ὁμογνωμοσύνης, οὕτω καὶ τὸ «πάντοτέ μου ἀκούεις». Ἢ τοῦτο οὖν ἐστιν εἰπεῖν, ἢ ὅτι πρὸς τὴν ὑπόνοιαν τὴν ἐκείνων εἴρηται. Εἰ δὲ οὔτε ἠγνόει, οὔτε ἠσθέ-

35. Ματθ. 5, 17.
36. Ἰω. 6, 38.
37. Ἰω. 11, 11.

'Απόστολοι, ἐπειδὴ δὲν ἔπραττον τίποτε ἀπὸ μόνοι των, τὰ ἔλεγον αὐτά, ὥστε νὰ τοὺς πείσουν ὡς πρὸς αὐτό, ἐνῷ ὁ 'Ιησοῦς, ἐὰν εἶχε τέτοιαν γνώμην διὰ τὸν ἑαυτόν του, δὲν θὰ διέλυε τὴν ὑποψίαν αὐτήν, ἐὰν δὲν τὰ ἔπραττε μὲ τὴν ἰδικήν του ἐξουσίαν; καὶ ποῖος θὰ ἠμποροῦσε νὰ τὸ εἰπῇ αὐτό; Καὶ ὅμως ὁ Χριστὸς κάμνει τὸ ἀντίθετον, λέγων· «Τὸ εἶπα διὰ τὸ παρευρισκόμενον πλῆθος, διὰ νὰ πιστεύσουν. Ὥστε, ἐὰν ἐπίστευον, δὲν ἐχρειάζετο ἡ προσευχή. Ἐὰν δὲ δὲν ἦτο δι' αὐτὸν τὸ νὰ προσεύχεται, διατί ἀποδίδει εἰς αὐτοὺς τὴν αἰτίαν; διατί δὲ δὲν εἶπε 'διὰ νὰ πιστεύσουν ὅτι δὲν εἶμαι ἴσος μὲ ἐσένα' (διότι ἔπρεπεν, ἐξ αἰτίας τῆς γνώμης ποὺ ὑπῆρχε, αὐτὸ νὰ εἰπῇ), ἀλλά, ὅταν μὲν ὑπῆρχεν ἡ ὑποψία ἐκ μέρους τοῦ πλήθους ὅτι καταλύει τὸν νόμον, ἀνέφερεν αὐτὴν τὴν λέξιν (χωρὶς νὰ εἰποῦν ἐκεῖνοι τίποτε). «Μὴ νομίσετε ὅτι ἦλθον διὰ νὰ καταργήσω τὸν νόμον»[35], ἐνῷ ἐδῶ ἀποδέχεται τὴν ἐπικρατοῦσαν γνώμην; Καὶ γενικά, τί ἐχρειάζοντο τόσον μεγάλαι ἐκφράσεις καὶ αἰνίγματα; διότι ἦτο ἀρκετὸν νὰ εἰπῇ, 'Δὲν εἶμαι ἴσος', καὶ ν' ἀπαλλαγῇ ἀπὸ αὐτὴν τὴν γνώμην.

Τί λοιπόν; Δὲν εἶπε, λέγει, «δὲν κάμνω τὸ θέλημα τὸ ἰδικόν μου»; 'Αλλὰ καὶ αὐτὸ τὸ εἶπε συγκεκαλυμμένα, καὶ ἐν σχέσει μὲ τὴν πνευματικὴν ἀδυναμίαν ἐκείνων, καὶ λαμβάνων ἀφορμὴν ἀπὸ τὴν ἰδίαν αἰτίαν ἀπὸ τὴν ὁποίαν ἔγινε καὶ ἡ προσευχή. Τί δὲ σημαίνει «Διότι μὲ ἀκούεις»; Δηλαδή, δὲν ἀντιτίθεμαι καθόλου πρὸς ἐσένα. Ὅπως ἀκριβῶς λοιπὸν τὸ «ὅτι ἤκουσάς μου» δὲν φανερώνει αὐτό, ὅτι δηλαδὴ δὲν ἠμπόρεσεν αὐτὸς (διότι, ἐὰν συνέβαινεν αὐτό, δὲν θὰ ἦτο μόνον ἀδυναμία, ἀλλὰ καὶ ἄγνοια, ἐφ' ὅσον πρὶν ἀπὸ τὴν προσευχὴν δὲν ἐγνώριζεν, ὅτι πρόκειται νὰ συγκατανεύσῃ ὁ Θεός· ἐὰν δὲ δὲν τὸ ἐγνώριζε, πῶς ἔλεγεν «πηγαίνω, διὰ νὰ τὸν ἐξυπνίσω»[37], καὶ δὲν εἶπε, 'Πηγαίνω, διὰ νὰ προσευχηθῶ εἰς τὸν Πατέρα μου, διὰ νὰ τὸν ἐξυπνίσῃ'; ὅπως ἀκριβῶς λοιπὸν αὐτὸ δὲν φανερώνει ἀδυναμίαν, ἀλλὰ συμφωνίαν, ἔτσι καὶ τὸ «πάντοτε μὲ ἀκούεις». Ἢ λοιπὸν ἠμποροῦμεν νὰ εἰποῦμεν αὐτό, ἢ ὅτι ἐλέχθη ἐξ αἰτίας τῆς γνώμης ἐκείνων. Ἐὰν δὲ δὲν τὸ εἶπεν

νει, εὔδηλον ὅτι διὰ τοῦτο τὰ ταπεινὰ φθέγγεται ῥήματα, ἵνα κἂν ἐκ τῆς ὑπερβολῆς πεισθῇς, καὶ ἀναγκασθῇς ὁμολογῆσαι ὅτι οὐ τῆς ἀξίας αὐτοῦ ἐστιν, ἀλλὰ τῆς συγκαταβάσεως.

Τί οὖν οἱ τῆς ἀληθείας ἐχθροί; Οὐ πρὸς τὴν ἀσθένειαν τῶν ἀκουόντων εἴρηκε, φησί, τὸ «ἤκουσάς μου», ἀλλ' ἵνα δείξῃ τὴν ὑπεροχήν. Καὶ μὴν τοῦτο οὐκ ἦν δεῖξαι τὴν ὑπεροχήν, ἀλλὰ σφόδρα ταπεινῶσαι ἑαυτόν, καὶ ἀποφῆναι οὐδὲν ἀνθρώπου πλέον ἔχοντα· τὸ γὰρ εὔχεσθαι οὐ κατὰ Θεόν, οὐδὲ κατὰ σύνθρονον. Ὁρᾷς ὅτι οὐδαμόθεν ἑτέρωθεν ἐπὶ τοῦτο ἦλθεν, ἀλλὰ διὰ τὴν ἀπιστίαν ἐκείνων; Ὅρα γοῦν καὶ τὸ ἔργον μαρτυροῦν αὐτῷ τὴν αὐθεντίαν. Ἐκάλεσε, καὶ ἐξῆλθεν ὁ τεθνηκὼς συνειλημμένος. Εἶτα, ἵνα μὴ δόξῃ φαντασία εἶναι τὸ πρᾶγμα (τοῦ γὰρ ἀναστῆναι τὸ ἐξελθεῖν δεδεμένον οὐκ ἔλαττον ἐδόκει εἶναι παράδοξον), ἐκέλευσεν αὐτὸν λῦσαι», ἵνα, καὶ ἀψάμενοι καὶ πλησίον γενόμενοι, ἴδωσιν ὅτι ὄντως ἐκεῖνός ἐστι, καί φησιν· «Ἄφετε αὐτὸν ὑπάγειν». Εἶδες τὸ ἀκόμπαστον; Οὐκ ἐπάγεται αὐτόν, οὐδὲ κελεύει μετ' αὐτοῦ περιϊέναι» ὥστε μὴ δόξαι τισὶν ἐπιδείκνυσθαι· οὕτως ᾔδει μετριάζειν. Γενομένου δὲ τοῦ σημείου, οἱ μὲν ἐθαύμαζον, οἱ δὲ προσελθόντες ἀπήγγελλον τοῖς Φαρισαίοις.

Τί οὖν ἐκεῖνοι; Δέον ἐκπλήττεσθαι καὶ θαυμάζειν, βουλεύονται αὐτὸν ἀνελεῖν, τὸν ἀναστήσαντα νεκρόν. Ὢ τῆς ἀνοίας! τὸν ἐν τοῖς ἄλλων σώμασι θανάτου περιγενόμενον, θανάτῳ παραδώσειν ἐνόμιζον, καὶ λέγουσι· «Τί ποιοῦμεν, ὅτι ὁ ἄνθρωπος οὗτος πολλὰ σημεῖα ποιεῖ;». Ἄνθρωπον

οὔτε ἀπὸ ἄγνοιαν οὔτε ἀπὸ ἀδυναμίαν, εἶναι ὁλοφάνερον, ὅτι διὰ τοῦτο ὁμιλεῖ μὲ ταπεινὰ λόγια, ὥστε καὶ ἀπὸ τὴν ὑπερβολὴν αὐτῶν νὰ πεισθῇς καὶ νὰ ἀναγκασθῇς νὰ ὁμολογήσῃς, ὅτι αὐτὰ δὲν εἶναι λόγια τῆς ἀξίας του, ἀλλὰ τῆς συγκαταβάσεώς του.

Τί λέγουν λοιπὸν οἱ ἐχθροὶ τῆς ἀληθείας; Δὲν τὸ εἶπε, λέγει, τὸ «ἤκουσάς μου» ἐξ αἰτίας τῆς ἀδυναμίας τῶν ἀκροατῶν του, ἀλλὰ διὰ νὰ δείξῃ τὴν ὑπεροχήν του. Καὶ ὅμως αὐτὸ δὲν ἦτο κάτι ποὺ ἐφανέρωνε τὴν ὑπεροχήν του, ἀλλὰ ποὺ ἠμποροῦσε νὰ ταπεινώσῃ πάρα πολὺ τὸν ἑαυτόν του, καὶ νὰ δείξῃ ὅτι δὲν ἔχει τίποτε περισσότερον ἀπὸ τὸν ἄνθρωπον˙ διότι ἡ προσευχὴ δὲν εἶναι γνώρισμα τοῦ Θεοῦ, οὔτε αὐτοῦ ποὺ κάθεται εἰς τὸν ἴδιον θρόνον. Βλέπεις ὅτι διὰ καμμίαν ἄλλην αἰτίαν δὲν κατέφυγεν εἰς αὐτό, παρὰ διὰ τὴν ἀπιστίαν ἐκείνων; Πρόσεχε λοιπὸν καὶ τὸ ἔργον ποὺ ἐπιβεβαιώνει καὶ τὴν αὐθεντίαν αὐτοῦ. Τὸν ἐκάλεσε καὶ ὁ νεκρὸς ἐξῆλθε δεμένος μὲ τὰ σπάργανα. Ἔπειτα, διὰ νὰ μὴ θεωρηθῇ τὸ πρᾶγμα φάντασμα (διότι τὸ νὰ ἐξέλθῃ δεμένος δὲν ἐφαίνετο ὀλιγώτερον παράδοξον ἀπὸ τὸ νὰ ἀναστηθῇ), «ἔδωσεν ἐντολὴν νὰ τὸν λύσουν», ὥστε, ἐγγίζοντες αὐτὸν καὶ ἐρχόμενοι πλησίον του, νὰ διαπιστώσουν ὅτι πράγματι ἐκεῖνος εἶναι, καὶ λέγει˙ «Ἀφήσατέ τον νὰ φύγῃ. Εἶδες ποὺ ἀποφεύγει τὴν καύχησιν; Δὲν συνοδεύει αὐτὸν οὔτε τὸν διατάσσει νὰ μείνῃ μαζί του, ὥστε νὰ μὴ δώσῃ τὴν ἐντύπωσιν εἰς μερικούς, ὅτι ἐπιδεικνύεται˙ ἔτσι ἐγνώριζε νὰ δείχνῃ τὴν ταπεινοφροσύνην του. Μετὰ τὴν ἐπιτέλεσιν τοῦ θαύματος, ἄλλοι μὲν ἐθαύμαζον, ἄλλοι δὲ προσῆλθον καὶ ἀπήγγειλαν αὐτὸ εἰς τοὺς Φαρισαίους.

Τί κάμνουν λοιπὸν ἐκεῖνοι; Ἐνῷ ἔπρεπε νὰ ἐκπλήττωνται καὶ νὰ θαυμάζουν, συνεδριάζουν καὶ ἀποφασίζουν νὰ φονεύσουν αὐτὸν ποὺ ἀνέστησε τὸν νεκρόν. Πόσον μεγάλη ἀνοησία! ἐκεῖνον ποὺ κατενίκησε τὸν θάνατον εἰς τὰ σώματα τῶν ἄλλων, ἐνόμιζον ὅτι θὰ τὸν παραδώσουν εἰς τὸν θάνατον, καὶ λέγουν˙ «Τί νὰ κάμωμεν ποὺ ὁ ἄνθρωπος αὐτὸς κάμνει πολλὰ θαύματα;». Ἄνθρωπον ἀκό-

αὐτὸν ἔτι καλοῦσιν οἱ τοσαύτην λαβόντες ἀπόδειξιν τῆς αὐτοῦ θεότητος. «Τί ποιοῦμεν;». Πιστεῦσαι ἔδει καὶ θεραπεῦσαι καὶ προσκυνῆσαι καὶ μηκέτι νομίζειν ἄνθρωπον. «Ἐὰν ἀφῶμεν αὐτὸν οὕτως, ἐλεύσονται οἱ Ρωμαῖοι καὶ ἀροῦσιν ἡμῶν καὶ τὸ ἔθνος καὶ τὴν πόλιν». Τί ἐστιν, ὃ βουλεύονται ποιεῖν; Τὸν λαὸν ἐπισεῖσαι βούλονται λοιπόν, ὡς μέλλοντες κινδυνεύειν ἐπὶ ὑποψίᾳ τυραννίδος. Ἐὰν γὰρ ὀχλαγωγοῦντα, φησί, μάθωσιν αὐτὸν αἱ Ρωμαῖοι, ὑποπτεύσουσιν ἡμᾶς καὶ ἐλεύσονται καὶ καθελοῦσιν ἡμῶν τὴν πόλιν. Τίνος ἕνεκεν; εἰπέ μοι· μὴ γὰρ ἀποστασίαν ἐδίδασκεν; οὐκ ἐπέτρεψε φόρον δοῦναι Καίσαρι; οὐχὶ βασιλέα αὐτὸν ποιῆσαι ἠθελήσατε καὶ ἔφυγεν; οὐχὶ τὸν εὐτελῆ καὶ ἀπέριττον ἐπεδείκνυτο βίον, μήτε οἰκίαν ἔχων, μήτε ἄλλο τῶν τοιούτων οὐδέν; Ταῦτα μὲν οὖν ἔλεγον, οὐ προσδοκῶντες, ἀλλὰ βασκαίνοντες. Ἐξέβη δέ, καὶ μὴ προσδοκώντων αὐτῶν, καὶ τὸ ἔθνος καὶ τὴν πόλιν ἔλαβον, ἐπειδὴ ἀνεῖλον αὐτόν· καὶ γὰρ πόρρω πάσης ὑποψίας ἦν τὰ γινόμενα· ὁ γὰρ ἰώμενος νοσοῦντας καὶ ἄριστον διδάσκων βίον καὶ ἄρχουσι πείθεσθαι ἐπιτάττων οὐχὶ τυραννίδα συνίστη, ἀλλὰ κατέλυεν.

Ἀλλ' ἀπὸ τῶν προτέρων στοχαζόμεθα, φησίν. Ἀλλ' ἐκεῖνοι ἀποστασίαν ἐδίδασκον, οὗτος δὲ τοὐναντίον. Ὁρᾷς ὅτι ὑπόκρισις ἦν τὰ λεγόμενα; Τί γὰρ ἐπεδείξατο τοιοῦτον; δορυφόρους σοβοῦντας ἐπήγετο; ὀχήματα ἐπεσύρετο; οὐχὶ τὰς ἐρημίας ἐδίωκεν; (ἀλλ' ἵνα μὴ δόξωσιν ἀπὸ πάθους τοῦ ἑαυτῶν λέγειν, τὴν πόλιν φασὶ κινδυνεύειν πᾶσαν, καὶ τὸ κοινὸν ἐπιβουλεύεσθαι, καὶ περὶ τῶν ἐσχάτων αὐτοῖς εἶναι τὸν φόβον. Οὐ ταῦτα τῆς αἰχμαλωσίας ὑμῖν αἴτια γέγονεν, ἀλλὰ τὰ ἐναντία, καὶ ταύτης καὶ τῆς εἰς Βαβυλῶνα,

μη ὀνομάζουν αὐτὸν ἐκεῖνοι ποὺ ἔλαβον τόσον μεγάλην ἀπόδειξιν τῆς θεότητος αὐτοῦ. «Τί νὰ κάμωμεν;». Ἔπρεπε νὰ πιστεύσουν καὶ νὰ τὸν λατρεύσουν καὶ νὰ τὸν προσκυνήσουν καὶ νὰ μὴ τὸν θεωροῦν πλέον ἄνθρωπον. «Ἐὰν τὸν ἀφήσωμεν ἔτσι, θὰ ἔλθουν οἱ Ρωμαῖοι καὶ θὰ κατακυριεύσουν καὶ τὸ ἔθνος μας καὶ τὴν πόλιν μας». Τί εἶναι αὐτὸ ποὺ σκέπτονται νὰ κάμουν; Θέλουν εἰς τὴν συνέχειαν νὰ ἐξεγείρουν τὸν λαόν, ὅτι τάχα πρόκειται νὰ κινδυνεύσουν μὲ τὴν σκέψιν ὅτι θὰ ἐγκαθιδρύση τυραννικὸν καθεστώς. Διότι, λέγει, ἐὰν μάθουν οἱ Ρωμαῖοι ὅτι ξεσηκώνει τὸν λαόν, θὰ ὑποπτευθοῦν ἡμᾶς καὶ θὰ ἔλθουν καὶ θὰ κατακυριεύσουν τὴν πόλιν μας. Διὰ ποῖον λόγον, εἰπέ μου· μήπως δηλαδὴ ἐδίδασκεν ἀποστασίαν; δὲν ἐπέτρεψε νὰ πληρώσουν φόρον εἰς τὸν Καίσαρα; δὲν ἠθελήσατε νὰ τὸν κάμετε βασιλέα καὶ ἔφυγεν; δὲν ἐπεδείκνυε τὸν ἄσημον καὶ ἁπλὸν τρόπον ζωῆς, χωρὶς νὰ ἔχη οὔτε οἰκίαν οὔτε κάτι ἄλλο παρόμοιον; Αὐτὰ βέβαια τὰ ἔλεγον ὄχι ἀναμένοντες αὐτά, ἀλλὰ ἀπὸ φθόνον. Καὶ συνέβη, χωρὶς νὰ τὸ περιμένουν αὐτοί, καὶ τὸ ἔθνος των ἐκυρίευσαν καὶ τὴν πόλιν των, ἐπειδὴ ἐφόνευσαν αὐτόν· καθ' ὅσον τὰ συμβαίνοντα ἦσαν ἀπηλλαγμένα ἀπὸ κάθε ὑποψίαν· διότι ἐκεῖνος ποὺ ἐθεράπευε τοὺς ἀσθενεῖς καὶ ἐδίδασκεν ἄριστον τρόπον ζωῆς καὶ ἔδιδεν ἐντολὴν νὰ ὑπακούουν εἰς τοὺς ἄρχοντας, δὲν ἐγκαθίστα τυραννικὴν ἐξουσίαν, ἀλλὰ κατήργει αὐτήν.

Ἀλλ' αὐτό, λέγει, τὸ συμπεραίνομεν ἀπὸ τὰ προηγούμενα. Καὶ ὅμως ἐκεῖνοι ἐδίδασκον ἀποστασίαν, ἐνῷ αὐτὸς τὸ ἀντίθετον. Βλέπεις ὅτι ἦσαν ὑποκρισία τὰ λεγόμενά των; Διότι τί παρόμοιον ἐπέδειξεν; εἶχε μαζί του δορυφόρους ἐπιδεικτικούς; ἔσυρε μαζί του ὀχήματα; δὲν ἐπεδίωκε τοὺς ἐρήμους τόπους; (ἀλλὰ διὰ νὰ μὴ φανοῦν ὅτι τὰ λέγουν ἀπὸ μοχθηρίαν, λέγουν ὅτι κινδυνεύει ἡ πόλις καὶ ὅτι ἐπιβουλεύεται τὴν πολιτείαν καὶ ὅτι φοβοῦνται μήπως εὑρεθοῦν εἰς τὸν ἔσχατον κίνδυνον. Δὲν ὑπῆρξαν αὐτὰ αἴτια τῆς αἰχμαλωσίας σας, ἀλλὰ τὰ ἀντίθετα, καὶ αὐτῆς τῆς αἰχμαλωσίας καὶ τῆς αἰχμαλωσίας εἰς τὴν Βαβυλῶνα καὶ

καὶ τῆς ἐπὶ Ἀντιόχου τῆς μετὰ ταῦτα· οὐ τὸ εἶναι παρ᾽ ὑμῖν θεραπεύοντας, ἀλλὰ τὸ εἶναι ἐν ὑμῖν ἀδικοῦντας, καὶ τὸν Θεὸν παροργίζοντας, τοῦτο ὑμᾶς ἐκδότους ἐποίησεν. Ἀλλὰ τοιοῦτον ὁ φθόνος, οὐδὲν τῶν δεόντων ὁρᾶν ἀφιείς, ἅπαξ πηρώσας τὴν ψυχήν)· οὐχὶ πράους ἐδίδασκεν εἶναι; οὐχὶ ῥαπιζομένους τὴν δεξιάν, στρέφειν καὶ τὴν ἑτέραν; οὐ φέρειν ἀδικουμένους; οὐ μείζονα ἐπιδείκνυσθαι προθυμίαν πρὸς τὸ κακῶς ποιῆσαι; Ταῦτ᾽ οὖν, εἰπέ μοι, τυραννίδα συνιστῶντος, ἀλλ᾽ οὐ τυραννίδα καθαιροῦντος;

4. Ἀλλά, ὅπερ ἔφην, δεινὸν ἡ βασκανία, καὶ ὑποκρίσεως γέμον. Τοῦτο τὴν οἰκουμένην μυρίων ἐνέπλησε κακῶν· καὶ τοῦ νοσήματος τούτου τὰ δικαστήρια κρινομένων πεπλήρωται· ἀπὸ τούτου δόξης καὶ χρημάτων ἔρως· ἀπὸ τούτου φιλαρχία καὶ ὑπεροψία· ἐντεῦθεν ὁδοὶ λῃστὰς μιαρούς, καὶ θάλαττα πειρατὰς ἔχει· ἐντεῦθεν οἱ κατὰ τὴν οἰκουμένην φόνοι· ἐντεῦθεν τὸ γένος ἡμῶν διέσπασται· ὅπερ ἂν ἴδῃς κακόν, ἀπὸ ταύτης ὂν ὄψει· τοῦτο καὶ εἰς τὰς Ἐκκλησίας εἰσεκώμασε· τοῦτο ἄνωθεν τὰ μυρία εἰργάσατο δεινά· τοῦτο τὴν φιλαργυρίαν ἔτεκεν· αὕτη ἡ νόσος τὰ ἄνω κάτω ἐποίησε, καὶ τὸ δίκαιον διέφθειρε· «δῶρα», γάρ, φησίν, «ἐκτυφλοῖ ὀφθαλμοὺς σοφῶν, καὶ ὡς φιμὸς στόματι, ἀποστρέφει ἐλέγχους»· τοῦτο δούλους ἀντ᾽ ἐλευθέρων ποιεῖ· περὶ τούτου καθ᾽ ἑκάστην διαλεγόμεθα τὴν ἡμέραν καὶ πλέον οὐδὲν γίνεται. Θηρίων γινόμεθα χείρους, ὀρφανοὺς ἁρπάζομεν, χήρας γυμνοῦμεν, πένητας ἀδικοῦμεν, οὐαὶ ἐπὶ

38. Σοφ. Σειρὰχ 20, 29.

αὐτῆς ποὺ συνέβη εἰς τὴν συνέχειαν ἐπὶ τῆς ἐποχῆς τοῦ Ἀντιόχου. Σᾶς παρέδωσεν εἰς τοὺς ἐχθρούς σας αἰχμαλώτους, ὄχι ἐπειδὴ ὑπῆρχον μεταξύ σας ἄνθρωποι λατρεύοντες τὸν Θεόν, ἀλλ' ἐπειδὴ ὑπῆρχον μεταξύ σας ἄνθρωποι ποὺ διέπραττον ἀδικίας καὶ παρώργιζον τὸν Θεόν. Ἀλλὰ τέτοιος εἶναι ὁ φθόνος· ἅπαξ καὶ τυφλώσει τὴν ψυχὴν κάποιου δὲν τὸν ἀφήνει νὰ ἰδῇ τίποτε ἀπὸ τὰ πρέποντα)· δὲν ἐδίδασκε νὰ εἴμεθα ἐπιεικεῖς; δὲν ἐδίδασκεν ὅταν δεχώμεθα ραπίσματα εἰς τὴν δεξιὰν νὰ στρέφωμεν καὶ τὴν ἄλλην; δὲν ἐδίδασκε νὰ ὑπομένωμεν τὰς ἀδικίας ποὺ μᾶς γίνονται; δὲν ἐδίδασκε νὰ ἐπιδεικνύωμεν μεγαλυτέραν προθυμίαν εἰς τὰ κακοπαθήματα, ἀπὸ ἐκείνην ποὺ ἄλλοι ἐπιδεικνύουν εἰς τὸ νὰ διαπράττουν τὴν κακίαν; Αὐτὰ λοιπόν, εἰπέ μου, δὲν εἶναι δείγματα κάποιου ποὺ καταργεῖ μᾶλλον τὴν τυραννικὴν ἐξουσίαν παρὰ ποὺ συνιστᾷ αὐτήν;

4. Ἀλλά, ὅπως ἀκριβῶς εἶπα, εἶναι φοβερὸν πρᾶγμα ὁ φθόνος καὶ γεμᾶτος ἀπὸ ὑποκρισίαν. Αὐτὸς ἐγέμισε τὴν οἰκουμένην ἀπὸ ἀμέτρητα κακά· ἐξ αἰτίας αὐτοῦ τοῦ νοσήματος τὰ δικαστήρια εἶναι γεμᾶτα ἀπὸ κατηγορουμένους· ἀπὸ αὐτὸ γεννᾶται ἡ ἐπιθυμία διὰ τὴν δόξαν καὶ τὰ χρήματα· ἀπὸ αὐτὸ ἡ φιλαρχία καὶ ἡ ὑπεροψία, ἐξ αἰτίας αὐτοῦ οἱ δρόμοι εἶναι γεμᾶτοι ἀπὸ μιαροὺς λῃστὰς καὶ ἡ θάλασσα ἀπὸ πειρατάς· ἐξ αἰτίας αὐτοῦ διαπράττονται οἱ φόνοι εἰς ὅλον τὸν κόσμον· ἐξ αἰτίας αὐτοῦ τὸ ἀνθρώπινον γένος ἔχει διαιρεθῇ· ὁποῖον κακὸν καὶ ἂν ἰδῇς θὰ διαπιστώσῃς ὅτι ἀπὸ τὸν φθόνον προέρχεται· αὐτὸ τὸ κακὸν ἔχει εἰσχωρήσει καὶ εἰς τὰς ἐκκλησίας· αὐτὸ μέχρι σήμερον ἐπροξένησεν ἀμέτρητα κακά· αὐτὸ ἐγέννησε τὴν φιλαργυρίαν· αὐτὴ ἡ νόσος ἀνέτρεψε τὰ πάντα καὶ διέφθειρε τὸ δίκαιον· διότι λέγει· «Τὰ δῶρα ἐκτυφλώνουν τοὺς ὀφθαλμοὺς τῶν σοφῶν καὶ ὡσὰν φίμωτρον εἰς τὸ στόμα διεστρέφει τοὺς ἐλέγχους»[38]· αὐτὸ κάμνει τοὺς ἀνθρώπους ἀπὸ ἐλευθέρους δούλους· δι' αὐτὸ καθημερινῶς ὁμιλοῦμεν καὶ τίποτε ἐπὶ πλέον δὲν γίνεται. Γινόμεθα χειρότεροι ἀπὸ τὰ θηρία, ἁρπάζομεν τὰ τῶν ὀρφανῶν, ἀπογυμνώνομεν τὰς χήρας, ἀδι-

οὐαὶ συνάπτομεν. «Οἴμοι! ὅτι ἀπόλωλεν εὐλαβὴς ἀπὸ τῆς γῆς». Καὶ ἡμῶν ἐστι τὸ θρηνεῖν λοιπόν, μᾶλλον δὲ τοῦτο δεῖ καθ' ἑκάστην λέγειν τὴν ἡμέραν. Οὐδὲν ἐν εὐχαῖς ἀνύομεν, οὐδὲν ἐν συμβουλαῖς καὶ παραινέσεσι· λείπεται ἄρα τὸ δακρύειν. Τοῦτο καὶ ὁ Χριστὸς ἐποίησε· πολλὰ τοῖς ἐν Ἱεροσολύμοις παραινέσας, ὡς οὐδὲν ἐκέρδανον ἐκεῖνοι, ἐδάκρυσεν αὐτῶν τὴν πώρωσιν· τοῦτο καὶ οἱ προφῆται ποιοῦσι· τοῦτο καὶ ἡμεῖς πράττωμεν νῦν. Θρήνου λοιπὸν ὁ καιρὸς καὶ δακρύων καὶ οἰμωγῆς. Εὔκαιρον εἰπεῖν καὶ ἡμᾶς νῦν· «Καλέσατε τὰς θρηνούσας, καὶ πρὸς τὰς σοφὰς ἀποστείλατε, καὶ φθεγξάσθωσαν». Τάχα οὕτω δυνησόμεθα ἐκβαλεῖν τὸ νόσημα τῶν τὰς οἰκίας οἰκοδομούντων τὰς λαμπράς, τῶν ἀγροὺς περιβαλλομένων ἐξ ἁρπαγῆς.

Θρηνεῖν εὔκαιρον· ἀλλὰ συλλάβεσθέ μοι καὶ ὑμεῖς τῶν θρήνων, οἱ γεγυμνωμένοι τε καὶ ἠδικημένοι· τοῖς ὑμῶν θρήνοις καταγάγετέ μου τὰ δάκρυα. Ἀλλὰ θρηνοῦντες, μὴ ἑαυτούς, ἀλλ' ἐκείνους θρηνήσωμεν· οὐχ ὑμᾶς ἠδίκησαν, ἀλλ' ἑαυτοὺς ἀπώλεσαν· ὑμεῖς μὲν γὰρ ἔχετε τὴν βασιλείαν τῶν οὐρανῶν ἀντὶ τῆς ἀδικίας, ἐκεῖνοι δὲ τὴν γέενναν ἀντὶ κέρδους. Διὰ τοῦτο βέλτιον ἀδικεῖσθαι καὶ μὴ ἀδικεῖν. Θρηνήσωμεν αὐτοὺς θρῆνον μὴ τὸν ἀνθρώπινον, ἀλλὰ τὸν ἀπὸ τῶν θείων Γραφῶν, ὃν καὶ οἱ προφῆται ἐθρήνησαν. Θρηνήσωμεν μετὰ Ἠσαΐου πικρὸν καὶ εἴπωμεν· «Οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν, καὶ ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι! μὴ οἰκήσετε μόνοι ἐπὶ τῆς γῆς; Οἰκίαι μεγάλαι καὶ καλαί, καὶ οὐκ ἔσονται οἱ ἐνοικοῦντες ἐν αὐταῖς». Θρηνήσωμεν μετὰ τοῦ Ναοὺμ καὶ εἴπωμεν μετ' ἐκείνου· «Οὐαὶ ὁ οἰκοδομῶν εἰς ὕψος τὴν οἰκίαν αὐτοῦ!»,

39. Μιχ. 7, 2.
40. Ἱερ. 9, 17.
41. Ἠσ. 5, 8-9.

κοῦμεν τοὺς πτωχούς, καὶ ἐπισωρεύομεν συμφορὰς ἐπάνω εἰς τὰς συμφοράς. «Ἀλλοίμονον! διότι ἐχάθη ὁ εὐσεβὴς ἀπὸ τὴν γῆν»[39]. Καὶ ἡμεῖς πρέπει νὰ θρηνοῦμεν εἰς τὸ ἑξῆς, μᾶλλον δὲ αὐτὸ πρέπει νὰ λέγωμεν καθημερινῶς. Τίποτε δὲν κερδίζομεν μὲ τὰς προσευχάς, τίποτε μὲ τὰς συμβουλὰς καὶ τὰς παραινέσεις· ὑπολείπεται ἄρα νὰ θρηνήσωμεν. Αὐτὸ καὶ ὁ Χριστὸς ἔκαμε· μετὰ ἀπὸ τὰς πολλὰς παραινέσεις του πρὸς τὴν Ἱερουσαλήμ, ἐπειδὴ ἐκεῖνοι δὲν ἀπεκόμιζον κανὲν κέρδος, ἐδάκρυσε διὰ τὴν πώρωσίν των· αὐτὸ κάμνουν καὶ οἱ προφῆται· αὐτὸ ἃς κάμωμεν καὶ ἡμεῖς τώρα. Εἶναι πλέον καιρὸς διὰ θρήνους καὶ δάκρυα καὶ ὀδυρμούς. Εἶναι κατάλληλος στιγμὴ νὰ εἴπωμεν καὶ ἡμεῖς τώρα· «Καλέσατε τὰς θρηνούσας καὶ ἀποστείλατε πρὸς τὰς σοφὰς ἀνθρώπους καὶ νὰ ἀναγγείλουν αὐτό»[40]. Ἴσως ἔτσι νὰ ἠμπορέσωμεν νὰ θεραπεύσωμεν τὴν ἀσθένειαν ἐκείνων ποὺ κτίζουν τὰς λαμπρὰς οἰκίας, ἐκείνων ποὺ ἀποκτοῦν τοὺς ἀγροὺς μὲ ἁρπαγήν.

Εἶναι κατάλληλος στιγμὴ διὰ θρήνους· ἀλλὰ συνοδεύσατέ με εἰς τοὺς θρήνους καὶ σεῖς οἱ γυμνοὶ καὶ ἀδικημένοι· εἰς τοὺς θρήνους σας προσθέσατε καὶ τὰ δάκρυά μου. Ὅμως ἃς μὴ θρηνήσωμεν τοὺς ἑαυτούς μας, ἀλλὰ ἃς θρηνήσωμεν ἐκείνους· δὲν ἠδίκησαν ἐσᾶς, ἀλλὰ τοὺς ἑαυτούς των ὡδήγησαν εἰς τὴν ἀπώλειαν· διότι σεῖς μὲν ἔχετε ἀντὶ τῆς ἀδικίας τὴν οὐράνιον βασιλείαν, ἐνῷ ἐκεῖνοι ἀντὶ κέρδους τὴν γέενναν. Διὰ τοῦτο εἶναι προτιμότερον νὰ ἀδικῆται κανεὶς καὶ νὰ μὴ ἀδικῇ. Ἂς τοὺς θρηνήσωμεν μὲ θρῆνον ὄχι ἀνθρώπινον, ἀλλὰ μὲ ἐκεῖνον ποὺ εἶναι σύμφωνος μὲ τὰς θείας Γραφάς, μὲ τὸν ὁποῖον ἐθρήνησαν καὶ οἱ προφῆται. Ἂς θρηνήσωμεν μαζὶ μὲ τὸν Ἡσαΐαν πικρὰ καὶ ἃς εἴπωμεν· «Ἀλλοίμονον εἰς ἐκείνους ποὺ κτίζουν οἰκίαν πλησίον ἄλλης οἰκίας καὶ πλησιάζουν ξένον ἀγρὸν διὰ νὰ ἀφαιρέσουν κάτι ἀπὸ τὸν πλησίον των! Μήπως θὰ κατοικήσετε μόνοι εἰς τὴν γῆν; Οἰκίαι μεγάλαι καὶ ὡραῖαι, ἀλλὰ δὲν θὰ ὑπάρξουν αὐτοὶ ποὺ θὰ τὰς κατοικήσουν»[41]. Ἂς θρηνήσωμεν μαζὶ μὲ τὸν Ναοὺμ καὶ ἃς εἴπωμεν μαζὶ μὲ ἐκεῖνον· «Ἀλλοίμονον εἰς ἐκεῖνον ποὺ κτίζει τὴν οἰκίαν

μᾶλλον δὲ θρηνήσωμεν αὐτούς, καθάπερ ὁ Χριστὸς τοὺς τότε, λέγων· «Οὐαὶ ὑμῖν τοῖς πλουσίοις! ὅτι ἀπέχετε τὸν μισθὸν ὑμῶν, καὶ τὴν παράκλησιν ὑμῶν».

Οὕτω, παρακαλῶ, θρηνοῦντες καὶ ἡμεῖς μὴ παυσώμεθα· εἰ δὲ μὴ ἄσχημον, καὶ κοψώμεθα ὑπὲρ τῆς τῶν ἀδελφῶν ῥαθυμίας. Μὴ κλαίωμεν τὸν ἤδη τεθνηκότα, ἀλλὰ κλαίωμεν τὸν ἅρπαγα, τὸν πλεονέκτην, τὸν φιλάργυρον, τὸν ἄπληστον. Διὰ τί νεκροὺς θρηνοῦμεν, ἐφ' ὧν οὐδέν ἐστιν ἀνύσαι λοιπόν; Θρηνήσωμεν τούτους, ἐφ' ὧν ἐστι καὶ μεταβολή. Ἀλλά, ἡμῶν θρηνούντων, τάχα αὐτοὶ γελῶσιν. Ἀλλὰ καὶ τοῦτο θρήνων ἄξιον, ὅτι γελῶσιν, ἐφ' οἷς ἔδει πενθεῖν· εἰ μὲν γὰρ ἔπασχόν τι ἀπὸ τῶν ὀδυρμῶν τῶν ἡμετέρων, ἐχρῆν παύσασθαι ὀδυρομένους, ὡς μέλλοντας διορθοῦσθαι, ἐπειδὴ δὲ ἀναισθήτως διάκεινται, μένωμεν ἡμεῖς κλαίοντες μὴ τοὺς πλουτοῦντας ἁπλῶς, ἀλλὰ τοὺς φιλαργύρους, τοὺς πλεονέκτας, τοὺς ἅρπαγας. Οὐ κακὸν ὁ πλοῦτος (ἔστι γὰρ αὐτῷ καὶ εἰς δέον χρήσασθαι, ὅταν εἰς τοὺς δεομένους ἀναλίσκωμεν), ἀλλὰ κακὸν ἡ πλεονεξία, τὰς ἀθανάτους προξενοῦσα κολάσεις.

Θρηνήσωμεν τοίνυν· ἴσως γάρ τις ἔσται διόρθωσις· ἤ, κἂν οἱ ἐμπεσόντες μὴ ἀπαλλαγῶσιν, ἕτεροι γοῦν οὐ περιπεσοῦνται τῷ δεινῷ, ἀλλὰ φυλάξονται. Γένοιτο δὲ κἀκείνους ἐλευθερωθῆναι τοῦ νοσήματος, καὶ ἡμῶν μηδένα περιπεσεῖν ποτε, ἵνα κοινῇ πάντες τῶν ἐπηγγελμένων τύχωμεν ἀγαθῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

42. Ἱερ. 22, 13.
43. Λουκᾶ 6, 24.

του εἰς ὕψος!»[42], μᾶλλον δὲ ἄς θρηνήσωμεν αὐτούς, ὅπως ἀκριβῶς καὶ ὁ Χριστὸς τοὺς τότε, λέγων· «Ἀλλοίμονον εἰς σᾶς τοὺς πλουσίους! διότι ἔχετε τὸν μισθόν σας καὶ τὴν παρηγορίαν σας»[43].

Παρακαλῶ ἄς μὴ παύσωμεν καὶ ἡμεῖς νὰ θρηνοῦμεν κατ' αὐτὸν τὸν τρόπον· ἐὰν δὲ δὲν εἶναι ἄσχημον ἄς θρηνήσωμεν διὰ τὴν ἀδιαφορίαν τῶν ἀδελφῶν μας. Ἄς μὴ κλαίωμεν αὐτὸν ποὺ ἀπέθανε πλέον, ἀλλὰ ἄς κλαίωμεν τὸν ἅρπαγα, τὸν πλεονέκτην, τὸν φιλάργυρον, τὸν ἀχόρταγον. Διατί θρηνοῦμεν τοὺς νεκρούς, τοὺς ὁποίους δὲν ἠμποροῦμεν πλέον εἰς τίποτε νὰ τοὺς ὠφελήσωμεν; Ἄς θρηνήσωμεν αὐτούς, εἰς τοὺς ὁποίους ὑπάρχει δυνατότης νὰ συμβῇ καὶ μεταβολή. Ἀλλά, ἐνῷ ἡμεῖς θρηνοῦμεν, ἴσως αὐτοὶ νὰ γελοῦν. Ἀλλὰ καὶ αὐτὸ εἶναι ἄξιον θρήνων, διότι γελοῦν διὰ πράγματα ποὺ ἔπρεπε νὰ πενθοῦν· διότι, ἐὰν μὲν ἐπάθαινον κάτι ἀπὸ τοὺς ὀδυρμούς μας, ἔπρεπε νὰ παύσωμεν νὰ θρηνοῦμεν, μὲ τὴν ἐλπίδα μήπως διορθωθοῦν, ἐπειδὴ ὅμως εἶναι ἀναίσθητοι, ἄς ἐπιμένωμεν ἡμεῖς εἰς τοὺς θρήνους μας, θρηνοῦντες ὄχι διὰ τοὺς πλουσίους, ἀλλὰ διὰ τοὺς φιλαργύρους, τοὺς πλεονέκτας, τοὺς ἅρπαγας. Δὲν εἶναι κακὸν πρᾶγμα ὁ πλοῦτος (διότι ἠμπορεῖ κανεὶς νὰ τὸν χρησιμοποιήσῃ καὶ δι' ἀναγκαῖα πράγματα, ὅταν τὸν ἐξοδεύῃ δι' αὐτοὺς ποὺ ἔχουν ἀνάγκην), ἀλλὰ κακὸν πρᾶγμα εἶναι ἡ πλεονεξία, ποὺ προξενεῖ τὰς ἀθανάτους τιμωρίας.

Ἄς θρηνήσωμεν λοιπόν· διότι ἴσως συμβῇ κάποια διόρθωσις· ἤ, καὶ ἄν ἀκόμη δὲν ἀπαλλαγοῦν ἀπὸ τὸ κακὸν αὐτοὶ ποὺ ἐκυριεύθησαν ἀπὸ αὐτό, ἄλλοι ὅμως δὲν θὰ περιπέσουν εἰς αὐτὸ τὸ κακόν, ἀλλὰ θὰ προφυλαχθοῦν. Εἴθε δὲ νὰ συμβῇ καὶ ἐκεῖνοι νὰ ἐλευθερωθοῦν ἀπὸ τὸ νόσημα καὶ ἀπὸ ἡμᾶς νὰ μὴ περιπέσῃ κανεὶς ποτέ, ὥστε ὅλοι μαζὶ νὰ ἐπιτύχωμεν τῶν ὑποσχεθέντων ἀγαθῶν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΞΕ΄

Ἰω. 11, 49 - 12, 8

«Εἷς δέ τις ἐξ αὐτῶν Καϊάφας, ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου, εἶπεν αὐτοῖς· Ὑμεῖς οὐκ οἴδατε οὐδέν, οὐδὲ διαλογίζεσθε ὅτι συμφέρει ἡμῖν, ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ ὑπὲρ τοῦ λαοῦ», καὶ τὰ ἑξῆς.

1. «Ἐνεπάγησαν ἔθνη ἐν διαφθορᾷ, ᾗ ἐποίησαν ἐν παγίδι ταύτῃ, ᾗ ἔκρυψαν, συνελήφθη ὁ πούς αὐτῶν». Τοῦτο ἐπὶ Ἰουδαίων γέγονεν· αὐτοὶ μὲν γὰρ ἔλεγον ἀνελεῖν τὸν Ἰησοῦν, ἵνα μὴ ἔλθωσιν οἱ Ρωμαῖοι, καὶ ἄρωσιν αὐτῶν καὶ τὸ ἔθνος καὶ τὴν πόλιν, ἐπειδὴ δὲ ἀνεῖλον, ταῦτα ἔπαθον, καί, ἅπερ ὡς διαφευξόμενοι ἔπραξαν, ταῦτα, ἐπειδὴ ἔπραξαν, οὐ διέφυγον. Ἀλλ' ὁ μὲν ἀναιρεθεὶς ἔστιν ἐν οὐρανοῖς, οἱ δὲ ἀνελόντες τὴν γέενναν κληρονομοῦσι· καίτοι οὐ ταῦτα ἐσκέψαντο, ἀλλὰ τί; Ἐβούλοντο, φησίν, ἀνελεῖν αὐτὸν ἀπὸ τῆς ἡμέρας ἐκείνης· εἶπον γὰρ ὅτι «ἐλεύσονται οἱ Ρωμαῖοι, καὶ ἀροῦσιν ἡμῶν τὸ ἔθνος».

«Εἷς δέ τις ἐξ αὐτῶν Καϊάφας, ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου, εἶπεν»· (ἀναισχυντότερος ὢν τῶν λοιπῶν)· «Ὑμεῖς οὐκ οἴδατε οὐδέν». Ὅπερ ἐκεῖνοι ἀμφέβαλλον, καὶ ἐν τάξει βουλῆς προετίθεσαν (ἔλεγον γάρ, «Τί ποιοῦμεν;»), τοῦτο οὗτος ἀναισχύντως, καὶ γυμνῇ τῇ κεφαλῇ, καὶ μετὰ ἰταμότητος ἀνεβόησε. Τί γάρ φησιν; «Ὑμεῖς οὐκ οἴδατε οὐδέν, οὐδὲ διαλογίζεσθε ὅτι συμφέρει ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται. Τοῦτο δὲ οὐκ εἶπεν ἀφ' ἑαυτοῦ, ἀλλὰ προεφήτευσεν, ἀρχιερεὺς ὤν». Ὁ-

---

1. Ψαλ. 9, 16.
2. Ἰω. 11, 48.
3. Ἰω. 11, 47.

ΟΜΙΛΙΑ ΞΕ΄

Ἰω. 11, 49 - 12, 8

«Ἕνας δέ ἀπὸ αὐτούς, ὁ Καϊάφας, ποὺ ἦτο ἀρχιερεὺς τὸ ἔτος ἐκεῖνο, εἶπεν εἰς αὐτούς· Δέν καταλαβαίνετε τίποτε οὔτε σκέπτεσθε ὅτι μᾶς συμφέρει νὰ πεθάνῃ ἕνας ἄνθρωπος ὑπὲρ τοῦ λαοῦ» κλπ.

1. «Ἐπαγιδεύθησαν ἔθνη μέσα εἰς τὴν διαφθορὰν ποὺ διέπραξαν· ἀπὸ τὴν ἰδίαν παγίδα, ποὺ ἔκρυψαν, συνελήφθη τὸ πόδι των»[1]. Αὐτὸ συνέβη μὲ τοὺς Ἰουδαίους· διότι, αὐτοὶ μὲν ἔλεγον νὰ φονεύσουν τὸν Ἰησοῦν, διὰ νὰ μὴ ἔλθουν οἱ Ρωμαῖοι καὶ ὑποτάξουν καὶ τὸ ἔθνος των καὶ τὴν πόλιν των, ὅταν δὲ τὸν ἐθανάτωσαν, ἔπαθον αὐτά, καί, αὐτὰ ποὺ ἔπραξαν διὰ ν᾽ ἀποφύγουν τὸ κακόν, αὐτά, ἐπειδὴ τὰ ἔπραξαν, δὲν τὰ διέφυγον. Ἀλλ᾽ ὁ μὲν θανατωθεὶς εὑρίσκεται εἰς τοὺς οὐρανούς, ἐνῷ ἐκεῖνοι ποὺ τὸν ἐθανάτωσαν κληρονομοῦν τὴν γέενναν· ἂν καὶ βέβαια δὲν ἀπεφάσισαν αὐτά, ἀλλὰ τί; Ἤθελον, λέγει, νὰ τὸν θανατώσουν ἀπὸ τὴν ἡμέραν ἐκείνην· διότι εἶπον ὅτι «Θὰ ἔλθουν οἱ Ρωμαῖοι καὶ θὰ ὑποτάξουν τὸ ἔθνος μας»[2].

«Ἕνας δὲ ἀπὸ αὐτούς, ὀνόματι Καϊάφας, ποὺ ἦτο ἀρχιερεὺς τὸ ἔτος ἐκεῖνο, εἶπεν· (ἦτο ἀναισχυντότερος ἀπὸ τοὺς ὑπολοίπους)· «Σεῖς δὲν καταλαβαίνετε τίποτε». Ἐκεῖνο ἀκριβῶς διὰ τὸ ὁποῖον ἀμφέβαλλον καὶ τὸ διετύπωσαν κατὰ τὴν σύσκεψιν (διότι ἔλεγον, «Τί νὰ κάμωμεν;»[3]), αὐτὸ ἀνεφώνησεν αὐτὸς μὲ ἀναισχυντίαν καὶ ἀνεπιφύλαξιν καὶ μὲ θρασύτητα. Τί λέγει δηλαδή; «Σεῖς δὲν καταλαβαίνετε τίποτε, οὔτε σκέπτεσθε ὅτι συμφέρει ν᾽ ἀποθάνῃ ἕνας ἄνθρωπος καὶ νὰ μὴ χαθῇ ὁλόκληρον τὸ ἔθνος. Αὐτὸ δὲ δὲν τὸ εἶπεν ἀπὸ τὸν ἑαυτόν του, ἀλλὰ τὸ προεφήτευσεν, ἐπειδὴ ἦτο ἀριχερεύς. Βλέπεις πόση εἶ-

ρᾶς πόση τῆς ἀρχιερατικῆς ἐξουσίας ἡ δύναμις; Ἐπειδὴ γὰρ ὅλως ἠξίωτο τῆς ἀρχιερωσύνης, καίτοι ἀνάξιος ὢν τοῦ πράγματος, προεφήτευσεν, οὐκ εἰδὼς ἅπερ ἔλεγε· καὶ τῷ στόματι μόνον ἐκέχρητο ἡ χάρις, τῆς δὲ μιαρᾶς καρδίας οὐχ ἥψατο. Πολλοὶ γοῦν καὶ ἄλλοι τὰ μέλλοντα εἶπον, ἀνάξιοι ὄντες· ὁ Ναβουχοδονόσορ, ὁ Φαραώ, ὁ Βαλαάμ· καὶ πάντων ἡ αἰτία δήλη. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· "Ὑμεῖς κάθησθε, ἔτι ὀκνηρότερον τῷ πράγματι προσέχετε, καὶ οὐκ ἴστε ἑνὸς ἀνδρὸς σωτηρίας ὑπὲρ τοῦ κοινοῦ καταφρονῆσαι". Ὅρα πόση τοῦ Πνεύματος ἡ δύναμις· ἀπὸ διανοίας πονηρᾶς ἴσχυσε ρήματα προενεγκεῖν, προφητείας γέμοντα θαυμαστῆς. Τέκνα δὲ Θεοῦ τὰ ἔθνη καλεῖ ὁ Εὐαγγελιστής, ἀπὸ τοῦ μέλλοντος ἔσεσθαι· ὥσπερ οὖν καὶ αὐτός φησι· «Καὶ ἄλλα πρόβατα ἔχω», καὶ αὐτὸς ἀπὸ τοῦ μέλλοντος αὐτὰ καλῶν.

Τί δέ ἐστιν, «Ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου»; Μετὰ τῶν ἄλλων καὶ τοῦτο διέφθαρτο· οὐκ ἔτι γὰρ τὸν χρόνον ἅπαντα τῆς ζωῆς ἱεράτευον, ἀλλ' ἐνιαυτόν, ἐξ οὗ γεγόνασιν ὠνηταὶ αἱ ἀρχαί. Πλὴν ἀλλὰ καὶ οὕτω παρῆν ἔτι τὸ Πνεῦμα. Ἐπειδὴ δὲ τὰς χεῖρας ἦραν κατὰ τοῦ Χριστοῦ, τὸ τηνικαῦτα αὐτοὺς ἐγκατέλιπε καὶ μετῆλθεν ἐπὶ τοὺς ἀποστόλους. Καὶ τοῦτο τὸ καταπέτασμα ἐδήλου σχιζόμενον, καὶ ἡ τοῦ Χριστοῦ φωνή, ἡ λέγουσα· «Ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος». Καὶ Ἰώσηπος δέ, μετὰ βραχὺν γενόμενος χρόνον, ἔφη τινὰς ἀγγέλους τοὺς ἔτι παραμένοντας, εἰ μὴ βουληθεῖεν ἐκεῖνοι ματαστῆναι, καταλιπεῖν αὐτούς· ἕως μὲν γὰρ ὁ ἀμπελὼν εἱστήκει, πάντα ἐγίνετο, ἐπειδὴ δὲ τὸν κληρονόμον ἀπέκτειναν, οὐκ ἔτι, ἀλλ' ἀπώλοντο· καὶ καθάπερ ἱμάτιον λαμπρὸν ἀπὸ παιδὸς ἀχρήστου, τῶν Ἰουδαίων, λαβὼν ὁ Θεός, τοῖς εὐγνώμοσι δούλοις ἔ-

4. Ἰω. 10, 16.
5. Ματθ. 23, 38.
6. Ματθ. 21, 33 ἑ.

ναι ἡ δύναμις τῆς ἀρχιερατικῆς ἐξουσίας; Διότι, ἐπειδὴ εἶχεν ἀξιωθῆ τῆς ἀρχιερωσύνης ἐν γένει, ἂν καὶ ἦτο ἀνάξιος αὐτῆς, προεφήτευσε, χωρὶς νὰ γνωρίζῃ αὐτὰ ποὺ ἔλεγεν˙ ἡ χάρις ἐχρησιμοποίησε μόνον τὸ στόμα, χωρὶς νὰ ἐγγίσῃ τὴν μιαρὰν καρδίαν. Βέβαια καὶ πολλοὶ ἄλλοι προεῖπον τὰ μέλλοντα νὰ συμβοῦν, ἂν καὶ ἦσαν ἀνάξιοι, ὅπως ὁ Ναβουχοδονόσορ, ὁ Φαραώ, ὁ Βαλαάμ, καὶ ὅλων ἡ αἰτία εἶναι φανερά. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς˙ 'Σεῖς κάθεσθε καὶ βλέπετε τὸ πρᾶγμα ἀκόμη μὲ ἀδιαφορίαν καὶ δὲν σκέπτεσθε ὅτι πρέπει νὰ ἀδιαφορήσετε διὰ τὴν σωτηρίαν ἑνὸς ἀνθρώπου χάριν τῆς κοινῆς ὠφελείας'. Πρόσεχε πόση εἶναι ἡ δύναμις τοῦ Πνεύματος˙ κατώρθωσε ἀπὸ πονηρὰν διάνοιαν ν' ἀναφέρῃ λόγια γεμᾶτα ἀπὸ θαυμαστὴν προφητείαν. Τέκνα δὲ Θεοῦ ὀνομάζει ὁ Εὐαγγελιστὴς τὰ ἔθνη, ἐξ αἰτίας ἐκείνου ποὺ ἐπρόκειτο νὰ συμβῇ˙ ὅπως ἀκριβῶς καὶ ὁ ἴδιος λέγει˙ «Καὶ ἄλλα πρόβατα ἔχω»[4], ὀνομάζων αὐτὰ ἔτσι ἀπὸ αὐτὸ ποὺ θὰ συνέβαινεν εἰς τὸ μέλλον.

Τί σημαίνει δέ, «Ἀρχιερεὺς ὢν κατὰ τὸ ἔτος ἐκεῖνο»; Μαζὶ μὲ ὅλα τὰ ἄλλα καὶ αὐτὸ εἶχε διαφθαρῆ˙ διότι δὲν ἱεράτευον πλέον καθ' ὅλον τὸν χρόνον τῆς ζωῆς των, ἀλλ' ἓν ἔτος, ἀπὸ τότε ποὺ ἦτο δυνατὸν νὰ πληρώνωνται αἱ ἐξουσίαι. Πλὴν ὅμως καὶ ἔτσι ἦτο παρὸν τὸ Πνεῦμα. Ὅταν δὲ ἐσήκωσαν τὰ χέρια των κατὰ τοῦ Χριστοῦ τότε τοὺς ἐγκατέλειψεν αὐτὸ καὶ μετέβη εἰς τοὺς ἀποστόλους. Καὶ αὐτὸ τὸ ἐφανέρωσε τὸ καταπέτασμα ποὺ ἐσχίσθη καὶ ἡ φωνὴ τοῦ Χριστοῦ ποὺ ἔλεγε˙ «Νά, ἐγκαταλείπεται ὁ οἶκος σας ἔρημος»[5]. Καὶ ὁ Ἰώσηπος δέ, ποὺ ἔζησε μετὰ ἀπὸ ὀλίγον χρόνον, εἶπεν, ὅτι μερικοὶ ἄγγελοι, ποὺ παρέμενον ἀκόμη εἰς αὐτούς, θὰ τοὺς ἐγκαταλείψουν, ἐὰν δὲν θελήσουν ἐκεῖνοι νὰ ἀλλάξουν φρόνημα˙ διότι, ὅσον χρόνον παρέμενεν ὁ ἀμπελών, ὅλα ἐγίνοντο, ὅταν ὅμως ἐφόνευσαν τὸν κληρονόμον[6], δὲν ἐγίνετο τίποτε, ἀλλὰ κατεστράφησαν˙ καὶ ὡσὰν ἀκριβῶς λαμπρὸν ἔνδυμα, ἀφοῦ τὸ ἔλαβεν ὁ Θεὸς ἀπὸ ἄχρηστον δοῦλον, δηλαδὴ τοὺς Ἰουδαίους, τὸ ἔδωσεν εἰς τοὺς εὐγνώμονας δούλους, δηλαδὴ

δωκε, τοῖς ἐξ ἐθνῶν, ἐκείνους ἐρήμους ἀφεὶς καὶ γυμνούς. Οὐ μικρὸν δὲ τοῦτο ἦν, τὸ καὶ τὸν ἐχθρὸν προφητεῦσαι ταῦτα. Τοῦτο καὶ τοὺς ἄλλους ἐπισπάσασθαι ἠδύνατο· κατὰ μὲν γὰρ τὴν αὐτοῦ προαίρεσιν ἐναντίως ἐξέβη, ἐπειδὴ δὲ ἀπέθανε, διὰ τοῦτο τῆς μελλούσης κολάσεως ἀπηλλάγησαν οἱ πιστοί.

Τί ἐστιν, «Ἵνα συναγάγῃ εἰς ἕν»; Ὅτι τοὺς ἐγγὺς καὶ τοὺς μακρὰν ἓν σῶμα ἐποίησε καὶ ὁ ἐν Ῥώμῃ καθήμενος τοὺς Ἰνδοὺς μέλος εἶναι νομίζει ἑαυτοῦ. Τί ταύτης τῆς συναγωγῆς ἴσον; Καὶ πάντων κεφαλὴ ὁ Χριστός. «Ἀπ' ἐκείνης τῆς ἡμέρας ἐβουλεύσαντο οἱ Ἰουδαῖοι, ἵνα ἀποκτείνωσιν αὐτόν». Καὶ μὴν πρότερον ἐζήτουν· λέγει γάρ· «Διὰ τοῦτο ἐζήτουν οἱ Ἰουδαῖοι αὐτὸν ἀποκτεῖναι», καὶ «τί με ζητεῖτε ἀποκτεῖναι;». Ἀλλὰ τότε μὲν ἐζήτουν, νῦν δὲ καὶ ἐκύρωσαν τὴν γνώμην, καὶ ὡς ἔργῳ τῷ πράγματι κέχρηνται. «Ἰησοῦς δὲ οὐκ ἔτι παρρησίᾳ περιεπάτει ἐν τῇ Ἰουδαίᾳ». Πάλιν ἀνθρωπίνως ἑαυτὸν σώζει, καὶ συνεχῶς τοῦτο ποιεῖ.

2. Τὴν δὲ αἰτίαν εἶπον, δι' ἣν πολλάκις ἀπῆλθε καὶ ἀνεχώρησε. Καὶ νῦν ἐγγὺς τῆς ἐρήμου διατρίβει ἐν Ἐφρατά, καὶ ἐκεῖ ἔμενε μετὰ τῶν μαθητῶν αὐτοῦ. Πῶς οἴει θορυβεῖσθαι τοὺς μαθητάς, ὁρῶντας αὐτὸν ἀνθρωπίνως σωζόμενον; Οὐδεὶς λοιπὸν ἠκολούθησε· τῆς γὰρ ἑορτῆς οὔσης ἐγγύς, πάντες ἐπὶ τὰ Ἱεροσόλυμα ἔτρεχον· αὐτοὶ δέ, ὅτε πάντες ἔχαιρον καὶ ἐπανηγύριζον, τότε κρύπτονται, τότε ἐν κινδύνοις εἰσίν, ἀλλ' ὅμως παρέμενον· καὶ γὰρ ἐν τῇ Γαλιλαίᾳ, τοῦ Πάσχα ὄντος καὶ τῆς Σκηνοπηγίας, ἐκρύπτοντο· καὶ πάλιν μετὰ ταῦτα, τῆς ἑορτῆς οὔσης, τῷ φεύγειν καὶ τῷ κρύπτεσθαι μόνοι τῶν ἄλλων μετὰ τοῦ Διδασκάλου τὴν εὔνοιαν ἐπεδείκνυντο. Ἐντεῦθέν φησιν ὁ Λουκᾶς αὐτὸν

7. Ἰω. 5, 18.
8. Ἰω. 7, 19.

εἰς τοὺς ἐξ ἐθνῶν, ἀφήσας ἐκείνους ἐρήμους καὶ γυμνούς. Δὲν ἦτο δὲ αὐτὸ μιαρόν, τὸ νὰ προφητεύσῃ δηλαδὴ καὶ ὁ ἐχθρὸς τέτοια πράγματα. Αὐτὸ ἠμποροῦσε καὶ τοὺς ἄλλους νὰ προσελκύσῃ˙ διότι συνέβη μὲν ἀντίθετα ἀπὸ τὴν σκέψιν ποὺ διετύπωσεν ἐκεῖνος, ἀλλ' ἐπειδὴ ἀπέθανε, διὰ τοῦτο οἱ πιστοὶ ἀπηλλάγησαν ἀπὸ τὴν μελλοντικὴν τιμωρίαν.

Τί σημαίνει, «Ἵνα συναγάγῃ εἰς ἕν»; Ὅτι ἔκαμεν ἕνα σῶμα τοὺς εὑρισκομένους πλησίον καὶ μακράν, καὶ αὐτὸς ποὺ διαμένει εἰς τὴν Ρώμην θεωρεῖ μέλος του τοὺς Ἰνδούς. Τί ἄλλο ὑπάρχει ἴσον μὲ αὐτὴν τὴν συναγωγήν; Καὶ ὅλων κεφαλὴ εἶναι ὁ Χριστός. «Ἀπὸ ἐκείνην τὴν ἡμέραν ἀπεφάσισαν οἱ Ἰουδαῖοι νὰ τὸν φονεύσουν». Καὶ βέβαια καὶ προηγουμένως τὸν ἐζήτουν˙ διότι λέγει˙ «Διὰ τοῦτο ἐζήτουν οἱ Ἰουδαῖοι νὰ τὸν φονεύσουν»[7], καί, «τί μὲ ζητεῖτε διὰ νὰ μὲ φονεύσετε;»[8]. Ἀλλὰ τότε μὲν τὸν ἐζήτουν, ἐνῷ τώρα καὶ ἐπεκύρωσαν αὐτὴν τὴν ἀπόφασιν καὶ προσπαθοῦν νὰ ἐφαρμόσουν τὸ πρᾶγμα εἰς τὴν πρᾶξιν. «Ὁ δὲ Ἰησοῦς δὲν περιεπάτει πλέον ἐλεύθερα εἰς τὴν Ἰουδαίαν». Πάλιν μὲ ἀνθρώπινον τρόπον σώζει τὸν ἑαυτόν του καὶ συνεχῶς αὐτὸ κάμνει.

2. Τὴν δὲ αἰτίαν, διὰ τὴν ὁποίαν πολλὲς φορὲς ἀνεχώρησε καὶ μετέβη μακρυά, τὴν εἶπον. Καὶ τώρα διαμένει πλησίον τῆς ἐρήμου, εἰς τὴν πόλιν Ἐφρατά, καὶ ἐκεῖ ἔμενε μὲ τοὺς μαθητάς του. Πόσον νομίζεις ὅτι ἐθορυβήθησαν οἱ μαθηταί του, βλέποντες αὐτὸν νὰ σώζεται ἀνθρωπίνως; Κανεὶς πλέον δὲν τὸν ἠκολούθησεν˙ ἐπειδὴ δηλαδὴ ἐπλησίαζεν ἡ ἑορτή, ὅλοι ἔτρεχον εἰς τὰ Ἱεροσόλυμα, ἐνῷ οἱ μαθηταί του, τότε ποὺ ὅλοι ἐχαίροντο καὶ ἐπανηγύριζον, τότε κρύπτονται, τότε εὑρίσκονται μέσα εἰς τοὺς κινδύνους, ἀλλ' ὅμως ἔμενον πλησίον του˙ καθ' ὅσον καὶ εἰς τὴν Γαλιλαίαν, κατὰ τὴν ἑορτὴν τοῦ Πάσχα καὶ τῆς Σκηνοπηγίας, ἐκρύπτοντο˙ καὶ πάλιν εἰς τὴν συνέχειαν, ὅταν ἐτελεῖτο ἡ ἑορτή, αὐτοὶ μόνοι ἀπὸ ὅλους τοὺς ἄλλους, μὲ τὸ νὰ φεύγουν καὶ νὰ κρύπτωνται μαζὶ μὲ τὸν διδάσκαλόν των ἐφανέρωνον τὴν εὔνοιάν των πρὸς αὐτόν. Ἐξ αἰτίας αὐτοῦ τοῦ γεγονότος λέγει ὁ Λουκᾶς ὅτι ὁ Χριστὸς εἶχεν

εἰρηκέναι· «Ὑμεῖς ἐστε οἱ διαμεμενηκότες μετ' ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου». Ταῦτα δὲ ἔλεγε, δεικνὺς ὅτι παρὰ τῆς αὐτοῦ ῥοπῆς ἐνδυναμοῦνται.

«Πολλοὶ δὲ ἐκ τῆς χώρας ἀνέβησαν ἁγνίσαι ἑαυτούς. Καὶ ἔδωκαν παραγγελίας οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι, ἵνα πιάσωσιν αὐτόν». Θαυμαστὸς ἁγνισμός, μετὰ μιαιφόνου προαιρέσεως, μετὰ ἀνδροφόνου διανοίας, μετὰ ἡγιασμένων χειρῶν! «Καὶ ἔλεγον· Δοκεῖτε ὅτι οὐ μὴ ἔλθῃ ἐν τῇ ἑορτῇ;». Διὰ τοῦ Πάσχα ἐπεβούλευον, καὶ τὸν καιρὸν τῆς ἑορτῆς ἐποιοῦντο καιρὸν σφαγῆς· τουτέστιν, 'ἐνταῦθα αὐτὸν ἐμπεσεῖν δεῖ, τοῦ καιροῦ καλοῦντος αὐτόν'. Ὢ τῆς ἀσεβείας! ὅτε πλείονος ἔδει τῆς εὐλαβείας καὶ τοὺς ἐπὶ τοῖς ἐσχάτοις εἰλημμένους ἀφιέναι, τότε τὸν οὐδὲν ἠδικηκότα θηρεῦσαι ἐπιχειροῦσι. Καίτοι καὶ ἤδη τοῦτο ποιήσαντες, οὐ μόνον οὐδὲν ὤνησαν, ἀλλὰ καὶ καταγέλαστοι γεγόνασι. Διὰ τοῦτο συνεχῶς ἐμπίπτων διαφεύγει, καὶ βουλομένους αὐτὸν ἀνελεῖν κατέχει καὶ ἀπορεῖν ποιεῖ τῇ τῆς δυνάμεως ἀποδείξει κατανύξαι βουλόμενος, καὶ ἵνα, ὅταν λάβωσιν αὐτόν, μάθωσιν ὅτι οὐ τῆς οἰκείας ἰσχύος ἦν, ἀλλὰ τῆς ἐκείνου συγχωρήσεως τὸ γινόμενον· οὐδὲ γὰρ τότε ἴσχυσαν αὐτὸν συλλαβεῖν, καὶ ταῦτα πλησίον οὔσης τῆς Βηθανίας· καὶ ὅτε δὲ συνέλαβον, ἔρριψεν αὐτοὺς ὑπτίους.

«Πρὸ ἓξ δὲ ἡμερῶν τοῦ Πάσχα ἦλθεν εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος· καὶ εἱστιᾶτο παρ' αὐτοῖς, καὶ Μάρθα διακονεῖ, καὶ Λάζαρος ἐσθίει». Τοῦτο δὲ τῆς εἰλικρινοῦς ἀναστάσεως σημεῖον ἦν, τὸ μετὰ ἡμέρας πολλὰς καὶ ζῆν καὶ ἐσθίειν. Ὅθεν δῆλον ὅτι ἐν τῇ οἰκίᾳ αὐτῆς τὸ ἄριστον ἦν· ἅτε γὰρ φίλοι καὶ φιλούμενοι δέχονται τὸν Ἰησοῦν. Τινὲς δέ φασιν ὅτι ἐν ἀλλοτρίᾳ οἰκίᾳ τοῦτο ἐγένετο. Ἡ δὲ Μαρία οὐ διηκόνει· μαθήτρια γὰρ ἦν. Πάλιν ἐνταῦθα αὕτη

---

9. Λουκᾶ 22, 28.
10. Ἰω. 18, 6.

εἰπεῖ· «Σεῖς εἶσθε ἐκεῖνοι ποὺ παρεμείνατε κοντά μου κατὰ τὸν χρόνον τῶν δοκιμασιῶν μου»[9]. Αὐτὰ δὲ τὰ ἔλεγε, διὰ νὰ δείξῃ ὅτι ἐνδυναμώνονται ἀπὸ τὴν ἰδικήν του δύναμιν.

«Πολλοὶ δὲ ἀπὸ τὴν χώραν ἀνέβησαν εἰς τὰ Ἱεροσόλυμα διὰ νὰ ἐξαγνισθοῦν. Καὶ ἔδωσαν ἐντολὴν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι νὰ τὸν συλλάβουν». Θαυμαστὸς ἐξαγνισμός, μὲ αἱμοβόρον πρόθεσιν, μὲ σκέψιν διὰ ἀνθρωποκτονίαν, μὲ χέρια αἱματωμένα! «Καὶ ἔλεγον· Ἔχετε τὴν ἐντύπωσιν ὅτι δὲν θὰ ἔλθῃ εἰς τὴν ἑορτήν;». Διὰ τοῦ Πάσχα ἐσχεδίαζον τὸ κακὸν καὶ τὸν καιρὸν τῆς ἑορτῆς τὸν μετέβαλλον εἰς καιρὸν σφαγῆς· δηλαδή, 'πρέπει νὰ ἔλθῃ αὐτὸς ἐδῶ, ἀφοῦ ὁ καιρὸς τὸν καλεῖ. Πώ, πὼ ἀσέβεια! ὅταν ἔπρεπε νὰ δείξουν περισσοτέραν εὐλάβειαν καὶ ν' ἀπολύσουν ἐκείνους ποὺ εἶχον συλληφθῆ διὰ τὰ χειρότερα παραπτώματα, τότε ἐπιχειροῦν νὰ συλλάβουν αὐτὸν ποὺ δὲν ἔκαμε κανὲν ἀδίκημα. Μολονότι βέβαια καὶ ὅταν πλέον τὸ ἔκαμαν αὐτό, ὄχι μόνον δὲν ὠφελήθησαν εἰς τίποτε, ἀλλὰ καὶ ἐγελοιοποιήθησαν. Διὰ τοῦτο συνεχῶς διαφεύγει ἀπὸ ἀνάμεσά των καὶ ἐνῷ θέλουν νὰ τὸν φονεύσουν τοὺς συγκρατεῖ καὶ τοὺς κάνει ν' ἀποροῦν, θέλων νὰ τοὺς συνετίσῃ μὲ τὴν ἀπόδειξιν τῆς δυνάμεώς του, καὶ διὰ νὰ ἀντιληφθοῦν, ὅταν τὸν συλλάβουν, ὅτι ἡ σύλληψίς του δὲν ἦτο ἀποτέλεσμα τῆς δυνάμεώς των, ἀλλὰ αὐτὸ συνέβη κατόπιν ἰδικῆς του παραχωρήσεως· διότι οὔτε τότε κατώρθωσαν νὰ τὸν συλλάβουν, καὶ ὅλα αὐτὰ τὴν στιγμὴν ποὺ εὑρίσκετο πλησίον ἡ Βηθανία· ἀλλά, καὶ ὅταν τὸν συνέλαβον, τοὺς ἔρριψε κατὰ γῆς[10].

«Ἓξ ἡμέρας δὲ πρὶν ἀπὸ τοῦ Πάσχα ἦλθεν εἰς τὴν Βηθανίαν, ὅπου ἦτο ὁ Λάζαρος καὶ τοῦ παρέθεσαν δεῖπνον καὶ ἡ Μάρθα ὑπηρέτει καὶ ὁ Λάζαρος ἔτρωγεν». Αὐτὸ δὲ ἦτο ἀπόδειξις τῆς πραγματικῆς ἀναστάσεως, τὸ ὅτι μετὰ ἀπὸ πολλὰς ἡμέρας καὶ ζῇ καὶ τρώγει. Ἑπομένως γίνεται φανερόν, ὅτι εἰς τὴν οἰκίαν αὐτῆς παρετέθη τὸ δεῖπνον· δέχονται δηλαδὴ τὸν Ἰησοῦν ἐπειδὴ ἦσαν φίλοι καὶ ἀγαπητοί. Μερικοὶ ὅμως λέγουν ὅτι αὐτὸ τὸ δεῖπνον ἔγινεν εἰς ξένην οἰκίαν. Ἡ δὲ Μαρία δὲν ὑπηρέτει, διότι ἦτο μαθή-

πνευματικώτερον· οὐ διηκόνει γὰρ ὡς κεκλημένη, οὐδὲ κοινὴν ποιεῖται τὴν ὑπηρεσίαν, ἀλλ' εἰς αὐτὸν μόνον περιΐστησι τὴν τιμήν, καὶ οὐχ ὡς ἀνθρώπῳ πρόσεισιν, ἀλλ' ὡς Θεῷ· τὸ γὰρ μύρον διὰ τοῦτο ἐξέχεε καὶ ταῖς θριξὶ τῆς κεφαλῆς ἀπέμαξεν, ἅτινα οὐκ ἦν ὑπόληψιν ἐχούσης περὶ αὐτοῦ τοιαύτην, οἵαν οἱ πολλοί. Ἀλλ' ἐπετίμησεν ὁ Ἰούδας, προσχήματι δῆθεν εὐλαβείας.

Τί οὖν ὁ Χριστός; «Ἄφες αὐτήν· εἰς γὰρ τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου τοῦτο ἐποίησε». Τί δήποτε δὲ οὐκ ἤλεγξε τὸν μαθητὴν ἐπὶ τῆς γυναικός, οὐδὲ εἶπε τοῦτο, ὅπερ ὁ Εὐαγγελιστὴς εἶπεν, ὅτι διὰ τὴν οἰκείαν κλοπὴν ἐπετίμα τῇ γυναικί; Τῇ πολλῇ μακροθυμίᾳ ἐντρέψαι αὐτὸν ἐβούλετο· ὅτι γὰρ ᾔδει ὅτι προδότης ἦν, ἄνωθεν αὐτὸν ἤλεγξε πολλάκις, εἰπών· «Οὐ πάντες πιστεύουσι», καὶ «εἷς ἐξ ὑμῶν διάβολός ἐστιν». Ἐδήλωσε μὲν οὖν ὅτι οἶδεν αὐτὸν προδότην, οὐκ ἤλεγξε δὲ φανερῶς, ἀλλὰ συνεχώρησεν, ἀνακαλέσασθαι αὐτὸν θέλων. Πῶς οὖν ἄλλος φησὶν ὅτι πάντες οἱ μαθηταὶ τοῦτο ἐφθέγξαντο; Καὶ πάντες, κἀκεῖνος· ἀλλ' οἱ λοιποὶ οὐ τῇ αὐτῇ προαιρέσει. Εἰ δέ τις ἐξετάζοι, τί δήποτε κλέπτῃ ὄντι τὸ γλωσσόκομον ἐνεχείρισε τῶν πτωχῶν, καὶ οἰκονομεῖν ἐποίησε, φιλάργυρον ὄντα; Ἐκεῖνο ἂν εἴποιμεν, ὅτι τὸν μὲν ἀπόρρητον λόγον ὁ Θεὸς οἶδεν, εἰ δέ τι χρὴ ἡμᾶς στοχαζομένους εἰπεῖν, ἵνα πᾶσαν ἐκκόψῃ πρόφασιν· οὐ γὰρ εἶχεν εἰπεῖν ὅτι διὰ χρημάτων ἔρωτα τοῦτο ἐποίησε (καὶ γὰρ ἱκανὴν εἶχεν ἐκ τοῦ γλωσσοκόμου τῆς ἐπιθυμίας τὴν παραμυθίαν), ἀλλὰ διὰ πονηρίαν πολλήν, ἣν ἐβούλετο κατέχειν ὁ Χριστός, πολλῇ συγκαταβάσει πρὸς

11. Ἰω. 6, 64.
12. Ἰω. 6, 70.
13. Ματθ. 26, 6 ἑ. Μάρκ. 14, 3 ἑ.

τρια. Πάλιν αὐτὴ καὶ εἰς τὴν περίπτωσιν αὐτὴν παρουσιάζεται πνευματικὰ ἀνωτέρα· διότι δὲν ὑπηρέτει ὡς προσκεκλημένη, οὔτε παρέχει τὴν ὑπηρεσίαν πρὸς ὅλους, ἀλλ' ἀποδίδει τὴν τιμὴν εἰς αὐτὸν μόνον, καὶ δὲν τὸν πλησιάζει ὡσὰν ἄνθρωπον, ἀλλ' ὡσὰν Θεόν· διότι τὸ μύρον διὰ τοῦτο τὸ ἔχυσεν εἰς τὰ πόδια του καὶ τὸ ἐσφούγγισε μὲ τὰς τρίχας τῆς κεφαλῆς της, πράγματα ποὺ ἦσαν δείγματα ὅτι αὐτὴ δὲν εἶχε περὶ αὐτοῦ τὴν ἰδίαν γνώμην ποὺ εἶχον οἱ πολλοί. Ἀλλὰ τὴν ἐπετίμησεν ὁ Ἰούδας, μέ τὸ πρόσχημα δῆθεν τῆς εὐλαβείας.

Τί λέγει λοιπὸν ὁ Χριστός; «Ἄφησέ την· διότι αὐτὸ τὸ ἔκαμε διὰ τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου». Ἀλλὰ διατί τέλος πάντων δὲν ἤλεγξε τὸν μαθητὴν δι' αὐτὸ ποὺ εἶπε διὰ τὴν γυναῖκα, οὔτε εἶπεν αὐτὸ ποὺ ὁ Εὐαγγελιστὴς εἶπεν, ὅτι ἐπετίμησε τὴν γυναῖκα ἐξ αἰτίας τῆς ἀδυναμίας του νὰ κλέπτῃ; Ἤθελε μὲ τὴν πολλὴν μακροθυμίαν του νὰ τὸν μεταβάλῃ· διότι τὸ ἐγνώριζεν ὅτι ἦτο προδότης καὶ προηγουμένως τὸν ἤλεγξε πολλὲς φορές, λέγων· «Δέν θὰ πιστεύσουν ὅλοι»[11], καὶ «ἕνας ἀπὸ σᾶς εἶναι διάβολος»[12]. Τὸ ἔκαμε μὲν φανερὸν ὅτι γνωρίζει ποὺ εἶναι προδότης, δὲν τὸν ἤλεγξεν ὅμως φανερά, ἀλλὰ τὸν ἐσυγχώρησεν, ἐπειδὴ ἤθελε νὰ τὸν ἐπαναφέρῃ εἰς τὸν ὀρθὸν δρόμον. Πῶς λοιπὸν ἄλλος εὐαγγελιστὴς λέγει ὅτι ὅλοι οἱ μαθηταὶ τὸ εἶπον αὐτό[13]; Καὶ ὅλοι καὶ ἐκεῖνος· ἀλλ' οἱ ὑπόλοιποι δὲν τὸ εἶπον μὲ τὴν ἰδίαν πρόθεσιν. Ἐὰν δὲ κάποιος ἤθελεν ἐξετάσει, διατί τέλος πάντων ἀνέθεσε τὸ χρηματοκιβώτιον διὰ τοὺς πτωχοὺς εἰς ἐκεῖνον ποὺ ἦτο κλέπτης καὶ τὸν ἔκαμε διαχειριστήν, ἐνῷ ἦτο φιλάργυρος; θὰ ἠμπορούσαμεν ἐκεῖνο νὰ εἰποῦμεν, ὅτι τὸν μὲν ἀπόρρητον λόγον ὁ Θεὸς τὸν γνωρίζει, ἐὰν ὅμως πρέπει νὰ κάμωμεν καὶ ἡμεῖς κάποιαν σκέψιν, τὸ ἔκαμε διὰ νὰ τοῦ ἀφαιρέσῃ κάθε δικαιολογίαν· διότι δὲν ἠμποροῦσε νὰ εἰπῇ ὅτι τὸ ἔκαμεν αὐτὸ ἀπὸ ἀγάπην πρὸς τὰ χρήματα (καθ' ὅσον ἠμποροῦσε νὰ ἱκανοποιήσῃ ἀρκετὰ τὴν ἐπιθυμίαν του ἀπὸ τὸ χρηματοκιβώτιόν του), ἀλλὰ ἐξ αἰτίας τῆς πολλῆς πονηρίας του, ποὺ ἤθελεν ὁ Χριστὸς νὰ τὴν ἐξαλείψῃ, χρησι-

αὐτὸν κεχρημένος. Διὸ οὐδὲ ἐνεκάλει αὐτῷ κλέπτοντι, καίτοι γε εἰδώς, ἐμφράττων τὴν πονηρὰν ἐπιθυμίαν, καὶ πᾶσαν ἐξαίρων ἀπολογίαν.

«Ἄφες αὐτήν», φησίν· εἰς γὰρ τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου τοῦτο ἐποίησε». Πάλιν τὸν προδότην ἀνέμνησεν, ἐνταφιασμὸν εἰπών. Ἀλλ' οὐ καθικνεῖται αὐτοῦ ὁ ἔλεγχος, οὐδὲ μαλάσσει τὸ ῥῆμα, καίτοι ἱκανὸν αὐτὸν εἰς οἶκτον ἐμβαλεῖν· ὡσανεὶ ἔλεγεν· "Επαχθής εἰμι καὶ φορτικός, ἀλλὰ ἀνάμεινον μικρόν, καὶ ἀπελεύσομαι'»· καὶ γὰρ τοῦτο κατεσκεύαζεν ἐν τῷ λέγειν· «Ἐμὲ δὲ οὐ πάντοτε ἔχετε». Ἀλλ' οὐδὲν τούτων τὸν θηριώδη καὶ μαινόμενον ἐπέκαμψε, καίτοι γε καὶ τούτων πολλῷ πλείονα καὶ εἶπε καὶ ἐποίησε καὶ τοὺς πόδας αὐτοῦ ἔνιψε κατ' αὐτὴν τὴν νύκτα, καὶ τραπέζης αὐτῷ μετέδωκε καὶ ἁλῶν, ὃ καὶ τὰς ληστρικὰς οἶδε κατέχειν ψυχὰς (καὶ ῥήματα ἕτερα ἐφθέγξατο, ἱκανὰ καὶ λίθον μαλάξαι), καὶ ταῦτα οὐ πρὸ πολλοῦ τοῦ χρόνου, ἀλλ' ἐν αὐτῇ τῇ ἡμέρᾳ, ἵνα μηδὲ ὁ χρόνος εἰς λήθην ἐμβάλῃ· ἀλλὰ πρὸς ἅπαντα ἔστη.

3. Δεινὸν γὰρ ἡ φιλαργυρία, δεινόν! καὶ ὀφθαλμοὺς καὶ ὦτα πηροῖ καὶ θηρίου χαλεπωτέρους ποιεῖ, οὐ συνειδός, οὐ φιλίαν, οὐ κοινωνίαν, οὐ τὴν τῆς οἰκείας ψυχῆς σωτηρίαν ἐννοῆσαι συγχωροῦσα, ἀλλά, καθάπαξ πάντων ἀποστήσασα, δούλους αὐτῆς ποιεῖ τοὺς ἁλόντας, καθάπερ τις τυραννὶς χαλεπή. Καὶ τὸ δεινὸν τῆς οὕτω πικρᾶς δουλείας, ὅτι καὶ χάριν αὐτῇ ἔχειν ἀναπείθει· καὶ ὅσῳ περ ἂν αὐτῇ μᾶλλον δουλεύσωσι, τοσούτῳ τὰ τῆς ἡδονῆς αὔξεται. Καὶ ταύτῃ μάλιστα ἀνίατον τὸ νόσημα γίνεται, ταύτῃ δυσάλωτον τὸ θηρίον. Τοῦτο τὸν Γιεζῆ λεπρὸν ἀντὶ μαθητοῦ

μοποιεῖ δι' αὐτὸν πολλὴν συγκατάβασιν. Διὰ τοῦτο δὲν τὸν ἐπετίμα ὅταν ἔκλεπτεν, ἂν καὶ βέβαια τὸ ἐγνώριζε, διὰ νὰ ἀποκόψῃ τὴν πονηρὰν ἐπιθυμίαν του καὶ ν' ἀφαιρέσῃ κάθε δικαιολογίαν του.

«Ἄφησέ την, λέγει· διότι αὐτὸ τὸ ἔκαμε διὰ τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου». Πάλιν τὸν προδότην ὑπενθύμισεν, ἀναφέρων τὸν ἐνταφιασμόν. Ἀλλὰ δὲν τὸν συγκινεῖ ὁ ἔλεγχος, οὔτε τὸν μαλακώνει ὁ λόγος, ἂν καὶ βέβαια εἶχε τὴν δύναμιν νὰ τὸν κάνῃ νὰ τὸν λυπηθῇ· ἦτο ὡσὰν νὰ ἔλεγεν· Εἶμαι ἐνοχλητικὸς καὶ φορτικός, ἀλλὰ περίμενε ὀλίγον καὶ θὰ φύγω ἀπὸ αὐτὸν τὸν κόσμον" καθ' ὅσον αὐτὸ ἐννοοῦσεν ὅταν ἔλεγεν· «Ἐμένα δὲ δὲν μὲ ἔχετε πάντοτε». Ἀλλ' ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν τὸν ἐλύγισε τὸν θηριώδη καὶ μανιασμένον, ἂν καὶ βέβαια πολὺ περισσότερα ἀπὸ αὐτὰ καὶ εἶπε καὶ ἔκαμε καὶ τὰ πόδια του ἔνιψε τὴν ἰδίαν τὴν νύκτα καὶ ἀπὸ τὴν τράπεζαν τοῦ ἔδωσε νὰ φάγῃ, πρᾶγμα ποὺ ἠμπορεῖ καὶ τὰς ληστρικὰς ψυχὰς νὰ συγκρατήσῃ (καὶ ἄλλα λόγια εἶπεν, ποὺ ἦσαν ἱκανὰ καὶ λίθον νὰ μαλακώσουν), καὶ ὅλα αὐτὰ ὄχι πρὶν ἀπὸ πολὺν χρόνον, ἀλλὰ κατὰ τὴν ἰδίαν ἡμέραν, ὥστε οὔτε ὁ χρόνος νὰ τὸν κάνῃ νὰ τὰ λησμονήσῃ· καὶ ὅμως αὐτὸς ἀπὸ ὅλα ἔμεινεν ἀσυγκίνητος.

3. Πράγματι εἶναι φοβερὸν πρᾶγμα ἡ φιλαργυρία! καὶ τοὺς ὀφθαλμοὺς καταστρέφει καὶ τὰ αὐτιὰ καὶ κάμνει τοὺς ἀνθρώπους φοβερωτέρους ἀπὸ θηρίον, μὴ ἐπιτρέπουσα αὐτοὺς οὔτε τὴν συνείδησίν των νὰ σκεφθοῦν οὔτε τὴν φιλίαν, οὔτε τὴν κοινωνίαν οὔτε τὴν σωτηρίαν τῆς ψυχῆς των, ἀλλά, ἀφοῦ τοὺς ἀπομακρύνῃ ἀπὸ ὅλα, κάμνει δούλους της αὐτοὺς ποὺ θὰ συλλάβῃ, ὡσὰν ἀκριβῶς κάποια φοβερὰ τυραννίς. Καὶ τὸ φοβερὸν αὐτῆς τῆς τόσον πικρᾶς δουλείας εἶναι, ὅτι καταπείθει τοὺς δούλους της νὰ τῆς χρεωστοῦν καὶ χάριν· καὶ ὅσον περισσότερον δοῦλοι της συμβῇ νὰ γίνουν, τόσον περισσότερον αὐξάνεται ἡ εὐχαρίστησίς των. Καὶ μὲ τὸν τρόπον αὐτὸν γίνεται τὸ νόσημα εἰς ἀπροχώρητον βαθμὸν ἀθεράπευτον, καὶ ἔτσι γίνεται ἀκατανίκητον τὸ θηρίον. Αὐτὸ ἔκαμε τὸν Γιεζῆ λεπρὸν ἀντὶ

καὶ προφήτου πεποίηκε· τοῦτο τοὺς περὶ Ἀνανίαν ἀπώλεσε· τοῦτο τὸν Ἰούδαν προδότην εἰργάσατο· τοῦτο τοὺς Ἰουδαίων ἄρχοντας διέφθειρε, λαμβάνοντας δῶρα καὶ κοινωνοὺς κλεπτῶν γενομένους· τοῦτο μυρίους πολέμους εἰσήγαγεν, αἱμάτων μὲ τὰς ὁδούς, θρήνων δὲ καὶ οἰμωγῶν τὰς πόλεις πληρῶσαν· τοῦτο καὶ δεῖπνα ἐποίησε γενέσθαι ἀκάθαρτα, καὶ τραπέζας ἐναγεῖς, καὶ ἐδέσματα παρανομίας ἐνέπλησε. Διὰ τοῦτο αὐτὸ εἰδωλολατρείαν ἐκάλεσεν ὁ Παῦλος. Ἀλλ' οὐδὲ οὕτως ἐφόβησε.

Διὰ τί δὲ εἰδωλολατρείαν; φησίν. Ἔχουσι πολλοὶ χρήματα, καὶ χρήσασθαι αὐτοῖς οὐ τολμῶσιν, ἀλλὰ ἀφιεροῦσιν εἰς ἐγγόνους καὶ ἐξ ἐγγόνων παραπέμποντες ἀνέπαφα, καθάπερ τινῶν ἀναθημάτων οὐ τολμῶντες ἅψασθαι· ἐὰν δέ ποτε καὶ ἀναγκασθῶσιν, ὥσπερ ἀθέμιτόν τι πράξαντες, οὕτω διάκεινται. Καὶ ἄλλως δέ, ὥσπερ τὸ ξόανον περιέπει ὁ Ἕλλην, οὕτω σὺ τὸ χρυσίον θύραις πιστεύεις καὶ μοχλοῖς, ἀντὶ ναοῦ τὸ κιβώτιον κατασκευάζων, καὶ ἐναποτιθέμενος σκεύεσιν ἀργυροῖς. Ἀλλ' οὐ προσκυνεῖς, καθάπερ ἐκεῖνος τὸ ξόανον; Ἀλλὰ πᾶσαν ἐπιδείκνυσαι περὶ αὐτὸ θεραπείαν. Πάλιν ἐκεῖνος ἡδέως ἂν τοὺς ὀφθαλμοὺς καὶ τὴν ψυχὴν πρόοιτο, ἢ τὸ ξόανον· τοῦτο καὶ οἱ τὸ χρυσίον φιλοῦντες. Ἀλλ' οὐ προσκυνῶ τὸ χρυσίον, φησίν. Οὐδὲ ἐκεῖνος τὸ εἴδωλον, φησί, προσκυνεῖ, ἀλλὰ τὸν ἐνοικοῦντα δαίμονα. Οὕτω καὶ σύ, κἂν μὴ τὸ χρυσίον προσκυνῇς, ἀλλὰ τὸν ἀπὸ τῆς ὄψεως τοῦ χρυσίου καὶ τῆς ἐπιθυμίας ἐπιπηδῶντά σου τῇ ψυχῇ δαίμονα· δαίμονος γὰρ χαλεπώτερον τῆς φιλαργυρίας ἡ ἐπιθυμία, καὶ ταύτῃ πολλοὶ μᾶλλον πείθονται, ἢ ἕτεροι τοῖς εἰδώλοις· ἐκεῖνοι μὲν γὰρ πολλὰ παρακούουσιν,

14. Δ' Βασ. 5, 21 ἑ.
15. Πράξ. 5, 1 ἑ.
16. Κολασ. 3, 5.
17. Ξόανον· ξύλινον ὁμοίωμα θεότητος.

μαθητοῦ καὶ προφήτου[14]· αὐτὸ ὡδήγησεν εἰς τὴν ἀπώλειαν τοὺς περὶ τὸν Ἀνανίαν[15]· αὐτὸ ἔκαμε τὸν Ἰούδαν προδότην· αὐτὸ διέφθειρε τοὺς ἄρχοντας τῶν Ἰουδαίων μὲ τὸ ὅτι ἐλάμβανον δῶρα καὶ ἐγίνοντο συνεργοὶ τῶν κλεπτῶν· αὐτὸ ἐπροξένησεν ἀπείρους πολέμους καὶ ἐγέμισε τὰς μὲν ὁδοὺς μὲ αἵματα, τὰς δὲ πόλεις μὲ θρήνους καὶ ὀδυρμούς· αὐτὸ ἔγινεν αἰτία καὶ δεῖπνα νὰ γίνουν ἀκάθαρτα καὶ τράπεζαι βδελυραὶ καὶ τὰς ἐγέμισε μὲ φαγητὰ παρανομίας. Διὰ τοῦτο ἐχαρακτήρισεν αὐτὸ ὁ Παῦλος εἰδωλολατρείαν[16]. Ἀλλὰ οὔτε καὶ ἔτσι ἐφόβησεν.

Καὶ διατί, λέγει, τὴν ὀνομάζει εἰδωλολατρείαν; Πολλοὶ ἔχουν χρήματα καὶ δὲν τολμοῦν νὰ τὰ χρησιμοποιήσουν, ἀλλὰ τὰ ἀφιερώνουν μεταβιβάζοντας αὐτὰ ἀνέπαφα εἰς τοὺς ἀπογόνους των καὶ εἰς τοὺς ἐγγόνους των καὶ δὲν τολμοῦν νὰ τὰ ἐγγίσουν ὡσὰν ἀκριβῶς νὰ πρόκειται διὰ κάποια ἀφιερώματα· ἐὰν δὲ κάποτε ἀναγκασθοῦν νὰ τὰ χρησιμοποιήσουν, εὑρίσκονται εἰς τέτοιαν κατάστασιν, ὡσὰν νὰ διέπραξαν κάτι τὸ ἀσεβές. Καὶ μὲ ἄλλα λόγια, ὅπως ἀκριβῶς φροντίζει ὁ εἰδωλολάτρης τὸ ξόανον[17], ἔτσι σὺ τὸν χρυσὸν τὸν ἐμπιστεύεσαι εἰς τὰς θύρας καὶ εἰς τοὺς μοχλούς, κατασκευάζων ἀντὶ ναοῦ τὸ χρηματοκιβώτιον καὶ ἐναποθέτεις τὰ χρήματά σου εἰς σκεύη ἀργυρᾶ. Ἀλλὰ δὲν προσκυνεῖς ὅπως ἀκριβῶς ἐκεῖνος τὸ ξόανον; Ὅμως δεικνύεις διὰ τὸν χρυσὸν ὅλην τὴν φροντίδα σου. Ἐπίσης ἐκεῖνος μὲ εὐχαρίστησιν θὰ ἐδέχετο νὰ χάσῃ τοὺς ὀφθαλμοὺς καὶ τὴν ψυχήν του, παρὰ τὸ ξόανον· τὸ ἴδιο κάνουν καὶ αὐτοὶ ποὺ ἀγαποῦν τὸν χρυσόν. Ἀλλά, λέγει, δὲν προσκυνῶ τὸν χρυσόν. Οὔτε ἐκεῖνος τὸ εἴδωλον, λέγει, ὅτι προσκυνεῖ, ἀλλὰ τὸν δαίμονα ποὺ κατοικεῖ μέσα εἰς αὐτό. Ἔτσι καὶ σύ, ἂν καὶ δὲν προσκυνεῖς τὸν χρυσόν, ἀλλ' ὅμως προσκυνεῖς τὸν δαίμονα ποὺ εἰσορμᾷ εἰς τὴν ψυχήν σου ἀπὸ τὴν ὄψιν τοῦ χρυσοῦ καὶ τὴν ἐπιθυμίαν σου δι' αὐτόν· διότι ἡ ἐπιθυμία εἶναι φοβερώτερον πρᾶγμα καὶ ἀπὸ τὴν φιλαργυρίαν, καὶ εἰς αὐτὴν πείθονται πολλοὶ περισσότερον, παρὰ ἄλλοι εἰς τὰ εἴδωλα· διότι ἐκεῖνοι μὲν πολλὰ ἀπὸ ἐκεῖνα ποὺ λέγουν τὰ εἴδωλα δὲν τὰ

ἐνταῦθα δὲ πάντα εἴκουσι, καί, ὅπερ ἂν εἴπῃ ποιῆσαι, πείθονται. Τί λέγει; Πολέμιος ἔσο, φησίν, ἐχθρὸς ἁπάντων, ἀγνόει τὴν φύσιν, καταφρόνει Θεοῦ, κατάθυσόν σοι σεαυτὸν καὶ πάντα πείθονται. Καὶ τοῖς μὲν ξοάνοις βοῦς καὶ πρόβατα θύουσιν, ἡ δὲ φιλαργυρία λέγει, 'Θῦσόν σοι τὴν σαυτοῦ ψυχήν', καὶ πείθει.

'Ορᾷς οἵους ἔχει βωμούς; οἷα δέχεται θύματα; Βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν οἱ πλεονέκται, καὶ οὐδὲ οὕτω δεδοίκασι· καί τοι γε πάντων ἡ ἐπιθυμία αὕτη ἀσθενεστέρα· οὐ γὰρ ἔμφυτος, οὐδὲ φυσική· ἦ γὰρ ἂν παρὰ τὴν ἀρχὴν ἐνετέθη· νῦν δὲ χρυσίον οὐκ ἦν ἄνωθεν, οὐδὲ ἤρα τις χρυσίου. Ἀλλά, εἰ βούλεσθε, λέγω πόθεν εἰσῆλθε τὸ κακόν. Ἕκαστος, τὸν πρὸ αὐτοῦ ζηλοῦντες, ἐπέτεινον τὸ νόσημα, καὶ τὸν οὐ βουλόμενον ὁ προλαβὼν ἐρεθίζει· ὅταν γὰρ ἴδωσιν οἰκίας λαμπρὰς καὶ πλῆθος ἀγρῶν καὶ ἀνδραπόδων ἀγέλας καὶ ἀργυρᾶ σκεύη καὶ πολὺν ἱματίων φορυτόν, πάντα πράττουσιν, ὥστε ὑπερβαλέσθαι· ὥστε οἱ πρῶτοι τῶν δευτέρων αἴτιοι γίνονται, κἀκεῖνοι τῶν μετ' αὐτούς. Εἰ δὲ ἐβούλοντο σωφρονεῖν, οὐκ ἂν τοῖς ἄλλοις ἐγίνοντο διδάσκαλοι, μᾶλλον δὲ οὐδὲ τούτοις ἔστιν ἀπολογία· εἰσὶ γὰρ καὶ ἕτεροι χρημάτων καταφρονοῦντες.

Καὶ τίς, φησί, καταφρονεῖ; (Τὸ γὰρ δεινόν, ὅτι ὑπὸ πολλῆς κακίας εἰς ἀδύνατον δοκεῖ περιεστάναι, καὶ οὐδὲ πιστεύεταί τις κατορθῶν). Εἴπω τοίνυν πολλοὺς τοὺς ἐν ταῖς πόλεσι, καὶ τοὺς ἐν τοῖς ὄρεσι. Καὶ τί τὸ κέρδος; οὐδὲ γὰρ ἀπὸ τούτων ἔσεσθε βελτίους. Ἄλλως δέ, οὐ περὶ τούτων ἡμῖν ὁ λόγος νῦν, ὥστε κενῶσαι τὰ ὄντα· ἐβουλόμην δέ, πλὴν ἀλλά, ἐπειδὴ μεῖζον ὑμῶν τὸ φορτίον, οὐκ ἀναγ-

18. Α' Κορ. 6, 10.

ἐκτελοῦν, ἐνῷ αὐτοὶ εἰς ὅλα ὑπακούουν, καὶ πείθονται ὅ,τι τοὺς εἰπῇ νὰ ἐκτελέσουν. Τί λέγει; Γίνε, λέγει, πολέμιος, ἐχθρὸς ὅλων, ἀγνόησε τὴν φύσιν, περιφρόνησε τὸν Θεόν, θυσίασε τὸν ἑαυτόν σου εἰς ἐμένα· καὶ εἰς ὅλα ὑπακούουν. Καὶ εἰς μὲν τὰ ξόανα θυσιάζουν βόδια καὶ πρόβατα, ἡ δὲ φιλαργυρία λέγει, 'θυσίασε εἰς ἐμένα τὴν ψυχήν σου', καὶ ὑπακούεις.

Βλέπεις τί εἴδους βωμοὺς ἔχει; τί εἴδους θύματα δέχεται; Βασιλείαν Θεοῦ δὲν θὰ κληρονομήσουν οἱ πλεονέκται[18], καὶ οὔτε αὐτὸ τοὺς φοβίζει· ἂν καὶ βέβαια αὐτὴ ἡ ἐπιθυμία εἶναι ἀσθενεστέρα ἀπὸ ὅλα· διότι δὲν εἶναι ἔμφυτος οὔτε φυσική· διότι ἐὰν ἦτο θὰ ἐτίθετο ἀπὸ τὴν ἀρχὴν ἐντὸς τοῦ ἀνθρώπου, ἐνῷ τώρα δὲν ὑπῆρχεν ἀπὸ τὴν ἀρχὴν χρυσός, οὔτε ἠγάπα κανεὶς τὸν χρυσόν. Ἀλλά, ἐὰν θέλετε, σᾶς λέγω ἀπὸ ποῦ εἰσῆλθε τὸ κακὸν εἰς τὸν ἄνθρωπον. Ὁ καθένας μὲ τὴν προσπάθειάν του νὰ ξεπεράσῃ τὸν προηγούμενόν του, συνετέλεσεν εἰς τὴν αὔξησιν τοῦ νοσήματος, καὶ ἐκεῖνον ποὺ δὲν ἐπιθυμεῖ τὸν πλοῦτον, τὸν ἐρεθίζει ἐκεῖνος ποὺ τὸν ἀπέκτησε πρὶν ἀπὸ αὐτόν· διότι, ὅταν ἰδοῦν λαμπρὰς οἰκίας καὶ πλῆθος ἀγρῶν καὶ κοπάδια δούλων καὶ ἀργυρᾶ σκεύη καὶ πληθώραν περιττῶν ἐνδυμάτων, κάμνουν τὰ πάντα διὰ νὰ τοὺς ξεπεράσουν· ὥστε οἱ πρῶτοι γίνονται αἴτιοι τῶν δευτέρων καὶ ἐκεῖνοι αὐτῶν ποὺ ἔρχονται μετὰ ἀπὸ αὐτούς. Ἐὰν ὅμως ἤθελον νὰ εἶναι σώφρονες, δὲν θὰ ἐγίνοντο διδάσκαλοι τῶν ἄλλων, μᾶλλον δὲ οὔτε δι' αὐτοὺς ὑπάρχει δικαιολογία· διότι ὑπάρχουν καὶ ἄλλοι ποὺ περιφρονοῦν τὰ χρήματα.

Καὶ ποῖος, λέγει, περιφρονεῖ τὰ χρήματα; (Διότι αὐτὸ εἶναι τὸ φοβερόν, ὅτι δηλαδὴ ἐξ αἰτίας τῆς μεγάλης κακίας θεωρεῖται ἀδύνατον τὸ νὰ ἀποφύγῃ κανεὶς αὐτὸ καὶ δὲν γίνεται πιστευτὸς αὐτὸς ποὺ τὸ κατορθώνει). Νὰ σᾶς ἀναφέρω λοιπὸν πολλοὺς ἀπὸ αὐτοὺς ποὺ ζοῦν εἰς τὰς πόλεις καὶ εἰς τὰ ὄρη. Καὶ ποῖον τὸ κέρδος; διότι οὔτε μὲ αὐτὸ θὰ γίνετε καλύτεροι. Ἐξ ἄλλου δὲν εἶναι τώρα ὁ λόγος μας δι' αὐτά, διὰ νὰ ἐγκαταλείψετε τὰ ὑπάρχοντά σας· θὰ τὸ ἤθελα, πλὴν ὅμως, ἐπειδὴ τὸ φορτίον σας εἶναι με-

κάζω· ἀλλ' ὥστε μὴ τῶν ἀλλοτρίων ἐφίεσθαι παραινῶ, ὥστε ἐκ τῶν ὄντων μεταδιδόναι. Πολλοὺς δὲ τοιούτους εὑρήσομεν τοῖς οἰκείοις ἀρκουμένους, τῶν ἑαυτῶν ἐπιμελουμένους, καὶ ἀπὸ δικαίων ζῶντας πόνων. Διὰ τί μὴ τούτους ζηλοῦμεν καὶ μιμούμεθα; Ἐννοήσωμεν τοὺς πρὸ ἡμῶν· οὐχὶ τὰ κτήματα αὐτῶν ἕστηκε, μόνον τὰ ὀνόματα αὐτῶν διασώζοντα; τοῦ δεῖνος τὸ βαλανεῖον, καὶ τοῦ δεῖνος τὸ προάστειον, καὶ τὸ κατάλυμα; οὐχὶ εὐθέως θεασάμενοι στένομεν, ἐννοοῦντες πόσον πόνον ὑπέμεινε, πόσας ἁρπαγὰς ἥρπασε, καὶ οὐδαμοῦ φαίνεται, ἀλλ' ἐντρυφῶσιν ἕτεροι τοῖς ἐκείνου, οὓς οὐδὲ προσεδόκησε, τάχα δὲ καὶ ἐχθροί, ἐκείνου τὴν ἐσχάτην διδόντος δίκην.

Ταῦτα καὶ ἡμᾶς μένει· πάντως γὰρ ἀποθανούμεθα, πάντως τὸ αὐτὸ τέλος ὑποστησόμεθα. Πόσην ὀργήν, εἰπέ μοι, πόσην δαπάνην, πόσας ἀπεχθείας ὑπέστησαν! καὶ τί τὸ κέρδος; Κόλασις ἀθάνατος, καὶ τὸ μηδεμιᾶς τυχεῖν παραμυθίας καὶ τὸ μὴ ζῶντας μόνον ἀλλὰ καὶ ἀπελθόντας κατηγορεῖσθαι παρὰ πάντων. Τί δέ; τῶν πολλῶν τὰς εἰκόνας ὅταν ἴδωμεν ἀνακειμένας ἐν ταῖς οἰκίαις οὐχὶ μᾶλλον θρηνοῦμεν; Ἀληθῶς καλῶς εἶπεν ὁ Προφήτης· «Πλὴν μάτην ταράσσεται πᾶς ἄνθρωπος ζῶν»· ταραχὴ γὰρ ὄντως ἡ περὶ τὰ τοιαῦτα σπουδή· ταραχὴ καὶ θόρυβος περιττός. Ἀλλ' οὐκ ἐν ταῖς μοναῖς ταῖς αἰωνίοις τοῦτο ἔστιν, οὐδὲ ἐν ταῖς σκηναῖς ἐκείναις· ἐνταῦθα μὲν γὰρ ἕτερος ἐμόχθησε, καὶ ἕτερος ἀπολαύει, ἐκεῖ δὲ τῶν ἑαυτοῦ μόχθων ἕκαστος ἔσται κύριος, καὶ πολλαπλασίονα λήψεται τὴν ἀμοιβήν.

Πρὸς ἐκείνην τοίνυν ἐπειγώμεθα τὴν κτῆσιν· ἐκεῖ κατασκευάζωμεν ἑαυτοῖς οἰκίας, ἵνα ἀναπαυσώμεθα ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

19. Ψαλμ. 38, 12.

γαλύτερον, δὲν σᾶς ἀναγκάζω, ἀλλὰ σᾶς συμβουλεύω νὰ μὴ ἐπιθυμῆτε τὰ ξένα πράγματα καὶ νὰ δίδετε ἀπὸ αὐτὰ ποὺ ἔχετε. Θὰ εὕρωμεν δὲ πολλοὺς τέτοιους ποὺ ἀρκοῦνται εἰς τὰ ἰδικά των, ποὺ φροντίζουν διὰ τὰ ἰδικά των καὶ ζοῦν ἀπὸ τοὺς δικαίους κόπους των. Διατί δὲν γινόμεθα ζηλωταὶ αὐτῶν καὶ δὲν τοὺς μιμούμεθα; Ἂς φέρωμεν εἰς τὴν σκέψιν μας τοὺς πρὶν ἀπὸ ἡμᾶς· δὲν σώζονται τὰ κτήματά των, ποὺ μόνον τὰ ὀνόματά των διασώζουν; τοῦ τάδε τὸ λουτρόν, καὶ τοῦ τάδε τὸ ἀγρόκτημα καὶ τὸ κατάλυμα; δὲν στενάζομεν μόλις τὰ ἰδοῦμεν, σκεπτόμενοι πόσον κόπον ὑπέμεινε, πόσας κλοπὰς διέπραξε, καὶ πουθενὰ δὲν φαίνεται, ἀλλ' ἀπολαμβάνουν ἄλλοι τοὺς κόπους του, τοὺς ὁποίους οὔτε κἂν ἐπερίμενεν, ἴσως δὲ καὶ ἐχθροί του, ἐνῷ ἐκεῖνος τιμωρεῖται μὲ τὴν πιὸ φοβερὰν τιμωρίαν.

Αὐτὰ μᾶς περιμένουν καὶ ἡμᾶς· διότι ὁπωσδήποτε θὰ πεθάνωμεν, ὁπωσδήποτε θὰ ἔχωμεν τὸ ἴδιο τέλος. Πόσην ὀργήν, εἰπέ μου, πόσας δαπάνας καὶ πόσας ἐχθρότητας δὲν ὑπέστησαν; Καὶ ποῖον τὸ κέρδος; Κόλασις ἀθάνατος, καὶ δὲν ἔχουν καμμίαν παρηγορίαν καὶ κατηγοροῦνται ἀπὸ ὅλους ὄχι μόνον ἐν ὅσῳ ἔζων, ἀλλὰ καὶ ἀποθανόντες. Τί δέ; δὲν θρηνοῦμεν περισσότερον ὅταν ἰδοῦμεν τὰς εἰκόνας πολλῶν ἀνηρτημένας εἰς τὰς οἰκίας; Ἀλήθεια, καλὰ εἶπεν ὁ προφήτης· «Καὶ ὅμως ἄδικα ταράσσεται ὁ κάθε ἄνθρωπος ποὺ ζῇ»[19]· διότι πράγματι εἶναι ταραχὴ ἡ φροντὶς διὰ τὰ παρόμοια· ταραχὴ καὶ θόρυβος περιττός. Ἀλλ' αὐτὸ δὲν συμβαίνει εἰς τὰς αἰωνίους μονάς, οὔτε εἰς τὰς σκηνὰς ἐκείνας· διότι ἐδῶ μὲν ἄλλος ἐκόπιασε καὶ ἄλλος ἀπολαμβάνει, ἐνῷ ἐκεῖ ὁ καθένας εἶναι κύριος τῶν κόπων του καὶ θὰ λάβῃ πολλαπλασίαν ἀμοιβήν.

Ἂς σπεύδωμεν λοιπὸν πρὸς ἐκείνην τὴν κτῆσιν· ἐκεῖ ἂς κατασκευάζωμεν τὰς οἰκίας μας, διὰ νὰ ἀναπαυθῶμεν μὲ τὴν χάριν τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, μετὰ τοῦ ὁποίου ἀνήκει ἡ δόξα εἰς τὸν Πατέρα συγχρόνως δὲ καὶ εἰς τὸ ἅγιον Πνεῦμα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΟΜΙΛΙΑ ΞϚ΄

Ἰω. 12, 9 - 24

«Ἔγνω οὖν ὁ ὄχλος πολὺς ἐκ τῶν Ἰουδαίων ὅτι ἐκεῖ ἔστι καὶ ἦλθον οὐ διὰ τὸν Ἰησοῦν μόνον, ἀλλ' ἵνα καὶ τὸν Λάζαρον ἴδωσιν, ὃν ἤγειρεν ἐκ νεκρῶν».

1. Ὥσπερ ὁ πλοῦτος τοὺς οὐ προσέχοντας ἐκτραχηλίζειν εἴωθεν, οὕτω καὶ ἡ ἀρχή· ἐκεῖνος μὲν γὰρ εἰς πλεονεξίαν, αὕτη δὲ εἰς ἀπόνοιαν ἄγει. Ὅρα γοῦν τὸ ἀρχόμενον πλῆθος τῶν Ἰουδαίων ὑγιαῖνον, τοὺς δὲ ἄρχοντας διεφθαρμένους. Ὅτι γὰρ οὗτοι αὐτῷ ἐπίστευον, λέγουσι μὲν συνεχῶς οἱ Εὐαγγελισταὶ ὅτι «πολλοὶ ἐκ τοῦ ὄχλου ἐπίστευσαν αὐτῷ», ἐκ δὲ τῶν ἀρχόντων ἠπίστουν. Καὶ αὐτοὶ λέγουσιν, οὐχὶ ὁ ὄχλος· «Μή τις τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτόν;». Ἀλλὰ τί φησι; «Τὸ πλῆθος, οἱ μὴ εἰδότες τὸν Θεόν, ἐπικατάρατοί εἰσι». Τοὺς πιστεύοντας ἐπικαταράτους ἔλεγον, ἑαυτοὺς δὲ ἀναιροῦντας, συνετούς. Καὶ ἐνταῦθα δέ, τὸ θαῦμα θεασάμενοι, ἐπίστευον οἱ πολλοί· οἱ δὲ ἄρχοντες οὐκ ἠρκοῦντο μόνον τοῖς οἰκείοις κακοῖς, ἀλλὰ καὶ τὸν Λάζαρον ἀνελεῖν ἐπεχείρουν. Ἔστω· τὸν Χριστόν, ὅτι τὸ Σάββατον ἔλυεν, ὅτι ἴσον ἑαυτὸν ἐποίει τῷ Πατρί, καὶ διὰ τοὺς Ρωμαίους, οὕς φατε, τῷ Λαζάρῳ τι ἔχοντες ἐγκαλεῖν, ἐπεχείρουν αὐτὸν ἀναιρεῖν; Μὴ ἄρα τὸ καλῶς παθεῖν ἔγκλημα;

Ὁρᾷς πῶς αὐτῶν φονικὴ ἡ προαίρεσις; Καίτοι πολλὰ σημεῖα εἰργάσατο, ἀλλ' οὐδὲν αὐτοὺς οὕτως ἐξεθηρίωσεν,

1. Ἰω. 7, 31.
2. Ἰω. 7, 48.
3. Ἰω. 7, 49.

ΟΜΙΛΙΑ ΞΣΤ´

Ἰω. 12, 9 - 24

«Πολλοὶ ἀπὸ τοὺς Ἰουδαίους ἔμαθον ὅτι ἦτο ἐκεῖ καὶ ἦλθον ὄχι μόνον διὰ τὸν Ἰησοῦν, ἀλλὰ καὶ διὰ νὰ ἰδοῦν τὸν Λάζαρον, ποὺ τὸν ἀνέστησεν ἐκ νεκρῶν».

1. Ὅπως ἀκριβῶς ὁ πλοῦτος σκληρύνει συνήθως ἐκείνους ποὺ δὲν προσέχουν, ἔτσι καὶ ἡ ἐξουσία· διότι ὁ μὲν πλοῦτος ὁδηγεῖ εἰς πλεονεξίαν, ἐνῷ ἡ ἐξουσία εἰς ἀλαζονείαν. Πρόσεχε λοιπὸν ὅτι τὸ μὲν πλῆθος τῶν Ἰουδαίων, ποὺ ἦτο ὑπὸ ἐξουσίαν, εἶναι ὑγιές, οἱ δὲ ἄρχοντες διεφθαρμένοι. Διότι, τὸ ὅτι πολλοὶ ἀπὸ τὸ πλῆθος ἐπίστευον εἰς αὐτόν, τὸ ἀναφέρουν συνεχῶς οἱ Εὐαγγελισταί, λέγοντες ὅτι «πολλοὶ ἀπὸ τὸ πλῆθος ἐπίστευσαν εἰς αὐτόν»[1], ἐνῷ ἀπὸ τοὺς ἄρχοντας δὲν ἐπίστευον. Καὶ οἱ ἴδιοι οἱ ἄρχοντες, ὄχι τὸ πλῆθος, λέγουν· «Μήπως κανεὶς ἀπὸ τοὺς ἄρχοντας ἐπίστευσεν εἰς αὐτόν;»[2]. Ἀλλὰ τί λέγει; «Τὸ πλῆθος, ποὺ δὲν γνωρίζει τὸν Θεόν, εἶναι καταραμένον»[3]. Ἐκείνους ποὺ ἐπίστευον τοὺς ἀποκαλοῦσαν καταραμένους, ἐνῷ τοὺς ἑαυτούς των, ποὺ ἐφόνευον, συνετούς. Καὶ εἰς τὴν περίπτωσιν αὐτήν, βλέποντες τὸ θαῦμα, ἐπίστευον πολλοί, ἐνῷ οἱ ἄρχοντες δὲν ἠρκοῦντο μόνον εἰς τὰ ἰδικά των κακά, ἀλλ' ἐπεχείρουν καὶ τὸν Λάζαρον νὰ φονεύσουν. Ἔστω· τὸν Χριστὸν ἤθελον νὰ τὸν φονεύσουν ἐπειδὴ κατήργει τὸ Σάββατον, ἐπειδὴ ἐξίσωνε τὸν ἑαυτόν του μὲ τὸν Πατέρα καὶ ἐξ αἰτίας τῶν Ρωμαίων, ὅπως ἔλεγον, ἐνῷ τὸν Λάζαρον μὲ ποίαν κατηγορίαν ἤθελον νὰ τὸν φονεύσουν; Μήπως ἆρά γε ἦτο ἔγκλημα τὸ ὅτι εὐηργετήθη;

Βλέπεις πῶς εἶναι φονικὴ ἡ πρόθεσίς των; Μολονότι βέβαια πολλὰ θαύματα ἔκαμεν, ἀλλ' ὅμως κανένα δὲν τοὺς

οὐχ ὁ παραλελυμένος, οὐχ ὁ τυφλός· τοῦτο γὰρ καὶ τῇ φύσει θαυμαστότερον ἦν, καὶ μετὰ πολλὰ ἐγεγόνει, καὶ ἦν παράδοξον νεκρὸν τετραήμερον ἰδεῖν περιπατοῦντα καὶ φθεγγόμενον. Καλά γε (οὐ γάρ;) τῆς ἑορτῆς τὰ κατορθώματα, φόνοις ἀναμιγνύναι τὴν πανήγυριν. Ἄλλως δέ, ἐκεῖ μὲν ἐδόκουν ἐγκαλεῖν τὸ Σάββατον, καὶ ταύτῃ ἀπάγειν τοὺς ὄχλους, ἐνταῦθα δέ, ἐπειδὴ μηδὲν εἶχον μέμψασθαι, κατὰ τοῦ θεραπευομένου ποιοῦνται τὴν ἐπιχείρησιν· ἐνταῦθα γὰρ οὐδ' ὅτι ἐναντιοῦται τῷ Πατρὶ εἶχον εἰπεῖν· ἡ γὰρ εὐχὴ αὐτοὺς ἐπεστόμιζεν. Ἐπεὶ οὖν καὶ ὃ ἀεὶ ἐνεκάλουν ἀνῄρητο, καὶ τὸ σημεῖον λαμπρὸν ἦν, ἐπὶ τὸν φόνον ὁρμῶσιν. Ὥστε καὶ ἐπὶ τοῦ τυφλοῦ τοῦτο ἂν ἐποίησαν, εἰ μὴ εἶχον ἐγκαλεῖν τὸ Σάββατον. Ἄλλως δέ, ἐκεῖνος μὲν ἄσημος ἦν, καὶ ἐξέβαλον αὐτὸν ἐκ τοῦ ἱεροῦ, οὗτος δὲ ἐπίσημος· καὶ δῆλον ἐκ τοῦ πολλοὺς ἐλθεῖν εἰς παραμυθίαν τῶν ἀδελφῶν· καὶ πάντων ὁρώντων τὸ θαῦμα ἐγένετο, καὶ μετὰ πολλῆς τῆς παραδοξοποιΐας. Διὰ τοῦτο πάντες ἔτρεχον ὀψόμενοι. Τοῦτο οὖν αὐτοὺς ἔδακνε, τό, τῆς ἑορτῆς ἑστώσης, πάντας ἀφέντας ἐπὶ τὴν Βηθανίαν ἔρχεσθαι. Ἐπεχείρησαν οὖν αὐτὸν ἀνελεῖν, καὶ οὐδὲ ἐδόκουν τολμᾶν· οὕτως ἦσαν φονικοί. Καὶ διὰ τοῦτο, ἀρχόμενος ὁ νόμος, ἀπὸ τούτου ἔρχεται· «Οὐ φονεύσεις»· καὶ ὁ Προφήτης τοῦτο ἐγκαλεῖ· «Αἱ χεῖρες αὐτῶν αἵματος πλήρεις».

Πῶς οὖν, παρρησίᾳ μὴ περιπατῶν ἐν τῇ Ἰουδαίᾳ, καὶ εἰς τὴν ἔρημον ἀναχωρῶν, πάλιν εἰσέρχεται μετὰ παρρησίας; Σβέσας τὸν θυμὸν τῇ ἀναχωρήσει, πεπαυμένοις αὐτοῖς ἐφίσταται. Ἄλλως δὲ τὸ πλῆθος, τὸ προάγον καὶ τὸ ἑπόμενον, ἱκανὸν ἦν εἰς ἀγωνίαν αὐτοὺς ἐμβαλεῖν· οὐδὲν

4. Ἐξ. 20, 13.
5. Ἡσ. 1, 15.

ἐξηγρίωσεν ἔτσι, οὔτε ὁ παράλυτος, οὔτε ὁ τυφλός˙ διότι αὐτὸ ἦτο καὶ ὡς πρὸς τὴν φύσιν του θαυμαστότερον καὶ εἶχε γίνει μετὰ ἀπὸ πολλὰ ἄλλα καὶ ἦτο παράδοξον νὰ ἰδῇ κανεὶς τετραήμερον νεκρὸν νὰ περιπατῇ καὶ νὰ ὁμιλῇ. Καλὰ βέβαια εἶναι (δὲν εἶναι;) τῆς ἑορτῆς τὰ κατορθώματα, νὰ ἀναμιγνύουν τὴν πανήγυριν μὲ φόνους. Ἄλλως τε, εἰς τὴν περίπτωσιν ἐκείνην ἐθεώρουν καλὸν νὰ τὸν κατηγοροῦν διὰ τὸ Σάββατον, καὶ ἔτσι ν' ἀπομακρύνουν τὸ πλῆθος ἀπὸ αὐτόν, ἐνῷ εἰς αὐτὴν τὴν περίπτωσιν, ἐπειδὴ δὲν εἶχον νὰ τὸν κατηγορήσουν διὰ τίποτε, στρέφουν τὴν προσπάθειάν των ἐναντίον τοῦ θεραπευθέντος˙ διότι ἐδῶ δὲν ἠμποροῦσαν νὰ εἰποῦν οὔτε καὶ ὅτι ἀντιτίθεται εἰς τὸν Πατέρα˙ καθ' ὅσον ἡ προσευχὴ τοὺς ἀπεστόμωνεν. Ἐπειδὴ λοιπὸν ἐξέλειπεν ἀπὸ ἐδῶ αὐτὸ διὰ τὸ ὁποῖον τὸν κατηγόρουν πάντοτε καὶ τὸ θαῦμα ἦτο λαμπρόν, προχωροῦν πρὸς τὸν φόνον. Ὥστε καὶ εἰς τὸν τυφλὸν θὰ ἠμποροῦσαν νὰ κάμουν τὸ ἴδιο, ἐὰν δὲν εἶχον νὰ τὸν κατηγορήσουν διὰ τὸ Σάββατον. Ἄλλως τε, ἐκεῖνος μὲν ἦτο ἄσημος καὶ τὸν ἐξεδίωξαν ἀπὸ τὸ ἱερόν, ἐνῷ αὐτὸς ἦτο ἐπίσημος καὶ αὐτὸ γίνεται φανερὸν ἀπὸ τὸ ὅτι πολλοὶ ἦλθον νὰ παρηγορήσουν τὰς ἀδελφάς του˙ καὶ τὸ θαῦμα συνέβη παρουσίᾳ ὅλων καὶ μὲ πάρα πολὺ παράδοξον τρόπον. Διὰ τοῦτο ὅλοι ἔτρεχον νὰ ἰδοῦν. Αὐτὸ βέβαια τοὺς ἐπλήγωνε, τὸ ὅτι, ἐνῷ ἤρχισεν ἡ ἑορτή, ὅλοι, ἀφοῦ ἄφησαν αὐτήν, ἔρχονται εἰς τὴν Βηθανίαν. Ἐπεχείρησαν λοιπὸν νὰ τὸν φονεύσουν καὶ δὲν ἐφαίνοντο νὰ τὸ τολμοῦν αὐτό˙ τόσον πολὺ ἐδιψοῦσαν διὰ αἷμα. Καὶ διὰ τοῦτο ὁ νόμος ἀρχίζει ἀπὸ αὐτό˙ «Οὐ φονεύσεις»[4]˙ καὶ ὁ προφήτης δι' αὐτὸ τοὺς κατηγορεῖ˙ «Τὰ χέρια των εἶναι γεμᾶτα ἀπὸ αἷμα»[5].

Πῶς λοιπὸν ἐνῷ δὲν ἐκυκλοφοροῦσε φανερὰ εἰς τὴν Ἰουδαίαν καὶ εἶχε φύγει εἰς τὴν ἔρημον, πάλιν εἰσέρχεται μὲ παρρησίαν εἰς τὰ Ἱεροσόλυμα; Ἀφοῦ ἔσβησε τὸν θυμόν των μὲ τὴν ἀναχώρησίν του, ἐπιστρέφει, ἀφοῦ εἶχον καθησυχάσει. Ἄλλως τε δὲ τὸ πλῆθος ποὺ ἐβάδιζεν ἔμπροσθέν του καὶ αὐτὸ ποὺ τὸν ἠκολούθει, ἦτο ἱκανὸν νὰ

γὰρ οὕτως ἐπεσπάσατο αὐτοὺς σημεῖον, ὡς τὸ τοῦ Λαζάρου. Καὶ ἄλλος δὲ Εὐαγγελιστής φησιν, ὅτι «ὑπέστρωσαν τοῖς ποσὶν αὐτοῦ τὰ ἱμάτια», καὶ ὅτι «πᾶσα ἡ πόλις ἐσείσθη»· μετὰ τοσαύτης εἰσῄει τιμῆς. Ἐποίει δὲ τοῦτο, προφητείαν τὴν μὲν τυπῶν, τὴν δὲ πληρῶν, καὶ τὸ αὐτὸ τῆς μὲν ἐγένετο ἀρχή, τῆς δὲ τέλος· τὸ μὲν γὰρ «χαῖρε ὅτι ὁ βασιλεύς σου ἔρχεταί σοι πρᾶος» προφητείαν πληροῦντος ἦν, τὸ δὲ ὄνον καθίσαι, μέλλον πρᾶγμα προδιατυποῦντος, ὅτι τὸ ἀκάθαρτον τῶν ἐθνῶν γένος ἔμελλεν ὑποχείριον ἔχειν. Πῶς δὲ οἱ ἄλλοι φασὶν ὅτι μαθητὰς ἔπεμψε, καὶ εἶπε· «Λύσατε τὸν ὄνον καὶ τὸν πῶλον», οὗτος δὲ οὐδὲν τοιοῦτόν φησιν, ἀλλ' ὅτι ὀνάριον εὑρὼν ἐπεκάθισεν; Ὅτι ἀμφότερα γενέσθαι εἰκὸς ἦν, καὶ μετὰ τὸ λυθῆναι τὴν ὄνον ἀγόντων τῶν μαθητῶν, εὑρόντα αὐτὸν ἐπικαθίσαι. Τὰ δὲ βαΐα τῶν φοινίκων καὶ τῶν ἐλαιῶν ἔλαβον, καὶ τὰ ἱμάτια ὑπεστόρεσαν, δεικνύντες ὅτι λοιπὸν μείζονα ἢ περὶ προφήτου δόξαν εἶχον περὶ αὐτοῦ, καὶ ἔλεγον· «Ὡσαννά, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου». Ὁρᾷς ὅτι τοῦτο μάλιστα αὐτοὺς ἀπέπνιγε, τὸ πεισθῆναι πάντας ὅτι οὐκ ἔστιν ἀντίθεος; καὶ τοῦτο μάλιστα διῄρει τὸν δῆμον, τὸ λέγειν αὐτὸν παρὰ τοῦ Πατρὸς ἥκειν;

Τί δέ ἐστι, «Χαῖρε σφόδρα, θύγατερ Σιών»; Ἐπειδὴ πάντες αὐτῶν οἱ βασιλεῖς ὡς ἐπὶ τὸ πολὺ ἄδικοί τινες ἦσαν καὶ πλεονέκται, καὶ παρέδωκαν αὐτοὺς τοῖς ἐχθροῖς, καὶ τὸ πλῆθος διέστρεφον, καὶ ὑπευθύνους ἐποίουν τοῖς πολεμίοις, 'θάρρει', φησίν, 'οὗτος οὐ τοιοῦτος, ἀλλὰ πρᾶος καὶ ἐπιεικής· καὶ δείκνυται ἀπὸ τῆς ὄνου· οὐ γὰρ στρατόπεδον ἐπισυρόμενος εἰσῆλθεν, ἀλλ' ὄνον ἔχων μόνον'. «Τοῦτο δὲ οὐκ ᾔδεσαν», φησίν, «οἱ μαθηταὶ αὐτοῦ, ὅτι ἦν ἐπ' αὐτῷ γεγραμμένον». Ὁρᾷς ὅτι τὰ πλείονα ἠγνόουν, ἐπειδὴ

6. Λουκᾶ 19, 36.
7. Ματθ. 21, 10.
8. Ματθ. 21, 5.
9. Ματθ. 21,2· Μάρκ. 11, 12.
10. Ζαχ. 9, 9.

τούς δημιουργήση ἀνησυχίαν· διότι κανένα θαῦμα δὲν τοὺς προσήλκυσε τόσον, ὅσον τὸ θαῦμα τοῦ Λαζάρου. Καὶ ἄλλος δὲ Εὐαγγελιστής λέγει, ὅτι «ἔστρωσαν τὰ ἐνδύματά των κάτω ἀπὸ τὰ πόδια του»[6]· καὶ ὅτι «ὅλη ἡ πόλις ἐσείσθη»[7]· μὲ τόσην μεγάλην τιμὴν εἰσήρχετο. Τὸ ἔκαμε δὲ αὐτό, ἀφ' ἑνὸς μὲν διατυπώνων προφητείαν, ἀφ' ἑτέρου δὲ ἐκπληρῶν προφητείαν, καὶ τὸ ἴδιο πρᾶγμα ἦτο ἀρχὴ τῆς μιᾶς προφητείας καὶ τέλος τῆς ἄλλης· διότι τὸ μὲν «χαῖρε, διότι ὁ βασιλεύς σου ἔρχεται πρὸς ἐσένα πρᾷος», ἦτο σημεῖον ἐκπληρώσεως προφητείας, τὸ νὰ καθίσῃ δὲ ἐπάνω εἰς ὄνον, ἦτο πρᾶγμα ποὺ προδιετύπωνε τὸ μέλλον, ὅτι δηλαδὴ ἐπρόκειτο νὰ θέσῃ ὑπὸ τὴν ἐξουσίαν του τὸ ἀκάθαρτον γένος τῶν ἐθνικῶν. Πῶς δὲ ἄλλοι λέγουν, ὅτι ἔστειλε μαθητὰς καὶ εἶπε, «Λύσατε τὴν ὄνον καὶ τὸ πωλάρι»[9], ἐνῷ αὐτὸς δὲν λέγει τίποτε παρόμοιον, ἀλλ' ὅτι ἐκάθισεν εἰς τὸ ὀνάριον ποὺ ηὗρεν; Βέβαια δυνατὸν ἦτο καὶ τὰ δύο νὰ συμβοῦν, καὶ νὰ ἔλυσαν οἱ μαθηταὶ τὴν ὄνον καὶ νὰ τὴν ὡδηγοῦσαν, καὶ νὰ ηὗρεν τὸ ὀνάριον καὶ νὰ ἐκάθισεν ἐπάνω εἰς αὐτό. Ἔλαβον δὲ τὰ βάϊα ἀπὸ τοὺς φοίνικας καὶ τὰς ἐλαίας καὶ ἔστρωσαν τὰ ἐνδύματά των κάτω, διὰ νὰ δείξουν ὅτι εἶχον πλέον περὶ αὐτοῦ ἀνωτέραν γνώμην ἀπὸ ὅ,τι διὰ προφήτην, καὶ ἔλεγον· «Ὡσαννά, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου». Βλέπεις ὅτι αὐτὸ πρὸ πάντων τοὺς κατέπνιγε, τὸ ὅτι ἐπείσθησαν ὅλοι ὅτι δὲν εἶναι ἀντίθεος; καὶ αὐτὸ πρὸ πάντων διέσπα τὸν λαόν, τὸ ὅτι ἔλεγεν ὅτι ἦλθεν ἀπὸ τὸν Πατέρα;

Τί σημαίνει δέ, «Χαῖρε πάρα πολύ, θυγατέρα Σιών»[10]; Ἐπειδὴ ὅλοι οἱ βασιλεῖς αὐτῶν ἦσαν ὡς ἐπὶ τὸ πλεῖστον ἄδικοι καὶ πλεονέκται καὶ παρέδωσαν αὐτοὺς εἰς τοὺς ἐχθρούς των καὶ τὸ πλῆθος διέστρεφον, καὶ τοὺς καθίστων ὑπολόγους εἰς τοὺς ἐχθρούς των, 'Λάβε θάρρος', λέγει, 'αὐτὸς δὲν εἶναι τέτοιος, ἀλλ' εἶναι πρᾷος καὶ ἐπιεικής' καὶ αὐτὸ γίνεται φανερὸν ἀπὸ τὴν ὄνον· διότι δὲν εἰσῆλθεν ἀκολουθούμενος ἀπὸ στρατόν, ἀλλ' ἔχων μόνον ὄνον'. «Αὐτό», λέγει, «δὲν τὸ ἐγνώριζον οἱ μαθηταί του, ὅτι ἦτο γραμμένον δι' αὐτόν». Βλέπεις, ὅτι ἀγνοοῦσαν τὰ περισ-

αὐτὸς οὐκ ἀπεκάλυπτεν αὐτοῖς; καὶ γάρ, ὅτι εἶπε, «Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν», οὐδὲ τότε ᾔδεσαν οἱ μαθηταί· καὶ ἄλλος δὲ Εὐαγγελιστὴς λέγει ὅτι ἦν κεκρυμμένος ὁ λόγος ἀπ' αὐτῶν καὶ οὐκ ᾔδεσαν ὅτι δεῖ αὐτὸν ἀναστῆναι ἐκ τῶν νεκρῶν. Ἀλλὰ τοῦτο μὲν εἰκότως ἐκρύπτετο· διὸ καὶ ἄλλος λέγει Εὐαγγελιστὴς ὅτι, καθ' ἕκαστον ἀκούοντες, ἤλγουν καὶ ἦσαν ἐν κατηφείᾳ· τοῦτο δέ, ἐκ τοῦ μὴ εἰδέναι τὸν περὶ τῆς ἀναστάσεως λόγον. Ἀλλὰ τοῦτο μὲν εἰκότως ἐκρύπτετο, ἅτε μεῖζον ἢ κατ' αὐτούς, τὸ μέντοι τῆς ὄνου διὰ τί αὐτοῖς οὐκ ἀπεκαλύφθη; Ὅτι καὶ τοῦτο μέγα ἦν.

2. *Ὅρα δὲ φιλοσοφίαν Εὐαγγελιστοῦ, πῶς οὐκ ἐπαισχύνεται τὴν προτέραν αὐτῶν ἄγνοιαν ἐκπομπεύων. Ὅτι μὲν οὖν γέγραπται ᾔδεσαν, ὅτι δὲ ἐπ' αὐτῷ γέγραπται οὐκ ᾔδεσαν· καὶ γὰρ ἂν ἐσκανδάλισεν αὐτούς, εἴ γε, βασιλεὺς ὤν, τοιαῦτα μέλλοι πάσχειν, καὶ οὕτως ἐκδίδοσθαι. Καὶ ἄλλως δέ, οὐκ ἂν εὐθέως ἐχώρησαν τὴν γνῶσιν τῆς βασιλείας, ἣν ἔλεγε· καὶ γὰρ ἄλλος Εὐαγγελιστής φησιν ὅτι περὶ βασιλείας ἐδόκουν ταύτης λέγεσθαι. «Ἐμαρτύρει δὲ ὁ ὄχλος ὅτι ἀνέστησε τὸν Λάζαρον». Οὐ γὰρ ἂν τοσοῦτοι μετέθεντο ἐξαίφνης, φησίν, εἰ μὴ ἐπίστευσαν τῷ σημείῳ. «Οἱ δὲ Φαρισαῖοι εἶπον πρὸς αὐτούς· Θεωρεῖτε ὅτι οὐκ ὠφελεῖτε οὐδέν; Ἴδε ὁ κόσμος ὀπίσω αὐτοῦ ὑπάγει». Δοκεῖ δέ μοι τοῦτο εἶναι τῶν ὑγιαινόντων μέν, οὐ τολμώντων δὲ παρρησιάσασθαι, εἶτα ἀπὸ τῆς ἐκβάσεως κατεχόντων αὐτοὺς ὡς ἀνήνυτα ἐπιχειροῦντας. Κόσμον δὲ ἐνταῦθα πάλιν τὸν ὄχλον φασίν· οἶδε γὰρ ἡ Γραφὴ κόσμον καὶ τὴν κτίσιν λέγειν, καὶ τοὺς ἐν πονηρίᾳ ζῶντας. Καὶ τὸ μέν φησιν, ὅταν*

---

11. Ἰω. 2, 19.
12. Μάρκ. 9, 9 καὶ Ματθ. 17,22.
13. Ματθ. 17, 22.
14. Ματθ. 17, 25.

σότερα, ἐπειδὴ αὐτὸς δὲν τοὺς τὰ ἐφανέρωνεν; καθ' ὅσον, ὅταν εἶπε, «Λύσατε αὐτὸν τὸν ναὸν καὶ εἰς τρεῖς ἡμέρας θὰ τὸν ἀνοικοδομήσω»[11], οὔτε τότε ἀντελήφθησαν οἱ μαθηταί του αὐτό˙ καὶ ἄλλος δὲ Εὐαγγελιστὴς λέγει, ὅτι ἦτο κρυμμένον εἰς αὐτοὺς τὸ βαθύτερον νόημα τῶν λόγων του καὶ δὲν ἐγνώριζον ὅτι πρέπει αὐτὸς ν' ἀναστηθῇ ἐκ νεκρῶν[12]. Ἀλλ' αὐτὸ μὲν δικαίως ἐκρύπτετο˙ διὰ τοῦτο καὶ ἄλλος Εὐαγγελιστὴς λέγει, ὅτι τὸν καθένα ἀπὸ τοὺς λόγους του ποὺ ἤκουον τοὺς ἐγέμιζεν ἀπὸ πόνον καὶ ἦσαν λυπημένοι[13]˙ αὐτὸ δὲ συνέβαινεν, ἐπειδὴ δὲν ἐγνώριζον τὸν λόγον περὶ τῆς ἀναστάσεώς του. Ἀλλ' αὐτὸ μὲν δικαίως ἐκρύπτετο, ἐπειδὴ ἦτο ἀνώτερον ἀπὸ τὰς πνευματικὰς ἱκανότητάς των, ὅμως τὸ τῆς ὄνου διατί δὲν ἐφανερώθη εἰς αὐτούς; Ἐπειδὴ καὶ αὐτὸ ἦτο σπουδαῖον.

2. Πρόσεχε δὲ φιλοσοφικότητα Εὐαγγελιστοῦ, πῶς δὲν ἐντρέπεται ν' ἀναφέρῃ τὴν προηγουμένην ἄγνοιάν των. Τὸ ὅτι βέβαια εἶχε γραφῆ αὐτὸ τὸ ἐγνώριζον, ὅτι ὅμως εἶχε γραφῆ δι' αὐτὸν δὲν τὸ ἐγνώριζον˙ καθ' ὅσον θὰ ἠμποροῦσε νὰ τοὺς σκανδαλίσῃ, ἐὰν βέβαια, ἐνῷ ἦτο βασιλεύς, ἐπρόκειτο νὰ πάθῃ τέτοια καὶ νὰ παραδοθῇ μὲ αὐτὸν τὸν τρόπον. Καὶ ἐξ ἄλλου δὲν θὰ ἠμποροῦσαν ἀμέσως νὰ ἀντιληφθοῦν τὸ νόημα τῆς βασιλείας, διὰ τὴν ὁποίαν τοὺς ὡμίλει˙ καθ' ὅσον ἄλλος Εὐαγγελιστὴς λέγει, ἐνόμιζον ὅτι τὰ ἔλεγεν αὐτὰ περὶ τῆς ἐπιγείου βασιλείας[14]. «Τὸ δὲ πλῆθος ἐπεβεβαίωνεν ὅτι ἀνέστησε τὸν Λάζαρον». Διότι δὲν θὰ μετέβαλλον ξαφνικὰ τόσοι πολλοὶ γνώμην, λέγει, ἐὰν δὲ ἐπίστευον εἰς τὸ θαῦμα. «Οἱ δὲ Φαρισαῖοι εἶπον πρὸς αὐτούς˙ Βλέπετε ὅτι δὲν ὠφελεῖτε καθόλου; Νά, ὁ κόσμος τρέχει ὀπίσω του». Ἔχω τὴν ἐντύπωσιν ὅτι αὐτὰ εἶναι λόγια ἐκείνων ποὺ ἐσκέπτοντο ὑγιῶς μέν, δὲν ἐτολμοῦσαν ὅμως νὰ τὰ ἐκφράσουν μὲ θάρρος, καὶ ποὺ ἀντελαμβάνοντο ἀπὸ τὸ ὅλον ἀποτέλεσμα ὅτι αὐτοὶ ἐπιχειροῦν ἀκατόρθωτα πράγματα. Κόσμον δὲ ἐδῶ ὀνομάζει πάλιν τὸ πλῆθος˙ διότι γνωρίζει ἡ Γραφὴ νὰ ὀνομάζῃ κόσμον καὶ τὴν κτίσιν καὶ αὐτοὺς ποὺ ζοῦν μὲ κακίαν. Καὶ τὸ μὲν πρῶτον ἐννοεῖ ὅταν λέγῃ, «Αὐτὸς ποὺ ὁδηγεῖ

λέγῃ «Ὁ ἐκφέρων κατὰ ἀριθμὸν τὸν κόσμον αὐτοῦ», τὸ δέ, ὅταν λέγῃ· «Ὁ κόσμος ὑμᾶς οὐ μισεῖ, ἐμὲ δὲ μισεῖ». Καὶ χρὴ ταῦτα ἀκριβῶς εἰδέναι, ἵνα μὴ παρὰ τὴν σημασίαν τῶν ὀνομάτων λαβὴν παρέχωμεν τοῖς αἱρετικοῖς.

Ἦσαν δέ τινες τῶν Ἑλλήνων ἀναβάντες προσκυνῆσαι εἰς τὴν ἑορτήν». Ἐγγὺς ὄντες λοιπὸν τοῦ προσήλυτοι γίνεσθαι, ἦσαν εἰς τὴν ἑορτήν. Τῆς φήμης οὖν διαδοθείσης, λέγουσι· «Θέλομεν τὸν Ἰησοῦν ἰδεῖν». Ὁ δὲ Φίλιππος παραχωρεῖ τῷ Ἀνδρέᾳ, ἅτε πρὸ αὐτοῦ ὄντι, καὶ τὸ πρᾶγμα αὐτῷ κοινοῦται. Ἀλλ' οὐδὲ οὗτος ἁπλῶς αὐθεντεῖ· ἤκουσε γὰρ ὅτι «εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε»· διὰ τοῦτο, μετὰ τοῦ μαθητοῦ κοινωσάμενος, τῷ διδασκάλῳ ἀναφέρει· ἀμφότεροι γὰρ εἶπον αὐτῷ. Ὁ δὲ τί φησιν; «Ἦλθεν ἡ ὥρα, ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ ἀνθρώπου. Ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου, πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει». Τί ἐστιν, «Ἦλθεν ἡ ὥρα»; Ἔλεγεν, «Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε», πᾶσαν ἐγκόπτων ἀγνωμοσύνης πρόφασιν ἀπὸ Ἰουδαίων, καὶ κατεῖχεν αὐτούς.

Ἐπεὶ οὖν ἑπόμενον οὗτοι ἀπειθοῦντες, ἐκεῖνοι δὲ ἐβούλοντο προσελθεῖν, 'καιρὸς λοιπόν', φησίν, 'ἐπὶ τὸ πάθος ἐλθεῖν, πάντων πεπληρωμένων'. Εἰ γὰρ μέλλομεν τούτοις μὲν καὶ ἀπειθοῦσι προσεδρεύειν, ἐκείνους δὲ καὶ βουλομένους μὴ προσίεσθαι, ἀνάξια τῆς ἡμετέρας ἔσται ταῦτα κηδεμονίας. Ἐπεὶ οὖν ἔμελλεν ἀφήσειν τοὺς μαθητὰς ἐπὶ τὰ ἔθνη λοιπὸν ἰέναι μετὰ τὸν σταυρόν· ὁρᾷ δὲ αὐτοὺς προπηδῶντας, φησί· 'Καιρὸς ἐπὶ τὸν σταυρὸν ἐλθεῖν'· οὐ πρότερον γὰρ αὐτοὺς εἴασεν, ἵνα ᾖ εἰς μαρτύριον αὐτοῖς· ἕως γὰρ διὰ τῶν ἔργων αὐτὸν διεκρούσαντο, ἕως αὐτὸν ἐσταύ-

15. Ἠσ. 40, 26.
16. Ἰω. 7, 7.
17. Ματθ. 10, 5.

ἔξω ἀριθμημένον τὸν κόσμον αὐτοῦ»[15], τὸ δὲ δεύτερον ὅταν λέγῃ, «Ὁ κόσμος δὲν μισεῖ ἐσᾶς, ἀλλὰ μισεῖ ἐμένα»[16]. Καὶ πρέπει αὐτὰ νὰ τὰ γνωρίζωμεν μὲ ἀκρίβειαν, διὰ νὰ μὴ δίδωμεν ἀφορμὴν διὰ κατηγορίαν εἰς τοὺς αἱρετικοὺς μὴ χρησιμοποιοῦντες αὐτὰ μὲ τὴν πραγματικὴν σημασίαν των.

«Ὑπῆρχον δὲ μερικοὶ ἀπὸ τοὺς Ἕλληνας μεταξὺ ἐκείνων ποὺ ἀνέβησαν διὰ νὰ προσκυνήσουν κατὰ τὴν ἑορτήν». Εὑρίσκοντο εἰς τὴν ἑορτὴν ἐπειδὴ σχεδὸν ἐπλησίαζον νὰ γίνουν προσήλυτοι. Ὅταν λοιπὸν διεδόθη ἡ φήμη ὅτι ἦλθεν ὁ Ἰησοῦς, λέγουν˙ «Θέλομεν νὰ ἰδοῦμεν τὸν Ἰησοῦν». Ὁ δὲ Φίλιππος ἔρχεται πρὸς τὸν Ἀνδρέα, ἐπειδὴ προηγεῖτο αὐτοῦ, καὶ τὸ ἀνακοινώνει εἰς αὐτόν. Ἀλλ' οὔτε αὐτὸς παίρνει ἀπὸ μόνος του πρωτοβουλίαν˙ διότι ἤκουσεν˙ «Μὴ μεταβῆτε πρὸς τοὺς ἐθνικούς»[17]˙ διὰ τοῦτο, ἀφοῦ τὸ ἐσυζήτησε μὲ τὸν μαθητήν, τὸ ἀναφέρει εἰς τὸν διδάσκαλον˙ διότι καὶ οἱ δύο τὸ ἀνέφερον εἰς αὐτόν. Ἐκεῖνος δὲ τί λέγει; «Ἦλθεν ἡ ὥρα, διὰ νὰ δοξασθῇ ὁ Υἱὸς τοῦ ἀνθρώπου. Ἐὰν ὁ κόκκος τοῦ σίτου δὲν ἀποθάνῃ, ἀφοῦ πέσῃ εἰς τὴν γῆν, μένει αὐτὸς μόνος». Τί σημαίνει, «Ἦλθεν ἡ ὥρα»; Ἔλεγεν, «Μὴ μεταβῆτε πρὸς τοὺς ἐθνικούς», ἀφαιρῶν ἀπὸ τοὺς Ἰουδαίους κάθε πρόφασιν ἀγνωμοσύνης, καὶ συνεκράτει αὐτούς.

Ἐπειδὴ λοιπὸν ἐπέμενον οἱ Ἰουδαῖοι ν' ἀπειθοῦν, ἐνῷ οἱ ἐθνικοὶ ἤθελον νὰ προσέλθουν, 'καιρὸς πλέον εἶναι', λέγει, 'νὰ βαδίσω πρὸς τὸ πάθος, ἀφοῦ ὅλα ἔχουν ἐκπληρωθῆ'. Διότι, ἐὰν πρόκειται νὰ φροντίζωμεν μὲν δι' αὐτούς, ἂν καὶ εἶναι ἀπειθεῖς, νὰ μὴ δεχώμεθα δὲ ἐκείνους, ἂν καὶ θέλουν νὰ προσέλθουν, θὰ εἶναι αὐτὰ ἀνάξια τῆς κηδεμονίας μας. Ἐπειδὴ λοιπὸν ἐπρόκειτο ν' ἀφήσῃ τοὺς μαθητάς του νὰ μεταβοῦν πλέον εἰς τὰ ἔθνη μετὰ τὴν σταύρωσίν του, βλέπει δὲ τοὺς ἐθνικοὺς νὰ προσέρχωνται πρὶν οἱ μαθηταὶ μεταβοῦν πρὸς αὐτούς, λέγει˙ 'Καιρὸς εἶναι νὰ βαδίσω πρὸς τὸν σταυρόν'˙ δὲν τοὺς ἄφησε δηλαδὴ προηγουμένως, διὰ ν' ἀποτελῇ αὐτὸ μαρτυρία δι' αὐτούς˙ διότι μέχρι τότε ποὺ τὸν ἀπεμάκρυναν μὲ τὰ ἔργα των, μέχρι

ρωσαν, οὐκ εἶπε, «Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη», ἀλλ' «εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε», καὶ «οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ», καὶ «οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ δοῦναι τοῖς κυναρίοις». Ἐπειδὴ δὲ ἐμίσησαν αὐτόν, καὶ οὕτως ἐμίσησαν, ὡς ἐνελεῖν, περιττὸν ἦν προσεδρεύειν, διακρουομένων ἐκείνων· καὶ γὰρ παρῃτήσαντο αὐτόν, λέγοντες· «Οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα». Τότε δὴ λοιπὸν αὐτοὺς ἀφῆκεν, ἐπειδὴ αὐτοὶ ἀφῆκαν. Διὰ τοῦτο λέγει· «Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα ὑμῶν, καὶ οὐκ ἠθελήσατε!».

Τί ἐστιν «Ὁ κόκκος τοῦ σίτου, ἐὰν μὴ πεσὼν ἀποθάνῃ»; Περὶ τοῦ σταυροῦ λέγει. Ἵνα γὰρ μὴ θορυβῶνται, ἐννοοῦντες ὅτι, ὅτε καὶ Ἕλληνες προσῆλθον, τότε ἀνῃρέθη, λέγει· Ἀυτὸ μὲν οὖν τοῦτο μάλιστα αὐτοὺς ποιεῖ προσελθεῖν, καὶ αὐξήσει τὸ κήρυγμα τὸ ἐμόν'. Εἶτα, ἐπειδὴ ἀπὸ λόγων οὐχ οὕτως ἔπειθεν, ἀπὸ τῆς τῶν πραγμάτων πείρας αὐτὸ μεθοδεύει, λέγων· 'Ἐπεὶ καὶ ἐν τῷ σίτῳ τοῦτο γίνεται, μᾶλλον φέρει καρπόν, ὅταν ἀποθάνῃ· εἰ δὲ ἐν τοῖς σπέρμασι τοῦτο, πολλῷ μᾶλλον ἐν ἐμοί'. Ἀλλ' οὐκ ᾔδεσαν οἱ μαθηταὶ τὰ λεγόμενα. Διὸ συνεχῶς αὐτὸ τίθησιν ὁ Εὐαγγελιστής, ἀπολογούμενος ὑπὲρ τῆς μετὰ ταῦτα φυγῆς. Τοῦτον, καὶ περὶ τῆς ἀναστάσεως διαλεγόμενος ὁ Παῦλος, τὸν λόγον ἐκίνησε.

3. Ποίαν οὖν ἕξουσιν ἀπολογίαν οἱ τῇ ἀναστάσει διαπιστοῦντες, ἐν τοῖς σπέρμασι τοῦ πράγματος καθ' ἑκάστην μελετωμένου τὴν ἡμέραν, καὶ ἐν φυτοῖς, καὶ ἐπὶ τῆς γενέσεως τῆς ἡμετέρας; Πρότερον γὰρ δεῖ φθαρῆναι τὸ σπέρμα, καὶ τότε γενέσθαι γένεσιν. Ὅλως δέ, ὅταν ὁ Θεός τι ποιῇ, λογισμῶν οὐκ ἔστι χρεία· πῶς γὰρ ἐξ οὐκ ὄντων ἡμᾶς ἐποίησε; Ταῦτα πρὸς Χριστιανοὺς λέγω, τοὺς λέγον-

18. Ματθ. 28, 19.
19. Ματθ. 10, 5.
20. Ματθ. 15, 24.
21. Ματθ. 15, 26.
22. Ἰω. 19, 15.
23. Ματθ. 23, 37.
24. Α' Κορ. 15, 35-36.

τότε πού τόν έσταύρωσαν, δέν εἶπε, «πηγαίνετε καί κάμετε μαθητάς μου ὅλα τά ἔθνη»[18], ἀλλά «Μή μεταβῆτε πρός τούς ἐθνικούς»[19], καί «Δέν ἀπεστάλην εἰς ἄλλους παρά εἰς τά πρόβατα τά χαμένα τοῦ οἴκου τοῦ Ἰσραήλ»[20], καί «Δέν εἶναι σωστόν νά πάρω τόν ἄρτον τῶν τέκνων καί νά τόν δώσω εἰς τά σκυλιά»[21]. Ἐπειδή δέ τόν ἐμίσησαν, καί τόσον πολύ τόν ἐμίσησαν, ὥστε νά τόν θανατώσουν, περιττόν ἦτο νά φροντίζη δι' ἐκείνους, ἀφοῦ ἐκεῖνοι τόν ἀπέκρουσαν· καθ' ὅσον ἠρνήθησαν αὐτόν, λέγοντες· «Δέν ἔχομεν βασιλέα, παρά τόν Καίσαρα»[22]. Δηλαδή τότε πλέον τούς ἄφησεν, ὅταν αὐτοί τόν ἄφησαν. Διά τοῦτο λέγει· «Πόσες φορές ἠθέλησα νά μαζεύσω τά τέκνα σας, καί δέν ἠθελήσατε!»[23].

Τί σημαίνει, «Ὁ κόκκος τοῦ σίτου ἐάν δέν πέση εἰς τήν γῆν καί δέν ἀποθάνη»; Σημαίνει τήν σταύρωσίν του. Διά νά μή θορυβῶνται δηλαδή, σκεπτόμενοι ὅτι τότε ἐθανατώθη, ὅταν προσῆλθον καί οἱ Ἕλληνες, λέγει· Αὐτό λοιπόν πρό πάντων θά τούς κάμη νά προσέλθουν καί θά αὐξήση τό κήρυγμά μου. Ἔπειτα, ἐπειδή μέ τά λόγια δέν τούς ἔπειθε τόσον μεθοδεύει αὐτό ἀπό αὐτά πού συμβαίνουν εἰς τήν φύσιν καί λέγει· Διότι τό ἴδιο γίνεται καί μέ τόν σῖτον, τότε φέρει περισσότερον καρπόν, ὅταν ἀποθάνη· ἐάν δέ αὐτό συμβαίνη εἰς τά σπέρματα, πολύ περισσότερον θά συμβῆ εἰς ἐμένα. Ἀλλ' οἱ μαθηταί δέν ἀντελήφθησαν τά λεγόμενα. Διά τοῦτο συνεχῶς αὐτό ἀναφέρει ὁ Εὐαγγελιστής, ἀπολογούμενος διά τήν εἰς τήν συνέχειαν φυγήν των. Αὐτόν τόν λόγον ἀνέφερε καί ὁ Παῦλος, ὁμιλῶν περί τῆς ἀναστάσεως[24].

3. Ποίαν λοιπόν ἀπολογίαν θά ἔχουν αὐτοί πού δέν πιστεύουν εἰς τήν ἀνάστασιν, τήν στιγμήν πού διαπιστώνωμεν νά γίνεται αὐτό τό πρᾶγμα καθημερινῶς εἰς τά σπέρματα καί εἰς τά φυτά καί εἰς τήν ἰδικήν μας τήν γέννησιν; Διότι πρῶτα πρέπει νά καταστραφῆ τό σπέρμα, καί τότε νά γεννηθῆ τό νέον. Καί γενικά, ὅταν ὁ Θεός κάμνη κάτι, δέν χρειάζονται οἱ συλλογισμοί· διότι πῶς ἐδημιούργησεν ἡμᾶς ἀπό τό μηδέν; Αὐτά τά λέγω διά τούς χριστιανούς,

τας πείθεσθαι Γραφαῖς. Ἐγὼ δὲ καὶ ἕτερον ἐρῶ ἀπὸ λογισμῶν ἀνθρωπίνων. Τῶν ἀνθρώπων οἱ μὲν ἐν κακίᾳ διάγουσιν, οἱ δὲ ἐν ἀρετῇ· ἀλλὰ τῶν ἐν κακίᾳ διατριβόντων πολλοὶ εἰς ἔσχατον γῆρας ἦλθον εὐπαθοῦντες, τῶν δὲ ἐν ἀρετῇ τὰ ἐναντία ὑπομείναντες. Πότε οὖν τὰ κατ' ἀξίαν ἀπολήψεται ἕκαστος; ἐν ποίῳ καιρῷ;

Ναί, φησίν, ἀλλὰ σωμάτων οὐκ ἔστιν ἀνάστασις. Οὐκ ἀκούουσι τοῦ Παύλου λέγοντος· «Δεῖ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν»; Οὐ περὶ ψυχῆς (οὐδὲ γὰρ φθείρεται ἡ ψυχή)· καὶ ἀνάστασις δὲ τοῦ πεπτωκότος λέγεται· ἔπεσε δὲ τὸ σῶμα. Διὰ τί δὲ οὐ βούλει ἀνάστασιν εἶναι σώματος; Πότερον οὐ δυνατὸν τῷ Θεῷ; Ἀλλὰ τοῦτο μὲν ἐσχάτης ἀνοίας λέγειν. Ἀλλ' οὐ πρέπει; Διὰ τί οὐ πρέπει τὸ φθαρτόν, καὶ πόνου καὶ θανάτου κοινωνῆσαν, κοινωνῆσαι καὶ τῶν στεφάνων; Εἰ γὰρ μὴ ἔπρεπεν, οὐδ' ἂν παρὰ τὴν ἀρχὴν ἐγένετο, οὐκ ἂν σάρκα αὐτὸς ἀνέλαβεν. Ὅτι δὲ καὶ ἀνέλαβε, καὶ αὐτὴν ἀνέστησεν, ἄκουσον τί φησι· «Βάλε τοὺς δακτύλους, καὶ ἴδε ὅτι πνεῦμα ὀστᾶ καὶ νεῦρα οὐκ ἔχει». Διὰ τί δὲ τὸν Λάζαρον ἀνέστησεν, εἰ βέλτιον ἦν χωρὶς σώματος ἀναστῆναι; τί ἐν τάξει σημείου καὶ εὐεργεσίας αὐτὸ ποιεῖ; τί δὲ ὅλως ἔδωκε τροφάς;

Μὴ τοίνυν ἀπατᾶσθε παρὰ τῶν αἱρετικῶν, ἀγαπητοί· καὶ γὰρ ἀνάστασίς ἐστι, καὶ κρίσις ἐστί. Ταῦτα δὲ ἀναιροῦσιν, ὅσοι μὴ βούλονται δοῦναι λόγον τῶν πεπραγμένων· καὶ γὰρ δεῖ τὴν ἀνάστασιν τοιαύτην εἶναι, οἵα γέγονεν ἡ τοῦ Χριστοῦ· ἀπαρχὴ γὰρ ἐκεῖνος, καὶ πρωτότοκος ἀπὸ τῶν νεκρῶν. Εἰ δὲ ἀνάστασις τοῦτό ἐστι, ψυχῆς καθαρμός, καὶ ἁμαρτιῶν ἀπαλλαγή, ὁ δὲ Χριστὸς οὐχ ἥμαρτε, πῶς ἀνέστη; πῶς ἡμεῖς τῆς κατάρας ἀπηλλάγημεν, εἴ γε καὶ

25. Α' Κορ. 15, 53.
26. Λουκᾶ 24, 39. Ἰω. 20, 27.

πού λέγουν ὅτι πιστεύουν εἰς τὰς Γραφάς. Ἐγὼ δὲ θὰ εἰπῶ καὶ κάτι ἄλλον, ποὺ ἀποτελεῖ ἀνθρώπινον συλλογισμόν. Ἀπὸ τοὺς ἀνθρώπους ἄλλοι μὲν ζοῦν διαπράττοντες τὴν κακίαν καὶ ἄλλοι ἀσκοῦντες τὴν ἀρετήν· ἀλλ' ἀπὸ αὐτοὺς ποὺ διαπράττουν τὴν κακίαν πολλοὶ ἔφθασαν εἰς βαθὺ γῆρας εὐημεροῦντες, ἐνῷ ἀπὸ αὐτοὺς ποὺ ζοῦν τὴν ἐνάρετον ζωὴν πολλοὶ φθάνουν εἰς βαθὺ γῆρας ἀφοῦ ὑπέμεναν τὰ ἀντίθετα. Πότε λοιπὸν ὁ καθένας θὰ λάβῃ αὐτὸ ποὺ τοῦ ἀξίζει; εἰς ποῖον καιρόν;

Ναί, λέγει, ἀλλὰ δὲν ὑπάρχει ἀνάστασις σωμάτων. Δὲν ἀκούουν τὸν Παῦλον ποὺ λέγει· «Πρέπει αὐτὸ τὸ φθαρτὸν νὰ ἐνδυθῇ τὴν ἀφθαρσίαν»[25]; Δὲν τὸ λέγει διὰ τὴν ψυχὴν (διότι δὲν φθείρεται ἡ ψυχή)· καὶ ἀνάστασις λέγεται δι' αὐτὸ ποὺ ἔχει πέσει· ἔπεσε δὲ τὸ σῶμα. Διατί δὲ δὲν θέλεις νὰ ὑπάρχῃ ἀνάστασις σώματος; Ποῖο πρᾶγμα δὲν εἶναι δυνατὸν εἰς τὸν Θεόν; Τὸ νὰ τὸ λέγῃ αὐτὸ κανεὶς εἶναι δεῖγμα τῆς πιὸ μεγάλης ἀνοησίας. Ἀλλὰ δὲν πρέπει; Διατί δὲν πρέπει τὸ φθαρτὸν σῶμα, ποὺ ἔλαβε μέρος εἰς τοὺς πόνους καὶ τὸν θάνατον, νὰ λάβῃ μέρος καὶ εἰς τοὺς στεφάνους; Διότι, ἐὰν δὲν ἔπρεπε, δὲν θὰ ἐδημιουργεῖτο ἀπὸ τὴν ἀρχήν, καὶ ὁ ἴδιος ὁ Κύριος δὲν θὰ ἐλάμβανε σάρκα. Τὸ ὅτι δὲ ἔλαβε σάρκα καὶ τὴν ἀνέστησεν, ἄκουσε τί λέγει· «Βάλε τὰ δάκτυλά σου καὶ ἴδε ὅτι τὸ πνεῦμα δὲν ἔχει σάρκα καὶ ὀστᾶ»[26]. Διατί δὲ ἀνέστησε τὸν Λάζαρον, ἐὰν ἦτο καλύτερα νὰ ἀναστηθῇ χωρὶς σῶμα; διατί τὸ κάμνει αὐτὸ εἰς θέσιν θαύματος καὶ εὐεργεσίας; καὶ γενικὰ διατί ἔδωσε τροφάς;

Μὴ λοιπόν, ἀγαπητοί, ἀπατᾶσθε ὑπὸ τῶν αἱρετικῶν· καθ' ὅσον καὶ ἀνάστασις ὑπάρχει καὶ κρίσις. Αὐτὰ δὲ τὰ ἀρνοῦνται, ὅσοι δὲν θέλουν νὰ λογοδοτήσουν διὰ τὰς πράξεις των· καθ' ὅσον πρέπει ἡ ἀνάστασις νὰ εἶναι τέτοια ποὺ ἦτο καὶ ἡ ἀνάστασις τοῦ Χριστοῦ· διότι ἐκεῖνος ἦτο ἡ ἀρχὴ τῆς ἀναστάσεως καὶ ὁ πρῶτος ἀναστηθεὶς ἐκ νεκρῶν. Ἐὰν δὲ ἀνάστασις εἶναι αὐτό, καθαρισμὸς δηλαδὴ τῆς ψυχῆς, καὶ ἀπαλλαγὴ ἀπὸ τὰς ἁμαρτίας, ὁ δὲ Χριστὸς δὲν ἡμάρτησε, πῶς ἀνέστη; πῶς ἡμεῖς ἀπηλλάγημεν τῆς

αὐτὸς ἥμαρτε; πῶς δὲ λέγει, «Ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν»; ταῦτα γὰρ τὸ ἀναμάρτητον δηλοῦντός ἐστιν. Οὐκοῦν κατ' αὐτοὺς ἢ οὐκ ἀνέστη, ἤ, εἰ ἀνέστη, ἥμαρτε πρὸ τῆς ἀναστάσεως. Ἀλλὰ καὶ ἀνέστη, καὶ ἁμαρτίαν οὐκ ἐποίησεν. Οὐκοῦν ἀνέστη σώματι· καὶ τὰ δόγματα ταῦτα τὰ πονηρὰ οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ κενοδοξίας ἔκγονα. Φεύγωμεν τοίνυν τοῦτο τὸ νόσημα· «φθείρουσι» γάρ, φησίν, «ἤθη χρηστὰ ὁμιλίαι κακαί». Οὐκ ἔστι ταῦτα ἀποστόλων διδάγματα· Μαρκίων ἐστὶ καὶ Οὐαλεντῖνος ὁ ταῦτα καινοτομήσας.

Φεύγωμεν τοίνυν, ἀγαπητοί· οὐδὲν γὰρ ὄφελος βίου καθαροῦ, δογμάτων διεφθαρμένων· ὥσπερ οὖν οὐδὲ τοὐναντίον, δογμάτων ὑγιῶν, ἐὰν βίος ᾖ διεφθαρμένος. Ταῦτα Ἕλληνες ἔτεκον, ταῦτα ἐκεῖνοι ηὔξησαν, ἀπὸ τῶν ἔξωθεν φιλοσόφων λαβόντες, καὶ τὴν ὕλην ἀγέννητον λέγοντες, καὶ πολλὰ τοιαῦτα. Ὥσπερ οὖν εἶπαν ὅτι οὐκ ἂν εἴη δημιουργός, μὴ ὑποκειμένης ὕλης ἀγεννήτου, οὕτω καὶ τὴν ἀνάστασιν ἠθέτησαν. Ἀλλὰ μὴ προσέχωμεν, εἰδότες Θεοῦ δύναμιν παναρκῆ· μὴ προσέχωμεν. Ὑμῖν λέγω ταῦτα· ἡμεῖς γὰρ τὴν πρὸς αὐτοὺς οὐ παραιτησόμεθα μάχην. Ἀλλ' ὁ ἄοπλος καὶ γυμνός, κἂν εἰς ἀσθενεῖς ἐμπέσῃ, κἂν ἰσχυρότερος ᾖ, ῥᾳδίως ἁλώσεται. Εἰ μὲν γὰρ Γραφαῖς προσέχετε καὶ καθ' ἑκάστην ἑαυτοὺς ἠκονᾶτε τὴν ἡμέραν, οὐκ ἂν παρῄνεσα τὴν πρὸς ἐκείνους φεύγειν μάχην ἀλλὰ καὶ συμπλέκεσθαι συνεβούλευσα ἄν· καὶ γὰρ ἰσχυρὰ ἡ ἀλήθεια. Ἐπειδὴ δὲ χρῆσθαι αὐταῖς οὐκ ἴστε, δέδοικα τὴν συμπλοκήν, μὴ λαβόντες ὑμᾶς ἀόπλους καταβάλωσιν· οὐδὲν γάρ, οὐδὲν ἀσθενέστερον ἐκείνων τῶν τῆς τοῦ Πνεύματος βοηθείας ἐρη-

---

27. Ἰω. 14, 30.
28. Α΄ Κορ. 15, 33.

κατάρας, ἐὰν βέβαια καὶ ὁ ἴδιος ἡμάρτησε; πῶς δὲ λέγει, «Ἔρχεται ὁ ἄρχων αὐτοῦ τοῦ κόσμου καὶ δὲν ἔχει ἐπάνω μου καμμίαν ἐξουσίαν»[27]; διότι αὐτὰ εἶναι λόγια ποὺ φανερώνουν τὸ ἁμάρτημα ἐκείνου. Λοιπόν, σύμφωνα μὲ τοὺς αἱρετικούς, ἢ δὲν ἀνέστη, ἤ, ἐὰν ἀνέστη, ἡμάρτησε πρὸ τῆς ἀναστάσεως. Ἀλλ' ὅμως καὶ ἀνέστη καὶ δὲν ἡμάρτησεν. Ἀνέστη λοιπὸν κατὰ τὸ σῶμα καὶ αὐτὰ τὰ πονηρὰ διδάγματα δὲν εἶναι τίποτε ἄλλο, παρὰ προϊόντα κενοδοξίας. Ἂς ἀποφεύγωμεν λοιπὸν αὐτὸ τὸ νόσημα· διότι λέγει· «Αἱ κακαὶ συναναστροφαὶ διαφθείρουν τὰ καλὰ ἤθη»[28]. Δὲν εἶναι αὐτὰ διδάγματα τῶν Ἀποστόλων· αὐτὰς τὰς καινοτομίας τὰς ἐδίδαξαν ὁ Μαρκίων καὶ ὁ Οὐαλεντῖνος.

Ἂς τὰ ἀποφεύγωμεν λοιπόν, ἀγαπητοί· διότι δὲν ὠφελεῖ εἰς τίποτε ὁ καθαρὸς βίος, ἐὰν τὰ διδάγματα εἶναι διεφθαρμένα· ὅπως ἀκριβῶς βέβαια οὔτε καὶ τὸ ἀντίθετον, δὲν ὠφελοῦν τὰ ὑγιῆ δόγματα, ἐὰν ὁ βίος εἶναι διεφθαρμένος. Αὐτὰ τὰ ἐγέννησαν οἱ Ἕλληνες, αὐτὰ οἱ αἱρετικοὶ τὰ διώγκωσαν, ἀφοῦ τὰ ἐπῆραν ἀπὸ τοὺς ἐθνικοὺς φιλοσόφους, διδάσκοντες ὅτι ἡ ὕλη εἶναι ἀγένητος καὶ πολλὰ παρόμοια. Ὅπως ἀκριβῶς λοιπὸν ἐδίδαξαν, ὅτι δὲν ἠμπορεῖ νὰ ὑπάρξῃ δημιουργός, ἀφοῦ δὲν ὑπάρχει ὕλη ἀγένητος, ἔτσι ἠρνήθησαν καὶ τὴν ἀνάστασιν. Ἀλλὰ ἂς μὴ τὰ προσέχωμεν αὐτὰ τὰ διδάγματα, γνωρίζοντες ὅτι ἡ δύναμις τοῦ Θεοῦ εἶναι πανίσχυρος· ἂς μὴ τὰ προσέχωμεν. Πρὸς ἐσᾶς τὰ λέγω αὐτά· διότι ἡμεῖς δὲν θὰ παρατήσωμεν τὴν μάχην πρὸς αὐτούς. Ἀλλ' ὁ ἄοπλος καὶ γυμνός, καὶ ἂν ἀκόμη πέσῃ εἰς ἀσθενεῖς ἀντιπάλους, εὔκολα θὰ κατανικηθῇ καὶ ἂν ἀκόμη εἶναι ἰσχυρότερος. Διότι, ἐὰν προσείχετε τὰς Γραφὰς καὶ ἀσκούσατε καθημερινὰ τοὺς ἑαυτούς σας, δὲν θὰ σᾶς ἐσυμβούλευα νὰ ἀποφεύγετε τὴν μάχην πρὸς ἐκείνους, ἀλλὰ θὰ σᾶς ἐσυμβούλευα καὶ νὰ συμπλέκεσθε· καθ' ὅσον ἡ ἀλήθεια εἶναι ἰσχυρά. Ἐπειδὴ ὅμως δὲν γνωρίζετε νὰ χρησιμοποιῆτε αὐτάς, φοβοῦμαι τὴν συμπλοκήν, μήπως σᾶς συλλάβουν ἀόπλους καὶ σᾶς κατανικήσουν· διότι τίποτε δὲν ὑπάρχει ἀσθενέστερον ἀπὸ ἐκείνους ποὺ εἶναι ἔρημοι ἀπὸ τὴν βοήθειαν τοῦ Πνεύμα-

μωμένων. Εἰ δὲ τῇ ἔξωθεν κέχρηται σοφίᾳ, θαυμάζειν οὐ χρή, ἀλλὰ καταγελᾶν, ὅτι τοῖς μωροῖς κέχρηνται διδασκάλοις· οὔτε γὰρ περὶ Θεοῦ, οὔτε περὶ κτίσεώς τι ὑγιὲς εὑρεῖν ἠδυνήθησαν ἐκεῖνοι, ἀλλά, ἅπερ ἡ παρ' ἡμῖν χήρα ἐπίσταται, ταῦτα Πυθαγόρας οὐδέπω ᾔδει· ἀλλ' ἔλεγον ὅτι θάμνος ἐστὶ καὶ ἰχθύς, καὶ κύων γίνεται ἡ ψυχή.

Τούτοις οὖν, εἰπέ μοι, προσέχειν δεῖ; καὶ πῶς ἂν ἔχοι λόγον; Μεγάλοι εἰσὶν ἐν τῇ κώμῃ ἐκεῖνοι, καλοὺς βοστρύχους τρέφουσι, καὶ τρίβωνας ἀναβέβληνται· μέχρι τούτων αὐτοῖς ἡ φιλοσοφία. Ἂν δὲ τὰ ἔνδοθεν ἴδῃς, τέφρα καὶ κόνις καὶ ὑγιὲς οὐδέν, ἀλλὰ «τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν», πάντα ἀκαθαρσίας ἔχων γέμοντα καὶ ἰχῶρος, καὶ τὰ δόγματα πάντα σκωλήκων. Ὁ γοῦν πρῶτος αὐτῶν τὸ ὕδωρ ἔφησεν εἶναι θεόν, καὶ ὁ μετ' ἐκεῖνον τὸ πῦρ, ἄλλος τὸν ἀέρα, καὶ πάντες εἰς τὰ σώματα κατηνέχθησαν. Τούτους οὖν, εἰπέ μοι, θαυμάζειν χρή, τοὺς οὐδὲ ἔννοιαν ἀσωμάτου λαβόντας Θεοῦ, εἰ δήποτε καὶ ὕστερον ἔλαβον μετὰ τὸ συγγενέσθαι ἐν Αἰγύπτῳ τοῖς ἡμετέροις; Ἀλλά, ἵνα μὴ πολὺν ὑμῖν ἐπάγωμεν θόρυβον, ἐνταῦθα τὸν λόγον καταλύσωμεν· ἂν γὰρ ἀρξώμεθα τὰ ἐκείνων προτιθέναι δόγματα, καὶ τί μὲν περὶ Θεοῦ, τί δὲ περὶ ὕλης, τί δὲ περὶ ψυχῆς, τί δὲ περὶ σωμάτων εἶπον, πολὺς ἕψεται γέλως. Καὶ οὐδὲ τῆς παρ' ἡμῶν κατηγορίας δεήσονται· αὐτοὶ γὰρ ἀλλήλους ἔβαλον. Ὁ γοῦν καθ' ἡμῶν γράψας τὸν περὶ τῆς ὕλης λόγον, ἑαυτὸν ἀνεῖλε.

Διό περ, ἵνα μὴ ματαίως ὑμᾶς ἀπασχολήσωμεν, καὶ λαβύρινθον λόγων ἀνελίσσωμεν, ταῦτα ἀφέντες, ἐκεῖνο ἐροῦμεν, τῆς ἀκροάσεως τῶν θείων ἔχεσθαι Γραφῶν, καὶ μὴ λογομαχεῖν εἰς οὐδὲν δέον· ὃ καὶ Παῦλος

---

29. Ψαλμ. 5, 10.
30. Ὁ Θαλῆς
31. Ὁ Ἡράκλειτος
32. Ὁ Ἀναξιμένης

τος. Ἐὰν δὲ χρησιμοποιοῦν τὴν μὴ χριστιανικὴν σοφίαν, δὲν πρέπει νὰ τοὺς θαυμάζωμεν, ἀλλὰ νὰ τοὺς καταγελῶμεν, διότι χρησιμοποιοῦν τοὺς μωροὺς διδασκάλους· διότι ἐκεῖνοι δὲν ἠμπόρεσαν νὰ εὕρουν τίποτε τὸ ἀληθὲς οὔτε περὶ τοῦ Θεοῦ οὔτε περὶ τῶν δημιουργημάτων, ἀλλά, αὐτὰ ποὺ ἡ ἰδική μας χήρα τὰ γνωρίζει πάρα πολὺ καλά, αὐτὰ οὔτε ἀκόμη καὶ ὁ Πυθαγόρας δὲν τὰ ἐγνώρισεν· ἀλλ' ἔλεγον ὅτι ἡ ψυχὴ γίνεται θάμνος καὶ ἰχθὺς καὶ σκύλος.

Αὐτούς, λοιπόν, εἰπέ μου πρέπει νὰ προσέχωμεν; καὶ πῶς θὰ ἠμποροῦσεν αὐτὸ νὰ δικαιολογηθῇ; Ἐκεῖνοι εἶναι μεγάλοι ὡς πρὸς τὴν κώμην, τρέφουν ὡραίους βοστρύχους καὶ φοροῦν τρίβωνας· ἡ φιλοσοφία των φθάνει μόνον μέχρις εἰς αὐτά. Ἐὰν ὅμως ἰδῇς τὸν ἐσωτερικὸν κόσμον των, εἶναι στάκτη καὶ σκόνη καὶ τίποτε τὸ ὑγιές, ἀλλὰ «τάφος ἀνοικτὸς εἶναι ὁ λάρυγξ αὐτῶν»[29], ὅλα τὰ διδάγματά των εἶναι γεμᾶτα ἀπὸ ἀκαθαρσίαν καὶ σαπίλαν καὶ σκώληκας. Ὁ πρῶτος λοιπὸν ἀπὸ αὐτοὺς εἶπεν ὅτι τὸ ὕδωρ εἶναι Θεός[30], ὁ ἑπόμενος τὸ πῦρ[31], ἄλλος τὸν ἀέρα[32], καὶ ὅλοι τὰ ὑλικὰ σώματα ἐχαρακτήρισαν θεούς. Αὐτοὺς λοιπόν, εἰπέ μου, πρέπει νὰ θαυμάζωμεν, ποὺ δὲν συνέλαβον εἰς τὸν νοῦν των οὔτε καὶ τὴν ἀσώματον ἔννοιαν τοῦ Θεοῦ, ἂν καὶ βέβαια ἀργότερον συνέλαβον αὐτὴν τὴν ἔννοιαν, ὅταν συνανεστράφησαν τοὺς ἰδικούς μας εἰς τὴν Αἴγυπτον; Ἀλλά, διὰ νὰ μὴ σᾶς θορυβήσωμεν πάρα πολύ, ἂς σταματήσωμεν ἐδῶ τὸν λόγον· διότι, ἐὰν ἀρχίσωμεν νὰ ἀναφέρωμεν τὰ διδάγματα ἐκείνων καὶ τί εἶπον περὶ Θεοῦ, τί δὲ περὶ ὕλης, τί περὶ ψυχῆς καὶ τί περὶ σωμάτων, θ' ἀκολουθήσῃ πολὺς γέλως. Καὶ δὲν θὰ χρειασθοῦν οὔτε τὴν κατηγορίαν μας, διότι οἱ ἴδιοι ἔβαλον ὁ ἕνας ἐναντίον τοῦ ἄλλου. Ἐκεῖνος λοιπὸν ποὺ ἔγραψεν ἐναντίον μας τὸν λόγον περὶ τῆς ὕλης, ἐξηφάνισε τὸν ἑαυτόν του.

Διὰ τοῦτο ἀκριβῶς, διὰ νὰ μὴ σᾶς ἀπασχολήσωμεν ἄδικα καὶ σᾶς ἀπλώσωμεν λαβύρινθον λόγων, ἀφήνοντες αὐτά, ἐκεῖνο θὰ εἴπουμεν, προσέχετε τὴν ἀνάγνωσιν τῶν θείων Γραφῶν καὶ μὴ λογομαχῆτε διὰ τίποτε τὸ μὴ ἀναγκαῖον, πρᾶγμα ποὺ καὶ ὁ Παῦλος συμβουλεύει εἰς τὸν

παραινεῖ Τιμοθέῳ, καίτοι γε πολλῆς σοφίας ἐμπεπλησμένῳ, καὶ τὴν ἀπὸ τῶν σημείων ἔχοντι δύναμιν. Πειθώμεθα τοίνυν ἐκείνῳ, καί, τὰς φλυαρίας ἀφέντες, τῶν ἔργων ἐχώμεθα, φιλαδελφίας, λέγω, καὶ φιλοξενίας· καὶ πολὺν ποιησόμεθα τῆς ἐλεημοσύνης λόγον, ἵνα τῶν ἐπηγγελμένων τύχωμεν ἀγαθῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τιμόθεον[33], ἂν καὶ ἦτο πλήρης ἀπό πολλὴν σοφίαν, καὶ εἶχε τὴν δύναμιν νὰ ἐπιτελῇ θαύματα. Ἂς πειθώμεθα λοιπόν εἰς ἐκεῖνον, καί, ἀφοῦ ἀφήσωμεν τὰς φλυαρίας ἂς ἐπιδοθῶμεν εἰς ἔργα, ἐννοῶ τὴν φιλαδελφίαν καὶ τὴν φιλοξενίαν, καὶ ἂς δίξωμεν μεγάλην φροντίδα διὰ τὴν ἐλεημοσύνην, διὰ νὰ ἐπιτύχωμεν τὰ ὑποσχεθέντα ἀγαθὰ μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

33. Β΄ Τιμ. 2, 14.

ΟΜΙΛΙΑ ΞΖ΄

Ἰω. 12, 25-34

«Ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ, ἀπολέσει αὐτήν· καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν. Ἐὰν ἐμοί τις διακονῇ, ἐμοὶ ἀκολουθείτω».

1. Γλυκὺς ὁ παρὼν βίος, πολλῆς γέμων ἡδονῆς, ἀλλ' οὐχ ἅπασιν, ἀλλὰ τοῖς προσηλωμένοις αὐτῷ. Εἰ δέ τις εἰς τὸν οὐρανὸν διαβλέψειε, καὶ τὰ ἐκεῖ ἴδοι καλά, ταχέως αὐτοῦ καταφρονήσει, καὶ οὐδένα ποιήσεται λόγον· ἐπεὶ καὶ κάλλος σωμάτων, ἕως ἂν ἕτερον μὴ φαίνηται λαμπρότερον, θαυμάζεται, ἐπειδὰν δὲ φανῇ τὸ κρεῖττον, καταφρονεῖται τὸ πρότερον. Ἂν τοίνυν θελήσωμεν καὶ ἡμεῖς εἰς ἐκεῖνο τὸ κάλλος ἰδεῖν, καὶ τὴν εὐπρέπειαν τῆς ἐκεῖ βασιλείας κατοπτεῦσαι, ταχέως ἑαυτοὺς τῶν δεσμῶν ἀπολύσομεν τῶν παρόντων· δεσμὸς γάρ τίς ἐστιν ἡ πρὸς τὰ παρόντα συμπάθεια. Καὶ εἰς τοῦτο ἡμᾶς ἐνάγων ὁ Χριστός, ἄκουσον τί φησιν· «Ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν· καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν. Ὁ ἐμοὶ διακονῶν ἐμοὶ ἀκολουθείτω· καὶ ὅπου εἰμὶ ἐγώ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμός». Αἰνίγματι ἐοικέναι δοκεῖ τὰ λεγόμενα· ἀλλ' οὐκ ἔστιν, ἀλλὰ πολλῆς ἐμπέπλησται σοφίας. Καὶ πῶς «ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν»; Ὁ τὰς ἐπιθυμίας αὐτῆς ποιῶν τὰς ἀτόπους· ὁ χαριζόμενος αὐτῇ παρὰ τὸ δέον.

ΟΜΙΛΙΑ ΞΖ΄

Ἰω. 12, 25 - 34

«Αὐτὸς ποὺ ἀγαπᾷ τὴν ψυχήν του θὰ τὴν χάσῃ, καὶ αὐτὸς ποὺ μισεῖ τὴν ψυχήν του εἰς τὸν κόσμον αὐτὸν θὰ τὴν φυλάξῃ διὰ τὴν αἰώνιον ζωήν. Ἐὰν κάποιος μὲ ὑπηρετῇ πρέπει νὰ μὲ ἀκολουθῇ».

1. Εἶναι γλυκὺς ὁ παρὼν βίος καὶ γεμᾶτος ἀπὸ πολλὴν ἡδονήν, ὄχι ὅμως δι᾽ ὅλους, ἀλλὰ δι᾽ ἐκείνους ποὺ εἶναι προσηλωμένοι εἰς αὐτόν. Ἐὰν δὲ κανεὶς στρέψῃ τὴν προσοχήν του εἰς τὸν οὐρανὸν καὶ ἰδῇ τὰ καλὰ ποὺ ὑπάρχουν ἐκεῖ, ἀμέσως θὰ περιφρονήσῃ τὸν ἐπίγειον βίον καὶ δὲν θὰ δώσῃ καμμίαν σημασίαν εἰς αὐτόν˙ διότι καὶ τὸ κάλλος τῶν σωμάτων, ἕως ὅτου δὲν ὑπάρχει ἄλλο σῶμα λαμπρότερον, θαυμάζεται, ὅταν ὅμως εὑρεθῇ τὸ λαμπρότερον, περιφρονεῖται τὸ προηγούμενον. Ἂν λοιπὸν θελήσωμεν καὶ ἡμεῖς νὰ συγκεντρώσωμεν τὴν προσοχήν μας εἰς ἐκεῖνο τὸ κάλλος καὶ νὰ ἐξετάσωμεν τὴν εὐπρέπειαν τῆς οὐρανίου βασιλείας, ἀμέσως θὰ ἐλευθερώσωμεν τοὺς ἑαυτούς μας ἀπὸ τὰ δεσμὰ τῆς παρούσης ζωῆς˙ διότι ἕνας δεσμὸς εἶναι ἡ ἀγάπη πρὸς τὰ παρόντα πράγματα. Καὶ θέλων ὁ Χριστὸς νὰ στρέψῃ τὴν προσοχήν μας εἰς αὐτό, ἄκουσε τί λέγει˙ «Αὐτὸς ποὺ ἀγαπᾷ τὴν ψυχήν του θὰ τὴν χάσῃ, καὶ αὐτὸς ποὺ μισεῖ τὴν ψυχήν του εἰς τὸν κόσμον αὐτόν, θὰ τὴν φυλάξῃ διὰ τὴν αἰώνιον ζωήν. Αὐτὸς ποὺ μὲ ὑπηρετεῖ, πρέπει νὰ μὲ ἀκολουθῇ˙ καὶ ὅπου εἶμαι ἐγώ, ἐκεῖ θὰ εἶναι καὶ ὁ ἰδικός μου ὑπηρέτης». Φαίνεται νὰ ὁμοιάζουν μὲ αἴνιγμα τὰ λεγόμενα˙ ὅμως δὲν εἶναι, ἀλλὰ εἶναι γεμᾶτα ἀπὸ πολλὴν σοφίαν. Καὶ πῶς «αὐτὸς ποὺ ἀγαπᾷ τὴν ψυχήν του θὰ τὴν χάσῃ»; Θὰ τὴν χάσῃ ἐκεῖνος ποὺ ἐκτελεῖ τὰς παραλόγους ἐπιθυμίας αὐτῆς˙ ἐκεῖνος ποὺ

Διὰ τοῦτο παραινεῖ τις, λέγων· «Μὴ πορεύου ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς σου»· οὕτω γὰρ αὐτὴν ἀπολεῖς (τῆς γὰρ ὁδοῦ τῆς ἐπὶ τὴν ἀρετὴν ἀγούσης ἀπάγει)· ὥσπερ νῦν τὸ ἐναντίον, «ὁ μισῶν αὐτὴν ἐν τῷ κόσμῳ τούτῳ σώσει αὐτήν».

Τί δέ ἐστιν, «Ὁ μισῶν αὐτήν»; Ὁ μὴ εἴκων αὐτῇ, τὰ βλάπτοντα κελευούσῃ. Καὶ οὐκ εἶπεν, 'Ὁ μὴ εἴκων αὐτῇ', ἀλλ' «ὁ μισῶν αὐτήν»· καθάπερ γὰρ τῶν μισουμένων οὐδὲ φωνὴν ἀκοῦσαι ἀνεχόμεθα, οὐδὲ ὄψιν ἰδεῖν ἡδέως, οὕτω καὶ τὴν ψυχήν, ὅταν ἐναντία ἐπιτάττῃ τῶν τῷ Θεῷ δοκούντων, μετὰ σφοδρότητος ἀποστρέφεσθαι χρή. Ἐπειδὴ γὰρ περὶ θανάτου μέλλει λοιπὸν αὐτοῖς διαλέγεσθαι, θανάτου τοῦ ἑαυτοῦ, καὶ προεῖδε κατηφοῦντας καὶ καταπίπτοντας, ὑπερβολὴν ἐποιήσατο, λέγων· 'Τί λέγω, ἐὰν μὴ τὸν ἐμὸν θάνατον γενναίως ἐνέγκητε; ἂν γὰρ ὑμεῖς αὐτοὶ μὴ ἀποθάνητε, ὑμῖν ἔσται κέρδος οὐδέν'. Καὶ ὅρα πῶς παραμυθεῖται τὸν λόγον. Σφόδρα ἦν φορτικὸν καὶ ἐπαχθὲς τὸ ἀκοῦσαι ὅτι δεῖ ἀποθανεῖν φιλοψυχοῦντα τὸν ἄνθρωπον. Καὶ τί λέγω τὸ παλαιόν; ὅπου γε καὶ νῦν πολλοὺς εὑρήσομεν ἡδέως πάντα μαθεῖν ὑπομένοντας ὑπὲρ τοῦ τὸν παρόντα καρπώσασθαι βίον, καὶ ταῦτα περὶ τῶν μελλόντων πεπιστευμένους, οἵ, ἐπειδὰν ἴδωσιν οἰκοδομήματα καὶ τεχνήματα καὶ μηχανήματα, δακρύουσιν, ἐπιλέγοντες· 'Πόσα ἄνθρωπος μηχανᾶται, καὶ γίνεται κόνις! Οὕτω πολλὴ τῆς παρούσης ζωῆς ἡ ἐπιθυμία.

Ταῦτα τοίνυν διαλύων ὁ Χριστὸς τὰ δεσμά φησίν· «Ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν»· ὅτι γὰρ ἐκείνοις παραινῶν ἔλεγε,

---

1. Σοφ. Σειρὰχ 18, 30.

τὴν εὐχαριστεῖ περισσότερον ἀπὸ ὅ,τι πρέπει. Διὰ τοῦτο κάποιος συμβουλεύει, λέγων· «Μὴ πορεύεσαι πίσω ἀπὸ τὰς ἐπιθυμίας τῆς ψυχῆς σου»[1]· διότι ἔτσι τὴν ὁδηγεῖς εἰς τὴν ἀπώλειαν (διότι ἀπομακρύνει ἀπὸ τὴν ὁδὸν ποὺ ὁδηγεῖ πρὸς τὴν ἀρετήν)· ὅπως ἀκριβῶς βέβαια καὶ τὸ ἀντίθετον· «αὐτὸς ποὺ μισεῖ αὐτὴν εἰς τὸν κόσμον αὐτὸν θὰ τὴν σώσῃ».

Τί σημαίνει δὲ «Ὁ μισῶν αὐτήν»; Ἐκεῖνος ποὺ δὲν ὑποχωρεῖ ὅταν τοῦ προστάζῃ ἐκεῖνα ποὺ βλάπτουν. Καὶ δὲν εἶπεν, 'ἐκεῖνος ποὺ δὲν ὑποχωρεῖ εἰς αὐτήν', ἀλλὰ «ἐκεῖνος ποὺ μισεῖ αὐτήν»· διότι ὅπως ἀκριβῶς δὲν ἀνεχόμεθα οὔτε τὴν φωνὴν ν' ἀκούσωμεν ἐκείνων ποὺ μισοῦμεν, οὔτε τὸ πρόσωπόν των νὰ ἰδοῦμεν εὐχαρίστως, ἔτσι καὶ τὴν ψυχὴν πρέπει νὰ τὴν ἀποστρεφώμεθα μὲ ὅλην τὴν δύναμίν μας, ὅταν προστάζῃ ἀντίθετα ἀπὸ ἐκεῖνα ποὺ ἀρέσουν εἰς τὸν Θεόν. Ἐπειδὴ δηλαδὴ πρόκειται πλέον νὰ τοὺς ὁμιλήσῃ περὶ θανάτου, περὶ τοῦ θανάτου τοῦ ἑαυτοῦ του, καὶ προεῖδεν ὅτι θὰ στενοχωρηθοῦν καὶ θὰ λυποψυχήσουν, ἐχρησιμοποίησεν ὑπερβολὴν εἰς τὰ λόγια του, λέγων· 'Διατί λέγω, ἐὰν δὲν ὑπομείνετε μὲ γενναιότητα τὸν ἰδικόν μου θάνατον; διότι, ἐὰν σεῖς οἱ ἴδιοι δὲν ἀποθάνετε, δὲν θὰ ὑπάρξῃ δι' ἐσᾶς κανένα κέρδος'. Καὶ πρόσεχε πῶς τοὺς παρηγορεῖ μὲ τὰ λόγια του αὐτά. Ἦτο πάρα πολὺ βαρὺ καὶ ἐνοχλητικὸν τὸ νὰ ἀκούσουν ὅτι πρέπει ν' ἀποθάνῃ ὁ ἄνθρωπος ἐκεῖνος ποὺ ἀγαπᾷ τὴν ψυχήν του. Καὶ διατί νὰ ὁμιλῶ διὰ τὰ παλαιά; ἀφοῦ βέβαια καὶ σήμερα θὰ εὕρωμεν πολλοὺς ποὺ νὰ ὑπομένουν εὐχαρίστως νὰ τὰ μάθουν ὅλα διὰ νὰ ἠμποροῦν νὰ ἀποκομίζουν καρποὺς ἀπὸ τὴν παροῦσαν ζωήν, καὶ ὅλα αὐτὰ τὴν στιγμὴν ποὺ ἔχουν πιστέψει εἰς τὰ τῆς μελλούσης ζωῆς, οἱ ὁποῖοι, ὅταν ἰδοῦν οἰκοδομήματα, μηχανήματα καὶ ἄλλα τεχνικὰ ἔργα, δακρύζουν, λέγοντες· 'Πόσα μηχανεύεται ὁ ἄνθρωπος καὶ γίνεται σκόνη!' Τόσον μεγάλη εἶναι ἡ ἐπιθυμία τῆς παρούσης ζωῆς.

Θέλων λοιπὸν ὁ Χριστὸς νὰ μᾶς ἐλευθερώσῃ ἀπὸ αὐτὰ τὰ δεσμά, λέγει· «Αὐτὸς ποὺ μισεῖ τὴν ψυχήν του εἰς αὐτὸν τὸν κόσμον, θὰ τὴν φυλάξῃ διὰ τὴν αἰώνιον ζωήν»·

καὶ τὸν φόβον αὐτῶν ὑπεκλύων, ἄκουσον τῶν ἑξῆς. «Ὁ ἐμοὶ διακονῶν, ἐμοὶ ἀκολουθείτω», περὶ τοῦ θανάτου λέγων, καὶ τὴν διὰ τῶν ἔργων ἀκολούθησιν ἀπαιτῶν· δεῖ γὰρ πάντως τὸν διακονοῦντα τῷ διακονουμένῳ ἕπεσθαι. Καὶ σκόπει πότε αὐτοῖς ταῦτα διαλέγεται· οὐχ ὅτε ἐδιώκοντο, ἀλλ' ὅτε ἐθάρρησαν, ὅτε ἐνόμισαν ἐν ἀσφαλείᾳ εἶναι διὰ τὴν τῶν πολλῶν τιμὴν καὶ θεραπείαν, ὅτε καὶ διαναστῆναι ἠδύναντο καὶ ἀκοῦσαι· «Καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθείτω μοι»· τουτέστιν, ἀεὶ παρατεταγμένος ἔσο, φησί, πρὸς κινδύνους, πρὸς θάνατον, πρὸς ἀποδημίαν τὴν ἐντεῦθεν. Εἶτα, ἐπειδὴ τὰ φορτικὰ εἶπε, καὶ τὸ ἔπαθλον τίθησι. Ποῖον δὲ τοῦτο ἦν; Τὸ αὐτῷ ἀκολουθεῖν, καὶ εἶναι ἔνθα ἐστί, δεικνὺς ὅτι ἀνάστασις τὸν θάνατον διαδέξεται· «ὅπου γάρ εἰμι», φησίν, «ἐγώ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμός». Ποῦ δὲ ὁ Χριστός; Ἐν οὐρανοῖς. Καὶ πρὸ τῆς ἀναστάσεως τοίνυν ἐκεῖ μεταστῶμεν τῇ ψυχῇ καὶ τῷ νῷ.

«Ἐάν τις ἐμοὶ διακονῇ, ἀγαπήσει αὐτὸν ὁ Πατήρ». Διὰ τί οὐκ εἶπεν, 'Ἐγώ'; Ἐπειδὴ οὐδέπω τὴν προσήκουσαν περὶ αὐτοῦ δόξαν εἶχον, ἀλλὰ μείζονα περὶ τοῦ Πατρός· οἱ γὰρ μηδὲ ὅτι ἀναστῆναι αὐτὸν ἐχρῆν εἰδότες πῶς μεγάλα περὶ αὐτοῦ ἐφαντάσθησαν ἄν; Διὸ καὶ τοῖς υἱοῖς Ζεβεδαίου φησίν· «Οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται παρὰ τοῦ Πατρός μου», καίτοι γε αὐτός ἐστιν ὁ κρίνων. Ἐνταῦθα δὲ καὶ τὸ γνήσιον παρίστησιν· ὡς γὰρ γνησίου παιδὸς διακόνους, οὕτως ὁ Πατὴρ ἀποδέξεται. «Νῦν ἡ ψυχή μου τετάρακται. Καὶ τί εἴπω; Πάτερ, σῶσόν με ἐκ τῆς ὥρας ταύτης». Καὶ μὴν τοῦτο οὐκ ἔτι προτρεπομένου ἐπὶ τὸν θάνατον ἐλθεῖν. Μάλιστα μὲν οὖν προτρεπομένου.

---

2. Ματθ. 16, 24.
3. Μάρκ. 10, 40.

τὸ ὅτι βέβαια τὰ ἔλεγεν αὐτὰ συμβουλεύων ἐκείνους καὶ καταπαύων τὸν φόβον των, ἄκουσε τὰ εἰς τὴν συνέχειαν· «Ἐκεῖνος ποὺ μὲ ὑπηρετεῖ, πρέπει νὰ μὲ ἀκολουθῇ», ἐννοῶν τὸν θάνατόν του καὶ ἀπαιτῶν νὰ τὸν ἀκολουθῇ κανεὶς μὲ τὰ ἔργα του· πρέπει δηλαδὴ ὁπωσδήποτε ὁ ὑπηρέτης ν' ἀκολουθῇ αὐτὸν ποὺ ὑπηρετεῖ. Καὶ πρόσεχε πότε λέγει αὐτὰ εἰς αὐτούς· ὄχι ὅταν ἐδιώκοντο, ἀλλὰ ὅταν ἐπῆραν θάρρος, ὅταν ἐνόμισαν ὅτι εὑρίσκονται εἰς ἀσφάλειαν, ἐξ αἰτίας τῆς τιμῆς καὶ τῆς ἀγάπης ἐκ μέρους τῶν πολλῶν, ὅταν ἠμποροῦσαν νὰ σταθοῦν μὲ θάρρος καὶ ν' ἀκούσουν· «Καὶ ἂς σηκώσῃ τὸν σταυρόν του καὶ ἂς μὲ ἀκολουθῇ»[2]· δηλαδή, πάντοτε νὰ εἶσαι προετοιμασμένος, λέγει, διὰ κινδύνους, διὰ θάνατον, διὰ τὴν ἀναχώρησιν ἀπὸ τὴν ἐδῶ ζωήν. Ἔπειτα, ἐπειδὴ εἶπε τὰ δυσάρεστα, προσθέτει καὶ τὸ ἔπαθλον. Ποῖον δὲ ἦτο αὐτό; Τὸ νὰ ἀκολουθοῦν αὐτὸν καὶ νὰ εἶναι ἐκεῖ ποὺ εἶναι αὐτός, δεικνύων ὅτι θὰ διαδεχθῇ τὸν θάνατον ἀνάστασις· διότι λέγει· «ὅπου εἶμαι ἐγώ, ἐκεῖ πρέπει νὰ εἶναι καὶ ὁ διάκονός μου». Ποῦ εἶναι δὲ ὁ Χριστός; Εἰς τοὺς οὐρανούς. Καὶ πρὶν ἀπὸ τὴν ἀνάστασιν λοιπὸν ἂς μεταφερθῶμεν ἐκεῖ μὲ τὴν ψυχὴν καὶ τὸν νοῦν.

Ἐὰν κάποιος μὲ ὑπηρετῇ, θὰ τὸν ἀγαπήσῃ ὁ Πατήρ». Διατί δὲν εἶπεν, 'ἐγώ'; Ἐπειδὴ δὲν εἶχον ἀκόμη περὶ αὐτοῦ τὴν πρέπουσαν γνώμην, ἀλλ' ἐθεώρουν ἀνώτερον τὸν Πατέρα· διότι αὐτοὶ ποὺ δὲν ἐγνώριζον ὅτι ἔπρεπε νὰ ἀναστηθῇ, πῶς θὰ ἠμποροῦσαν νὰ σκεφθοῦν περὶ αὐτοῦ ἀνώτερα πράγματα; Διὰ τοῦτο καὶ εἰς τοὺς υἱοὺς τοῦ Ζεβεδαίου λέγει· «Δὲν ἔχω δικαίωμα νὰ τὸ δώσω, παρὰ μόνον εἰς ἐκείνους διὰ τοὺς ὁποίους ἔχει ἑτοιμασθῆ ἀπὸ τὸν Πατέρα μου»[3], ἂν καὶ βέβαια αὐτὸς εἶναι ἐκεῖνος ποὺ κρίνει. Ἐδῶ δὲ φανερώνει καὶ ὅτι εἶναι γνήσιος Υἱὸς τοῦ Πατρός· διότι ὁ Πατὴρ θὰ ὑποδεχθῇ αὐτοὺς ὡσὰν ὑπηρέτας γνησίου Υἱοῦ. «Τώρα ἡ ψυχή μου εἶναι ταραγμένη. Καὶ τί νὰ εἰπῶ; Πάτερ, σῶσέ με ἀπὸ αὐτὴν τὴν ὥραν». Καὶ βέβαια αὐτὰ δὲν εἶναι καθόλου λόγια κάποιου ποὺ προτρέπει τοὺς ἄλλους νὰ βαδίσουν μέχρι εἰς τὸν θάνατον. Εἶναι πράγματι λόγια

Ἵνα γὰρ μὴ λέγωσιν ὅτι 'αὐτός, ἔξω τῶν ὠδίνων ὢν τῶν ἀνθρωπίνων, εὐκόλως περὶ θανάτου φιλοσοφεῖ, καὶ ἡμῖν ἐξ ἀκινδύνου παραινεῖ', δείκνυσιν ὅτι, καίτοι ἀγωνιῶν αὐτόν, ὅμως διὰ τὸ χρήσιμον οὐ παραιτεῖται. Ταῦτα δὲ τῆς οἰκονομίας ἐστίν, οὐ τῆς θεότητος. Διὰ τοῦτό φησι· «Νῦν ἡ ψυχή μου τετάρακται»· (ἐπεί, εἰ μὴ τοῦτό ἐστι, ποίαν ἀκολουθίαν ἔχει τὸ λεχθέν, καὶ τὸ εἰπεῖν, «Πάτερ, σῶσόν με ἐκ τῆς ὥρας ταύτης»; καὶ οὕτω τετάρακται, ὡς καὶ ἀπαλλαγὴν ζητεῖν, εἴ γε ἐνῆν διαφυγεῖν.

2. Ταῦτα τῆς ἀνθρωπίνης φύσεως τὰ ἀσθενήματα. Ἀλλ' οὐκ ἔχω τί εἴπω, φησίν, ἀπαλλαγὴν αἰτούμενος. «Διὰ γὰρ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην»· ὡσανεὶ ἔλεγε· 'Κἂν θορυβώμεθα, κἂν ταραττώμεθα, μὴ φεύγωμεν θάνατον· ἐπεὶ κἀγώ, νῦν ταραττόμενος, οὐ λέγω ὥστε φυγεῖν', δεῖ γὰρ φέρειν τὸ ἐπιόν· 'οὐ λέγω· Ἀπάλλαξόν με ἐκ τῆς ὥρας ταύτης', ἀλλὰ τί; «Πάτερ, δόξασόν σου τὸ ὄνομα»· 'καίτοι τῆς ταραχῆς τοῦτο ἀναγκαζούσης λέγειν, τὸ ἐναντίον λέγω· «Δόξασόν σου τὸ ὄνομα»· τουτέστιν, ἄγαγε λοιπὸν ἐπὶ τὸν σταυρόν', ὃ πολὺ τὸ ἀνθρώπινον ἐπιδείκνυται, καὶ τὴν φύσιν μὴ βουλομένην ἀποθανεῖν, ἀλλὰ τῆς παρούσης ἀντεχομένην ζωῆς, δεικνὺς ὅτι οὐκ ἔξω τῶν ἀνθρωπίνων παθῶν ἦν· ὥσπερ γὰρ τὸ πεινῆν οὐκ ἔγκλημα, οὐδὲ τὸ καθεύδειν, οὕτως οὐδὲ τὸ τῆς παρούσης ζωῆς ἐφίεσθαι. Ὁ δὲ Χριστὸς σῶμα καθαρὸν ἁμαρτημάτων εἶχεν, οὐχὶ φυσικῶν ἀναγκῶν ἀπηλλαγμένον· ἐπεὶ οὐδ' ἂν σῶμα ἦν. Διὰ δὴ τούτων καὶ ἕτερόν τι ἐπαίδευσε. Ποῖον δὴ τοῦτο; Ἵνα, εἴ ποτε ἐν ἀγῶνι καταστaίημεν καὶ δειλίᾳ, μηδὲ οὕτως ἀποπηδήσωμεν

ἀνθρώπου ποὺ κατ' ἐξοχὴν προτρέπει αὐτό. Διότι, διὰ νὰ μὴ λέγουν, ὅτι 'αὐτός, εὑρισκόμενος ἔξω ἀπὸ τοὺς ἀνθρωπίνους πόνους, μὲ εὐκολίαν φιλοσοφεῖ περὶ θανάτου, καὶ μᾶς προτρέπει αὐτὸ ἔχων ἀσφαλισμένον τὸν ἑαυτόν του', δείχνει, ὅτι, ἂν καὶ ὁ ἴδιος ἀγωνιᾷ, ὅμως δὲν παραιτεῖται ἀπὸ αὐτό, λόγῳ τῆς χρησιμότητός του. Αὐτὰ δὲ εἶναι γνωρίσματα τῆς ἀνθρωπίνης φύσεώς του καὶ ὄχι τῆς θεότητος. Διὰ τοῦτο λέγει˙ «Τώρα ἡ ψυχή μου εἶναι ταραγμένη»˙ (διότι, ἐὰν δὲν συμβαίνῃ αὐτό, ποίαν θέσιν ἔχουν τὰ λόγια «Πάτερ, σῶσε με ἀπὸ τὴν ὥραν αὐτήν»;)˙ καὶ τόσον ταραγμένος εἶναι, ὥστε καὶ νὰ ζητῇ ἀπαλλαγήν, καὶ ἐὰν ἦτο δυνατὸν βέβαια καὶ νὰ ἀποφύγῃ τὸν θάνατον.

2. Αὐταὶ εἶναι αἱ ἀδυναμίαι τῆς ἀνθρωπίνης φύσεως. 'Αλλά, λέγει, δὲν ἔχω τί νὰ εἰπῶ, ζητῶν ἀπαλλαγήν. «Διότι διὰ τοῦτο ἦλθον εἰς αὐτὴν τὴν ὥραν»˙ ὡσὰν δηλαδὴ νὰ ἔλεγε˙ 'Καὶ ἂν ἀκόμη θορυβώμεθα, καὶ ἂν ἀκόμη ταρασσώμεθα, δὲν πρέπει ν' ἀποφεύγωμεν τὸν θάνατον˙ διότι καὶ ἐγώ, ἂν καὶ τώρα νοιώθω ταραχήν, δὲν λέγω νὰ τὸν ἀποφύγω', διότι πρέπει νὰ ὑπομείνω ἐκεῖνο ποὺ ἔρχεται˙ 'δὲν λέγω, 'Απάλλαξέ με ἀπὸ αὐτὴν τὴν ὥραν', ἀλλὰ τί; «Πάτερ, δόξασε τὸ ὄνομά σου»˙ μολονότι ἡ ταραχὴ μὲ ἀναγκάζει νὰ τὸ εἰπῶ αὐτό, ὅμως λέγω τὸ ἀντίθετον˙ «Δόξασε τὸ ὄνομά σου»˙ δηλαδὴ ὁδήγησέ με πλέον εἰς τὸν σταυρόν', πρᾶγμα ποὺ φανερώνει πάρα πολὺ τὸ ἀνθρώπινον γνώρισμα καὶ τὴν φύσιν τὴν ἀνθρωπίνην νὰ μὴ θέλῃ ν' ἀποθάνῃ, ἀλλὰ νὰ εἶναι προσηλωμένη εἰς τὴν παροῦσαν ζωήν, φανερώνων μὲ αὐτό, ὅτι δὲν εὑρίσκετο ἔξω ἀπὸ τὰ ἀνθρώπινα πάθη˙ διότι, ὅπως ἀκριβῶς δὲν εἶναι ἄξιον διὰ κατηγορίαν τὸ νὰ πεινᾷ, οὔτε καὶ τὸ νὰ κοιμᾶται, ἔτσι οὔτε καὶ εἶναι ἄξιον κατηγορίας τὸ νὰ ἐπιθυμῇ τὴν παροῦσαν ζωήν. 'Ο δὲ Χριστὸς εἶχε σῶμα καθαρὸν ἀπὸ ἁμαρτήματα, ὄχι ὅμως ἀπηλλαγμένον ἀπὸ τὰς φυσικὰς ἀνάγκας˙ διότι ἔτσι οὔτε κἂν σῶμα θὰ ἦτο. Μὲ αὐτὰ λοιπὸν καὶ κάτι ἄλλο μᾶς ἐδίδαξε. Ποῖον λοιπὸν εἶναι αὐτό; 'Εὰν κάποτε δηλαδὴ εὑρεθῶμεν εἰς ἀγῶνα καὶ δειλίαν, οὔτε καὶ τότε νὰ ἐγκαταλείψωμεν ἐκεῖνα ποὺ πρόκειται νὰ

τῶν προκειμένων. «Πάτερ, δόξασόν σου τὸ ὄνομα». Δείκνυσιν ὅτι ὑπὲρ ἀληθείας ἀποθνήσκει, δόξαν εἰς τὸν Θεὸν τὸ πρᾶγμα καλῶν. Καὶ τοῦτο συνέβαινε μετὰ τὸν σταυρόν. Ἔμελλεν ἐπιστρέφειν ἡ οἰκουμένη, καὶ γνωρίζειν τὸ ὄνομα τοῦ Θεοῦ, καὶ θεραπεύειν αὐτόν· καίτοι οὐ τὸ τοῦ Πατρὸς μόνον, ἀλλὰ καὶ τὸ τοῦ Υἱοῦ, ἀλλ' ὅμως τοῦτο σιγᾷ.

«Ἦλθεν οὖν φωνὴ ἐκ τῶν οὐρανῶν· Καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω». Ποῦ ἐδόξασεν; Ἐν τοῖς πρὸ τούτων γενομένοις. Καὶ πάλιν δοξάσω μετὰ τὸν σταυρόν. Τί οὖν ὁ Χριστός; «Οὐ δι' ἐμὲ ἡ φωνὴ αὕτη γέγονεν, ἀλλὰ δι' ὑμᾶς». Ἐκεῖνοι δὲ βροντὴν ἐνόμισαν εἶναι, ἢ ἄγγελον αὐτῷ λελαληκέναι. Καὶ πόθεν τοῦτο ἐνόμισαν; μὴ γὰρ οὐχὶ τρανὴ καὶ εὔσημος ἦν ἡ φωνή; Ἀλλὰ ταχέως αὐτῶν ἀπέπτη, ἅτε παχυτέρων ὄντων καὶ σαρκικῶν καὶ ῥαθύμων. Καὶ οἱ μὲν τὸν ἦχον κατεῖχον, οἱ δέ, ὅτι μὲν ἔναρθρος ἦν ἡ φωνή, ᾔδεσαν, τί δὲ ἐσήμαινεν, οὐκ ἔτι. Τί οὖν ὁ Χριστός; «Οὐ δι' ἐμὲ ἡ φωνὴ αὕτη γέγονεν, ἀλλὰ δι' ὑμᾶς». Διὰ τί τοῦτο εἶπε; Πρὸς ἐκεῖνο ἐνιστάμενος, ὃ ἔλεγον ἀεί, ὅτι οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ· ὁ γὰρ ὑπὸ τοῦ Θεοῦ δοξαζόμενος πῶς οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, οὗ τὸ ὄνομα δι' αὐτὸν δοξάζεται; Διὰ γὰρ τοῦτο καὶ ἡ φωνὴ ἠνέχθη. Διὸ καὶ αὐτός φησιν· «Οὐ δι' ἐμὲ ἡ φωνὴ αὕτη γέγονεν, ἀλλὰ δι' ὑμᾶς», οὐχ ἵνα ἐγὼ μάθω τι ἀγνοῶν παρ' αὐτῆς (πάντα γὰρ οἶδα τὰ τοῦ Πατρός), ἀλλὰ δι' ὑμᾶς. Ἐπειδὴ γὰρ ἔλεγον ὅτι ἄγγελος ἐλάλησεν αὐτῷ, ἢ βροντὴ γέγονε, καὶ οὐ προσεῖχον, φησὶν ὅτι 'δι' ὑμᾶς ἐγένετο, ἵνα κἂν οὕτως ἐνάγησθε πρὸς τὸ ἐρωτῆσαι τί τὸ λεχθέν'. Οἱ δὲ ἐπτοημένοι οὐδὲ οὕτως ἐπύθοντο, ἀκούσαντες ὅτι αὐτοῖς ἀνήκει τὸ πρᾶγμα· τῷ γὰρ οὐκ εἰδότι πρὸς ὃ ἐλέγετο, εἰκότως οὐκ ἐδόκει εὔσημος

συμβοῦν. «Πάτερ, δόξασε τὸ ὄνομά σου». Δείχνει ὅτι πεθαίνει διὰ τὴν ἀλήθειαν, ὀνομάζων τὸν θάνατόν του δόξαν διὰ τὸν Θεόν. Καὶ αὐτὸ θὰ συνέβαινε μετὰ τὸν σταυρικὸν θάνατόν του. Ἐπρόκειτο ἡ οἰκουμένη νὰ ἐπιστρέψῃ εἰς τὴν ἀλήθειαν καὶ νὰ γνωρίσῃ τὸ ὄνομα τοῦ Θεοῦ καὶ νὰ τὸν λατρεύσῃ· ἂν καὶ βέβαια ὄχι μόνον αὐτόν, ἀλλὰ καὶ τὸν Υἱόν, καὶ ὅμως αὐτὸ τὸ σιωπᾷ.

«Ἠκούσθη λοιπὸν φωνὴ ἀπὸ τὸν οὐρανόν. Καὶ ἐδόξασα τὸ ὄνομά σου καὶ πάλιν θὰ τὸ δοξάσω». Πῶς τὸ ἐδόξασεν; Μὲ τὰ ὅσα συνέβησαν πρὶν ἀπὸ αὐτά. Καὶ πάλιν θὰ τὸ δοξάσω μετὰ τὸν σταυρόν. Καὶ τί λέγει λοιπὸν ὁ Χριστός; «Δὲν ἠκούσθη αὐτὴ ἡ φωνὴ δι' ἐμένα, ἀλλὰ διὰ σᾶς». Ἐκεῖνοι ἐνόμισαν ὅτι εἶναι βροντή, ἢ ὅτι ἄγγελος ὡμίλησεν εἰς αὐτόν. Καὶ ἀπὸ ποῦ τὸ ἐνόμισαν αὐτό; μήπως δὲν ἦτο σαφὴς καὶ εὐκρινὴς ἡ φωνή; Ἀλλ' ὅμως ἀμέσως ἀπεμακρύνθη ἀπὸ αὐτούς, ἐπειδὴ ἦσαν πνευματικὰ ἀτελεῖς, σαρκικοὶ καὶ ράθυμοι. Καὶ ἄλλοι μὲν ἀντελήφθησαν ἁπλῶς τὸν ἦχον, ἄλλοι δὲ ἀντελήφθησαν μὲν ὅτι ἦτο ἔναρθρος φωνή, δὲν ἀντελήφθησαν ὅμως ἀκόμη τί ἐσήμαινεν. Τί λέγει λοιπὸν ὁ Χριστός; «Ἡ φωνὴ αὐτὴ δὲν ἠκούσθη δι' ἐμένα, ἀλλὰ δι' ἐσᾶς». Διατί τὸ εἶπεν αὐτό; Μὲ σκοπὸν ν' ἀντικρούσῃ ἐκεῖνο ποὺ ἔλεγον πάντοτε, ὅτι δὲν είναι ἐκ τοῦ Θεοῦ· διότι αὐτὸς ποὺ δοξάζεται ἀπὸ τὸν Θεὸν πῶς δὲν εἶναι ἐκ τοῦ Θεοῦ, τὸ ὄνομα τοῦ ὁποίου δοξάζεται ἐξ αἰτίας αὐτοῦ; Καθ' ὅσον διὰ τοῦτο καὶ ἡ φωνὴ ἠκούσθη. Διὰ τοῦτο καὶ αὐτὸς λέγει· «Δὲν ἠκούσθη αὐτὴ ἡ φωνὴ δι' ἐμένα, ἀλλὰ δι' ἐσᾶς», ὄχι διὰ νὰ μάθω ἐγὼ δι' αὐτῆς κάτι ποὺ δὲν τὸ ἐγνώριζα (διότι γνωρίζω ὅλα τὰ τοῦ Πατρός), ἀλλὰ δι' ἐσᾶς. Διότι, ἐπειδὴ ἔλεγον ὅτι ἄγγελος ὡμίλησεν εἰς αὐτόν, ἢ ὅτι ἠκούσθη βροντὴ καὶ δὲν ἐπρόσεχαν, λέγει, ὅτι 'δι' ἐσᾶς ἠκούσθη, ὥστε ἔστω καὶ ἔτσι νὰ παρακινηθῆτε νὰ ἐρωτήσετε ποία ἡ σημασία αὐτοῦ ποὺ ἐλέχθη'. Ἀλλ' ἐκεῖνοι καταταραχθέντες οὔτε καὶ ὕστερα ἀπὸ ὅλα αὐτὰ ἐρωτοῦσαν διὰ νὰ μάθουν, ἐπειδὴ ἤκουσαν ὅτι δι' αὐτοὺς συνέβη αὐτό· διότι εἰς ἐκεῖνον ποὺ δὲν ἐγνώριζε διὰ ποῖον λόγον ἐλέχθησαν αὐτά,

εἶναι ἡ φωνή. «Δι' ὑμᾶς ἡ φωνὴ γέγονεν». Ὁρᾷς ὅτι τὰ ταπεινὰ δι' αὐτοὺς γίνεται, οὐχ ὡς τοῦ Υἱοῦ δεομένου βοηθείας;

«Νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου. Νῦν δὲ ὁ ἄρχων τοῦ κόσμου τούτου κάτω βληθήσεται». Τοῦτο ποίαν ἀκολουθίαν ἔχει πρὸς τὸ «ἐδόξασα, καὶ δοξάσω»; Πολλὴν καὶ σφόδρα συνᾴδουσαν· ἐπειδὴ γὰρ εἶπε, «Δοξάσω», δείκνυσι καὶ τὸν τρόπον τῆς δόξης. Τίς δὲ ὁ τρόπος ἐστίν; Ἐκεῖνος «βληθήσεται κάτω», φησί. Τί δέ ἐστι, «Κρίσις ἐστὶ τοῦ κόσμου τούτου»; Ὡσανεὶ ἔλεγε· 'Δικαστήριον ἔσται καὶ ἐκδίκησις'. Πῶς, καὶ τίνι τρόπῳ; Ἀνεῖλε τὸν πρῶτον ἄνθρωπον, ὑπεύθυνον λαβὼν τῇ ἁμαρτίᾳ· («διὰ γὰρ τῆς ἁμαρτίας εἰσῆλθεν ὁ θάνατος»)· ἐν ἐμοὶ τοῦτο οὐχ εὗρε. Τίνος οὖν ἕνεκεν ἐνεπήδησε, καὶ θανάτῳ παρέδωκε; τίνος ἕνεκεν εἰς τὴν Ἰούδα ψυχὴν ἐνέβαλεν, ὥστε με ἀνελεῖν; Μὴ γάρ μοι εἴπῃς νῦν ὅτι ὁ Θεὸς ᾠκονόμησε· τοῦτο γὰρ οὐ τοῦ διαβόλου, ἀλλὰ τῆς αὐτοῦ σοφίας· τέως ἐκείνου ἡ γνώμη ἐξεταζέσθω τοῦ Πονηροῦ.

Πῶς οὖν κρίνεται ὁ κόσμος ἐν ἐμοί; Ὡσανεὶ δικαστηρίου, λεχθήσεται πρὸς αὐτόν· Ἔστω· πάντας ἀνεῖλες διὰ τὸ ἁμαρτίας ὑπευθύνους εὑρεῖν, τὸν Χριστὸν διὰ τί ἀνεῖλες; οὐκ εὔδηλον ὅτι ἀδίκως; Οὐκοῦν δι' αὐτοῦ ἐκδικηθήσεται ὁ κόσμος ἅπας. Ἵνα δὲ καὶ σαφέστερον ᾖ, καὶ ἐπὶ παραδείγματος αὐτὸ ποιήσω φανερόν. Ἔστω τις βίαιος τύραννος, πάντας τοὺς ἐμπίπτοντας μυρίοις περιβάλλων κακοῖς· οὗτος ἐάν, συμβαλὼν βασιλεῖ, ἢ υἱῷ βασιλέως, ἀνέλῃ αὐτὸν ἀδίκως, ὁ ἐκείνου θάνατος καὶ τοὺς ἄλλους ἐκδικῆσαι δυνήσεται. Ἔστω τις ὀφειλέτας ἀπαιτῶν, καὶ τυπτέτω, καὶ εἰς δεσμωτήριον ἐμβαλλέτω· εἶτα ἐκ τῆς αὐτῆς ἀπο-

4. Ρωμ. 5, 12.

φυσικὸν ἦτο νὰ μὴ ἐθεώρει εὐκρινῆ τὴν φωνήν. «Δι' ἐσᾶς ἡ φωνὴ ἠκούσθη». Βλέπεις ὅτι τὰ ταπεινὰ γίνονται δι' αὐτοὺς καὶ ὄχι ἐπειδὴ ὁ Υἱὸς ἔχει ἀνάγκην βοηθείας;

«Τώρα κρίνεται αὐτὸς ὁ κόσμος. Τώρα ὁ ἄρχων αὐτοῦ τοῦ κόσμου θὰ κατασυντριβῇ». Ποίαν σχέσιν ἔχει αὐτὸ πρὸς τὸ «ἐδόξασα καὶ δοξάσω»; Ἔχει μεγάλην σχέσιν καὶ πάρα πολὺ σύμφωνον· διότι, ἐπειδὴ εἶπε, «θὰ σὲ δοξάσω», δείχνει καὶ τὸν τρόπον τῆς δόξης. Ποῖος δὲ εἶναι ὁ τρόπος τῆς δόξης; Ἐκεῖνος, λέγει, «θὰ κατασυντριβῇ». Τί σημαίνει δὲ «Κρίσις ἐστὶ τοῦ κόσμου τούτου»; Ὡσὰν δηλαδὴ νὰ ἔλεγε· 'Θὰ γίνῃ δικαστήριον καὶ ἐκδίκησις'. Πῶς καὶ μὲ ποῖον τρόπον; Ὡδήγησεν εἰς τὸν θάνατον τὸν πρῶτον ἄνθρωπον, ἀφοῦ τὸν κατέστησε διὰ τῆς ἁμαρτίας ὑπεύθυνον τοῦ θανάτου («διότι διὰ τῆς ἁμαρτίας εἰσῆλθεν ὁ θάνατος»[4])· αὐτὸ δὲν τὸ ηὗρεν εἰς ἐμένα. Διὰ ποῖον λόγον λοιπὸν ἐπετέθη ἐναντίον μου καὶ μὲ παρέδωσεν εἰς τὸν θάνατον; διὰ ποῖον λόγον εἰσῆλθεν εἰς τὴν ψυχὴν τοῦ Ἰούδα, ὥστε νὰ μὲ θανατώσῃ; Μὴ μοῦ εἰπῇς βέβαια τώρα ὅτι ὁ Θεὸς τὰ ὥρισεν ἔτσι· διότι αὐτὸ δὲν εἶναι ἔργον τοῦ διαβόλου, ἀλλὰ τῆς σοφίας αὐτοῦ· κατ' ἀρχὴν ἂς ἐξετάσωμεν τὴν γνώμην ἐκείνου τοῦ πονηροῦ.

Πῶς λοιπὸν κρίνεται ὁ κόσμος εἰς ἐμένα; Εἶναι ὡσὰν νὰ συνέρχεται δικαστήριον, θὰ λεχθῇ πρὸς αὐτόν· Ἂς παραδεχθῶμεν· ὅλους τοὺς ἐθανάτωσες ἐπειδὴ τοὺς ηὗρες ὑπευθύνους τῆς ἁμαρτίας, τὸν Χριστὸν ὅμως διατί τὸν ἐθανάτωσες; δὲν εἶναι ὁλοφάνερον ὅτι τὸ ἔκαμες ἀδίκως; Δι' αὐτὸ λοιπὸν θὰ σὲ ἐκδικηθῇ ὅλος ὁ κόσμος. Διὰ νὰ γίνῃ δὲ αὐτὸ σαφέστερον θὰ τὸ κάνω φανερὸν καὶ μὲ παράδειγμα. Ἂς ὑποθέσωμεν, ὅτι ὑπάρχει κάποιος σκληρὸς τύραννος ποὺ κακοποιεῖ μὲ ἀμέτρητα κακὰ ὅλους ἐκείνους ποὺ συλλαμβάνει· ἐὰν αὐτός, συγκρουσθεὶς μὲ βασιλέα ἢ υἱὸν βασιλέως, φονεύσῃ αὐτὸν ἀδίκως, ὁ θάνατος ἐκεῖνος θὰ ἠμπορέσῃ νὰ κάνῃ καὶ τοὺς ἄλλους νὰ ἐκδικηθοῦν. Ἂς ὑποθέσωμεν ἐπίσης ὅτι κάποιος ζητεῖ ἀπὸ τοὺς ὀφειλέτας τὰ ὀφειλόμενα εἰς αὐτὸν καὶ τοὺς κτυπᾷ καὶ τοὺς κλείει εἰς τὴν φυλακήν· ἔπειτα, κινούμενος ἀπὸ

νοίας καὶ τὸν οὐδὲν ὀφείλοντα ὑπὸ τὴν αὐτὴν εἱρκτὴν ἀγέτω· οὗτος, καὶ ὧν εἰς τοὺς ἄλλους ἐποίησε, δώσει δίκην· ἀναιρήσει γὰρ αὐτὸν ἐκεῖνος.

3. Οὕτω καὶ ἐπὶ Υἱοῦ γέγονεν· ὧν γὰρ εἰς ὑμᾶς ἐποίησεν ὁ διάβολος, δι' ὧν εἰς τὸν Χριστὸν ἐτόλμησεν, ἀπαιτηθήσεται δίκην. Καὶ ὅτι τοῦτο αἰνίττεται, ἄκουσον τί φησι· «Νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου βληθήσεται κάτω» (διὰ τοῦ θανάτου τοῦ ἐμοῦ), «καὶ ἐγὼ δέ, ἐὰν ὑψωθῶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν»· τουτέστι, καὶ τοὺς ἐξ ἐθνῶν. Καὶ ἵνα μή τις εἴπῃ· 'Πῶς βληθήσεται κάτω, εἰ καὶ σοῦ περιγίνεται;' λέγει· 'Οὐ περιγίνεται'· πῶς γὰρ τοῦ καὶ τοὺς ἄλλους ἕλκοντος; Καὶ οὐ λέγει τὴν ἀνάστασιν, ἀλλά, ὃ τῆς ἀναστάσεως πλέον ἐστί, «πάντας ἑλκύσω πρὸς ἐμαυτόν»· εἰ μὲν γὰρ εἶπεν ὅτι 'ἀναστήσομαι', οὔπω δῆλον ὅτι καὶ πιστεύσουσι, τῷ δὲ εἰπεῖν ὅτι 'πιστεύσουσιν' ἀμφότερα συναποδέδεικται, ὅτι καὶ ἀναστήσεται· εἰ γὰρ νεκρὸς ἔμεινε, καὶ ψιλὸς ἄνθρωπος ἦν, οὐδεὶς ἂν ἐπίστευσε. «Πάντας ἑλκύσω πρὸς ἐμαυτόν». Πῶς οὖν φησιν ὅτι ὁ Πατὴρ ἕλκει. 'Ελκύσω δέ, φησίν, ἅτε ὑπὸ τυράννου κατεχομένους, καὶ ἀφ' ἑαυτῶν μόνον οὐ δυναμένους προσελθεῖν, καὶ τὰς ἐκείνου χεῖρας οὐ διαφυγεῖν, ἅτε ἀντεχομένου. Ἀλλαχοῦ δὲ τοῦτο ἁρπαγὴν καλεῖ. «Οὐδεὶς δύναται τὰ σκεύη τοῦ ἰσχυροῦ διαρπάσαι, ἐὰν μὴ πρῶτον δήσῃ τὸν ἰσχυρόν, καὶ τότε τὰ σκεύη αὐτοῦ διαρπάσῃ». Ταῦτα δέ, τὸ βίαιον αὐτοῦ παριστῶν, ἔλεγεν. Ὅπερ οὖν ἐκεῖ ἁρπαγήν, ἐνταῦθα ἕλξιν ἐκάλεσε.

Ταῦτ' οὖν εἰδότες, διαναστῶμεν, δοξάσωμεν τὸν Θεὸν μὴ διὰ πίστεως μόνον, ἀλλὰ καὶ διὰ βίου· ἐπεὶ οὐκ ἂν εἴη δόξα, ἀλλὰ βλασφημία· οὐ γὰρ οὕτω βλασφημεῖται Θεός,

---

5. Ματθ. 12, 29.

τὴν ἰδίαν παραφροσύνην, ὁδηγεῖ εἰς τὴν ἰδίαν φυλακὴν καὶ ἐκεῖνον ποὺ δὲν ὀφείλει τίποτε· αὐτὸς θὰ τιμωρηθῇ καὶ δι' ἐκεῖνα ποὺ ἔκανεν εἰς τοὺς ἄλλους· διότι θὰ θανατώσῃ αὐτὸν ἐκεῖνος.

3. Τὸ ἴδιο συνέβη καὶ εἰς τὴν περίπτωσιν τοῦ Υἱοῦ· δι' ἐκεῖνα δηλαδὴ ποὺ ἔκαμεν εἰς ἐσᾶς ὁ διάβολος, θὰ τιμωρηθῇ μὲ ἐκεῖνα ποὺ ἐπεχείρησε νὰ κάμῃ εἰς τὸν Χριστόν. Καὶ ὅτι αὐτὸ ὑπονοεῖ, ἄκουσε τί λέγει· «Τώρα ὁ ἄρχων τοῦ κόσμου αὐτοῦ θὰ κατασυντριβῇ» (μὲ τὸν θάνατόν μου), «καὶ ἐγώ, ἐὰν ὑψωθῶ εἰς τὸν σταυρόν, θὰ προσελκύσω ὅλους πρὸς ἐμένα», δηλαδὴ καὶ τοὺς ἐξ ἐθνῶν. Καὶ διὰ νὰ μὴ εἰπῇ κάποιος, 'Καὶ πῶς θὰ κατασυντριβῇ, ἐὰν καὶ σένα σὲ καταβάλῃ'; λέγει· 'Δὲν θὰ μὲ καταβάλῃ'· διότι πῶς εἶναι δυνατὸν νὰ καταβάλῃ αὐτὸν ποὺ καὶ τοὺς ἄλλους προσελκύει; Καὶ δὲν ὁμιλεῖ διὰ τὴν ἀνάστασιν, ἀλλὰ δι' ἐκεῖνο ποὺ εἶναι ἀνώτερον ἀπὸ τὴν ἀνάστασιν, «ὅλους θὰ τοὺς προσελκύσω πρὸς ἐμένα»· διότι, ἐὰν ἔλεγε 'θ' ἀναστηθῶ', δὲν θὰ ἦτο φανερὸν ἀκόμη ὅτι καὶ θὰ πιστεύσουν, μὲ τὸ νὰ εἰπῇ ὅμως ὅτι 'θὰ πιστεύσουν', κάμνει φανερὰ καὶ τὰ δύο, ὅτι καὶ θὰ ἀναστηθῇ· διότι ἐὰν παρέμενε νεκρὸς καὶ ἦτο ἁπλὸς ἄνθρωπος, δὲν θὰ ἦτο δυνατὸν νὰ ἐπίστευε κανείς. «Ὅλους θὰ τοὺς προσελκύσω πρὸς ἐμένα». Πῶς λοιπὸν λέγει ὅτι ὁ Πατὴρ προσελκύει; Διότι, ἐφ' ὅσον ὁ Υἱὸς ἕλκει, ὁ Πατὴρ ἕλκει. Θὰ σᾶς προσελκύσω, λέγει, ἐπειδὴ κρατεῖσθε ὑπὸ τυράννου καὶ μόνον μὲ τὴν ἰδικήν σας προσπάθειαν δὲν ἠμπορεῖτε νὰ προσέλθετε καὶ νὰ ξεφύγετε ἀπὸ τὰ χέρια ἐκείνου, ἐπειδὴ ἀνθίσταται. Εἰς ἄλλην περίπτωσιν τὸ ὀνομάζει αὐτὸ ἁρπαγήν. «Κανεὶς δὲν ἠμπορεῖ ν' ἁρπάσῃ τὰ σκεύη τοῦ ἰσχυροῦ, ἐὰν πρῶτα δὲν δέσῃ τὸν ἰσχυρὸν καὶ τότε ν' ἁρπάσῃ τὰ σκεύη αὐτοῦ»[5]. Αὐτὰ δὲ τὰ ἔλεγε διὰ νὰ παρουσιάσῃ τὴν βιαιότητα αὐτοῦ. Ἐκεῖνο λοιπὸν ποὺ ἐκεῖ ὠνόμασεν ἁρπαγήν, ἐδῶ τὸ ὠνόμασεν ἕλξιν.

Γνωρίζοντες λοιπὸν αὐτά, ἂς ἐγερθῶμεν, ἂς δοξάσωμεν τὸν Θεόν, ὄχι μόνον διὰ τῆς πίστεως, ἀλλὰ καὶ διὰ βίου· καθ' ὅσον δὲν θὰ ἠμποροῦσεν ἀλλιῶς νὰ εἶναι δόξα,

Ἕλληνος ὄντος μιαροῦ, ὡς Χριστιανοῦ διεφθαρμένου. Διὸ δὴ δέομαι πάντα ποιεῖν, ὥστε δοξάζεσθαι τὸν Θεόν· οὐαὶ γάρ, φησί, τῷ δούλῳ ἐκείνῳ, δι' οὗ τὸ ὄνομα τοῦ Θεοῦ βλασφημεῖται, (ὅταν δὲ οὐαὶ ᾖ, πᾶσα εὐθέως κόλασις καὶ τιμωρία ἕπεται), μακάριος δέ, δι' οὗ τὸ ὄνομα δοξάζεται. Μὴ τοίνυν ὡς ἐν τῷ σκότει ὦμεν, ἀλλὰ πάντα φεύγωμεν τὰ ἁμαρτήματα, μάλιστα δὲ τὰ εἰς κοινὴν διαβαίνοντα βλάβην, ἐπειδὴ μάλιστα ἐν τούτοις ὁ Θεὸς βλασφημεῖται· τίνα γὰρ ἕξομεν συγγνώμην, ὅταν ἑτέροις δοῦναι προσταττόμενοι, τὰ ἑτέρων ἁρπάζωμεν; τίς ἡμῖν ἔσται ἐλπὶς σωτηρίας; Εἰ μὴ πεινῶντα ἔθρεψας, κολάζῃ, εἰ δὲ καὶ ἀπέδυσας ἐνδεδυμένον, ποίας τεύξῃ συγγνώμης;

Ταῦτα συνεχῶς λέγοντες οὐ παυσόμεθα· ἴσως γὰρ οἱ τήμερον μὴ ἀκούσαντες αὔριον ἀκούσονται, οἱ δὲ τὴν αὔριον μὴ προσέχοντες τὴν μετ' ἐκείνην πεισθήσονται· εἰ δέ τινες καὶ ἀπειθῶς εἶεν διακείμενοι, ἀλλ' ἡμῖν ἀνεύθυνον ἔσται τὸ δικαστήριον· τὸ γὰρ ἡμῶν ἐπληρώσαμεν. Γένοιτο δὲ μήτε ἡμᾶς αἰσχυνθῆναι ἐπὶ τοῖς λεγομένοις, μήτε ὑμᾶς ἐγκαλύψασθαι, ἀλλὰ πάντας δυνηθῆναι μετὰ παρρησίας στῆναι ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα καὶ αὐτοὶ δυνηθῶμεν καυχήσασθαι ἐφ' ὑμῖν, καὶ τῶν ἡμετέρων κακῶν παραμυθίαν τινὰ λαβεῖν, τὴν ὑμετέραν εὐδοκίμησιν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας. Ἀμήν.

ἀλλὰ βλασφημία· διότι δὲν βλασφημεῖται τόσον ὁ Θεός, ὅταν εἶναι βδελυρὸς ὁ ἐθνικός, ὅσον ὅταν ὁ χριστιανὸς εἶναι διεφθαρμένος. Διὰ τοῦτο λοιπὸν παρακαλῶ ὅλα νὰ τὰ κάμνωμεν, ὥστε νὰ δοξάζεται ὁ Θεός· διότι, λέγει, ἀλλοίμονον εἰς ἐκεῖνον τὸν δοῦλον, διὰ τοῦ ὁποίου βλασφημεῖται τὸ ὄνομα τοῦ Θεοῦ (ὅταν δὲ λεχθῇ τὸ ἀλλοίμονον, ἀμέσως ἀκολουθεῖ κάθε κόλασις καὶ τιμωρία), μακάριος δὲ ἐκεῖνος, διὰ τοῦ ὁποίου δοξάζεται τὸ ὄνομα τοῦ Θεοῦ. Ἂς μὴ μένωμεν λοιπὸν ὡσὰν μέσα εἰς τὸ σκότος, ἀλλὰ ἂς ἀποφεύγωμεν ὅλα τὰ ἁμαρτήματα, πρὸ πάντων δὲ ἐκεῖνα ποὺ ἀποβαίνουν εἰς κοινὴν βλάβην, ἐπειδὴ μὲ αὐτὰ πρὸ πάντων βλασφημεῖται ὁ Θεός· διότι ποίαν συγχώρησιν θὰ ἔχωμεν, ὅταν, ἐνῷ ἔχομεν ἐντολὴν νὰ δίδωμεν εἰς τοὺς ἄλλους, ἁρπάζωμεν τὰ ὑπάρχοντα τῶν ἄλλων; ποία ἐλπὶς σωτηρίας θὰ ὑπάρξῃ δι' ἡμᾶς; Ἐὰν τιμωρῆσαι ἐπειδὴ δὲν ἔδωσες τροφὴν εἰς πεινασμένον, ποίαν συγχώρησιν θὰ ἐπιτύχῃς ἐὰν καὶ ἐξέδυσες ἐνδεδυμένον;

Αὐτὰ δὲν θὰ παύσωμεν νὰ τὰ λέγωμεν συνεχῶς· διότι ἴσως αὐτοὶ ποὺ σήμερον δὲν τὰ ἤκουσαν νὰ τὰ ἀκούσουν αὔριον καὶ ἐκεῖνοι ποὺ δὲν θὰ τὰ προσέξουν αὔριον νὰ πεισθοῦν τὴν ἐπομένην· ἐὰν ὅμως μερικοὶ συνεχίζουν νὰ δείχνουν ἀπείθειαν, ὅμως τὸ δικαστήριον δὲν θὰ ζητήσῃ ἀπὸ ἡμᾶς εὐθύνην, διότι ἐκάμαμεν ὅ,τι ἐξηρτᾶτο ἀπὸ ἡμᾶς. Εἴθε δὲ νὰ συμβῇ οὔτε ἡμεῖς νὰ νοιώσωμεν ἐντροπὴν διὰ τὰ λεγόμενα, οὔτε σεῖς νὰ καλύψετε τὰ πρόσωπά σας ἀπὸ ἐντροπήν, ἀλλὰ ὅλοι νὰ ἠμπορέσωμεν μὲ παρρησίαν νὰ σταθῶμεν πρὸ τοῦ βήματος τοῦ Χριστοῦ, ὥστε καὶ ἡμεῖς οἱ ἴδιοι νὰ ἠμπορέσωμεν νὰ καυχηθῶμεν δι' ἐσᾶς καὶ νὰ λάβωμεν κάποιαν παρηγορίαν διὰ τὰ ἰδικά μας κακὰ ποὺ θὰ εἶναι ἡ ἰδική σας εὐδοκίμησις μὲ τὴν χάριν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα ἀνήκει ἡ δόξα, συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΟΜΙΛΙΑ ΞΗ΄

Ἰω. 12, 34-41

«Ἀπεκρίθη αὐτῷ ὁ ὄχλος· Ἡμεῖς ἠκούσαμεν ἐκ τοῦ νόμου ὅτι ὁ Χριστὸς μένει εἰς τὸν αἰῶνα· καὶ πῶς λέγεις σὺ ὅτι δεῖ ὑψωθῆναι τὸν Υἱὸν τοῦ ἀνθρώπου; Τίς ἐστιν ὁ Υἱὸς τοῦ ἀνθρώπου;».

1. Εὐφώρατον ἡ πλάνη καὶ ἀσθενές, κἂν μυρίοις ἔξωθεν ἀλείφηται χρώμασι. Καὶ καθάπερ οἱ τὰ σαθρὰ τῶν τοίχων κονιῶντες οὐκ ἰσχύουσι διὰ τῆς ἀλοιφῆς διορθοῦν, οὕτω καὶ οἱ ψευδόμενοι ῥᾳδίως ἐλέγχονται, ὃ δὴ καὶ ἐνταῦθα πεπόνθασιν οἱ Ἰουδαῖοι· τοῦ γὰρ Χριστοῦ πρὸς αὐτοὺς εἰπόντος, «Ὅταν ὑψωθῶ ἀπὸ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν», «ἡμεῖς ἠκούσαμεν», φησίν, «ἀπὸ τοῦ νόμου ὅτι ὁ Χριστὸς μένει εἰς τὸν αἰῶνα· καὶ πῶς σὺ λέγεις ὅτι ὑψωθῆναι δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου; Τίς ἐστιν οὗτος ὁ Υἱὸς τοῦ ἀνθρώπου;». Ἄρα ᾔδεσαν ὅτι ὁ Χριστὸς ἀθάνατός τίς ἐστι, καὶ ζωὴν ἔχει, πέρας οὐκ ἔχουσαν. Οὐκοῦν κἀκεῖνοι ᾔδεσαν ὅπερ ἔλεγε· καὶ γὰρ πολλαχοῦ τῶν Γραφῶν ὁμοῦ καὶ τὸ πάθος καὶ ἡ ἀνάστασις κεῖται· καὶ γὰρ Ἠσαΐας ἅμα ταῦτα τίθησιν, «ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη», λέγων, καὶ τὰ ἑξῆς ἅπαντα· καὶ ὁ Δαυῒδ ἐν τῷ δευτέρῳ ψαλμῷ, καὶ ἀλλαχοῦ πολλαχοῦ συνάπτει ταῦτα ἀμφότερα· καὶ ὁ πατριάρχης δέ, εἰπών· «Ἀναπεσὼν ἐκοιμήθη ὡς λέων», ἐπήγαγε· «Καὶ ὡς σκύμνος λέοντος, τίς ἐγερεῖ αὐτόν;». Ὁμοῦ καὶ τὸ πάθος καὶ τὴν ἀνάστασιν ἐνδείκνυται. Ἀλλ' οὗτοι, νομίζον-

---

1. Ἠσ. 53, 7.
2. Γεν. 49, 9.
3. Ἰω. 7, 33.

ΟΜΙΛΙΑ ΞΗ΄

Ἰω. 12, 34-41

«Ἀπεκρίθη καὶ εἶπεν εἰς αὐτὸν τὸ πλῆθος· Ἡμεῖς ἠκούσαμεν ἀπὸ τὸν νόμον ὅτι ὁ Χριστὸς μένει εἰς τὸν αἰῶνα· καὶ πῶς σὺ λέγεις, ὅτι πρέπει νὰ ὑψωθῇ ὁ Υἱὸς τοῦ ἀνθρώπου; Ποῖος εἶναι ὁ Υἱὸς τοῦ ἀνθρώπου;».

1. Εὔκολα γίνεται ἀντιληπτὴ ἡ πλάνη καὶ περιβάλλεται ἀπὸ ἀδυναμίαν, καὶ ἂν ἀκόμη ἀλείφεται ἀπὸ ἔξω μὲ ἀμέτρητα χρώματα. Καὶ ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ ἐπιχρίουν τὰ σαθρὰ μέρη τῶν τοίχων δὲν ἠμποροῦν μὲ τὴν ἐπίχρισιν νὰ τὰ διορθώσουν, ἔτσι καὶ οἱ ψευδόμενοι εὔκολα ἐλέγχονται, πρᾶγμα ποὺ ἔπαθον καὶ οἱ Ἰουδαῖοι ἐδῶ· διότι, ὅταν ὁ Χριστὸς εἶπεν εἰς αὐτούς, «Ὅταν θὰ ὑψωθῶ ἀπὸ τὴν γῆν, ὅλους θὰ τοὺς προσελκύσω πρὸς ἐμένα», λέγουν, «Ἡμεῖς ἠκούσαμεν ἀπὸ τὸν νόμον ὅτι ὁ Χριστὸς μένει εἰς τὸν αἰῶνα· καὶ πῶς σὺ λέγεις θὰ πρέπει νὰ ὑψωθῇ ὁ Υἱὸς τοῦ ἀνθρώπου; Ποῖος εἶναι ὁ Υἱὸς τοῦ ἀνθρώπου;». Ἐπομένως ἐγνώριζον ὅτι ὁ Χριστὸς εἶναι ἀθάνατος καὶ ἔχει ζωὴν ποὺ δὲν ἔχει τέλος. Καὶ ἐκεῖνοι λοιπὸν ἐγνώριζον αὐτὸ ποὺ ἔλεγε· διότι εἰς πολλὰ μέρη τῶν Γραφῶν ἀναφέρονται μαζὶ καὶ τὸ πάθος καὶ ἡ ἀνάστασις· καθ' ὅσον ὁ Ἠσαΐας ἀναφέρει αὐτὰ μαζί, λέγων, «Ὡσὰν πρόβατον ὡδηγήθη εἰς τὴν σφαγήν»[1], καὶ ὅλα τὰ ἐν συνεχείᾳ. Καὶ ὁ Δαυὶδ εἰς τὸν δεύτερον ψαλμὸν καὶ εἰς πολλὰ ἄλλα μέρη ἀναφέρει μαζὶ καὶ τὰ δύο· καὶ ὁ Πατριάρχης Ἰακώβ, ὅταν εἶπεν, «Ἀφοῦ ἔπεσεν ἐκοιμήθη ὡσὰν λέων»[2], ἐπρόσθεσε· «Καὶ ὡσὰν σκύμνος λέοντος· ποῖος θὰ τὸν ἐξυπνήσῃ;»[3]. Φανερώνει συγχρόνως καὶ τὸ πάθος καὶ τὴν ἀνάστασιν. Ἀλλ' ἐκεῖνοι, νομίζοντες ὅτι ἀπὸ αὐτὸ θὰ τὸν ἀποστομώ-

τες ἐπιστομίζειν αὐτὸν καὶ δεικνύναι οὐκ ὄντα Χριστὸν ἐκ τούτου, ὁμολογοῦσιν ὅτι ὁ Χριστὸς εἰς τὸν αἰῶνα μένει.

Καὶ ὅρα πῶς κακούργως· οὐ γὰρ εἶπον ὅτι 'ἡμεῖς ἠκούσαμεν ὅτι ὁ Χριστὸς οὐδὲν πάσχει, οὐδὲ σταυροῦται', ἀλλ' «ὅτι μένει εἰς τὸν αἰῶνα», καίτοι οὐδὲ τοῦτο τὸ εἰρημένον ἐναντίον ἦν· τῇ γὰρ ἀθανασίᾳ τὸ πάθος οὐκ ἐγένετο κώλυμα. Ἐντεῦθεν ἔστιν ἰδεῖν ὅτι πολλὰ τῶν ἀμφιβόλων συνίεσαν, καὶ ἑκόντες ἐκακούργουν. Ἐπειδὴ γὰρ ἔφθη περὶ θανάτου διαλεχθεὶς ἀνωτέρω, ἀκούσαντες τὸ «ὑψωθῆναι» ἐνταῦθα, τοῦτο ὑπώπτευσαν. Εἶτα λέγουσι· «Τίς ἐστιν οὗτος ὁ Υἱὸς τοῦ ἀνθρώπου;». Καὶ τοῦτο κακούργως· μὴ γὰρ δὴ νομίσῃς, φησίν, ὅτι περὶ σοῦ τοῦτο λέγομεν, καὶ εἴπῃς ὅτι δι' ἀπέχθειαν ἐναντιούμεθα· ἰδοὺ γὰρ οὐκ οἴδαμεν περὶ τίνος λέγεις, καὶ ὅμως ἀποφαινόμεθα. Τί οὖν ὁ Χριστός; Ἐπιστομίζων αὐτοὺς καὶ δεικνὺς ὅτι τὸ πάθος οὐδὲν κώλυμα πρὸς τὸ μένειν αὐτὸν εἰς τὸν αἰῶνα, «ἔτι», φησί, «μικρὸν χρόνον τὸ φῶς μεθ' ὑμῶν ἐστι», δηλῶν ὅτι ὁ θάνατος αὐτοῦ μετάστασίς ἐστι· καὶ γὰρ τὸ φῶς τὸ ἡλιακὸν οὐκ ἀναιρεῖται, ἀλλά, μικρὸν ὑποχωρῆσαν, πάλιν φαίνεται.

«Περιπατεῖτε, ἕως τὸ φῶς ἔχετε». Ποῖον ἐνταῦθα λέγει καιρόν; ἄρα τὴν παροῦσαν ζωὴν ἅπασαν, ἢ τὸν πρὸ τοῦ σταυροῦ χρόνον; Ἔγωγε οἶμαι ἀμφοτέρους· διὰ γὰρ τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν πολλοὶ καὶ μετὰ τὸν σταυρὸν ἐπίστευσαν. Λέγει δὲ ταῦτα, κατεπείγων αὐτοὺς εἰς τὴν πίστιν, ὅπερ καὶ ἀνωτέρω πεποίηκεν, οὕτω λέγων· «Ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι». «Ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ οὐκ οἶδε ποῦ ὑπάγει». Πόσα γοῦν οἱ Ἰουδαῖοι νῦν πράττουσι, καὶ οὐκ ἴσασι τί πράττουσιν! ἀλλ' ὡς ἐν σκότῳ, οὕτω βαδίζοντες, δοκοῦσι μὲν τὴν ὀρθὴν ὁδεύειν ὁδόν, τὴν δὲ ἐναντίαν βαδίζουσι, Σάββατα τηροῦντες, καὶ νόμον φυλάττοντες καὶ βρωμάτων παρατηρήσεις, καὶ οὐκ ἴσασι ποῦ περιπατοῦσι. Διὰ

4. Ἰω. 1, 13.

σουν καὶ θ' ἀποδείξουν ὅτι δὲν εἶναι ὁ Χριστός, ὁμολογοῦν ὅτι ὁ Χριστὸς μένει εἰς τὸν αἰῶνα.

Καὶ πρόσεχε μὲ πόσην κακουργίαν· διότι δὲν εἶπον ὅτι 'ἡμεῖς ἠκούσαμεν, ὅτι ὁ Χριστὸς δὲν παθαίνει τίποτε οὔτε σταυροῦται', ἀλλ' «ὅτι μένει εἰς τὸν αἰῶνα», ἂν καὶ οὔτε αὐτὰ τὰ λόγια ἦσαν ἀντίθετα· διότι τὸ πάθος δὲ ἔγινεν ἐμπόδιον διὰ τὴν ἀθανασίαν. Ἐδῶ ἠμποροῦμεν νὰ ἰδοῦμεν ὅτι ἀντελαμβάνοντο πολλὰ ἀπὸ τὰ ἀμφίβολα καὶ μὲ τὴν θέλησίν των διέπραττον κακουργίας. Ἐπειδὴ λοιπὸν ὡμίλησε προηγουμένως περὶ θανάτου, ἀκούσαντες ἐδῶ τὸ «ὑψωθῆναι», αὐτὸ ὑπωπτεύθησαν. Ἔπειτα λέγουν· «Ποῖος εἶναι αὐτὸς ὁ Υἱὸς τοῦ ἀνθρώπου». Καὶ αὐτὸ τὸ λέγουν γεμᾶτοι ἀπὸ κακίαν· μὴ νομίσῃς δηλαδή, λέγουν, ὅτι αὐτὸ τὸ λέγομεν δι' ἐσένα καὶ εἰπῇς ὅτι ἀντιτιθέμεθα ἀπὸ μῖσος· διότι νά, δὲν γνωρίζομεν διὰ ποῖο πρᾶγμα ὁμιλεῖς καὶ ὅμως ἐκφέρομεν γνώμην. Τί κάμνει λοιπὸν ὁ Χριστός; Θέλων ν' ἀποστομώσῃ αὐτοὺς καὶ νὰ δείξῃ ὅτι τὸ πάθος δὲν ἀποτελεῖ κανένα ἐμπόδιον διὰ νὰ μείνῃ εἰς τὸν αἰῶνα, λέγει, «ἀκόμη ὀλίγον χρόνον τὸ φῶς εὑρίσκεται κοντά σας», φανερώνων μὲ αὐτὸ ὅτι ὁ θάνατός του εἶναι ἀλλαγὴ καταστάσεως· καθ' ὅσον τὸ ἡλιακὸν φῶς δὲν ἐξαφανίζεται, ἀλλά, ἀφοῦ χαθῇ ἐπ' ὀλίγον, πάλιν ἐμφανίζεται.

«Περιπατεῖτε, ὅσον καιρὸν ἔχετε τὸ φῶς». Ποῖον καιρὸν ἐννοεῖ ἐδῶ; ἆρά γε ὅλην τὴν παροῦσαν ζωὴν ἢ τὸν χρόνον πρὸ τοῦ σταυροῦ; Ἐγὼ βέβαια ἔχω τὴν ἐντύπωσιν ὅτι ἐννοεῖ καὶ τοὺς δύο· διότι λόγῳ τῆς ἀπεριγράπτου φιλανθρωπίας του πολλοὶ ἐπίστευσαν καὶ μετὰ τὸν σταυρόν. Τὰ λέγει δὲ αὐτὰ διὰ νὰ τοὺς ὁδηγήσῃ εἰς τὴν πίστιν, πρᾶγμα ποὺ καὶ προηγουμένως τὸ ἔκαμε, λέγων τὰ ἑξῆς· «Ἀκόμη ὀλίγον χρόνον εἶμαι μαζί σας»[1]. «Ἐκεῖνος ποὺ περιπατεῖ μέσα εἰς τὸ σκότος δὲν ξεύρει ποῦ πηγαίνει». Πόσα βέβαια οἱ Ἰουδαῖοι κάμνουν τώρα καὶ δὲν γνωρίζουν τί κάμνουν! ἀλλά, βαδίζοντες ὡσὰν μέσα εἰς τὸ σκότος, νομίζουν μὲν ὅτι βαδίζουν τὴν ὀρθὴν ὁδόν, ὅμως βαδίζουν τὴν ἀντίθετον· τηροῦν τὰ Σάββατα καὶ φυλάσσουν τὸν νόμον καὶ τὰς διακρίσεις τῶν τροφῶν, ἀλλ' ὅμως δὲν γνωρί-

τοῦτο ἔλεγε· «Περιπατεῖτε εἰς τὸ φῶς, ἵνα υἱοὶ φωτὸς γένησθε»· τουτέστιν, ἐμοὶ υἱοί. Καίτοι ἐν προοιμίοις φησὶν ὁ Εὐαγγελιστὴς ὅτι «οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκός, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν, τουτέστι, «τοῦ Πατρός»· ἐνταῦθα δὲ αὐτὸς λέγεται τούτους γεννᾶν, ἵνα μάθῃς ὅτι μία ἐνέργεια Πατρὸς καὶ Υἱοῦ. «Ταῦτα εἰπὼν ὁ Ἰησοῦς, καὶ ἀπελθὼν ἀπ' αὐτῶν, ἐκρύβη». Νῦν τί κρύπτεται; οὐδὲ γὰρ λίθους ἦραν κατ' αὐτοῦ, οὐδὲ ἐβλασφήμησάν τι τοιοῦτον, οἷον ἔμπροσθεν. Τίνος οὖν ἕνεκεν ἐκρύβη; Τὰς καρδίας ἐμβατεύων, ᾔδει ζέοντα καὶ φονῶντα καὶ οὐ περιέμενεν, ὥστε εἰς ἔργον ἐξελθεῖν, ἀλλὰ κρύπτεται, παραμυθούμενος αὐτῶν τὸν φθόνον.

Ὅρα γοῦν πῶς αὐτὸν ᾐνίξατο ὁ Εὐαγγελιστής. Εὐθέως γοῦν ἐπήγαγε· «Τοσαῦτα δὲ αὐτοῦ σημεῖα πεποιηκότος, οὐκ ἐπίστευον εἰς αὐτόν». Ποῖα «τοσαῦτα»; Ὅσα παρέλιπεν ὁ Εὐαγγελιστής. Καὶ ἐκ τῶν μετὰ ταῦτα δὲ τοῦτο δῆλον· καὶ γάρ, ὑποχωρήσας καὶ ἐνδοὺς καὶ ἐπανελθὼν πάλιν, ὑφειμένως αὐτοῖς διαλέγεται, οὕτω λέγων· «Ὁ πιστεύων εἰς ἐμὲ οὐ πιστεύει εἰς ἐμέ, ἀλλ' εἰς τὸν πέμψαντά με»· ὅρα γὰρ τί ποιεῖ. Ἄρχεται ἀπὸ ταπεινῶν καὶ συνεσταλμένων, καὶ καταφεύγει εἰς τὸν Πατέρα, εἶτα πάλιν ἀνάγει τὸν λόγον· καί, ὅταν ἴδῃ ἐκθηριουμένους, ὑποχωρεῖ, καὶ πάλιν ἐφίσταται καὶ ἀπὸ ταπεινῶν προοιμιάζεται πάλιν. Καὶ ποῦ τοῦτο ἐποίησε; Ποῦ γὰρ οὐκ ἐποίησεν; Ὅρα γοῦν ἐν ἀρχῇ τί φησι· «Καθὼς ἀκούω, κρίνω»· εἶτα ὑψηλότερον· «Ὥσπερ γὰρ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ»· πάλιν· «Ἐγὼ οὐ κρίνω ὑμᾶς, ἄλλος ἐστὶν ὁ κρίνων»· εἶτα ἀναχωρεῖ πάλιν· εἶτα, ἐπιστὰς

5. Ἰω. 12, 44.
6. Ἰω. 5, 30.
7. Ἰω. 5, 21.
8. Ἰω. 8, 15· 50.

ζουν ποῦ περιπατοῦν. Διὰ τοῦτο ἔλεγε· «Περιπατεῖτε εἰς τὸ φῶς, διὰ νὰ γίνετε υἱοὶ τοῦ φωτός»· δηλαδὴ 'ἰδικοί μου υἱοί'. Μολονότι βέβαια εἰς τὴν ἀρχὴν λέγει ὁ Εὐαγγελιστὴς ὅτι «δὲν ἐγεννήθησαν οὔτε ἀπὸ αἵματα οὔτε ἀπὸ σαρκικὸν θέλημα, ἀλλὰ ἀπὸ τὸν Θεόν»[3], δηλαδὴ 'ἀπὸ τὸν Πατέρα'· ἐδῶ ὅμως λέγεται ὅτι ὁ ἴδιος γεννᾷ αὐτούς, διὰ νὰ μάθῃς ὅτι μία εἶναι ἡ ἐνέργεια τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ. «Ἀφοῦ εἶπεν αὐτὰ ὁ Ἰησοῦς ἔφυγεν ἀπὸ αὐτοὺς καὶ ἐκρύβη». Διατί τώρα κρύπτεται; διότι οὔτε λίθους ἔρριψαν ἐναντίον του, οὔτε ἐξεστόμισαν κάποιαν παρόμοιον βλασφημίαν μὲ τὴν προηγουμένην. Διὰ ποῖον λόγον λοιπὸν ἐκρύβη; Ἐπειδὴ εἰσήρχετο εἰς τὰς καρδίας των, ἐγνώριζεν ὅτι ὁ θυμός των ἐξηγριώνετο, ἂν καὶ δὲν ἔλεγον τίποτε· ἐγνώριζεν ὅτι ὁ θυμός των ἔβραζε καὶ ἐδιψοῦσε δι' αἷμα καὶ δὲν ἐπερίμενε νὰ προχωρήσουν εἰς τὴν πρᾶξιν, ἀλλὰ κρύπτεται, καταπραΰνων τὸν φθόνον των.

Πρόσεχε λοιπὸν πῶς ὑπηνίχθη αὐτὸν ὁ Εὐαγγελιστής. Ἀμέσως δηλαδὴ ἐπρόσθεσε· «Ἀλλ' ἂν καὶ ἔκαμε τόσα θαύματα, δὲν ἐπίστευον εἰς αὐτόν». Ποῖα «τοσαῦτα»; Ὅσα παρέλειψεν ὁ Εὐαγγελιστής. Καὶ αὐτὸ γίνεται φανερὸν ἀπὸ τὰ ὅσα συνέβησαν εἰς τὴν συνέχειαν· καθ' ὅσον, ἀφοῦ ὑπεχώρησε καὶ ἐνέδωσε καὶ ἐπανῆλθε καὶ πάλιν, τοὺς ὁμιλεῖ μὲ τρόπον ἤπιον, λέγων τὰ ἑξῆς· «Αὐτὸς ποὺ πιστεύει εἰς ἐμένα δὲν πιστεύει εἰς ἐμενα, ἀλλ' εἰς ἐκεῖνον ποὺ μὲ ἀπέστειλε»[5]· πρόσεχε δηλαδὴ τί κάμνει. Ἀρχίζει ἀπὸ τὰ ταπεινὰ καὶ σεμνὰ καὶ καταφεύγει εἰς τὸν Πατέρα, καὶ εἰς τὴν συνέχειαν καὶ πάλιν ἀνεβάζει ὑψηλὰ τὸν λόγον· καί, ὅταν τοὺς ἰδῇ νὰ εἶναι ἐξηγριωμένοι, ὑποχωρεῖ, καὶ πάλιν ἐμφανίζεται καὶ πάλιν ἀρχίζει νὰ τοὺς ὁμιλεῖ μὲ ταπεινὰ λόγια. Καὶ ποῦ τὸ ἔκαμεν αὐτό; Μά ποῦ δὲν τὸ ἔκαμε; Πρόσεχε λοιπὸν τί λέγει εἰς τὴν ἀρχήν· «Καθὼς ἀκούω, κρίνω»[6]· ἔπειτα ὁμιλεῖ ὑψηλότερα· «Διότι, ὅπως ἀκριβῶς ὁ Πατὴρ ἀνασταίνει τοὺς νεκροὺς καὶ τοὺς ζωοποιεῖ, ἔτσι καὶ ὁ Υἱὸς ὅποιους θέλει τοὺς ζωοποιεῖ»[7]· πάλιν· «Ἐγὼ δὲν σᾶς κρίνω, ἄλλος εἶναι ἐκεῖνος ποὺ κρίνει»[8]· ἔπειτα ἀναχωρεῖ πάλιν· ἔπειτα, ἐρχόμενος εἰς τὴν Γαλιλαίαν, λέ-

τῇ Γαλιλαίᾳ, «ἐργάζεσθε», φησί, «μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην». Καὶ εἰπὼν περὶ αὐτοῦ μεγάλα, ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέβηκεν, ὅτι ζωὴν αἰώνιον δίδωσι, πάλιν ἀναχωρεῖ· καί, τῇ Σκηνοπηγίᾳ πάλιν ἐπιστάς, τὸ αὐτὸ τοῦτο ποιεῖ.

2. Καὶ διηνεκῶς ἴδοι τις ἂν οὕτω ποικίλλοντα τὴν διδασκαλίαν, παρουσίᾳ, ἀπουσίᾳ, ταπεινοῖς, ὑψηλοῖς λόγοις· ὃ καὶ ἐνταῦθα πεποίηκε. «Τοσαῦτα δὲ αὐτοῦ σημεῖα πεποιηκότος, οὐκ ἐπίστευον εἰς αὐτόν», φησίν, «ἵνα πληρωθῇ ὁ λόγος Ἠσαΐου, ὃν εἶπε· Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη;». Καὶ πάλιν «οὐκ ἠδύναντο», φησί, «πιστεύειν, ὅτι εἶπεν Ἠσαΐας· Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε. Ταῦτα δὲ εἶπεν, ὅτε εἶδε τὴν δόξαν αὐτοῦ, καὶ ἐλάλησε περὶ αὐτοῦ». Ἰδοὺ πάλιν τὸ «ὅτι» καὶ «εἶπεν» οὐχὶ αἰτιολογίας, ἀλλ' ἐκβάσεως· οὐδὲ γάρ, ἐπειδὴ εἶπεν Ἠσαΐας, οὐκ ἐπίστευον, ἀλλ' ἐπειδὴ οὐκ ἔμελλον πιστεύειν, διὰ τοῦτο εἶπεν Ἠσαΐας. Τί οὖν οὐχ οὕτως ὁ Εὐαγγελιστὴς λέγει, ἀλλὰ τὴν ἀπιστίαν ἀπὸ τῆς προφητείας, οὐ τὴν προφητείαν ἀπὸ τῆς ἀπιστίας εἶναί φησι, καὶ προϊὼν σφοδρότερον τοῦτο αὐτὸ τίθησιν, οὕτω λέγων· «Διὰ τοῦτο οὐκ ἠδύναντο πιστεύειν, ὅτι εἶπεν Ἠσαΐας»; Ἐντεῦθεν παραστῆσαι διὰ πολλῶν βούλεται τὸ τῆς Γραφῆς ἀψευδές, καὶ ὅτι, ἅπερ προεφήτευσεν, οὐχ ἑτέρως ἐξέβη, ἀλλ' ὡς εἶπεν. Ἵνα γὰρ μή τις λέγῃ· 'Καὶ τίνος ἕνεκεν ἦλθεν ὁ Χριστός; οὐκ ᾔδει ὅτι οὐκ ἔμελλον αὐτῷ προσέχειν;' καὶ τοὺς προφήτας εἰσάγει τοῦτο εἰδότας. Ἦλθε δέ, ἵνα πρόφασιν μὴ ἔχωσι περὶ τῆς ἁμαρτίας αὐτῶν· ἃ γὰρ προεῖπεν ὁ Προφήτης, ὡς πάντως ἐσόμενα προεῖπεν· εἰ γὰρ μὴ πάντως ἔμελλεν ἔσεσθαι οὐκ ἂν προεῖπε· πάντως δὲ ἔμελλεν ἔσεσθαι, ἐπειδὴ ἀνιάτως εἶχον ἐκεῖνοι.

Εἰ δὲ κεῖται τὸ «οὐκ ἠδύναντο», ἀντὶ τοῦ 'οὐκ ἤθελον'

9. Ἰω. 6, 27.

γει˙ «Νὰ ἐργάζεσθε ὄχι διὰ τὴν φθαρτὴν τροφήν»*. Καὶ ἀφοῦ εἶπε διὰ τὸν ἑαυτόν μεγάλους λόγους, ὅτι ἔχει κατεβῆ ἀπὸ τὸν οὐρανόν, ὅτι δίδει ζωὴν αἰώνιον, πάλιν ἀναχωρεῖ˙ καί, ἐμφανιζόμενος καὶ πάλιν κατὰ τὴν ἑορτὴν τῆς Σκηνοπηγίας, κάμνει καὶ πάλιν τὸ ἴδιο.

2. Καὶ θὰ ἠμποροῦσε κανεὶς νὰ ἰδῇ συνεχῶς νὰ ποικίλλῃ ἔτσι τὴν διδασκαλίαν του, μὲ παρουσίαν, ἀπουσίαν, μὲ ταπεινοὺς καὶ ὑψηλούς λόγους, πρᾶγμα ποὺ καὶ ἐδῶ τὸ ἔκαμεν. «Ἂν καὶ τόσα θαύματα εἶχε κάμει, δὲν ἐπίστευον εἰς αὐτόν», λέγει, «διὰ νὰ ἐκπληρωθῇ ὁ ἑξῆς λόγος τοῦ Ἠσαΐου˙ Κύριε, ποῖος ἐπίστευσεν εἰς τὸ κήρυγμά μας; καὶ ἡ δύναμις τοῦ Κυρίου εἰς ποῖον ἐφανερώθη;». Καὶ πάλιν˙ «Δὲν ἠμποροῦσαν», λέγει, «νὰ πιστεύσουν, διότι εἶπεν ὁ Ἠσαΐας˙ Θὰ ἀκούσετε καὶ δὲν θὰ καταλάβετε, Αὐτὰ δὲ τὰ εἶπεν, ὅταν εἶδε τὴν δόξαν αὐτοῦ καὶ ὡμίλησε περὶ αὐτοῦ». Νὰ καὶ πάλιν τὸ «ὅτι» καὶ «εἶπεν» ποὺ δὲν σημαίνουν αἰτίαν, ἀλλὰ ἀποτέλεσμα˙ διότι δὲν ἐπίστευον, ὄχι ἐπειδὴ τὸ εἶπεν ὁ Ἠσαΐας, ἀλλ' ἐπειδὴ δὲν ἐπρόκειτο νὰ πιστεύσουν, διὰ τοῦτο τὸ εἶπεν ὁ Ἠσαΐας. Διατί λοιπὸν ὁ Εὐαγγελιστὴς δὲν τὸ ἀναφέρει αὐτὸ ἔτσι, ἀλλὰ παρουσιάζει τὴν ἀπιστίαν νὰ προέρχεται ἀπὸ τὴν προφητείαν καὶ ὄχι τὴν προφητείαν ἀπὸ τὴν ἀπιστίαν καὶ προχωρῶν παρουσιάζει αὐτὸ ἐντονώτερα, λέγων τὰ ἑξῆς˙ «Διὰ τοῦτο δὲν ἠμποροῦσαν νὰ πιστεύουν, διότι εἶπεν ὁ Ἠσαΐας»; Μὲ αὐτὸ θέλει νὰ παρουσιάσῃ διὰ πολλῶν τὸ ἀδιάψευστον τῆς Γραφῆς, καὶ ὅτι ἐκεῖνα ποὺ ἐπροφήτευσε, δὲν συνέβησαν διαφορετικά, ἀλλὰ ὅπως τὰ εἶπεν. Διὰ νὰ μὴ λέγῃ λοιπὸν κανείς, 'Καὶ διατί ἦλθεν ὁ Χριστός; δὲν ἐγνώριζεν ὅτι δὲν ἐπρόκειτο νὰ προσέχουν εἰς αὐτόν;' παρουσιάζει καὶ τοὺς προφήτας ποὺ ἐγνώριζον αὐτό. Ἦλθε δὲ διὰ νὰ μὴ ἔχουν δικαιολογίαν διὰ τὴν ἁμαρτίαν των˙ διότι ἐκεῖνα ποὺ προεῖπεν ὁ προφήτης, τὰ προεῖπεν ὡς πράγματα ποὺ ἐπρόκειτο ὁπωσδήποτε νὰ συμβοῦν˙ διότι, ἐὰν δὲν ἐπρόκειτο ὁπωσδήποτε νὰ συμβοῦν, δὲν θὰ τὰ προέλεγεν˙ ἐπρόκειτο δὲ ὁπωσδήποτε νὰ συμβοῦν, ἐπειδὴ ἐκεῖνοι ἦσαν ἀθεράπευτοι.

Ἐὰν δὲ ἐγράφη τὸ «δὲν ἠμποροῦσαν», ἐγράφη ἀντὶ

κεῖται. Καὶ μὴ θαυμάσῃς· καὶ γὰρ καὶ ἀλλαχοῦ φησιν· «Ὁ δυνάμενος χωρεῖν χωρείτω». Οὕτως οἶδε πολλαχοῦ δύναμιν τὴν προαίρεσιν λέγειν. Καὶ πάλιν· «Οὐ δύναται ὁ κόσμος μισεῖν ὑμᾶς· ἐμὲ δὲ μισεῖ». Τοῦτο δὲ καὶ ἐν τῇ κοινῇ συνηθείᾳ φυλαττόμενον ἴδοι τις ἄν· ὡς, ὅταν λέγῃ τις· 'Οὐ δύναμαι ἀγαπῆσαι τὸν δεῖνα', τὸ σφοδρὸν τῆς βουλήσεως δύναμιν λέγων. Καὶ πάλιν· 'Οὐ δύναται ὁ δεῖνα γενέσθαι χρηστός'. Καὶ ὁ Προφήτης δὲ τί φησιν; «Εἰ ἀλλάξεται Αἰθίοψ τὸ δέρμα αὐτοῦ, καὶ πάρδαλις τὰ ποικίλματα αὐτῆς, καὶ ὁ λαὸς οὗτος δυνήσεται εὖ ποιῆσαι μεμαθηκὼς κακά». Οὐ τοῦτό φησιν, ὅτι ἀδύνατος αὐτοῖς ἡ τῆς ἀρετῆς ἐργασία, ἀλλ' ὅτι οὐ βούλονται, διὰ τοῦτο οὐ δύνανται. Καὶ ὃ λέγει ὁ Εὐαγγελιστής, τοῦτό φησιν, ὅτι ἀδύνατον ἦν ψεύσασθαι τὸν Προφήτην. Οὐ μὴν διὰ τοῦτο ἀδύνατον ἦν αὐτοὺς πιστεῦσαι· ἐνῆν γάρ, καὶ πιστευσάντων αὐτῶν, ἀψευδῆ μένειν· οὐ γὰρ ἂν ταῦτα προεῖπεν, εἰ πιστεύειν ἔμελλον. Τί οὖν, φησίν, οὐχ οὕτως εἶπεν; Ὅτι ἰδιώματά τινα ἡ Γραφὴ τοιαῦτα ἔχει, καὶ δεῖ τοῖς νόμοις αὐτῆς παραχωρεῖν.

«Ταῦτα δὲ εἶπεν, ὅτε εἶδε τὴν δόξαν αὐτοῦ». Τίνος; Τοῦ Πατρός. Πῶς οὖν ὁ Ἰωάννης περὶ τοῦ Υἱοῦ λέγει, ὁ δὲ Παῦλος περὶ τοῦ Πνεύματος; Οὐχ ὡς συναλείφοντες τὰς ὑποστάσεις, ἀλλὰ μίαν ἀξίαν δηλοῦντες εἶναι, φησί. Καὶ γὰρ τὰ τοῦ Πατρὸς τοῦ Υἱοῦ, καὶ τὰ τοῦ Υἱοῦ τοῦ Πατρός ἐστι. Καίτοι πολλὰ δι' ἀγγέλων εἶπε, καὶ οὐδεὶς λέγει, 'Καθὼς εἶπεν ὁ ἄγγελος', ἀλλὰ τί; «Ὁ Θεὸς εἶπε»· τὰ μὲν γὰρ ὑπὸ τοῦ Θεοῦ δι' ἀγγέλων εἰρημένα τοῦ Θεοῦ ἂν εἴη, οὐκ ἔτι δὲ καὶ τὰ τοῦ Θεοῦ, τῶν ἀγγέλων. Ἐνταῦθα δὲ τοῦ Πνεύματός φησιν εἶναι τὰ ῥήματα, «Καὶ ἐλάλησε περὶ αὐτοῦ».

10. Ματθ. 19, 12.
11. Ἰω. 7, 7.
12. Ἱερ. 13, 23.

τοῦ 'δὲν ἤθελον'. Καὶ μὴ ἀπορήσῃς· καθ' ὅσον καὶ ἀλλοῦ λέγει· «Αὐτὸς ποὺ ἠμπορεῖ νὰ τὸ δεχθῇ ἂς τὸ δεχθῇ καὶ ἂς προχωρήσῃ»[10]. Ἔτσι συνηθίζει νὰ ὀνομάζῃ εἰς πολλὰς περιπτώσεις τὴν θέλησιν δύναμιν. Καὶ πάλιν· «Δὲν ἠμπορεῖ ὁ κόσμος νὰ μισῇ ἐσᾶς, ἀλλ' ἐμένα μισεῖ»[11]. Αὐτὸ δὲ θὰ ἠμποροῦσε κανεὶς νὰ ἰδῇ νὰ ἐφαρμόζεται καὶ κατὰ τὰς συνήθεις ἐκφράσεις· ὅπως ὅταν λέγῃ κάποιος· 'Δὲν ἠμπορῶ νὰ ἀγαπήσω τὸν τάδε', ὀνομάζων δύναμιν τὴν ὑπερβολικὴν θέλησιν. Καὶ πάλιν· 'Δὲν ἠμπορεῖ ὁ τάδε νὰ γίνῃ καλός'. Καὶ ὁ προφήτης δὲ τί λέγει; «Ἐὰν ἀλλάξῃ ὁ Αἰθίοψ τὸ δέρμα του καὶ ἡ πάρδαλις τὰ χρωματιστὰ στολίδια της, τότε καὶ αὐτὸς ὁ λαὸς θὰ ἠμπορέσῃ νὰ πράξῃ τὸ καλόν, καθ' ὅσον ἔμαθε νὰ πράττῃ κακά»[12]. Δὲν λέγει αὐτό, ὅτι δηλαδὴ εἶναι ἀδύνατος εἰς αὐτοὺς ἡ ἄσκησις τῆς ἀρετῆς, ἀλλ' ἐπειδὴ δὲν θέλουν, δι' αὐτὸ δὲν ἠμποροῦν. Καὶ αὐτὸ ποὺ λέγει ὁ Εὐαγγελιστὴς ἐννοεῖ τὸ ἑξῆς, ὅτι δηλαδὴ ἦτο ἀδύνατον νὰ διαψευσθῇ ὁ προφήτης. Ἀλλ' ὅμως δὲν ἦτο ἀδύνατον διὰ τὸν λόγον αὐτὸν εἰς αὐτοὺς νὰ πιστεύσουν· διότι ἦτο δυνατόν, καὶ ἂν ἀκόμη ἐκεῖνοι ἐπίστευον, νὰ μείνῃ ἀδιάψευστος· διότι δὲν θὰ ἦτο δυνατὸν νὰ εἰπῇ αὐτά, ἐὰν ἐπρόκειτο νὰ πιστεύσουν. Διατί λοιπόν, λέγει, δὲν ὡμίλησεν ἔτσι; Διότι ἡ Γραφὴ ἔχει ὡρισμένα τέτοια γνωρίσματα καὶ πρέπει νὰ ὑποτάσσεται κανεὶς εἰς τοὺς νόμους αὐτῆς.

«Αὐτὰ δὲ τὰ εἶπεν, ὅταν εἶδε τὴν δόξαν του». Τὴν δόξαν ποίου; Τοῦ Πατρός. Πῶς λοιπὸν ὁ Ἰωάννης ὁμιλεῖ περὶ τοῦ Υἱοῦ, ὁ δὲ Παῦλος περὶ τοῦ Πνεύματος; Ὄχι ὡσὰν νὰ συγχωνεύουν τὰς ὑποστάσεις, ἀλλὰ δηλώνοντες ὅτι μία εἶναι ἡ ἀξία. Καθ' ὅσον τὰ τοῦ Πατρὸς εἶναι καὶ τοῦ Υἱοῦ, καὶ τὰ τοῦ Υἱοῦ εἶναι καὶ τοῦ Πατρός. Ἂν καὶ βέβαια πολλὰ εἶπε διὰ μέσου ἀγγέλων, καὶ ὅμως κανεὶς δὲν λέγει, 'Καθὼς εἶπεν ὁ ἄγγελος', ἀλλὰ τί; «Ὁ Θεὸς εἶπεν»· διότι, ἐκεῖνα μὲν ποὺ ἐλέχθησαν ὑπὸ τοῦ Θεοῦ δι' ἀγγέλων, εἶναι λόγια του Θεοῦ, δὲν ἠμποροῦν ὅμως νὰ εἶναι τῶν ἀγγέλων ἐκεῖνα ποὺ εἶναι τοῦ Θεοῦ. Ἐδῶ δὲ λέγει ὅτι τὰ λόγια εἶναι τοῦ Πνεύματος· «Καὶ εἶπε περὶ

Τί ἐλάλησεν; «Εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ», καὶ τὰ ἑξῆς. Δόξαν οὖν ἐνταῦθά φησι, τὴν ὄψιν ἐκείνην, τὸν καπνόν, τὸ ἀκοῦσαι μυστηρίων ἀπορρήτων, τὸ ἰδεῖν τὰ Σεραφείμ, τὴν ἀστραπήν, τὴν ἀπὸ τοῦ θρόνου πηδῶσαν, ἣ ἀντιβλέψαι αἱ δυνάμεις οὐκ εἶχον ἐκεῖναι. «Καὶ ἐλάλησε περὶ αὐτοῦ». Τί ἐλάλησεν; Ὅτι ἤκουσε φωνὴν λέγουσαν· «Τίνα ἀποστείλω, καὶ τίς πορεύσεται; Καὶ εἶπον· Ἰδοὺ ἐγώ εἰμι, ἀπόστειλόν με. Καὶ εἶπεν· Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε»· «ἐτύφλωσε γὰρ αὐτῶν τοὺς ἀφθαλμοὺς καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν, μή ποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τῇ καρδίᾳ συνῶσιν».

Ἰδοὺ πάλιν ἕτερον ζήτημα· ἀλλ' οὐκ ἔστιν, ἐὰν ὀρθῶς προσέχωμεν. Ὥσπερ γὰρ ὁ ἥλιος τῶν ἀσθενῶν πλήττει τὰς ὄψεις οὐ παρὰ τὴν οἰκείαν φύσιν, οὕτω καὶ ἐπὶ τῶν μὴ προσεχόντων τοῖς τοῦ Θεοῦ λόγοις γίνεται· οὕτω καὶ ἐπὶ τοῦ Φαραὼ τὴν καρδίαν σκληρῦναι λέγεται· οὕτω καὶ ἐπὶ τῶν φιλονεικούντων τι τοῖς τοῦ Θεοῦ λόγοις γίνεται. Ἰδίωμα δὲ καὶ τοῦτο τῆς Γραφῆς, ὡς καὶ τὸ «παρέδωκεν εἰς ἀδόκιμον νοῦν», καὶ τὸ «ἀπένειμε τοῖς ἔθνεσι», τουτέστι, 'συνεχώρησεν, ἀφῆκεν'· οὐχὶ γὰρ ἐνεργοῦντα αὐτὸν ἐνταῦθα εἰσάγει, ἀλλ' ἐκ τῆς ἑτέρων πονηρίας ταῦτα γινόμενα δείκνυσιν· ὅταν γὰρ ἐγκαταλειφθῶμεν ὑπὸ τοῦ Θεοῦ, παραδιδόμεθα τῷ διαβόλῳ· τῷ διαβόλῳ δὲ παραδοθέντες, μυρία πάσχομεν δεινά. Φοβῶν τοίνυν τὸν ἀκροατήν, φησίν· «Ἐσκλήρυνε», καὶ «παρέδωκεν». Ὅτι γὰρ αὐτὸς οὐ μόνον οὐ παραδίδωσιν, ἀλλ' οὐδὲ ἐγκαταλιμπάνει, ἐὰν μὴ βουληθῶμεν, ἄκουσον τί φησιν· «Οὐχὶ αἱ ἁμαρτίαι ὑμῶν διϊστῶσιν ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν;», καὶ πάλιν· «Οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ, ἀπολοῦνται»· ὁ δὲ Ὠσηέ φησιν· «Ἐπελάθου νόμου Θεοῦ σου, ἐπιλήσομαί σου κἀγώ»· καὶ αὐτὸς δὲ ἐν τοῖς Εὐαγ-

13. Ἡσ. 6, 1.
14. Ἡσ. 6, 8-10.
15. Ρωμ. 1, 28.
16. Δευτ. 4, 19.
17. Ἡσ. 59, 2.
18. Ψαλμ. 72, 27.
19. Ὠσ. 4, 6.

αὐτοῦ». Τί εἶπεν; «Εἶδον τὸν Κύριον νὰ κάθεται ἐπάνω εἰς ὑψηλὸν θρόνον»[13], καὶ τὰ ἑξῆς. Δόξαν λοιπὸν ἐδῶ ὀνομάζει ἐκείνην τὴν ὀπτασίαν, τὸν καπνόν, τὸ ὅτι ἤκουσεν ἀνεκδιήγητα μυστήρια, τὸ ὅτι εἶδε τὰ Σεραφίμ, τὴν ἀστραπὴν ποὺ ἐπήγαζεν ἀπὸ τὸν θρόνον καὶ τὴν ὁποίαν δὲν ἠμποροῦσαν αἱ δυνάμεις ἐκεῖνοι νὰ τὴν ἀντικρύσουν. «Καὶ ὡμίλησε περὶ αὐτοῦ». Τί εἶπεν; Ὅτι ἤκουσε φωνὴν ποὺ ἔλεγεν˙ «Ποῖον ν' ἀποστείλω καὶ ποῖος θὰ ὑπάγῃ; Καὶ εἶπον˙ Νά, ἐγὼ εἶμαι, στεῖλε ἐμένα. Καὶ εἶπε˙ Θὰ ἀκούσετε μὲ τὰ αὐτιά σας καὶ δὲν θὰ ἀντιληφθῆτε αὐτὰ ποὺ θ' ἀκούσετε, καὶ θὰ ἰδῆτε μὲ τὰ μάτια σας καὶ θὰ εἶναι ὡσὰν νὰ μὴ τὰ εἴδατε»˙ διότι «ἐτύφλωσε τοὺς ὀφθαλμούς των καὶ ἐπώρωσε τὴν καρδίαν των, διὰ νὰ μὴ ἰδοῦν κάποτε μὲ τοὺς ὀφθαλμούς των καὶ ἀντιληφθοῦν μὲ τὴν καρδίαν των»[14].

Νὰ πάλιν ἄλλο ζήτημα˙ ἀλλὰ δὲν ὑπάρχει αὐτό, ἐὰν προσέχωμεν ὅπως πρέπει. Διότι, ὅπως ἀκριβῶς ὁ ἥλιος βλάπτει τὴν ὅρασιν τῶν ἀσθενῶν ὄχι ἐξ αἰτίας τῆς ἰδικῆς του φύσεως, ἔτσι συμβαίνει καὶ μὲ ἐκείνους ποὺ δὲν προσέχουν τοὺς λόγους τοῦ Θεοῦ˙ ἔτσι καὶ διὰ τὸν Φαραὼ λέγεται ὅτι ἐσκλήρυνε τὴν καρδίαν του˙ ἔτσι συμβαίνει καὶ μὲ ἐκείνους ποὺ ἀντιμάχονται τὰ λόγια τοῦ Θεοῦ. Εἶναι καὶ αὐτὸ γνώρισμα τῆς Γραφῆς, ὅπως καὶ τὸ «παρέδωσεν αὐτοὺς εἰς ἀνάξιον νοῦν»[15], καὶ τὸ «ἀπένειμε τοῖς ἔθνεσι»[16], δηλαδὴ 'παρεχώρησεν, ἐπέτρεψεν'˙ δὲν παρουσιάζει δηλαδὴ ἐδῶ τὸν Θεὸν νὰ πράττῃ αὐτά, ἀλλὰ δείχνει ὅτι αὐτὰ συμβαίνουν ἐξ αἰτίας τῆς κακίας τῶν ἄλλων˙ διότι, ὅταν ἐγκαταλειφθῶμεν ἀπὸ τὸν Θεόν, παραδιδόμεθα εἰς τὸν διάβολον, ὅταν δὲ παραδοθῶμεν εἰς τὸν διάβολον, ὑποφέρομεν ἀμέτρητα κακά. Διὰ νὰ φοβήσῃ λοιπὸν τὸν ἀκροατήν, λέγει˙ «Ἐσκλήρυνε» καὶ «παρέδωκεν». Διότι, τὸ ὅτι αὐτὸς ὄχι μόνον δὲν μᾶς παραδίδει εἰς τὸν διάβολον, οὔτε μᾶς ἐγκαταλείπει, ἐὰν δὲν θελήσωμεν, ἄκουσε τί λέγει˙ «Δὲν εἶναι αἱ ἁμαρτίαι σας ποὺ σᾶς χωρίζουν ἀπὸ ἐμένα;»[17]˙ καὶ πάλιν˙ «Αὐτοὶ ποὺ ἀπομακρύνουν τοὺς ἑαυτούς των ἀπὸ σένα θὰ χαθοῦν»[18]˙ ὁ δὲ Ὠσηὲ λέγει˙ «Ἐλησμόνησες τὸν νόμον τοῦ Θεοῦ σου καὶ ἐγὼ θὰ σὲ λησμο-

Τί ἐλάλησεν; «Εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ», καὶ τὰ ἑξῆς. Δόξαν οὖν ἐνταῦθά φησι, τὴν ὄψιν ἐκείνην, τὸν καπνόν, τὸ ἀκοῦσαι μυστηρίων ἀπορρήτων, τὸ ἰδεῖν τὰ Σεραφείμ, τὴν ἀστραπήν, τὴν ἀπὸ τοῦ θρόνου πηδῶσαν, ἣ ἀντιβλέψαι αἱ δυνάμεις οὐκ εἶχον ἐκεῖναι. «Καὶ ἐλάλησε περὶ αὐτοῦ». Τί ἐλάλησεν; Ὅτι ἤκουσε φωνὴν λέγουσαν· «Τίνα ἀποστείλω, καὶ τίς πορεύσεται; Καὶ εἶπον· Ἰδοὺ ἐγώ εἰμι, ἀπόστειλόν με. Καὶ εἶπεν· Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε»· «ἐτύφλωσε γὰρ αὐτῶν τοὺς ὀφθαλμοὺς καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν, μή ποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τῇ καρδίᾳ συνῶσιν».

Ἰδοὺ πάλιν ἕτερον ζήτημα· ἀλλ' οὐκ ἔστιν, ἐὰν ὀρθῶς προσέχωμεν. Ὥσπερ γὰρ ὁ ἥλιος τῶν ἀσθενῶν πλήττει τὰς ὄψεις οὐ παρὰ τὴν οἰκείαν φύσιν, οὕτω καὶ ἐπὶ τῶν μὴ προσεχόντων τοῖς τοῦ Θεοῦ λόγοις γίνεται· οὕτω καὶ ἐπὶ τοῦ Φαραὼ τὴν καρδίαν σκληρῦναι λέγεται· οὕτω καὶ ἐπὶ τῶν φιλονεικούντων τι τοῖς τοῦ Θεοῦ λόγοις γίνεται. Ἰδίωμα δὲ καὶ τοῦτο τῆς Γραφῆς, ὡς καὶ τὸ «παρέδωκεν εἰς ἀδόκιμον νοῦν», καὶ τὸ «ἀπένειμε τοῖς ἔθνεσι», τουτέστι, 'συνεχώρησεν, ἀφῆκεν'· οὐχὶ γὰρ ἐνεργοῦντα αὐτὸν ἐνταῦθα εἰσάγει, ἀλλ' ἐκ τῆς ἑτέρων πονηρίας ταῦτα γινόμενα δείκνυσιν· ὅταν γὰρ ἐγκαταλειφθῶμεν ὑπὸ τοῦ Θεοῦ, παραδιδόμεθα τῷ διαβόλῳ· τῷ διαβόλῳ δὲ παραδοθέντες, μυρία πάσχομεν δεινά. Φοβῶν τοίνυν τὸν ἀκροατήν, φησίν· «Ἐσκλήρυνε», καὶ «παρέδωκεν». Ὅτι γὰρ αὐτὸς οὐ μόνον οὐ παραδίδωσιν, ἀλλ' οὐδὲ ἐγκαταλιμπάνει, ἐὰν μὴ βουληθῶμεν, ἄκουσον τί φησιν· «Οὐχὶ αἱ ἁμαρτίαι ὑμῶν διϊστῶσιν ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν;», καὶ πάλιν· «Οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ, ἀπολοῦνται»· ὁ δὲ Ὠσηέ φησιν· «Ἐπελάθου νόμου Θεοῦ σου, ἐπιλήσομαί σου κἀγώ»· καὶ αὐτὸς δὲ ἐν τοῖς Εὐαγ-

13. Ἡσ. 6, 1.
14. Ἡσ. 6, 8 - 10.
15. Ρωμ. 1, 28.
16. Δευτ. 4, 19.
17. Ἡσ. 59, 2.
18. Ψαλμ. 72, 27.
19. Ὠσ. 4, 6.

αὐτοῦ». Τί εἶπεν; «Εἶδον τὸν Κύριον νὰ κάθεται ἐπάνω εἰς ὑψηλὸν θρόνον»[13], καὶ τὰ ἑξῆς. Δόξαν λοιπὸν ἐδῶ ὀνομάζει ἐκείνην τὴν ὀπτασίαν, τὸν καπνόν, τὸ ὅτι ἤκουσεν ἀνεκδιήγητα μυστήρια, τὸ ὅτι εἶδε τὰ Σεραφίμ, τὴν ἀστραπὴν ποὺ ἐπήγαζεν ἀπὸ τὸν θρόνον καὶ τὴν ὁποίαν δὲν ἠμποροῦσαν αἱ δυνάμεις ἐκεῖνοι νὰ τὴν ἀντικρύσουν. «Καὶ ὡμίλησε περὶ αὐτοῦ». Τί εἶπεν; Ὅτι ἤκουσε φωνὴν ποὺ ἔλεγεν· «Ποῖον ν' ἀποστείλω καὶ ποῖος θὰ ὑπάγῃ; Καὶ εἶπον· Νά, ἐγὼ εἶμαι, στεῖλε ἐμένα. Καὶ εἶπε· Θὰ ἀκούσετε μὲ τὰ αὐτιά σας καὶ δὲν θὰ ἀντιληφθῆτε αὐτὰ ποὺ θ' ἀκούσετε, καὶ θὰ ἰδῆτε μὲ τὰ μάτια σας καὶ θὰ εἶναι ὡσὰν νὰ μὴ τὰ εἴδατε»· διότι «ἐτύφλωσε τοὺς ὀφθαλμούς των καὶ ἐπώρωσε τὴν καρδίαν των, διὰ νὰ μὴ ἰδοῦν κάποτε μὲ τοὺς ὀφθαλμούς των καὶ ἀντιληφθοῦν μὲ τὴν καρδίαν των»[14].

Νὰ πάλιν ἄλλο ζήτημα· ἀλλὰ δὲν ὑπάρχει αὐτό, ἐὰν προσέχωμεν ὅπως πρέπει. Διότι, ὅπως ἀκριβῶς ὁ ἥλιος βλάπτει τὴν ὅρασιν τῶν ἀσθενῶν ὄχι ἐξ αἰτίας τῆς ἰδικῆς του φύσεως, ἔτσι συμβαίνει καὶ μὲ ἐκείνους ποὺ δὲν προσέχουν τοὺς λόγους τοῦ Θεοῦ· ἔτσι καὶ διὰ τὸν Φαραὼ λέγεται ὅτι ἐσκλήρυνε τὴν καρδίαν του· ἔτσι συμβαίνει καὶ μὲ ἐκείνους ποὺ ἀντιμάχονται τὰ λόγια τοῦ Θεοῦ. Εἶναι καὶ αὐτὸ γνώρισμα τῆς Γραφῆς, ὅπως καὶ τὸ «παρέδωσεν αὐτοὺς εἰς ἀνάξιον νοῦν»[15], καὶ τὸ «ἀπένειμε τοῖς ἔθνεσι»[16], δηλαδὴ 'παρεχώρησεν, ἐπέτρεψεν'· δὲν παρουσιάζει δηλαδὴ ἐδῶ τὸν Θεὸν νὰ πράττῃ αὐτά, ἀλλὰ δείχνει ὅτι αὐτὰ συμβαίνουν ἐξ αἰτίας τῆς κακίας τῶν ἄλλων· διότι, ὅταν ἐγκαταλειφθῶμεν ἀπὸ τὸν Θεόν, παραδιδόμεθα εἰς τὸν διάβολον, ὅταν δὲ παραδοθῶμεν εἰς τὸν διάβολον, ὑποφέρομεν ἀμέτρητα κακά. Διὰ νὰ φοβήσῃ λοιπὸν τὸν ἀκροατήν, λέγει· «Ἐσκλήρυνε» καὶ «παρέδωκεν». Διότι, τὸ ὅτι αὐτὸς ὄχι μόνον δὲν μᾶς παραδίδει εἰς τὸν διάβολον, οὔτε μᾶς ἐγκαταλείπει, ἐὰν δὲν θελήσωμεν, ἄκουσε τί λέγει· «Δὲν εἶναι αἱ ἁμαρτίαι σας ποὺ σᾶς χωρίζουν ἀπὸ ἐμένα;»[17]· καὶ πάλιν· «Αὐτοὶ ποὺ ἀπομακρύνουν τοὺς ἑαυτούς των ἀπὸ σένα θὰ χαθοῦν»[18]· ὁ δὲ Ὠσηὲ λέγει· «Ἐλησμόνησες τὸν νόμον τοῦ Θεοῦ σου καὶ ἐγὼ θὰ σὲ λησμονήσω»[19]· καὶ ὁ ἴδιος ὁ Χριστὸς δὲ λέγει εἰς τὰ Εὐαγγέλια·

γελίοις· «Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα ὑμῶν, καὶ οὐκ ἠθελήσατε!»· καὶ ὁ Ἠσαΐας δὲ πάλιν· «Ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος· ἐκάλεσα, καὶ οὐκ ἦν ὁ ὑπακουσόμενος». Ταῦτα δὲ λέγει, δεικνὺς ἡμᾶς ἀρχομένους τῆς ἐγκαταλείψεως, καὶ αἰτίους γινομένους τῆς ἀπωλείας· ὁ γὰρ Θεὸς οὐ μόνον οὐ καταλιπεῖν, οὐδὲ κολάσαι βούλεται, ἀλλά, καὶ ὅτε κολάζει, μὴ θέλων αὐτὸ ποιεῖ· «οὐ βούλομαι» γάρ, φησι, «τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν». Ὁ δὲ Χριστὸς καὶ ἐπὶ τῇ καταστροφῇ Ἱερουσαλὴμ δακρύει, ὃ καὶ ἡμεῖς ἐπὶ φίλων ποιοῦμεν.

3. Ταῦτ' οὖν εἰδότες, πάντα πράττωμεν, ὥστε μὴ ἀφίστασθαι τοῦ Θεοῦ, ἀλλ' ἐχώμεθα τῆς κατὰ ψυχὴν ἐπιμελείας καὶ τῆς πρὸς ἀλλήλους ἀγάπης, καὶ μὴ σπαράττωμεν ἡμῶν τὰ μέλη (τοῦτο γὰρ μαινομένων καὶ ἐξεστηκότων ἐστίν), ἀλλά, ὅσῳ ἂν κακῶς διακειμένους ἴδωμεν, θεραπεύσωμεν μᾶλλον· καὶ γὰρ καὶ ἐν τοῖς σώμασι πολλοὺς πολλάκις ὁρῶμεν δυστράπελα ἔχοντας καὶ ἀνίατα νοσήματα, καὶ οὐ παυόμεθα ἐπιτιθέντες φάρμακα· τί γὰρ ποδαλγίας χεῖρον; τί δὲ χειράγρας; ἆρ' οὖν περικόπτομεν τὰ κῶλα; Οὐδαμῶς· ἀλλὰ πάντα ποιοῦμεν, ὥστε παραμυθίας τινὸς ἀπολαῦσαι, ἐπειδὴ λῦσαι τὸ κακὸν οὐ δυνάμεθα. Τοῦτο καὶ ἐπὶ τῶν ἀδελφῶν ποιῶμεν, καί, ἂν ἀνίατα νοσῶσι, μένωμεν θεραπεύοντες, καὶ βαστάζωμεν ἀλλήλων τὰ βάρη· οὕτω γὰρ πληρώσομεν καὶ τὸν νόμον τοῦ Χριστοῦ, καὶ τευξόμεθα τῶν ἐπηγγελμένων ἀγαθῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

20. Λουκᾶ 13, 34.
21. Ἡσ. 50, 2.
22. Ἰεζ. 18, 23.
23. Χειράγρα: ἀρθρῖτις τῶν χειρῶν.

«Πόσας φορὰς ἠθέλησα νὰ συγκεντρώσω τὰ τέκνα σας καὶ δὲν ἐθελήσατε!»[20]· καὶ ὁ Ἡσαΐας πάλιν· «Ἦλθον καὶ δὲν ὑπῆρχεν ἄνθρωπος· ἐκάλεσα καὶ δὲν ὑπῆρχεν ἐκεῖνος ποὺ θὰ μὲ ἀκούσῃ»[21]. Αὐτὰ δὲ τὰ λέγει, διὰ νὰ δείξῃ ὅτι ἡμεῖς κάμνομεν τὴν ἀρχὴν τῆς ἐγκαταλείψεως καὶ γινόμεθα αἴτιοι τῆς ἀπωλείας μας· διότι ὁ Θεὸς ὄχι μόνον δὲν θέλει νὰ μᾶς ἐγκαταλείψῃ οὔτε νὰ μᾶς τιμωρήσῃ, ἀλλά, καὶ ὅταν μᾶς τιμωρεῖ, τὸ κάμνει αὐτὸ χωρὶς νὰ τὸ θέλῃ· διότι λέγει· «Δὲν θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, διὰ νὰ ἐπιστρέψῃ καὶ νὰ ζήσῃ»[22]. Ὁ δὲ Χριστὸς δακρύζει καὶ διὰ τὴν καταστροφὴν τῆς Ἰερουσαλήμ, πρᾶγμα ποὺ καὶ ἡμεῖς κάμνομεν διὰ φίλους.

3. Γνωρίζοντες λοιπὸν αὐτά, ἂς κάμνωμεν τὰ πάντα, διὰ νὰ μὴ ἀπομακρινώμεθα ἀπὸ τὸν Θεόν, ἀλλὰ νὰ φροντίζωμεν διὰ τὴν ψυχήν μας καὶ τὴν μεταξύ μας ἀγάπην καὶ νὰ μὴ σπαράσσωμεν τὰ μέλη μας (διότι αὐτὸ εἶναι γνώρισμα τῶν μανιακῶν καὶ παραφρόνων), ἀλλ᾽ ὅσον περισσότερον τοὺς βλέπομεν νὰ εὑρίσκωνται μέσα εἰς τὴν κακίαν, τόσον περισσότερον νὰ φροντίζωμεν δι᾽ αὐτούς· καθ᾽ ὅσον καὶ εἰς τὰ σώματα βλέπομεν πολλὲς φορὲς πολλοὺς νὰ ἔχουν ἐπίμονα καὶ ἀθεράπευτα νοσήματα καὶ δὲν παύομεν νὰ ἐπιθέτωμεν φάρμακα· διότι τί ὑπάρχει χειρότερον ἀπὸ τὴν ποδαλγίαν; τί δὲ ἀπὸ τὴν χειράγραν[23]; μήπως λοιπὸν ἀποκόπτομεν τὰ μέλη; καθόλου· ἀλλὰ κάμνομεν τὰ πάντα, ὥστε ν᾽ ἀπολαύσωμεν κάποιαν ἀνακούφισιν, ἐπειδὴ δὲν ἠμποροῦμεν νὰ θεραπεύσωμεν τὸ κακόν. Αὐτὸ ἂς κάμνωμεν καὶ εἰς τὴν περίπτωσιν τῶν ἀδελφῶν μας, καὶ νὰ ἐπιμένωμεν εἰς τὴν θεραπείαν των, καὶ ἂν ἀκόμη πάσχουν ἀπὸ ἀθεράπευτα νοσήματα καὶ νὰ βαστάζωμεν ὁ ἕνας τὰ βάρη τοῦ ἄλλου· διότι ἔτσι θὰ ἐκπληρώσωμεν καὶ τὸν νόμον τοῦ Χριστοῦ καὶ θὰ ἐπιτύχωμεν τὰ ὑποσχεθέντα ἀγαθὰ μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου ἀνήκει εἰς τὸν Πατέρα ἡ δόξα συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΞΘ΄

Ἰω. 12, 42 - 50

«Ὅμως μέντοι καὶ ἐκ τῶν ἀρχόντων πολλοὶ ἐπίστευσαν εἰς αὐτόν· ἀλλὰ διὰ τοὺς Φαρισαίους οὐχ ὡμολόγουν, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται· ἠγάπησαν γὰρ τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον, ἤπερ τὴν δόξαν τοῦ Θεοῦ».

1. Πάντα μὲν φεύγειν ὁμοίως ἡμῖν ἀναγκαῖον τὰ τὴν ψυχὴν διαφθείροντα πάθη, πολλῷ δὲ πλέον ἐκεῖνα τὰ πολλὰ καὶ ἐξ αὐτῶν τίκτοντα ἁμαρτήματα· οἷόν τι λέγω, ἡ φιλαργυρία. Ἔστι μὲν οὖν καθ' ἑαυτὸ δεινὸν τὸ νόσημα, πολλῷ δὲ γίνεται χαλεπώτερον, ὅτι ῥίζα καὶ μήτηρ ἐστὶ πάντων τῶν κακῶν. Τοιοῦτον καὶ ἡ κενοδοξία. Ἰδοὺ γοῦν καὶ οὗτοι τῆς πίστεως διὰ τὸν τῆς δόξης ἀπερράγησαν ἔρωτα· «πολλοὶ» γάρ, φησίν, «καὶ ἐκ τῶν ἀρχόντων ἐπίστευσαν εἰς αὐτόν· διὰ δὲ τοὺς Φαρισαίους οὐχ ὡμολόγουν, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται». Ὅπερ οὖν καὶ αὐτοῖς ἄνωθεν ἔλεγε· «Πῶς δύνασθε πιστεύειν, δόξαν παρ' ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες;». Οὐκ ἄρα ἄρχοντες ἦσαν, ἀλλὰ δοῦλοι δουλείαν τὴν ἐσχάτην. Πλὴν ἀλλὰ καὶ οὗτος ὕστερον ἐλύθη ὁ φόβος· οὐδαμοῦ γὰρ ἐπὶ τῶν ἀποστόλων ὁρῶμεν τούτῳ κατεχομένους τῷ πάθει· καὶ γὰρ ἄρχοντες ἐπ' ἐκείνων ἐπίστευσαν καὶ ἱερεῖς· ἡ γὰρ τοῦ Πνεύματος χάρις ἐλθοῦσα πάντας αὐτοὺς ἀδάμαντος ἐποίησε στερροτέρους. Ἐπεὶ οὖν τοῦτο ἦν τὸ κωλῦον αὐτοὺς πιστεῦσαι

---

1. Ἰω. 5, 44.

ΟΜΙΛΙΑ ΞΘ΄

Ἰω. 12, 42 - 50

«Ἀλλ' ὅμως πολλοὶ καὶ ἀπὸ τοὺς ἄρχοντας ἐπίστευσαν εἰς αὐτόν, ἀλλὰ ἐξ αἰτίας τῶν Φαρισαίων δὲν τὸ ὡμολογοῦσαν, διὰ νὰ μὴ ἐκδιωχθοῦν ἀπὸ τὴν συναγωγήν· διότι ἠγάπησαν τὴν δόξαν μᾶλλον τῶν ἀνθρώπων, παρὰ τὴν δόξαν τοῦ Θεοῦ».

1. Πρέπει ν' ἀποφεύγωμεν μὲν ἐξ ἴσου ὅλα τὰ πάθη ποὺ καταστρέφουν τὴν ψυχήν, πολὺ περισσότερον ὅμως ἐκεῖνα ποὺ τὰ ἴδια γεννοῦν πολλὰ ἁμαρτήματα, ὅπως ἐπὶ παραδείγματι ἡ φιλαργυρία. Αὐτὸ τὸ νόσημα αὐτὸ καθ' ἑαυτὸ εἶναι φοβερόν, γίνεται ὅμως πολὺ φοβερώτερον, διότι εἶναι ρίζα καὶ μητέρα ὅλων τῶν κακῶν. Τέτοιο πάθος εἶναι καὶ ἡ κενοδοξία. Νὰ λοιπὸν καὶ αὐτοὶ ἀπεκόπησαν ἀπὸ τὴν πίστιν ἐξ αἰτίας τῆς ἀγάπης των διὰ τὴν δόξαν ἐκ μέρους τῶν ἀνθρώπων· διότι λέγει· «Πολλοὶ καὶ ἀπὸ τοὺς ἄρχοντας ἐπίστευσαν εἰς αὐτόν, ἐξ αἰτίας ὅμως τῶν Φαρισαίων δὲν τὸ ὡμολογοῦσαν, διὰ νὰ μᾶς ἐκδιωχθοῦν ἀπὸ τὴν συναγωγήν». Πρᾶγμα βέβαια ποὺ καὶ προηγουμένως ἔλεγεν εἰς αὐτούς· «Πῶς ἠμπορεῖτε σεῖς νὰ πιστεύετε, ἀφοῦ δέχεσθε τιμὰς ὁ ἕνας ἀπὸ τὸν ἄλλον, καὶ δὲν ζητεῖτε τὴν τιμὴν ποὺ προέρχεται μόνον ἀπὸ τὸν Θεόν;»[1]. Ἐπομένως δὲν ἦσαν ἄρχοντες, ἀλλὰ δοῦλοι τῆς πιὸ χειροτέρας μορφῆς δουλείας. Πλὴν ὅμως καὶ αὐτὸς ὁ φόβος ἀργότερον ἐξέλιπε· διότι εἰς καμμίαν περίπτωσιν ἐπὶ τῶν ἡμερῶν τῶν Ἀποστόλων βλέπομεν νὰ κατέχωνται ἀπὸ αὐτὸ τὸ πάθος· καθ' ὅσον εἰς τὴν περίπτωσιν ἐκείνην ἐπίστευσαν καὶ ἄρχοντες καὶ ἱερεῖς· διότι ἀφοῦ ἦλθεν ἡ χάρις τοῦ Πνεύματος, ὅλους αὐτοὺς τοὺς ἔκαμε ἰσχυροτέρους καὶ ἀπὸ τὸν ἀδάμαντα. Ἐπειδὴ λοιπὸν αὐτὸ

τότε, ἄκουσον τί φησιν· «Ὁ πιστεύων εἰς ἐμὲ οὐ πιστεύει εἰς ἐμέ, ἀλλ' εἰς τὸν πέμψαντά με»· ὡσανεὶ ἔλεγε· 'Τί δεδοίκατε πιστεῦσαι εἰς ἐμέ; εἰς τὸν Θεὸν ἡ πίστις διαβαίνει δι' ἐμοῦ, ὥσπερ οὖν καὶ ἡ ἀπιστία'.

Ὅρα πῶς διὰ πάντων τὸ ἀπαράλλακτον δείκνυσι τῆς οὐσίας. Καὶ οὐκ εἶπεν, "Ὁ πιστεύων ἐμοί", ἵνα μή τις εἴπῃ ὅτι τῶν ῥημάτων ἕνεκεν ἔλεγεν, ὃ καὶ ἐπ' ἀνθρώπων δυνατὸν ἦν εἰπεῖν· ὁ γὰρ τοῖς ἀποστόλοις πιστεύων οὐκ αὐτοῖς πιστεύει, ἀλλὰ τῷ Θεῷ. Ἀλλά, ἵνα μάθῃς ὅτι περὶ τῆς εἰς τὴν οὐσίαν πίστεως αὐτοῦ φησιν, οὐκ εἶπεν, "Ὁ πιστεύων μου τοῖς ῥήμασιν", ἀλλ' «ὁ πιστεύων εἰς ἐμέ». Καὶ διὰ τί μηδαμοῦ, φησίν, εἶπεν ἀντιστρόφως· "Ὁ πιστεύων εἰς τὸν Πατέρα, οὐκ εἰς τὸν Πατέρα πιστεύει, ἀλλ' εἰς ἐμέ"; Ὅτι εἶπον ἄν· "Ἰδοὺ ἡμεῖς πιστεύομεν εἰς τὸν Πατέρα, καὶ εἰς σὲ οὐ πιστεύομεν"· καὶ γὰρ ἀσθενέστερον ἔτι διέκειντο. Τοῖς γοῦν μαθηταῖς διαλεγόμενος οὕτως εἶπεν· «Πιστεύετε εἰς τὸν Θεόν, καὶ εἰς ἐμὲ πιστεύετε»· τούτους δέ, ἀσθενεστέρους ὁρῶν τοῦ τοιαῦτα ἀκοῦσαι ῥήματα, ἄλλως ἐνάγει. Δείκνυσιν οὖν ὅτι οὐκ ἔστι πιστεῦσαι τῷ Πατρί, μὴ πιστεύσαντας εἰς αὐτόν. Καὶ ἵνα μὴ νομίσῃς ὅτι ὡς ἐπ' ἀνθρώπου εἴρηται, ἐπάγει· «Ὁ θεωρῶν ἐμὲ θεωρεῖ τὸν πέμψαντά με».

Τί οὖν; σῶμά ἐστιν ὁ Θεός; Οὐδαμῶς· θεωρίαν γὰρ τὴν τοῦ νοῦ φησιν ἐνταῦθα, καὶ ἐντεῦθεν τὸ ὁμοούσιον δηλῶν. Καὶ τί ἐστιν, «Ὁ πιστεύων εἰς ἐμέ»; Ὡς ἂν εἴποι τις· "Ὁ τοῦ ποταμοῦ ἀναιρούμενος ὕδωρ οὐ τὸ τοῦ ποταμοῦ, ἀλλὰ τὸ γῆς πηγῆς λαμβάνει"· μᾶλλον δὲ καὶ αὕτη ἔτι ἀσθενεστέρα ἡ εἰκὼν πρὸς τὸ προκείμενον. «Ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα». Ἐπειδὴ γὰρ ὁ Πατὴρ τούτῳ καλεῖται πανταχοῦ ἐν τῇ Παλαιᾷ καὶ ἐν τῇ Καινῇ, καὶ αὐτῷ κέχρηται τῷ ὀνόματι· διὰ τοῦτο καὶ Παῦλος ἀπαύγασμα αὐ-

2. Ἰω. 14, 1.

ἦτο ἐκεῖνο ποὺ τοὺς ἠμπόδιζε νὰ πιστεύσουν τότε, ἄκουσε τί λέγει· «Ἐκεῖνος ποὺ πιστεύει εἰς ἐμένα, δὲν πιστεύει εἰς ἐμένα, ἀλλ' εἰς ἐκεῖνον ποὺ μὲ ἔστειλεν»· ὡσὰν δηλαδὴ νὰ ἔλεγε· 'Διατί φοβεῖσθε νὰ πιστεύσετε εἰς ἐμένα; ἡ πίστις δι' ἐμοῦ μεταβαίνει εἰς τὸν Θεὸν ὅπως ἀκριβῶς βέβαια καὶ ἡ ἀπιστία'.

Πρόσεχε πῶς μὲ ὅλα δείχνει τὸ ἀπαράλλακτον τῆς οὐσίας. Καὶ δὲν εἶπεν, ''Ἐκεῖνος ποὺ πιστεύει εἰς ἐμένα', διὰ νὰ μὴ εἰπῇ κανείς, ὅτι τὸ ἔλεγεν αὐτὸ ὅσον ἀφορᾷ τοὺς λόγους του, πρᾶγμα ποὺ καὶ διὰ τοὺς ἀνθρώπους ἠμποροῦσε κανεὶς νὰ τὸ εἰπῇ· διότι ἐκεῖνος ποὺ πιστεύει εἰς τοὺς Ἀποστόλους, δὲν πιστεύει εἰς αὐτούς, ἀλλὰ εἰς τὸν Θεόν. Ὅμως διὰ νὰ μάθῃς ὅτι ὁμιλεῖ περὶ τῆς πίστεως εἰς τὴν οὐσίαν αὐτοῦ, δὲν εἶπεν, «Ἐκεῖνος ποὺ πιστεύει εἰς τὰ λόγια μου', ἀλλὰ «Ἐκεῖνος ποὺ πιστεύει εἰς ἐμένα». Καὶ διατί πουθενά, λέγει, δὲν εἶπε τὸ ἀντίθετον, «Ἐκεῖνος ποὺ πιστεύει εἰς τὸν Πατέρα, δὲν πιστεύει εἰς τὸν Πατέρα, ἀλλ' εἰς ἐμένα'; Διότι θὰ ἠμποροῦσαν νὰ τοῦ εἰποῦν· 'Νά, ἡμεῖς πιστεύομεν εἰς τὸν Πατέρα, καὶ δὲν πιστεύομεν εἰς ἐσένα'. καθ' ὅσον ἀκόμη ἦσαν πνευματικὰ πολὺ ἀδύνατοι. Ὁμιλῶν βέβαια εἰς τοὺς μαθητὰς ἔλεγε τὸ ἑξῆς· «Πιστεύετε εἰς τὸν Θεόν, καὶ εἰς ἐμένα πιστεύετε»[2]· αὐτοὺς ὅμως, βλέπων νὰ εἶναι ἀσθενέστεροι ν' ἀκούσουν τέτοια λόγια, τοὺς διδάσκει μὲ ἄλλον τρόπον· «Ἐκεῖνος ποὺ βλέπει ἐμένα, βλέπει ἐκεῖνον ποὺ μὲ ἔστειλεν».

Τί λοιπόν; Ὁ Θεὸς εἶναι σῶμα; Καθόλου· διότι ἐδῶ ἐννοεῖ τὴν θεωρίαν διὰ τοῦ νοῦ καὶ δείχνει μὲ αὐτὸ τὸ ὁμοούσιον. Καὶ τί σημαίνει, «Ἐκεῖνος ποὺ πιστεύει εἰς ἐμένα»; Ὡς ἐὰν κάποιος ἔλεγεν· ''Ἐκεῖνος ποὺ λαμβάνει νερὸ ἀπὸ τὸν ποταμόν, δὲν λαμβάνει τὸ νερὸ τοῦ ποταμοῦ, ἀλλὰ τὸ νερὸ τῆς πηγῆς'' μᾶλλον δὲ καὶ αὐτὴ ἀκόμη ἡ εἰκὼν ὑπολείπεται κατὰ πολὺ ἀπὸ τὴν προκειμένην περίπτωσιν. «Ἐγὼ ἦλθα ὡσὰν φῶς εἰς τὸν κόσμον». Ἐπειδὴ δηλαδὴ ἔτσι ὀνομάζεται ὁ Πατὴρ παντοῦ καὶ εἰς τὴν Παλαιὰν καὶ εἰς τὴν Καινὴν Διαθήκην, χρησιμοποιεῖ καὶ αὐτὸ τὸ ὄνομα· διὰ τοῦτο καὶ ὁ Παῦλος τὸν ἀποκαλεῖ ἀπαύγα-

τὸν καλεῖ, ἐντεῦθεν μαθών. Καὶ πολλὴν δείκνυσιν ἐνταῦθα τὴν πρὸς τὸν Πατέρα συγγένειαν, καὶ οὐδὲν τὸ μέσον, εἴ γε τὴν εἰς αὐτὸν πίστιν μὴ εἰς αὐτόν, ἀλλ' εἰς ἐκεῖνον διαβαίνειν φησί. Φῶς δὲ ἑαυτὸν ἐκάλεσε διὰ τὸ τῆς πλάνης ἀπαλλάττειν, καὶ τὸ νοητὸν λύειν σκότος. «Ἐάν τίς μου μὴ ἀκούσῃ, ἐγὼ οὐ κρίνω αὐτόν· οὐ γὰρ ἦλθον, ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον». Ἵνα γὰρ μὴ νομίσωσιν ὅτι δι' ἀσθένειαν τοὺς καταφρονοῦντας παρέδραμε, διὰ τοῦτο εἶπε τὸ «οὐκ ἦλθον, ἵνα κρίνω τὸν κόσμον».

2. Εἶτα, ἵνα μὴ ῥαθυμότεροι ταύτῃ γένωνται, μαθόντες ὅτι ὁ πιστεύων σώζεται, ὁ δὲ ἀπιστῶν κολάζεται, ὅρα πῶς αὐτοῖς καὶ φοβερὸν ἐπέστησε δικαστήριον, ἐπάγων καὶ λέγων· «Ὁ ἐμὲ ἀθετῶν, καὶ μὴ λαμβάνων τὰ ῥήματά μου ἔχει τὸν κρίνοντα αὐτόν». Εἰ ὁ Πατὴρ οὐδένα κρίνει, καὶ σὺ οὐκ ἦλθες, ἵνα κρίνῃς τὸν κόσμον, τίς αὐτὸν κρινεῖ; «Ὁ λόγος, ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτόν». Ἐπειδὴ γὰρ ἔλεγον ὅτι οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, οὕτως εἶπε, δεικνὺς ὅτι οὐ τότε δυνήσονται ταῦτα λέγειν, ἀλλὰ 'τὰ ῥήματα, ἃ ἐλάλησα νῦν, ἐν τάξει στήσεται κατηγόρου, ἐλέγχοντα αὐτούς, καὶ πᾶσαν διακόπτοντα ἀπολογίαν'. «Καὶ ὁ λόγος, ὃν ἐλάλησα». Ποῖος λόγος; «Ὅτι ἀπ' ἐμαυτοῦ οὐ ἐλάλησα, ὅτι ὁ πέμψας με Πατήρ, ἐκεῖνός μοι ἔδωκεν ἐντολήν, τί εἴπω καὶ τί λαλήσω»· καὶ ὅσα τοιαῦτα ἕτερα. Ἄρα ταῦτα δι' αὐτοὺς οὕτως ἐλέγετο, ἵνα μηδεμίαν ἔχωσιν ἀπολογίας πρόφασιν. Ἐπεί, εἰ μὴ τοῦτο ἦν, τί Ἠσαΐου πλέον ἕξει; καὶ γὰρ ἐκεῖνος τὸ αὐτὸ τοῦτό φησι· «Κύριος δίδωσί μοι γλῶσσαν παιδείας, τοῦ γνῶναι ἡνίκα δεῖ εἰπεῖν λόγον»· τί δὲ Ἱερεμίου; καὶ γὰρ ἐκεῖνος, ὅτε ἐπέμπετο, ἐνεπνεῖτο· τί δὲ Ἰεζεκιήλ;

3. Ἑβρ. 1, 3.
4. Ἠσ. 50, 4.

σμα[3], διδαχθείς αὐτὸ ἀπὸ ἐδῶ. Καὶ δείχνει ἐδῶ πολλὴν συγγένειαν πρὸς τὸν Πατέρα, καὶ ὅτι δὲν παρεμβάλλεται τίποτε μεταξύ των, ἐφ᾽ ὅσον βέβαια ἡ πίστις εἰς αὐτὸν μεταβαίνει, λέγει, ὄχι εἰς αὐτόν, ἀλλ᾽ εἰς ἐκεῖνον. Ὠνόμασε δὲ τὸν ἑαυτόν του φῶς ἐπειδὴ ἀπαλλάσσει ἀπὸ τὴν πλάνην καὶ διαλύει τὸ νοητὸν σκότος. «Ἐὰν κάποιος δὲν ἀκούσῃ τοὺς λόγους μου, ἐγὼ δὲν τὸν καταδικάζω˙ διότι δὲν ἦλθον διὰ νὰ καταδικάσω τὸν κόσμον, ἀλλὰ διὰ νὰ σώσω τὸν κόσμον». Διότι, διὰ νὰ μὴ νομίσουν, ὅτι ἀντιπαρῆλθεν ἐκείνους ποὺ τὸν ἐπεριφρονοῦσαν ἀπὸ ἀδυναμίαν, διὰ τοῦτο εἶπε τὸ «Δὲν ἦλθον διὰ νὰ καταδικάσω τὸν κόσμον».

2. Ἔπειτα, διὰ νὰ μὴ γίνουν ἔτσι ραθυμότεροι, ὅταν μάθουν ὅτι ἐκεῖνος ποὺ πιστεύει σώζεται, ἐνῷ ἐκεῖνος ποὺ δὲν πιστεύει τιμωρεῖται, πρόσεχε πῶς παρουσίασεν εἰς αὐτοὺς καὶ φοβερὸν δικαστήριον, προσθέτων καὶ λέγων˙ «Ἐκεῖνος ποὺ μὲ ἀπορρίπτει καὶ δὲν δέχεται τὰ λόγια μου, ἔχει ἐκεῖνον ποὺ θὰ τὸν κρίνῃ». Ἐὰν ὁ Πατὴρ δὲν κρίνῃ κανένα καὶ σὺ δὲν ἦλθες διὰ νὰ κρίνῃς τὸν κόσμον, ποῖος θὰ τὸν κρίνῃ; «Οἱ λόγοι ποὺ εἶπα, ἐκεῖνοι θὰ κρίνουν αὐτόν». Ἐπειδὴ δηλαδὴ ἔλεγον ὅτι δὲν εἶναι ἐκ τοῦ Θεοῦ, ὡμίλησεν ἔτσι, διὰ νὰ δείξῃ ὅτι τότε δὲν θὰ ἠμπορέσουν νὰ τὰ λέγουν αὐτά, ἀλλὰ τὰ λόγια ποὺ εἶπα τώρα, θὰ πάρουν τὴν θέσιν τοῦ κατηγόρου, καὶ θὰ ἐλέγξουν αὐτοὺς καὶ θ᾽ ἀφαιρέσουν κάθε δικαιολογίαν˙. «Καὶ ὁ λόγος ποὺ εἶπα τώρα». Ποῖος λόγος; «Διότι ἐγὼ δὲν ὡμίλησα ἀπὸ τὸν ἑαυτόν μου, ἀλλ᾽ ὁ Πατήρ μου ποὺ μὲ ἀπέστειλεν, ἐκεῖνος μοῦ ἔδωσεν ἐντολὴν τί νὰ εἰπῶ καὶ πῶς νὰ ὁμιλήσω», καὶ ὅλα τὰ ἄλλα τὰ παρόμοια. Ἐπομένως αὐτὰ ἐλέγοντο δι᾽ αὐτοὺς ἔτσι, διὰ νὰ μὴ ἔχουν καμμίαν πρόφασιν ἀπολογίας. Διότι, ἐὰν δὲν συνέβαινεν αὐτό, τί περισσότερον θὰ ἔχῃ ἀπὸ τὸν Ἠσαΐαν; καθ᾽ ὅσον καὶ ἐκεῖνος τὸ ἴδιο λέγει˙ «Ὁ Κύριος παιδεύει τὴν γλῶσσαν μου, διὰ νὰ γνωρίζῃ τί πρέπει νὰ εἰπῇ»[4]˙ τί δὲ ἀπὸ τὸν Ἱερεμίαν; καθ᾽ ὅσον καὶ ἐκεῖνος, ὅταν ἐστέλλετο, ἐνεπνέετο ἀπὸ τὸν Θεόν˙ τί δὲ ἀπὸ τὸν Ἰεζεκιήλ; καθ᾽ ὅσον καὶ αὐτός, ὅταν

καὶ γὰρ καὶ οὗτος, τὴν κεφαλίδα καταφαγών, οὕτως ἐφθέγγετο. Ἄλλως δέ, εὑρεθήσονται οἱ μέλλοντες ἀκούειν ὅπερ ἔλεγεν, αἴτιοι τῆς γνώσεως ὄντες αὐτῷ· εἰ γάρ, ὅτε ἐπέμπετο, ἐντολὴν τότε ἔλαβε τί εἴπῃ, λοιπὸν ἐρεῖς ὅτι καὶ πρὶν ἢ πεμφθῆναι οὐκ ᾔδει. Καὶ τί τούτων ἀσεβέστερον τῶν ῥημάτων, εἰ οὕτως αὐτά τις δέχοιτο, καὶ μὴ καταμανθάνοι τῆς ταπεινότητος αὐτῶν τὴν αἰτίαν; Ἀλλ' ὁ μὲν Παῦλός φησι καὶ αὐτὸς εἰδέναι καὶ τοὺς μαθητευομένους «τί τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον», ὁ δὲ Υἱὸς οὐκ ἠπίστατο, ἕως ἐντολὴν ἔλαβε; καὶ πῶς ἂν ἔχοι λόγον τοῦτο;

Ὁρᾷς ὅτι διὰ τοῦτο εἰς ὑπερβολὴν ταπεινότητος τὰ λεγόμενα ἄγει, ἵνα κἀκείνους ἐπισπάσηται, καὶ τοὺς μετὰ ταῦτα ἐπιστομίσῃ; Διὰ γοῦν τοῦτο ἀνθρώπινα φθέγγεται ῥήματα, ἵνα κἂν οὕτως ἀναγκάσῃ φυγεῖν τὸ εὐτελὲς τῶν λεχθέντων, συνειδότας ὅτι οὐ τῆς φύσεώς ἐστι τὰ λεγόμενα, ἀλλὰ τῆς τῶν ἀκουόντων ἀσθενείας. «Καὶ οἶδα ὅτι ἡ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστιν. Ἃ οὖν λαλῶ, καθὼς ἐνετείλατό μοι ὁ Πατήρ μου, οὕτω λαλῶ». Ὁρᾷς τὸ ταπεινὸν τῶν εἰρημένων; ὁ γὰρ ἐντολὴν λαβὼν οὐκ ἔστιν ἑαυτοῦ κύριος· καίτοι γε αὐτός φησιν· «Ὥσπερ γὰρ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ». Εἶτα ἐγεῖραι μὲν οὓς θέλειν ἐξουσίαν ἔχει, εἰπεῖν δὲ ὃ βούλεται οὐκ ἔχει; Ὃ οὖν θέλει εἰπεῖν διὰ τοῦ εἰρημένου, τοῦτό ἐστιν· ὅτι οὐκ ἔχει φύσιν τὸ πρᾶγμα ἕτερα μὲν ἐκεῖνον λέγειν ἕτερα δὲ ἐμὲ φθέγγεσθαι. «Καὶ οἶδα ὅτι ἡ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστι». Πρὸς ἐκείνους, τοὺς πλάνον αὐτὸν λέγοντας καὶ ἐπὶ λύμῃ παραγεγονέναι, τοῦτο εἶπεν. Ὅταν δὲ λέγῃ, «Ἐγὼ οὐ κρίνω», μὴ εἶναι τῆς ἀπωλείας τῶν τοιούτων ἑαυτὸν δείκνυσιν αἴτιον· διὰ γὰρ τούτων μονονουχὶ δια-

5. Ἰεζ. 3, 1.
6. Ρωμ. 12, 2.
7. Ἰω. 5, 21.

κατέφαγε τὴν κεφαλίδα τοῦ βιβλίου, τὸ ἴδιο ἔλεγεν[5]. Ἄλλως τε δέ, θὰ εὑρεθοῦν ἐκεῖνοι ποὺ πρόκειται νὰ ἀκούσουν ἐκεῖνο ποὺ ἔλεγεν, ὅτι εἶναι ὑπεύθυνοι ἀπέναντί του ἐπειδὴ τὰ ἐγνώριζον· διότι, ἐὰν ὅταν ἐστέλλετο τότε ἔλαβεν ἐντολὴν τί νὰ εἰπῇ, τότε πλέον θὰ εἰπῇς ὅτι πρὶν ἀποσταλῇ δὲν ἐγνώριζε τί νὰ εἰπῇ. Καὶ τί θὰ ὑπῆρχεν ἀσεβέστερον ἀπὸ αὐτὰ τὰ λόγια, ἐὰν κανεὶς τὰ ἐδέχετο αὐτὰ ἔτσι καὶ δὲν ἐμάθαινε τὴν αἰτίαν διὰ τὴν ὁποίαν ἐλέχθησαν αὐτὰ μὲ ταπεινὰς ἐκφράσεις. Ἀλλ' ὁ μὲν Παῦλος λέγει ὅτι καὶ ὁ ἴδιος γνωρίζει καὶ οἱ μαθητευόμενοι «ποῖον τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον»[6], ὁ δὲ Υἱὸς δὲν τὸ ἐγνώριζε, μέχρις ὅτου ἔλαβεν ἐντολήν; καὶ πῶς θὰ ἠμποροῦσεν αὐτὸ νὰ δικαιολογηθῇ;

Βλέπεις ὅτι διὰ τοῦτο κάνει χρῆσιν ὑπερβολικὴν ταπεινῶν λόγων, καὶ διὰ νὰ προσελκύσῃ ἐκείνους καὶ διὰ νὰ ἀποστομώσῃ τοὺς μετέπειτα; Διὰ τοῦτο λοιπὸν λέγει ἀνθρώπινα λόγια, διὰ νὰ τοὺς ἀναγκάσῃ ἔστω καὶ ἔτσι νὰ ἀποφύγουν τὸ εὐτελὲς τῶν λόγων, γνωρίζοντες ὅτι ἡ ταπεινότης τῶν λόγων του δὲν ὀφείλεται εἰς τὴν φύσιν των, ἀλλὰ εἰς τὴν ἀδυναμίαν τῶν ἀκροατῶν. «Καὶ γνωρίζω ὅτι ἡ ἐντολὴ αὐτοῦ εἶναι ζωὴ αἰώνιος. Αὐτὰ λοιπὸν ποὺ λέγω, τὰ λέγω ὅπως μοῦ ἔδωσεν ἐντολὴν ὁ Πατήρ». Βλέπεις τὸ ταπεινὸν τῶν λόγων του; διότι ἐκεῖνος ποὺ ἔλαβεν ἐντολὴν δὲν εἶναι κύριος τοῦ ἑαυτοῦ του· μολονότι βέβαια αὐτὸς εἶναι· «Διότι, ὅπως ἀκριβῶς ὁ Πατὴρ ἀνασταίνει τοὺς νεκροὺς καὶ τοὺς ζωοποιεῖ, ἔτσι καὶ ὁ Υἱὸς ζωοποιεῖ ἐκείνους ποὺ θέλει»[7]. Ὥστε λοιπὸν τὸ ν' ἀναστήσῃ μὲν ἐκείνους ποὺ θέλει ἔχει τὴν δύναμιν, τὸ νὰ εἰπῇ δὲ αὐτὸ ποὺ θέλει δὲν ἔχει; Ἐκεῖνο ποὺ θέλει νὰ εἰπῇ μὲ αὐτὰ τὰ λόγια εἶναι τὸ ἑξῆς· ὅτι δηλαδὴ δὲν εἶναι φυσικὸν πρᾶγμα, ἄλλα μὲν ἐκεῖνος νὰ λέγῃ καὶ ἄλλα ἐγὼ νὰ διδάσκω. «Καὶ γνωρίζω ὅτι ἡ ἐντολή του εἶναι ζωὴ αἰώνιος». Αὐτὸ τὸ εἶπε πρὸς ἐκείνους ποὺ τὸν ἀποκαλοῦσαν πλάνον καὶ ὅτι ἦλθε διὰ καταστροφήν. Ὅταν δὲ λέγῃ, «Ἐγὼ δὲν κρίνω», φανερώνει μὲ αὐτὸ ὅτι αὐτὸς δὲν εἶναι αἴτιος τῆς ἀπωλείας τῶν ἀνθρώπων αὐτοῦ τοῦ εἴδους· μὲ αὐτὰ δηλαδὴ

μαρτύρεται, μέλλων ἀφίστασθαι αὐτῶν καὶ μηκέτι συγγίνεσθαι, ὅτι οὐδὲν ἐγὼ ὡς ἴδιον φθεγγόμενος διελέχθην ὑμῖν, ἀλλὰ πάντα ὡς παρὰ τοῦ Πατρός. Καὶ διὰ τοῦτο εἰς τὰ ταπεινὰ τὸν λόγον πρὸς αὐτοὺς κατέκλεισεν, ἵνα εἴπῃ ὅτι ἕως τέλους ταύτην πρὸς αὐτοὺς ὑστέραν ἀφῆκα φωνήν». Ποίαν δὴ ταύτην; «Καθὼς εἴρηκέ μοι ὁ Πατήρ, οὕτω λαλῶ». Εἰ δὲ ἀντίθεος ἤμην, τοὐναντίον ἂν εἶπον, ὅτι οὐδὲν τῶν τῷ Θεῷ δοκούντων λέγω, ὥστε εἰς ἐμαυτὸν περιστῆσαι τὴν δόξαν· νυνὶ δὲ τοσοῦτον εἰς αὐτὸν πάντα ἀνήγαγον, ὡς μηδὲν ἐμὸν φῆσαι. Τίνος οὖν ἕνεκεν οὐ πιστεύετέ μοι, λέγοντι ὅτι ἐντολὴν ἔλαβον, καὶ οὕτω σφοδρῶς ἀναιροῦντι τὴν πονηρὰν ὑμῶν ὑπόνοιαν τὴν τῆς ἀντιστάσεως; Ὥσπερ γὰρ τοὺς ἐντολὴν δεχομένους ἀδύνατον ἄλλο τι ποιεῖν ἢ λέγειν, ἢ ὅσα οἱ πέμψαντες βούλονται, ἕως ἂν ἐντολὴν πληρῶσι καὶ μὴ παραχαράττωσιν, οὕτως οὐδὲ ἐμὲ ἄλλο τι πρᾶξαι ἢ εἰπεῖν δυνατόν, ἀλλ' ἤ, ἅπερ ὁ Πατὴρ βούλεται· «ἃ γὰρ ἐγὼ ποιῶ, ἐκεῖνος ποιεῖ, ὅτι μετ' ἐμοῦ ἐστι, καὶ οὐκ ἀφῆκέ με μόνον ὁ Πατήρ».

Ὁρᾷς πῶς πανταχοῦ δείκνυσι συνημμένον τῷ γεγεννηκότι, καὶ οὐδὲν μέσον ὄν; καὶ γάρ, ὅταν λέγῃ, «Ἀπ' ἐμαυτοῦ οὐκ ἐλάλησα», οὐ τὴν ἐξουσίαν ἀφαιρούμενος λέγει, ἀλλὰ τὸ ἀλλότριον καὶ ἐναντίον ἀναιρῶν· εἰ γὰρ ἄνθρωποι κύριοι ἑαυτῶν, πολλῷ μᾶλλον ὁ Μονογενὴς Υἱός. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, ἄκουσον τί φησιν ὁ Παῦλος; «Ἐκένωσεν ἑαυτόν», καὶ παρέδωκεν ὑπὲρ ἡμῶν». Ἀλλά, ὅπερ ἔφην, δεινὸν ἡ κενοδοξία, δεινόν· αὕτη γὰρ καὶ ἐκείνους μὴ πιστεύειν, καὶ ἑτέρους κακῶς πιστεύειν παρεσκεύασε, καί, ἃ δι' ἐκείνους ἐλέγετο φιλανθρωπίας ἕνεκεν, ταῦτα εἰς ἀσέβειαν ἐκλαβεῖν.

8. Ἰω. 8, 28 - 29.
9. Φιλ. 2, 7.
10. Ἐφ. 5, 2.

τὰ λόγια εἶναι ὡσὰν νὰ διαμαρτύρεται, τὴν στιγμὴν ποὺ πρόκειται νὰ φύγῃ ἀπὸ κοντά των καὶ νὰ μὴ τοὺς συναναστρέφεται πλέον, διότι ὁμιλῶν πρὸς ἐσᾶς δὲν σᾶς εἶπα τίποτε ἰδικόν μου, ἀλλὰ ὅλα εἶναι λόγια τοῦ Πατρός μου. Καὶ διὰ τοῦτο ἐτελείωσε τὸν λόγον του πρὸς αὐτοὺς μὲ ταπεινὰ λόγια, διὰ νὰ εἰπῇ, ὅτι μέχρι τέλους αὐτὴν τὴν ἐσχάτην φωνὴν ἄφησα πρὸς αὐτούς. Ποία λοιπὸν εἶναι αὐτή; «Ἐκεῖνα ποὺ εἶπεν ὁ Πατήρ μου εἰς ἐμένα, ἐκεῖνα ἀκριβῶς λέγω». Ἐὰν δὲ ἤμουν ἀντίθεος, θὰ ἔλεγον τὸ ἀντίθετον, διότι δὲν λέγω τίποτε ἀπὸ ἐκεῖνα ποὺ ἀρέσουν εἰς τὸν Θεόν, διὰ νὰ ἀποσπάσω τὴν δόξαν διὰ τὸν ἑαυτόν μου. Διὰ ποῖον λόγον λοιπὸν δὲν μὲ πιστεύετε ποὺ λέγω ὅτι ἔλαβον ἐντολὴν καὶ μὲ τόσον ὑπερβολικὸν τρόπον ἀναιρῶ τὴν γνώμην σας περὶ ἀντιθέσεώς μου μὲ τὸν Πατέρα; Διότι, ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ δέχονται μίαν ἐντολὴν εἶναι ἀδύνατον νὰ κάμουν ἢ νὰ εἰποῦν κάτι ἄλλο ἀπὸ ἐκεῖνα ποὺ θέλουν ἐκεῖνοι ποὺ τοὺς ἀπέστειλαν, μέχρις ὅτου νὰ ἐκπληρώσουν τὴν ἐντολὴν χωρὶς νὰ διαστρέψουν αὐτήν, ἔτσι καὶ ἐγὼ δὲν εἶναι δυνατὸν νὰ πράξω ἢ νὰ εἰπῶ κάτι ἄλλο, παρὰ μόνον αὐτὰ ποὺ θέλει ὁ Πατήρ· «διότι αὐτὰ ποὺ ἐγὼ κάμνω, ἐκεῖνος τὰ κάμνει, διότι εἶναι μαζί μου καὶ δὲν μὲ ἄφησε μόνον ὁ Πατήρ»[8].

Βλέπεις πῶς παντοῦ παρουσιάζει τὸν ἑαυτόν του στενὰ συνδεδεμένον μὲ τὸν Πατέρα καὶ ὅτι δὲν ὑπάρχει τίποτε ποὺ νὰ τοὺς χωρίζῃ; καθ' ὅσον ὅταν λέγῃ, «Δὲν εἶπα τίποτε ἀπὸ τὸν ἑαυτόν μου», δὲν τὸ λέγει ἀφαιρῶν ἀπὸ τὸν ἑαυτόν του τὴν ἐξουσίαν, ἀλλ' ἀναιρεῖ τὴν γνώμην ὅτι εἶναι ξένος καὶ ἀντίθετος πρὸς τὸν Πατέρα· διότι, ἐὰν οἱ ἄνθρωποι εἶναι κύριοι τοῦ ἑαυτοῦ των, πολὺ περισσότερον ὁ Μονογενὴς Υἱός. Καὶ ὅτι αὐτὸ εἶναι ἀληθές, ἄκουσε τί λέγει ὁ Παῦλος· «Ἐκένωσε τὸν ἑαυτόν του»[9] «καὶ τὸν παρέδωσε δι' ἡμᾶς»[10]. Ἀλλά, ὅπως προανέφερα, εἶναι φοβερὸν πρᾶγμα ἡ κενοδοξία, φοβερόν· διότι αὐτὴ ἔκαμε καὶ ἐκείνους νὰ μὴ πιστεύουν καὶ ἄλλους νὰ πιστεύουν κακῶς, καί, ἐκεῖνα ποὺ ἐλέγοντο ἀπὸ φιλανθρωπίαν χάριν ἐκείνων, αὐτὰ νὰ τὰ ἐκλαμβάνουν εἰς ἀσέβειαν.

3. Φεύγωμεν τοίνυν τὸ θηρίον τοῦτο διὰ πάντων· ποικίλον γάρ ἐστι καὶ παντοδαπόν, καὶ πανταχοῦ διεσπείρει τὸν οἰκεῖον ἰόν, καὶ ἐν χρήμασι, καὶ ἐν τρυφῇ, καὶ ἐν κάλλει σωμάτων. Διὰ τοῦτο πανταχοῦ τὴν χρείαν ὑπερβαίνομεν· διὰ τοῦτο ἡ περὶ τὰ ἱμάτια πλεονεξία, ὁ πολὺς τῶν οἰκετῶν ἑσμός· διὰ τοῦτο πανταχοῦ μὲν ἡ χρεία καταπεφρόνηται, καὶ ἐν οἰκίαις, καὶ ἐν ἱματίοις, καὶ ἐν τραπέζῃ· ἡ δὲ πλεονεξία κρατεῖ. Βούλει δόξης ἀπολαύειν; Ἔργασαι ἐλεημοσύνην· τότε σε ἐπαινέσονται οἱ ἄγγελοι, τότε σε ὁ Θεὸς ἀποδέξεται. Νῦν μὲν γὰρ τὸ θαῦμα μέχρι τῶν χρυσοχόων ἕστηκε καὶ τῶν ὑφαντῶν, σὺ δὲ ἀστεφάνωτος ἀναχωρεῖς, κατάρας ὁρῶσα σεαυτὴν δεχομένην πολλάκις. Ἂν δὲ ταῦτα μὴ τῷ σώματι περιθῇς, ἀλλ' εἰς τὰς γαστέρας τῶν πενομένων κενώσῃς, πολὺς ὁ κρότος πανταχόθεν ἔσται, πολὺς ὁ ἔπαινος. Τότε αὐτὰ ἕξεις, ὅταν ἑτέροις δῷς· ἕως δ' ἂν μόνη κατέχῃς, οὐκ ἔχεις· θησαυρὸς γὰρ ἄπιστος ἡ οἰκία, θησαυρὸς δὲ βέβαιος αἱ τῶν πενήτων χεῖρες.

Τί τὸ σῶμα κοσμεῖς, τῆς ψυχῆς ἠμελημένης, ἀκαθαρσίᾳ κατεχομένης; τί μὴ τοσαύτην ἀπονέμεις τῇ ψυχῇ πρόνοιαν, ὅσην τῷ σώματι; Καίτοι γε πλείονα ἔδει, ἀλλ' ὅμως ἀγαπητοί, κἂν τὴν ἴσην αὐτῇ παρέχειν ἔδει πρόνοιαν· εἰπὲ γάρ μοι· Εἴ τίς σε ἤρετο, 'τί βούλει, τὸ σῶμά σου εἶναι λαμπρὸν καὶ εὐεκτοῦν, καὶ ὥρᾳ νικᾶν, καὶ ἱμάτια φορεῖν εὐτελῆ, ἢ τοῦτο μὲν ἀνάπηρον ἔχειν καὶ νόσων ἐμπεπλησμένον, καὶ χρυσοφορεῖν καὶ καλλωπίζεσθαι;' οὐ πολλῷ μᾶλλον εἵλου ἐν τῇ φύσει τοῦ σώματος ἔχειν τὴν εὐμορφίαν, ἢ τῇ περιβολῇ τῶν ἱματίων; εἶτα ἐπὶ μὲν τοῦ σώματος τοῦτο αἱρήσῃ, ἐπὶ δὲ τῆς ψυχῆς τοὐναντίον, καὶ αἰσχρὰν αὐτὴν ἔχουσα καὶ

3. Ἂς ἀποφεύγωμεν λοιπὸν αὐτὸ τὸ θηρίον μὲ κάθε τρόπον· διότι εἶναι ποικίλον καὶ πολύμορφον καὶ διασπείρει παντοῦ τὸ δηλητήριόν του, καὶ εἰς τὰ χρήματα, καὶ εἰς τὸν τρυφηλὸν τρόπον ζωῆς καὶ εἰς τὸ κάλλος τῶν σωμάτων. Διὰ τοῦτο παντοῦ ὑπερβαίνομεν τὸ ἀναγκαῖον· διὰ τοῦτο ὑπάρχει πλεονεξία διὰ τὰ ἐνδύματα, τὸ μεγάλο πλῆθος τῶν ὑπηρετῶν· διὰ τοῦτο παντοῦ ἡ μὲν ἀνάγκη περιφρονεῖται, καὶ εἰς τὰς οἰκίας καὶ εἰς τὰ ἐνδύματα καὶ εἰς τὴν τράπεζαν, ἡ δὲ πλεονεξία κυριαρχεῖ. Θέλεις ν' ἀπολαμβάνῃς δόξαν; Κάμε ἐλεημοσύνην· τότε θὰ σὲ ἐπαινέσουν οἱ ἄγγελοι, τότε θὰ σὲ δεχθῇ ὁ Θεός. Διότι τώρα μὲν ὁ θαυμασμὸς σταματᾷ μέχρις εἰς τοὺς χρυσοχόους καὶ τοὺς ὑφαντάς, ἐνῷ σὺ φεύγεις ἀστεφάνωτος, καὶ βλέπουσα πολλὲς φορὲς νὰ δέχεσαι διὰ τὸν ἑαυτόν σου κατάρας. Ἂν ὅμως αὐτὰ δὲν τὰ διαθέσῃς διὰ τὸ σῶμα σου, ἀλλὰ τὰ ἀδειάσῃς εἰς τὴν κοιλίαν τῶν πτωχῶν, θὰ γίνῃ ἀπὸ παντοῦ πολὺς θόρυβος, θὰ εἶναι πολὺς ὁ ἔπαινος. Τότε θὰ τὰ ἔχῃς αὐτά, ὅταν τὰ δώσῃς εἰς ἄλλους· ἐν ὅσῳ τὰ κρατεῖς μόνον διὰ τὸν ἑαυτόν σου, δὲν τὰ ἔχεις· διότι ἡ οἰκία εἶναι θησαυρὸς ἄπιστος, ἐνῷ θησαυρὸς ἀσφαλὴς εἶναι τὰ χέρια τῶν πτωχῶν.

Διατί στολίζεις τὸ σῶμα, τὴν στιγμὴν ποὺ ἡ ψυχὴ εἶναι παραμελημένη καὶ εἶναι γεμάτη ἀπὸ ἀκαθαρσίαν; διατί δὲν δείχνεις τόσην φροντίδα διὰ τὴν ψυχήν, ὅσην δείχνεις διὰ τὸ σῶμα; Μολονότι βέβαια ἔπρεπε νὰ δείχνωμεν μεγαλυτέραν, ἀλλ' ὅμως, ἀγαπητοί, ἂς δείχνωμεν τουλάχιστον τὴν ἰδίαν φροντίδα· διότι εἰπέ μου· Ἐὰν κάποιος σὲ ἠρώτα, 'Τί θέλεις, τὸ σῶμα σου νὰ εἶναι λαμπρὸν καὶ ὑγιὲς καὶ νὰ ὑπερτερῇ εἰς ὡραιότητα καὶ νὰ φορῇ εὐτελῆ ἐνδύματα, ἢ αὐτὸ μὲν νὰ τὸ ἔχῃς ἀνάπηρον καὶ γεμᾶτον ἀπὸ ἀσθενείας, καὶ νὰ τὸ φορῇς χρυσᾶ κοσμήματα καὶ νὰ τὸ καλλωπίζῃς;' δὲν θὰ ἐπροτιμοῦσες πολὺ περισσότερον νὰ ἔχῃς τὴν ὀμορφιὰν εἰς τὴν φύσιν τοῦ σώματος παρὰ εἰς τὴν περιβολὴν τῶν ἐνδυμάτων; ἔπειτα αὐτὸ μὲν θὰ τὸ προτιμήσῃς διὰ τὸ σῶμα, ἐνῷ διὰ τὴν ψυχὴν θὰ προτιμήσῃς τὸ ἀντίθετον, καί, διατηρῶν αὐτὴν αἰσχρὰν καὶ ἄσχημον καὶ

δυσειδῆ καὶ μέλαιναν, οἷοι τι καρποῦσθαι ἀπὸ τῶν χρυσίων; Καὶ πόσης ταῦτα ἀνοίας; Στρέψον τὸν κόσμον τοῦτον ἔνδον, καὶ τὰ περιδέραια ταῦτα τῇ ψυχῇ περίθες· τὰ μὲν γὰρ σώματι περικείμενα οὔτε εἰς ὑγίειαν, οὔτε εἰς εὐμορφίαν αὐτοῦ τοῦτο ὀνίνησιν (οὔτε γὰρ τὸ μέλαν λευκὸν ἐργάσεται, οὔτε τὸ αἰσχρὸν καλὸν ἢ εὐειδές), τῇ δὲ ψυχῇ ἂν περιθῇς, ταχέως αὐτὴν ἀντὶ μελαίνης λευκὴν ἐργάσῃ, ἀντὶ αἰσχρᾶς καὶ δυσειδοῦς καλὴν καὶ εὐειδῆ. Καὶ οὐκ ἐμὸς ὁ λόγος, ἀλλ' αὐτοῦ τοῦ Κυρίου, οὕτω λέγοντος· «Ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ», καὶ «δότε ἐλεημοσύνην, καὶ πάντα ὑμῖν ἔσται καθαρά».

Οὐ σαυτὴν δὲ μόνην, ἀλλὰ καὶ τὸν ἄνδρα οὕτω διακειμένη καλὸν ποιήσεις. Ἂν γὰρ ἴδωσι τὸν κόσμον τοῦτον ἀποθεμένας, οὐ πολὺν ἕξουσι δαπάνης ἀνάγκην, οὐκ ἔχοντες δέ, πλεονεξίας ἀποστήσονται πάσης, καὶ εἰς ἐλεημοσύνην ἔσονται εὐκολώτεροι, καὶ ὑμεῖς δὲ αὐτοῖς δυνήσεσθε μετὰ παρρησίας συμβουλεύειν τὰ δέοντα· νῦν μὲν γὰρ πᾶσαν παρήρησθε τὴν τοιαύτην ἐξουσίαν· ποίῳ γὰρ στόματι ταῦτα διαλέξεσθε; ποίοις δὲ ὀφθαλμοῖς ἀντιβλέψετε, ἐλεημοσύνην ἀπαιτοῦσαι τοὺς ἄνδρας, ὅταν τὰ πλείονα εἰς τὴν τοῦ σώματος περιβολὴν ἀναλίσκητε; Τότε δυνήσῃ μετὰ παρρησίας διαλέγεσθαι τῷ ἀνδρὶ περὶ ἐλεημοσύνης, ὅταν τὸν κόσμον τῶν χρυσίων ἀποθῇ. Κἂν μηδὲν ἀνύσῃς, τὸ σαυτῆς ἐπλήρωσας ἅπαν, μᾶλλον δὲ ἀμήχανον μὴ καὶ ἐκεῖνον κερδᾶναι, διὰ τῶν πραγμάτων αὐτῷ διαλεγομένη· τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις;». Ὥσπερ οὖν νῦν καὶ ὑπὲρ ἑαυτῆς καὶ ὑπὲρ ἐκείνου δώσεις τὸν λόγον, οὕτως, ἐὰν τὴν φαντασίαν ταύτην ἀποδύσῃ πᾶσαν, διπλοῦν τὸν στέφανον ἕξεις, μετὰ τοῦ ἀν-

---

11. Ἠσ. 1, 18.
12. Λουκᾶ 11, 41.
13. Α' Κορ. 7, 16.

μαυρισμένην, νομίζεις ὅτι ὠφελεῖσαι ὡς πρὸς κάτι ἀπὸ τὰ χρυσᾶ κοσμήματα; Καὶ πόσης ἀνοησίας δεῖγμα δὲν εἶναι αὐτά; Στρέψε αὐτὸν τὸν στολισμὸν εἰς τὸν ἐσωτερικόν σου κόσμον καὶ αὐτὰ τὰ περιδέραια θέσε τα εἰς τὴν ψυχήν σου˙ διότι, αὐτὰ μὲν ποὺ εἶναι τοποθετημένα εἰς τὸ σῶμα δὲν τὸ ὠφελοῦν οὔτε εἰς τὴν ὑγείαν οὔτε εἰς τὴν ὀμορφιόν του (διότι οὔτε τὸ μαῦρον θὰ τὸ κάνῃ λευκόν, οὔτε τὸ ἄσχημον ὡραῖον καὶ εὔσχημον), ἂν ὅμως τὰ θέσῃς εἰς τὴν ψυχήν, ἀμέσως θὰ τὴν κάμῃς ἀντὶ μαύρης λευκήν, ἀντὶ ἀσχήμου καὶ δυσμόρφου, ὡραίαν καὶ εὔσχημον. Καὶ δὲν εἶναι ἰδικός μου ὁ λόγος, ἀλλὰ τοῦ ἰδίου τοῦ Κυρίου, ποὺ λέγει τὰ ἑξῆς˙ «Ἐὰν εἶναι αἱ ἁμαρτίαι σας κόκκιναι ὡσὰν τὸ φοινικοῦν χρῶμα, θὰ τὰ κάνω λευκὰς ὡσὰν τὸ χιόνι»[11], καὶ «δώσατε ἐλεημοσύνην καὶ ὅλα θὰ σᾶς εἶναι καθαρά»[12].

Ἐὰν ἐνεργῇς ἔτσι ὄχι μόνον τὸν ἑαυτόν σου ἀλλὰ καὶ τὸν ἄνδρα σου θὰ κάνῃς καλόν. Διότι, ἐὰν ἰδοῦν νὰ ἐγκαταλείπετε αὐτὸν τὸν στολισμόν, δὲν θὰ ἔχουν ἀνάγκην ἀπὸ πολλὴν δαπάνην, ἐὰν δὲ δὲν ἔχουν, θὰ ἐγκαταλείψουν κάθε πλεονεξίαν καὶ θὰ ἐπιδοθοῦν εὐκολώτερα εἰς τὴν ἐλεημοσύνην καὶ σεῖς δὲ θὰ ἠμπορέσετε μὲ θάρρος νὰ τοὺς συμβουλεύετε τὰ πρέποντα˙ καθ' ὅσον τώρα στερεῖσθε κάθε τέτοιο δικαίωμα˙ διότι μὲ ποῖον στόμα θὰ τὰ εἰπῆτε αὐτά, μὲ ποίους ὀφθαλμοὺς θὰ τοὺς ἀντικρύσετε, ὅταν, ζητοῦσαι ἀπὸ τοὺς ἄνδρας νὰ κάμνουν ἐλεημοσύνην, τὰ ἐξοδεύετε τὰ περισσότερα χρήματα εἰς τὴν περιβολὴν τοῦ σώματος; Τότε θὰ ἠμπορέσῃς μὲ θάρρος νὰ ὁμιλήσῃς εἰς τὸν ἄνδρα σου περὶ ἐλεημοσύνης, ὅταν ἀπομακρύνῃς ἀπὸ τὸν ἑαυτόν σου τὰ χρυσᾶ κοσμήματα. Καὶ ἂν ἀκόμη δὲν ἐπιτύχῃς τίποτε, ἔκαμες ὅμως ὅ,τι ἐξηρτᾶτο ἀπὸ ἐσένα, μᾶλλον δὲ εἶναι ἀδύνατον νὰ μὴ τὸν κερδήσῃς καὶ ἐκεῖνον, ὅταν ὁμιλῇς πρὸς αὐτὸν μὲ τὰς πράξεις σου˙ «διότι ποῦ ξεύρεις, γυναίκα; ἴσως σώσῃς μὲ αὐτὸ τὸν ἄνδρα σου»[13]. Ὅπως ἀκριβῶς λοιπὸν τώρα θὰ λογοδοτήσῃς καὶ διὰ τὸν ἑαυτόν σου καὶ δι' ἐκεῖνον, ἔτσι, ἐὰν ἐγκαταλείψῃς ὅλον αὐτὸν τὸν ἐξωτερικὸν στολισμόν, θὰ ἔχῃς διπλὸν τὸν στέφανον, φοροῦσα αὐτὸν μαζὶ μὲ τὸν ἄνδρα

δρὸς στεφανηφοροῦσα καὶ πομπεύουσα κατὰ τοὺς ἀκηράτους αἰῶνας ἐκείνους, καὶ τῶν αἰωνίων ἀπολαύουσα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

σου καὶ συνοδεύουσα αὐτὸν εἰς τοὺς αἰῶνας ἐκείνους ποὺ εἶναι καθαροί, ἀπὸ κάθε μολυσμὸν καὶ ἀπολαμβάνουσα τὰ αἰώνια ἀγαθά, τὰ ὁποῖα μακάρι ὅλοι μας νὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Ο'

'Ιω. 13, 1 - 11

«Πρὸ δὲ τῆς ἑορτῆς τοῦ Πάσχα, εἰδὼς ὁ Ἰησοῦς ὅτι ἦλθεν αὐτοῦ ἡ ὥρα, ἵνα μεταβῇ ἐκ τοῦ κόσμου τούτου πρὸς τὸν Πατέρα, ἀγαπήσας τοὺς ἰδίους τοὺς ἐν τῷ κόσμῳ, εἰς τέλος ἠγάπησεν αὐτούς».

1. «Μιμηταί μου γίνεσθε», φησὶν ὁ Παῦλος, «καθὼς κἀγὼ Χριστοῦ»· διὰ γὰρ τοῦτο καὶ σάρκα ἐκ τοῦ φυράματος ἔλαβε τοῦ ἡμετέρου, ἵνα δι' αὐτῆς ἡμᾶς παιδεύσῃ τὴν ἀρετήν· «ἐν γὰρ ὁμοιώματι σαρκός», φησίν, «ἁμαρτίας, καὶ περὶ ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί»· καὶ αὐτὸς ὁ Χριστός· «Μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ», καὶ ταῦτα οὐ διὰ ῥημάτων μόνον, ἀλλὰ καὶ διὰ τῶν πραγμάτων ἐδίδασκε· καὶ γὰρ καὶ Σαμαρείτην καὶ δαιμονῶντα αὐτὸν ἐκάλουν, καὶ πλάνον, καὶ λίθους ἠφίεσαν κατ' αὐτοῦ, καὶ νῦν μὲν ὑπηρέτας ἀπέστελλον οἱ Φαρισαῖοι ὥστε αὐτὸν συλλαβεῖν, νῦν δὲ ἄλλους καθίεσαν ἐπιβουλεύοντας, καὶ αὐτοὶ δὲ πολλάκις ὑβρίζοντες διετέλουν, καὶ ταῦτα οὐδὲν ἔχοντες ἐγκαλεῖν, ἀλλὰ καὶ εὐεργετούμενοι διηνεκῶς, καὶ ὅμως μετὰ τοσαῦτα οὐκ ἀφίσταται αὐτοὺς εὖ ποιῶν καὶ διὰ ῥημάτων καὶ διὰ πραγμάτων· καί, οἰκέτου δέ τινος ῥαπίσαντος αὐτόν, φησίν· «Εἰ μὲν κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ, εἰ δὲ καλῶς, τί με δέρεις;

Ἀλλ' ἐκεῖνα μὲν πρὸς τοὺς ἐχθροὺς καὶ τοὺς ἐπιβουλεύοντας, ἴδωμεν δὲ καὶ πρὸς τοὺς μαθητὰς τί ποιεῖ νῦν,

---

1. Α' Κορ. 11, 1.
2. Ρωμ. 8, 3.
3. Ματθ. 11, 29.
4. 'Ιω. 18, 23.

ΟΜΙΛΙΑ Ο΄

Ἰω. 13, 1 - 11

«Πρὶν ἀπὸ τὴν ἑορτὴν τοῦ Πάσχα, γνωρίζων ὁ Ἰησοῦς ὅτι ἦλθεν ἡ ὥρα του διὰ νὰ μεταβῇ ἀπὸ αὐτὸν τὸν κόσμον εἰς τὸν Πατέρα, ποὺ ἠγάπησε τοὺς ἰδικούς του εἰς αὐτὸν τὸν κόσμον, τώρα εἰς τὸ τέλος θὰ τοὺς ἔδειχνεν ὅλην τὴν ἀγάπην του».

1. «Μιμηταί μου γίνεσθε», λέγει ὁ Παῦλος, «ὅπως ἀκριβῶς καὶ ἐγὼ εἶμαι τοῦ Χριστοῦ»[1]· διότι διὰ τοῦτο ἔλαβε καὶ σάρκα τῆς ἰδίας μορφῆς μὲ τὴν ἰδικήν μας, διὰ νὰ μᾶς ἀσκήσῃ μὲ αὐτὴν εἰς τὴν ἀρετήν· διότι λέγει· «Μὲ σῶμα ὅμοιον μὲ τὸ ἰδικόν μας ἁμαρτωλὸν σῶμα καὶ τὸ ὁποῖον προσέφερεν ὡς θυσίαν διὰ τὴν ἁμαρτίαν καὶ ἔτσι κατεδίκασε τὴν ἁμαρτίαν εἰς τὴν σάρκα»[2]· καὶ ὁ ἴδιος ὁ Χριστός· «Μάθετε ἀπὸ ἐμένα, ὅτι εἶμαι πρᾶος καὶ ταπεινὸς εἰς τὴν καρδίαν»[3], καὶ αὐτὰ δὲν τὰ ἐδίδασκε μόνον μὲ λόγια, ἀλλὰ καὶ μὲ τὰ ἔργα του· καθ᾽ ὅσον καὶ Σαμαρείτην τὸν ὠνόμαζον καὶ δαιμονισμένον, καὶ πλάνον, καὶ λίθους ἔρριψαν ἐναντίον του, καὶ ἄλλοτε μὲν ἀπέστελλον πρὸς αὐτὸν οἱ Φαρισαῖοι ὑπηρέτας ὥστε νὰ τὸν συλλάβουν, ἄλλοτε δὲ ἔστελλον ἄλλους μὲ κακὰ σχέδια ἐναντίον του, καὶ οἱ ἴδιοι δὲ πολλὲς φορὲς δὲν ἔπαυον νὰ τὸν ὑβρίζουν, καὶ ὅλα αὐτὰ τὴν στιγμὴν ποὺ δὲν ἠμποροῦσαν νὰ τὸν κατηγορήσουν διὰ τίποτε, ἀντιθέτως μάλιστα καὶ εὐηργετοῦντο συνεχῶς, καὶ ὅμως μετὰ ἀπὸ τὰ τόσα δὲν σταματᾷ νὰ τοὺς εὐεργετῇ καὶ μὲ τὰ λόγια καὶ μὲ τὰ ἔργα του· καί, ὅταν κάποιος ὑπηρέτης τὸν ἐκτύπησεν εἰς τὸ πρόσωπον, λέγει· «Ἐὰν μὲν ὡμίλησα κακῶς, εἰπὲ ποῖον εἶναι τὸ κακόν, ἐὰν δὲ καλῶς, διατί μὲ δέρεις;»[4].

Καὶ ἐκεῖνα μὲν τὰ ἔκαμνε πρὸς τοὺς ἐχθρούς του καὶ ἐκείνους ποὺ τὸν ἐπεβουλεύοντο, ἂς ἰδοῦμεν ὅμως τί κάμνει τώρα καὶ πρὸς τοὺς μαθητάς του, μᾶλλον δὲ καὶ αὐτὰ

μᾶλλον δὲ καὶ ἃ νῦν ἐπιδείκνυται πρὸς τὸν ἐπίβουλον. Ὃν γὰρ μάλιστα πάντων ἐχρῆν μισεῖν, ὅτι, μαθητὴς ὤν, καὶ τραπεζῶν καὶ ἁλῶν κοινωνήσας, καὶ θαύματα ἰδών, καὶ τοσούτων ἀξιωθείς, πάντων ἐποίησε χαλεπώτερα, λίθοις μὲν οὐ βάλλων, οὐδὲ ὑβρίσας, ἀλλὰ προδοὺς αὐτὸν καὶ παραδούς, τοῦτον ὅρα πῶς φιλοφρόνως δέχεται, νίπτων αὐτοὺς τοὺς πόδας· καὶ γὰρ ταύτῃ αὐτὸν κατασχεῖν ἐβούλετο τῆς πονηρίας ἐκείνης. Καίτοι γε ἐνῆν, εἴπερ ἤθελε, καὶ ξηρᾶναι αὐτὸν ὡς τὴν συκῆν, καὶ διατεμεῖ, ὥσπερ τὰς πέτρας ἔρρηξε, καὶ διασχίσαι, ὥσπερ τὸ καταπέτασμα, ἀλλ' οὐκ ἐβούλετο ἀνάγκῃ, ἀλλὰ προαιρέσει τῆς ἐπιβουλῆς αὐτὸν ἀπαγαγεῖν· διὰ τοῦτο καὶ νίπτει τοὺς πόδας. Καὶ οὐδὲ τοῦτο ᾐδέσθη ὁ ταλαίπωρος ἐκεῖνος καὶ ἄθλιος. «Πρὸ δὲ τῆς ἑορτῆς τοῦ Πάσχα», φησίν, «εἰδὼς ὁ Ἰησοῦς ὅτι ἦλθεν αὐτοῦ ἡ ὥρα». Οὐ τότε εἰδώς, ἀλλ' ὅτι ἐποίησεν ὅπερ ἐποίησε, πάλαι εἰδώς, φησίν. «Ἵνα μεταβῇ». Μεγαλοφρόνως ὁ Εὐαγγελιστὴς μετάβασιν αὐτοῦ τὸν θάνατον καλεῖ. «Ἀγαπήσας τοὺς ἰδίους, εἰς τέλος ἠγάπησεν αὐτούς». Εἶδες πῶς, μέλλων ἐγκαταλιμπάνειν αὐτούς, σφοδροτέραν τὴν ἀγάπην ἐπιδείκνυται; τὸ γὰρ «ἀγαπήσας, εἰς τέλος ἠγάπησεν αὐτοὺς» τοῦτο δηλοῖ· Οὐδὲν ἐνέλιπεν ὧν τὸν σφόδρα ἀγαπῶντα εἰκὸς ἦν ποιῆσαι.

Τί δήποτε δὲ οὐκ ἐξ ἀρχῆς τοῦτο ἐποίησε; Τὰ μείζονα ὕστερον ἐργάζεται, ὥστε αὐτῶν ἐπιτεῖναι τὴν οἰκείωσιν, καὶ πολλὴν αὐτοῖς προαποθέσθαι παράκλησιν πρὸς τὰ μέλλοντα ἐπιέναι δεινά. Ἰδίους δὲ αὐτοὺς λέγει κατὰ τὸν τῆς οἰκειώσεως λόγον· ἐπεὶ καὶ ἄλλους ἰδίους λέγει κατὰ τὸν τῆς δημιουργίας, ὡς, ὅταν λέγῃ· «Οἱ ἴδιοι αὐτὸν οὐ παρέ-

5. Ματθ. 21, 18 - 20.
6. Ματθ. 27, 51.

πού τώρα κάμνει πρός τόν ἐπίβουλον μαθητήν του. Διότι, ἐκεῖνον πού ἔπρεπε περισσότερον ἀπό ὅλους νά μισοῦν, διότι, ἐνῷ ἦτο μαθητής του καί ἔφαγεν ἀπό τήν ἰδίαν τράπεζαν καί τά φαγητά, καί ἴδε θαύματα καί ἠξιώθη τόσων πολλῶν εὐεργεσιῶν, ἔπραξε τά χειρότερα ἀπό ὅλους καί πού δέν ἔρριψε μέν λίθους ἐναντίον του, οὔτε τόν ὕβρισεν, ἀλλά τόν ἐπρόδωσε καί τόν παρέδωσεν εἰς αὐτούς, αὐτόν πρόσεχε πῶς τόν δέχεται μέ φιλοφροσύνην, νίπτων τά πόδια του· καθ' ὅσον μέ αὐτόν τόν τρόπον ἤθελε νά τόν συγκρατήσῃ ἀπό τήν κακήν ἐκείνην ἐνέργειάν του. Μολονότι βέβαια ἠμποροῦσεν, ἐάν ἤθελε, καί νά τόν ξηράνῃ, ὅπως τήν συκῆν[5], καί νά τόν κατασυντρίψῃ, ὅπως ἀκριβῶς τό καταπέτασμα[6], ὅμως δέν ἤθελε νά τόν απομακρύνῃ ἀπό τήν ἐπιβουλήν του μέ ἐξαναγκασμόν, ἀλλά νά τό θελήσῃ ὁ ἴδιος· διά τοῦτο καί νίπτει τά πόδια του. Καί οὔτε αὐτό ἐσεβάσθη ὁ ταλαίπωρος ἐκεῖνος καί ἄθλιος. Διότι λέγει, «Πρίν ἀπό τήν ἑορτήν τοῦ Πάσχα, γνωρίζων ὁ Ἰησοῦς ὅτι ἦλθεν ἡ ὥρα του». Δέν λέγει, ὅτι τότε τό ἐγνώρισεν, ἀλλ' ἔκαμεν αὐτό πού ἔκαμεν γνωρίζων αὐτό πρό πολλοῦ. «Διά νά μεταβῇ». Μέ μεγαλοφροσύνην ὁ Εὐαγγελιστής ὀνομάζει τόν θάνατόν του μετάβασιν. «Ἀφοῦ ἠγάπησε τούς ἰδικούς του, τώρα εἰς τό τέλος θά ἔδειχνεν ὅλην τήν ἀγάπην του». Εἶδες πῶς, τώρα πού πρόκειται νά τούς ἐγκαταλείψῃ, δείχνει εἰς ὑπερβολικόν βαθμόν τήν ἀγάπην του; διότι τό «ἀγαπήσας, εἰς τέλος ἠγάπησεν αὐτούς», αὐτό φανερώνει, ὅτι δηλαδή δέν παρέλειψε νά πράξῃ τίποτε ἀπό ἐκεῖνα πού φυσικόν ἦτο νά πράξῃ ἐκεῖνος πού ἀγαπᾷ ὑπερβολικά.

Καί διατί τέλος πάντων δέν τό ἔκαμεν αὐτό ἀπό τήν ἀρχήν; Τά σπουδαιότερα τά κάμνει ἀργότερα, ὥστε νά μεγαλώσῃ τήν ἐξοικείωσιν καί νά ἐμβάλῃ ἐκ τῶν προτέρων πολλήν παρηγορίαν διά τά κακά πού ἐπρόκειτο νά ἀκολουθήσουν. Ὀνομάζει δέ αὐτούς ἰδικούς του ὅσον ἀφορᾷ τήν οἰκειότητά του πρός αὐτούς· διότι καί ἄλλους ὀνομάζει ἰδικούς του ἐν σχέσει ὅμως μέ τό ὅτι τούς ἐδημιούργησεν, ὅπως ὅταν λέγῃ· «Οἱ ἰδικοί του δέν τόν ἐδέ-

λαβον». Τί δέ ἐστι, «Τοὺς ἐν τῷ κόσμῳ»; Ἐπειδὴ ἦσαν αὐτοῦ ἴδιοι καὶ οἱ τετελευτηκότες, οἱ περὶ τὸν Ἀβραάμ, καὶ Ἰσαάκ, καὶ Ἰακώβ, καὶ οἱ κατ᾽ ἐκείνους, ἀλλ᾽ οὐκ ἐν τῷ κόσμῳ ἦσαν ἐκεῖνοι. Ὁρᾷς ὅτι Παλαιᾶς καὶ Καινῆς αὐτός ἐστιν ὁ Θεός; Τί δέ ἐστιν, «Εἰς τέλος ἠγάπησεν αὐτούς»; Ἀντὶ τοῦ 'ἔμενεν ἀγαπῶν διηνεκῶς', καὶ τεκμήριον τῆς πολλῆς ἀγάπης τοῦτο λέγει· καίτοι γε ἀλλαχοῦ ἕτερον εἶπε, τὸ «τὴν ψυχὴν θεῖναι ὑπὲρ τῶν φίλων αὐτοῦ»· ἀλλ᾽ οὔπω ἐκεῖνο ἐγεγόνει. Τίνος δὲ ἕνεκεν τοῦτο νῦν ἐποίησεν; Ὅτι πολλῷ θαυμαστότερον ἦν, ὅτε λαμπρότερος παρὰ πᾶσιν ἐφάνη, καὶ παραμυθίαν δὲ οὐ μικρὰν κατέλιπε, μέλλων ἀναχωρεῖν. Ἐπειδὴ γὰρ ἔμελλον ὀδυνᾶσθαι σφοδρῶς, ἀντίρροπον αὐτοῖς διὰ τούτων παράκλησιν ἐπεισάγει.

«Καὶ δείπνου γενομένου, τοῦ διαβόλου βεβληκότος εἰς τὴν καρδίαν Ἰούδα, ἵνα παραδῷ αὐτόν». Τοῦτο ἐκπληττόμενος εἶπεν ὁ Εὐαγγελιστής, δηλῶν ὅτι τοῦτον, τὸν ἤδη προδοῦναι ἑλόμενον, αὐτὸν ἔνιψε. Δείκνυσι δὲ αὐτοῦ πολλὴν τὴν πονηρίαν, ὅτι οὐδὲ τῶν ἁλῶν αὐτὸν ἡ κοινωνία κατέσχεν, ὃ μάλιστα οἶδεν ἐπέχειν πονηρίαν, οὐ τὸ μέχρι τῆς ἐσχάτης ἡμέρας παραμεῖναι τὸν διδάσκαλον αὐτοῦ διαβαστάζοντα. «Εἰδὼς δὲ ὁ Ἰησοῦς ὅτι πάντα αὐτῷ εἰς χεῖρα δέδωκεν ὁ Πατήρ, καὶ ὅτι ἀπὸ Θεοῦ ἐξῆλθε, καὶ πρὸς τὸν Θεὸν ὑπάγει». Ἐνταῦθα καὶ θαυμάζων λέγει ὅτι ὁ τοσοῦτος καὶ τηλικοῦτος, ὁ παρὰ Θεοῦ ἐλθών, καὶ πρὸς αὐτὸν ἀπιών, ὁ πάντων κρατῶν τοῦτο εἰργάσατο, καὶ οὐδὲ οὕτως ἀπηξίωσε καταδέξασθαι πρᾶγμα τοσοῦτον. Παράδοσιν δέ, ὡς ἐμοὶ δοκεῖ, τὴν τῶν πιστῶν σωτηρίαν ἐνταῦθα καλεῖ· καὶ γάρ, ὅταν λέγῃ, «Πάντα μοι παρεδόθη παρὰ τοῦ Πατρός μου», ταύτην λέγει τὴν παράδοσιν, ὡς καὶ ἀλλαχοῦ φησιν· «Σοὶ ἦσαν,

7. Ἰω. 1, 11.
8. Ἰω. 10, 11· 15· 17.
9. Ματθ. 11, 27.

χθησαν»[7]. Τί σημαίνει δὲ «Τοὺς ἐν τῷ κόσμῳ»; Ἐπειδὴ ἦσαν ἰδικοί του καὶ οἱ ἀποθανόντες, οἱ περὶ τὸν Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακὼβ καὶ ὅσοι ἦσαν ὡσὰν ἐκείνους, ἀλλ' ἐκεῖνοι τότε δὲν εὑρίσκοντο εἰς τὸν κόσμον. Βλέπεις ὅτι αὐτὸς εἶναι ὁ Θεὸς τῆς Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης; Τί σημαίνει δέ, «Εἰς τέλος ἠγάπησεν αὐτούς»; Αὐτὸ τὸ λέγει ἀντὶ τοῦ 'ἐξηκολούθησε νὰ τοὺς ἀγαπᾷ συνεχῶς' καὶ ἀποτελεῖ ἀπόδειξιν τῆς μεγάλης ἀγάπης του· μολονότι βέβαια εἰς ἄλλην περίπτωσιν ἄλλο εἶπε, τὸ «ὅτι θυσιάζει τὴν ζωήν του χάριν ἐκείνων ποὺ τὸν ἀγαποῦν»[8], ἀλλ' ἐκεῖνο ἀκόμη δὲν εἶχε συμβῆ. Διὰ ποῖον δὲ λόγον τὸ ἔκαμεν αὐτὸ τώρα; Ἐπειδὴ ἦτο πολὺ πιὸ θαυμαστότερον, ὅταν ἐφάνη παρουσίᾳ ὅλων λαμπρότερος καὶ δὲν ἦτο μικρὰ ἡ παρηγορία ποὺ τοὺς ἄφησε, τώρα ποὺ ἐπρόκειτο ν' ἀναχωρήσῃ. Ἐπειδὴ δηλαδὴ ἐπρόκειτο νὰ λυπηθοῦν ὑπερβολικά, τοὺς δίδει μὲ ὅλα αὐτὰ τὴν παρηγορίαν, ὡσὰν ἀντίβαρον.

«Καὶ κατὰ τὴν διάρκειαν τοῦ δείπνου, ὅταν πλέον ὁ διάβολος εἶχεν εἰσέλθει εἰς τὴν καρδίαν τοῦ Ἰούδα διὰ νὰ τὸν παραδώσῃ». Αὐτὸ τὸ εἶπεν ὁ Εὐαγγελιστὴς γεμᾶτος ἀπὸ ἔκπληξιν, διὰ νὰ δείξῃ, ὅτι αὐτὸν ποὺ εἶχε λάβει τὴν ἀπόφασιν νὰ τὸν προδώσῃ, αὐτὸν ἔνιψε. Φανερώνει δὲ τὴν μεγάλην κακίαν αὐτοῦ, διότι δὲν τὸ ἐσυγκράτησεν οὔτε ἡ συμμετοχή του εἰς τὴν ἰδίαν τράπεζαν, πρᾶγμα ποὺ συνήθως συγκρατεῖ τὴν πονηρίαν, οὔτε τὸ ὅτι μέχρι τὴν τελευταίαν ἡμέραν ἐξηκολούθει νὰ τὸν ἀνέχεται ὁ διδάσκαλός του. «Γνωρίζων δὲ ὁ Ἰησοῦς ὅτι ὅλα τὰ παρέδωσεν ὁ Πατήρ του εἰς αὐτόν, καὶ ὅτι ἀπὸ αὐτὸν εἶχεν ἔλθει καὶ πρὸς αὐτὸν μεταβαίνει». Ἐδῶ δὲ μὲ θαυμασμὸν λέγει, ὅτι, ὁ τόσον μέγας καὶ τόσον ἀνώτερος, ἐκεῖνος ποὺ ἦλθεν ἀπὸ τὸν Θεὸν καὶ μεταβαίνει πρὸς αὐτόν, ὁ κυρίαρχος τῶν πάντων, ἔπραξεν αὐτό, καὶ οὔτε παρ' ὅλα αὐτὰ ἐθεώρησεν ἀνάξιον νὰ κάμῃ μίαν τέτοιαν πρᾶξιν. Παράδοσιν δέ, κατὰ τὴν γνώμην μου, ὀνομάζει ἐδῶ τὴν σωτηρίαν τῶν πιστῶν· καθ' ὅσον, ὅταν λέγῃ, «Ὅλα μοῦ παρεδόθησαν ἀπὸ τὸν Πατέρα μου»[9], αὐτὴν τὴν παράδοσιν ἐννοεῖ, καθὼς καὶ ἀλλοῦ λέγει· «Ἦσαν ἰδικοί σου καὶ τοὺς

καὶ ἐμοὶ αὐτοὺς δέδωκας»· καὶ πάλιν· «Οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ Πατὴρ ἑλκύσῃ αὐτόν», καὶ ὅτι· «Ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ». Ἢ τοῦτο οὖν φησιν, ἢ ὅτι οὐδὲν ἐλαττοῦσθαι ἔμελλεν ἀπὸ τούτου, ἀπὸ Θεοῦ ἐξελθών, καὶ πρὸς τὸν Θεὸν ὑπάγων, καὶ πάντα ἔχων.

Ὅταν δὲ ἀκούσῃς παράδοσιν μηδὲν ἀνθρώπινον ἀπολάβῃς· τὴν γὰρ εἰς τὸν Πατέρα ἐνδείκνυται τιμὴν καὶ ὁμόνοιαν· ὥσπερ γὰρ ὁ Πατὴρ αὐτῷ παραδίδωσιν οὕτω καὶ αὐτὸς τῷ Πατρί. Καὶ δηλοῖ Παῦλος, λέγων· «Ὅταν παραδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρί». Ἀνθρωπινώτερον δὲ αὐτὸ ἐνταῦθα εἶπε, τὴν πολλὴν περὶ αὐτοὺς ἐπιμέλειαν δεικνύμενος, καὶ τὴν ἄφατον περὶ αὐτοὺς ἐμφαίνων ἀγάπην, ὅτι ὡς οἰκείων ἐπεμελεῖτο λοιπόν, διδάσκων αὐτοὺς τὴν μητέρα τῶν ἀγαθῶν, τὴν ταπεινοφροσύνην, ἣν καὶ ἀρχὴν καὶ τέλος ἔφησεν εἶναι τῆς ἀρετῆς. Οὐχ ἁπλῶς δὲ πρόσκειται τὸ «ἀπὸ Θεοῦ ἐξῆλθε καὶ πρὸς τὸν Θεὸν ὑπάγει», ἀλλ' ἵνα μάθωμεν ὅτι ἄξια ἐποίει τοῦ ἐκεῖθεν ἐλθόντος καὶ ἐκεῖ ἀπιόντος, ἅπαντα καταπατῶν τῦφον. «Καὶ ἀναστὰς ἀπὸ τοῦ δείπνου, καὶ θεὶς τὰ ἱμάτια».

2. *Ὅρα πῶς οὐ τῷ νίψαι μόνον, ἀλλὰ καὶ ἑτέρως τὸ ταπεινὸν ἐνδείκνυται· (οὐ γὰρ πρὶν ἢ κατακλιθῆναι, ἀλλὰ μετὰ τὸ ἀναπεσεῖν πάντας, τότε ἀνέστη)· ἔπειτα οὐδὲ ἁπλῶς νίπτει, ἀλλά, τὰ ἱμάτια ἀποτιθέμενος· καὶ οὐδὲ μέχρι τούτων ἔστη, ἀλλὰ καὶ λέντιον διεζώσατο· καὶ οὐδὲ τούτῳ ἠρκέσθη, ἀλλὰ καὶ αὐτὸς ἐγέμισε, καὶ οὐχ ἑτέρῳ πληρῶσαι ἐκέλευσεν, ἀλλὰ πάντα αὐτὸς ἐργάζεται ταῦτα, διὰ πάντων δεικνὺς ὅτι οὐκ ἀφοσιουμένους δεῖ ποιεῖν τὰ τοιαῦτα, ὅταν εὖ ποιῶμεν, ἀλλὰ μετὰ πάσης προθυμίας. Ἐμοὶ δὲ δοκεῖ τοῦ προδότου πρῶτον νίψαι τοὺς πόδας ἐκ τοῦ εἰπεῖν· «Ἠρ-*

10. Ἰω. 17, 6.
11. Ἰω. 6, 44.
12. Ἰω. 3, 27.
13. Θ' Κορ. 15, 24.

ἔδωσες εἰς ἐμένα»[10]· καὶ πάλιν· «Κανεὶς δὲν ἠμπορεῖ νὰ ἔλθη πρὸς ἐμένα, ἐὰν δὲν τὸν προσελκύση ὁ Πατήρ»[11], καὶ ὅτι, «Ἐὰν δὲν εἶναι δοσμένον εἰς αὐτὸν ἀπὸ τὸν οὐρανὸν»[12]. Ἢ λοιπὸν αὐτὸ ἐννοεῖ, ἢ ὅτι δὲν ἐπρόκειτο νὰ μειωθῇ καθόλου ἀπὸ αὐτό, ἀφοῦ ἦλθεν ἀπὸ τὸν Θεὸν καὶ μεταβαίνει πρὸς τὸν Θεὸν καὶ ὅλα τὰ ἔχει.

Ὅταν δὲ ἀκούσης παράδοσιν μὴ σκεφθῇς τίποτε τὸ ἀνθρώπινον· διότι δείχνει τὴν τιμὴν καὶ ὁμόνοιαν πρὸς τὸν Πατέρα· ὅπως ἀκριβῶς δηλαδὴ ὁ Πατὴρ παραδίδει εἰς αὐτόν, ἔτσι καὶ αὐτὸς εἰς τὸν Πατέρα. Καὶ τὸ φανερώνει ὁ Παῦλος, λέγων· «Ὅταν παραδώση τὴν βασιλείαν εἰς τὸν Θεὸν καὶ Πατέρα»[13]. Ἐδῶ δὲ τὸ εἶπε μὲ πιὸ ἀνθρώπινον τρόπον, δεικνύων τὴν μεγάλην φροντίδα του δι' αὐτοὺς καὶ φανερώνων τὴν ἀπερίγραπτον ἀγάπην του δι' αὐτούς, διότι εἰς τὸ ἑξῆς ἐφρόντιζε δι' αὐτοὺς ὡσὰν ἰδικούς του, διδάσκων εἰς αὐτοὺς τὴν μητέρα τῶν ἀγαθῶν, τὴν ταπεινοφροσύνην, διὰ τὴν ὁποίαν εἶπεν ὅτι εἶναι ἀρχὴ καὶ τέλος τῆς ἀρετῆς. Δὲν ἀνεφέρθη δὲ τυχαῖα τὸ «ἐξῆλθεν ἀπὸ τὸν Θεὸν καὶ μεταβαίνει πρὸς τὸν Θεόν», ἀλλὰ διὰ νὰ μάθωμεν ὅτι ἔπραττεν ἔργα ἄξια ἐκείνου ποὺ ἦλθεν ἀπὸ ἐκεῖ καὶ μεταβαίνει ἐκεῖ, κατασυντρίβων κάθε ἀλαζονείαν. «Καὶ ἀφοῦ ἐσηκώθη ἀπὸ τὴν τράπεζαν καὶ ἔθεσε κάπου τὰ ἐνδύματά του τὰ ἐξωτερικά».

2. Πρόσεχε πῶς ὄχι μόνον μὲ τὸ ὅτι ἔνιψε τὰ πόδια των, ἀλλὰ καὶ μὲ ἄλλον τρόπον διδάσκει τὴν ταπεινοφροσύνην· (διότι δὲν ἐσηκώθη πρὶν καθήσουν οἱ μαθηταί, ἀλλ' ἀφοῦ ἐκάθησαν ὅλοι)· ἔπειτα δὲν τοὺς νίπτει ἁπλῶς, ἀλλ' ἀφοῦ ἔβγαλε τὰ ἐξωτερικὰ ἐνδύματα· καὶ δὲν ἐσταμάτησε μόνον εἰς αὐτά, ἀλλὰ ἐζώσθη καὶ ποδιάν· καὶ οὔτε εἰς αὐτὸ ἠρκέσθη, ἀλλὰ καὶ ὁ ἴδιος ἐγέμισε τὸν νιπτῆρα καὶ δὲν ἐπρόσταξε κάποιον ἄλλον, ἀλλὰ ὅλα αὐτὰ τὰ κάμνει μόνος, δεικνύων μὲ ὅλα, ὅτι δὲν πρέπει νὰ τὰ κάμνωμεν τὰ παρόμοια πράγματα, ὅταν εὐεργετῶμεν, ἀπὸ ὑποχρέωσιν, ἀλλὰ μὲ ὅλην τὴν προθυμίαν μας. Ἐγὼ δὲ νομίζω ὅτι πρῶτα ἔνιψε τὰ πόδια τοῦ προδότου, συμπεραίνων αὐτὸ ἀπὸ τὸ ὅτι εἶπεν, «Ἤρχισε νὰ νίπτη τὰ πόδια τῶν μα-

ξατο νίπτειν τοὺς πόδας τῶν μαθητῶν», καὶ ἐπαγαγεῖν «Ἔρχεται πρὸς Σίμωνα Πέτρον, καὶ λέγει αὐτῷ ἐκεῖνος· Κύριε, σύ μου νίπτεις τοὺς πόδας;». Ταῖς χερσὶ ταύταις, φησίν αἷς ὀφθαλμοὺς ἀνέῳξας, καὶ λεπροὺς ἐκάθηρας, καὶ νεκροὺς ἀνέστησας; Πολλὴν γὰρ ἔμφασιν καὶ τοῦτο ἔχει· διόπερ οὐδὲ ἐδέησεν αὐτῷ τι πλέον εἰπεῖν, ἢ τὸ «σύ»· καὶ γὰρ καθ' ἑαυτὸ ἱκανὸν ἦν τὸ πᾶν ἐνδείξασθαι.

Ζητήσειε δ' ἄν τις εἰκότως, πῶς οὐδεὶς αὐτὸν τῶν ἄλλων ἐκώλυσεν, ἀλλὰ Πέτρος μόνος, ὅπερ οὐ μικροῦ φίλτρου καὶ αἰδοῦς ἦν. Τίς οὖν ἐστιν ἡ αἰτία; Ἐμοὶ δοκεῖ πρότερον τὸν προδότην νίψαι, εἶτα πρὸς τὸν Πέτρον ἐλθεῖν, καὶ τοὺς ἄλλους ἀπ' ἐκείνου παιδευθῆναι λοιπόν. Ὅτι μὲν οὖν ἄλλον τινὰ πρὸ αὐτοῦ ἔνιψε δῆλον ἐκ τοῦ εἰπεῖν· «Ὅτε δὲ ἦλθε πρὸς Πέτρον»· ἀλλ' οὐκ ἔστι σφοδρὸς κατήγορος ὁ Εὐαγγελιστής· τὸ γὰρ «ἤρξατο», τοῦτό ἐστιν αἰνιττομένου· εἰ δὲ καὶ ὁ Πέτρος πρῶτος ἦν, ἀλλ' εἰκὸς τὸν προδότην, ἰταμὸν ὄντα, καὶ πρὸ τοῦ κορυφαίου κατακλιθῆναι· καὶ γὰρ καὶ ἑτέρωθεν τὸ ἰταμὸν αὐτοῦ δείκνυται, ὅταν βάπτῃ μετὰ τοῦ Διδασκάλου, καὶ ὅταν ἐλεγχόμενος μὴ κατανύσσηται. Ἀλλ' ὁ μὲν Πέτρος, ἅπαξ ἐπιτιμηθεὶς ἐν τοῖς ἔμπροσθεν καὶ ταῦτα ἀπὸ φιλοστοργίας τὰ ῥήματα εἰπών, οὔτε συνεστάλη, ὡς καὶ ἀγωνιῶν καὶ τρέμων ἑτέρου δεηθῆναι πρὸς τὴν ἐρώτησιν, οὗτος δέ, συνεχῶς ἐλεγχόμενος, οὐκ ᾐσθάνετο. Ὅτε γοῦν ἦλθε πρὸς τὸν Πέτρον, «λέγει αὐτῷ ἐκεῖνος· Κύριε, σύ μου νίπτεις τοὺς πόδας; Λέγει αὐτῷ· Ὃ ἐγὼ ποιῶ, σὺ οὐκ οἶδας ἄρτι, γνώσῃ δὲ μετὰ ταῦτα»· τουτέστι, τὸ κέρδος ὅσον τὸ ἐκ τούτου, τὴν ὠφέλειαν τῆς διδασκαλίας, καὶ πῶς ἱκανὸν εἰς πᾶσαν ἀγαγεῖν ταπεινοφροσύνην ἡμᾶς.

Τί οὖν ὁ Πέτρος; Ἔτι κωλύει καὶ λέγει· «Οὐ μὴ νίψῃς τοὺς πόδας μου εἰς τὸν αἰῶνα». Τί ποιεῖς, ὦ Πέτρε;

---

14. Ἰω. 13, 24.

θητῶν» καὶ προσέθεσεν· «Ἔρχεται πρὸς τὸν Σίμωνα Πέτρον καὶ λέγει εἰς αὐτὸν ἐκεῖνος· Κύριε, σὺ νίπτεις τὰ πόδια μου;». Μὲ αὐτὰ τὰ χέρια, λέγει, μὲ τὰ ὁποῖα ἤνοιξες ὀφθαλμοὺς καὶ λεπροὺς ἐκαθάρισες καὶ νεκροὺς ἀνέστησες; διότι αὐτὸ ποὺ εἶπεν περιέχει πολλὴν ἔκφρασιν· καὶ διὰ τοῦτο ἀκριβῶς δὲν ἐχρειάσθη νὰ εἰπῇ κάτι ἐπὶ πλέον, παρὰ τὸ «σύ»· καθ' ὅσον αὐτὸ καθ' ἑαυτὸ ἦτο ἱκανὸν νὰ φανερώσῃ τὸ πᾶν.

Ἀλλὰ φυσικὸν εἶναι νὰ ἐρωτήσῃ κάποιος, πῶς κανεὶς ἀπὸ τοὺς ἄλλους δὲν τὸν ἠμπόδισε νὰ τὸν νίψῃ παρὰ μόνον ὁ Πέτρος, πρᾶγμα ποὺ ἦτο δεῖγμα ὄχι μικρᾶς ἀγάπης καὶ σεβασμοῦ. Ποία λοιπὸν εἶναι ἡ αἰτία; Ἐγὼ νομίζω ὅτι πρῶτα ἔνιψε τὸν προδότην, ἔπειτα ἦλθε πρὸς τὸν Πέτρον, καὶ εἰς τὴν συνέχειαν καὶ οἱ ἄλλοι ἐδιδάχθησαν ἀπὸ ἐκεῖνον. Τὸ ὅτι βέβαια ἔνιψε πρὶν ἀπὸ αὐτὸν κάποιον ἄλλον γίνεται φανερὸν ἀπὸ τὸ ὅτι εἶπεν· «Ὅταν δὲ ἦλθε πρὸς τὸν Πέτρον»· ἀλλὰ δὲν εἶναι σφοδρὸς κατήγορος ὁ Εὐαγγελιστής· διότι τὸ «ἤρχισεν», αὐτὸ ὑπονοεῖ· ἀλλὰ καὶ ἂν ἀκόμη ὁ Πέτρος ἦτο πρῶτος, φυσικὸν ὅμως ἦτο ὁ προδότης, ποὺ ἦτο θρασύς, νὰ προηγήθῃ τοῦ κορυφαίου· καθ' ὅσον καὶ ἀπὸ ἀλλοῦ δείχνει τὴν θρασύτητά του, ὅπως ὅταν ἐβούτηξε τὸ χέρι του εἰς τὸ πιάτον μαζὶ μὲ τὸν διδάσκαλον καὶ ὅταν, ἐλεγχόμενος, δὲν συγκινεῖται. Ἀλλ' ὁ μὲν Πέτρος, ἐπιτιμηθεὶς μίαν φορὰν προηγουμένως, καὶ ἂν καὶ τὰ λόγια αὐτὰ τὰ εἶπεν ἀπὸ φιλοστοργίαν, τόσον πολὺ συνεστάλη, ὥστε, κυριευθεὶς ἀπὸ ἀγωνίαν καὶ τρόμον, ἐχρειάσθη ἄλλο πρόσωπον διὰ νὰ ἐρωτήσῃ[14], ἐνῷ αὐτός, ἂν καὶ συνεχῶς ἐλέγχεται, ἔμεινεν ἀναίσθητος. Ὅταν λοιπὸν ἦλθε πρὸς τὸν Πέτρον, «λέγει εἰς αὐτὸν ἐκεῖνος· Κύριε, σὺ νίπτεις τὰ πόδια μου; Λέγει εἰς αὐτόν· Αὐτὸ ποὺ ἐγὼ κάμνω, σὺ δὲν τὸ καταλαβαίνεις τώρα, θὰ τὸ ἀντιληφθῇς μετά»· δηλαδὴ πόσον εἶναι τὸ κέρδος ἀπὸ αὐτό, τὴν ὠφέλειαν τῆς διδασκαλίας, καὶ πῶς αὐτὸ εἶναι ἱκανὸν νὰ μᾶς ὁδηγήσῃ εἰς πλήρη ταπεινοφροσύνην.

Τί κάμνει λοιπὸν ὁ Πέτρος; Ἀκόμη τὸν ἐμποδίζει καὶ λέγει· «Δὲν θὰ νίψῃς τὰ πόδια μου ποτέ». Τί κάμνεις,

οὐ μέμνησαι τῶν προτέρων ῥημάτων; οὐκ εἶπας, «Ἵλεώς σοι», καὶ ἤκουσας, «Ὕπαγε ὀπίσω μου Σατανᾶ», καὶ οὐδὲ οὕτω σωφρονίζῃ, ἀλλ' ἔτι σφοδρὸς εἶ; Ναί, φησί· πολὺ γὰρ τὸ γινόμενον καὶ ἐκπλήξεως γέμον. Ἐπεὶ οὖν ἀπὸ πολλῆς ἀγάπης τοῦτο ἔπραττεν ἐκεῖνος ἀπὸ τῆς αὐτῆς αὐτὸν χειροῦται πάλιν καὶ ὁ Χριστός, ὥσπερ οὖν καὶ ἐκεῖ σφοδρῶς ἐπιτιμήσας, καὶ εἰπών, «Σκάνδαλόν μου εἶ», οὕτω καὶ ἐνταῦθα λέγων· «Ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ». Τί οὖν ὁ θερμὸς καὶ διακαής; «Κύριε, μὴ τοὺς πόδας μου μόνον, ἀλλὰ καὶ τὰς χεῖρας, καὶ τὴν κεφαλήν». Καὶ ἐν τῇ παραιτήσει σφοδρός, καὶ ἐν τῇ συγχωρήσει σφοδρότερος γίνεται· ἑκάτερα δὲ ἐξ ἀγάπης. Διὰ τί γὰρ οὐκ εἶπε, τίνος ἕνεκεν ἐποίει τοῦτο, ἀλλ' ἀπειλὴν ἐνέθηκεν; Ὅτι ἐκεῖνος μὲν οὐκ ἂν ἐπείσθη· εἰ γὰρ εἶπεν ὁ Χριστός, 'Ἔασον· διὰ γὰρ τούτου πείθω ὑμᾶς ταπεινοφρονεῖν', ὑπέσχετο ἂν μυριάκις τοῦτο, ὑπὲρ τοῦ μὴ τὸν Δεσπότην τοῦτο ποιῆσαι· νῦν δὲ τί φησιν ὁ Χριστός; Ὃ μάλιστα Πέτρος ἐδεδοίκει καὶ ἔτρεμε, τὸ διασχισθῆναι αὐτοῦ τοῦ Κυρίου· αὐτὸς γάρ ἐστιν ὁ συνεχῶς ἐρωτῶν· «Ποῦ ὑπάγεις;». Διόπερ καὶ ἔλεγεν ὅτι «καὶ τὴν ψυχήν», φησίν, «δώσω ὑπὲρ σοῦ». Εἰ γάρ, ἀκούσας ὅτι «οὐκ οἶδας, ὃ ποιῶ ἐγώ, γνώσῃ δὲ μετὰ ταῦτα», οὐδὲ οὕτως ἀπέστη, πολλῷ μᾶλλον, εἰ ἔμαθε· διὰ γὰρ τοῦτο εἶπε, «Γνώσῃ δὲ μετὰ ταῦτα», εἰδὼς ὅτι, ἐὰν νῦν μάθῃ, ἀντικείσεται ἔτι. Καὶ οὐκ εἶπε Πέτρος, «Δίδαξον οὖν με, ἵνα ἀφῶ', ἀλλά, ὃ πολλῷ σφοδρότερον ἦν, οὐδὲ μαθεῖν ἠνέσχετο, ἀλλ' ἐνίσταται πάλιν, λέγων· «Οὐ

15. Ματθ. 16, 22.
16. Ματθ. 16, 23.
17. Ματθ. 16, 23.
18. Ἰω. 13, 36.
19. Ἰω. 13, 37.

Πέτρε; δὲν ἐνθυμεῖσαι τὰ προηγούμενα λόγια σου; δὲν εἶπες, «ἄς σοῦ δείξῃ εὐσπλαγχνίαν ὁ Θεός»[15], καὶ ἤκουσες «Πήγαινε ὀπίσω μου Σατανᾶ»[16], καὶ οὔτε ἔτσι σωφρονίζεσαι, ἀλλ᾽ ἀκόμη εἶσαι σκληρός; Ναί, λέγει· διότι αὐτὸ ποὺ γίνεται εἶναι μεγάλο καὶ γεμᾶτο ἀπὸ ἔκπληξιν. Ἐπειδὴ λοιπὸν ἐκεῖνος τὸ ἔκαμνεν αὐτὸ ἀπὸ πολλὴν ἀγάπην, ἀπὸ τὴν ἰδίαν ἀγάπην καὶ ὁ Χριστὸς πάλιν τὸν φέρει εἰς τὴν θέσιν του, καὶ ὅπως ἀκριβῶς λοιπὸν ἐκεῖ τὸν ἐπετίμησε μὲ πολλὴν αὐστηρότητα καὶ εἶπε, «Μοῦ εἶσαι σκάνδαλον»[17], ἔτσι καὶ ἐδῶ τοῦ λέγει· «Ἐὰν δὲν σὲ νίψω δὲν ἔχεις θέσιν κοντά μου». Τί ἀπαντᾷ λοιπὸν ὁ θερμὸς καὶ γεμᾶτος ἀπὸ ἀγάπην μαθητής; «Κύριε, νίψε ὄχι μόνον τὰ πόδια μου, ἀλλὰ καὶ τὰ χέρια μου καὶ τὴν κεφαλήν μου». Καὶ ὅταν ἀρνῆται εἶναι σφοδρὸς καὶ γίνεται σφοδρότερος ὅταν συγκατατίθεται· καὶ τὰ δύο τὰ κάμνει ἀπὸ ἀγάπην. Διατί λοιπὸν δὲν εἶπε, διὰ ποῖον λόγον τὸ ἔκαμνεν αὐτό, ἀλλὰ ἁπλῶς τὸν ἠπείλησεν; Διότι ἐκεῖνος δὲν θὰ ἦτο δυνατὸν νὰ πεισθῇ· διότι, ἐὰν ἔλεγεν ὁ Χριστός, ‘Ἄφησέ με, διότι μὲ αὐτὸ θέλω νὰ σᾶς πείσω νὰ εἶσθε ταπεινόφρονες’, θὰ παρεκάλει μυρίας φορὰς νὰ μὴ τοῦ τὸ κάνῃ αὐτὸ ὁ Κύριος· τώρα ὅμως τί λέγει ὁ Χριστός; Ἐκεῖνο διὰ τὸ ὁποῖον πρὸ πάντων ἐφοβεῖτο καὶ ἔτρεμεν ὁ Πέτρος, τὸ ν᾽ ἀποχωρισθῇ δηλαδὴ τὸν Κύριον· διότι αὐτὸς εἶναι ἐκεῖνος ποὺ συνεχῶς ἐρωτᾷ· «Ποῦ πηγαίνεις;»[18]. Καὶ ἀκριβῶς διὰ τοῦτο ἔλεγε, «καὶ τὴν ζωήν μου», λέγει, «θὰ δώσω δι᾽ ἐσένα»[19]. Διότι, ἐάν, καὶ ὅταν ἤκουσε τὸ «δὲν καταλαβαίνεις αὐτὸ ποὺ κάμνω ἐγώ, θὰ τὸ ἀντιληφθῇς ὅμως εἰς τὴν συνέχειαν», οὔτε καὶ ἔτσι ὑπεχώρησε, πολὺ περισσότερον θὰ ἠρνεῖτο ἐὰν ἐμάθαινε τὸν λόγον· διότι διὰ τοῦτο εἶπε, «θὰ τὸ ἀντιληφθῇς μετά», γνωρίζων ὅτι, ἐὰν τὸ μάθῃ τώρα, θὰ ἐπιμείνῃ ἀκόμη περισσότερον εἰς τὴν ἄρνησίν του. Καὶ δὲν εἶπεν ὁ Πέτρος, ‘ἐξήγησέ μου λοιπὸν αὐτὴν τὴν ἐνέργειάν σου διὰ νὰ σὲ ἐπιτρέψω’, ἀλλὰ κάμνει αὐτὸ ποὺ ἦτο πολὺ πιὸ σφοδρότερον, δὲν ἤθελεν οὔτε νὰ μάθῃ, ἀλλ᾽ ἀρνεῖται καὶ πάλιν, λέγων· «Δὲν θὰ νίψῃς ποτὲ τὰ πόδια

μὴ νίψῃς μου τοὺς πόδας». Ἐπειδὴ δὲ ἠπείλησεν, εὐθέως ἐχάλασε τὸν τόνον.

Τί δέ ἐστι, «Γνώσῃ μετὰ ταῦτα»; Μετὰ ταῦτα· πότε; Ὅταν τῷ ἐμῷ ὀνόματι δαιμόνια ἐκβάλῃς, φησίν, ὅταν ἴδῃς εἰς τοὺς οὐρανοὺς ἀναλαμβανόμενον, ὅταν παρὰ τοῦ Πνεύματος μάθῃς ὅτι ἐκ δεξιῶν κάθημαι τότε εἴσῃ τὸ νῦν γινόμενον. Τί οὖν ὁ Χριστός; Ἐπειδὴ εἶπεν ὁ Πέτρος, «Μὴ τοὺς πόδας μου μόνον, ἀλλὰ καὶ τὰς χεῖρας καὶ τὴν κεφαλήν», ὁ «λελουμένος», φησίν, «οὐ χρείαν ἔχει, εἰ μὴ τοὺς πόδας νίψασθαι μόνον, ἀλλ' ἔστι καθαρὸς ὅλος· καὶ ὑμεῖς καθαροί ἐστε, ἀλλ' οὐχὶ πάντες· ᾔδει γὰρ τὸν παραδιδόντα αὐτόν». Καὶ εἰ καθαροί εἰσι, τίνος ἕνεκεν νίπτεις τοὺς πόδας; Ὥστε ἡμᾶς μετριάζειν μαθεῖν. Διὰ τοῦτο οὐκ ἐφ' ἕτερον μέρος ἦλθεν, ἀλλ' ὃ τῶν ἄλλων ἀτιμότερον εἶναι δοκεῖ.

Τί δέ ἐστιν, «Ὁ λελουμένος»; Ἀντὶ τοῦ 'ὁ καθαρός'. Ἆρ' οὖν αὐτοὶ καθαροὶ ἦσαν οἵ γε οὐδέπω τῶν ἁμαρτημάτων ἦσαν ἀπηλλαγμένοι, οὐδὲ Πνεύματος ἠξιωμένοι, ἅτε τῆς ἁμαρτίας ἔτι κρατούσης, τῆς κατάρας τοῦ χειρογράφου μένοντος, τοῦ ἱερείου οὐδέπω προσενεχθέντος, πῶς οὖν αὐτοὺς καθαροὺς εἶναι λέγει; Ἀλλ' ἵνα μὴ διὰ ταῦτα νομίσῃς αὐτοὺς καθαρούς, ὡς ἁμαρτημάτων ἀπηλλαγμένους, ἐπήγαγεν· «Ἤδη ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον, ὃν ἐλάλησα ὑμῖν»· τουτέστι, ταύτῃ τέως ἐστὲ καθαροί· ἤδη τὸ φῶς ἐδέξασθε, ἤδη τῆς πλάνης ἀπηλλάγητε τῆς Ἰουδαϊκῆς· καὶ γὰρ ὁ Προφήτης φησί· «Λούσασθε, καθαροὶ γίνεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν». Ὥστε ὁ τοιοῦτος λέλουται καὶ καθαρός ἐστιν. Ἐπεὶ οὖν πᾶσαν πονηρίαν ἔρριψαν ἀπὸ τῆς ψυχῆς ἐκεῖνοι, καὶ μετὰ εἰλικρινοῦς διανοίας συνῆσαν αὐτῷ, διὰ τοῦτό φησι κατὰ τὸν προφητικὸν λόγον· «Ὁ λελουμένος

20. Ἰω. 15, 3.
21. Ἡσ. 1, 16.

μου». Ὅταν ὅμως τὸν ἠπείλησεν, ἀμέσως ἐχαλάρωσε τὴν ἄρνησίν του.

Τί σημαίνει δὲ «Γνώση μετὰ ταῦτα»; Μετὰ ἀπὸ αὐτά· πότε; Ὅταν ἐπ' ὀνόματί μου ἐκβάλλῃς δαιμόνια, λέγει, ὅταν μὲ ἰδῇς νὰ ἀνεβαίνω εἰς τοὺς οὐρανούς, ὅταν μάθης ἀπὸ τὸ Πνεῦμα ὅτι κάθομαι εἰς τὰ δεξιὰ τοῦ Πατρός, τότε θ' ἀντιληφθῇς αὐτὸ ποὺ γίνεται τώρα. Τί λέγει λοιπὸν ὁ Χριστός; Ἐπειδὴ εἶπεν ὁ Πέτρος, «Νίψε ὄχι μόνον τὰ πόδια μου, ἀλλὰ καὶ τὰ χέρια μου καὶ τὴν κεφαλήν μου», λέγει· «Ὁ λουσμένος δὲν ἔχει ἀνάγκην, παρὰ μόνον νὰ νίψῃ τὰ πόδια του, διότι εἶναι ὅλος καθαρός· καὶ σεῖς εἴσθε καθαροί, ἀλλ' ὄχι ὅλοι· διότι ἐγνώριζεν αὐτὸν ποὺ θὰ τὸν παρέδιδεν». Καί, ἐὰν εἶναι καθαροί, διὰ ποῖον λόγον νίπτεις τὰ πόδια των; Διὰ νὰ μᾶς διδάξῃ νὰ εἴμεθα μετριόφρονες. Διὰ τοῦτο δὲν προέβη εἰς ἄλλην ἐνέργειαν, ἀλλ' εἰς ἐκείνην ποὺ θεωρεῖται ἡ πιὸ ὑποτιμητικὴ ἀπὸ ὅλας τὰς ἄλλας.

Τί σημαίνει ὅμως, «Ὁ λελουμένος»; Ἐλέχθη ἀντὶ τοῦ 'ὁ καθαρός'. Ἄρά γε λοιπὸν αὐτοὶ ἦσαν καθαροί; Ἐὰν λοιπὸν αὐτοὶ δὲν ἦσαν ἀκόμη ἀπηλλαγμένοι ἀπὸ τὰ ἁμαρτήματά των, οὔτε εἶχον λάβει τὸ Πνεῦμα, καθ' ὅσον ἀκόμη ἐκυριάρχει ἡ ἁμαρτία καὶ τὸ χειρόγραφον τῆς κατάρας παρέμενε καὶ τὸ θῦμα δὲν εἶχεν ἀκόμη ὁδηγηθῇ εἰς τὴν θυσίαν, πῶς τότε λέγει ὅτι αὐτοὶ εἶναι καθαροί; Διὰ νὰ μὴ νομίσῃς ὅμως ἐξ αἰτίας αὐτοῦ ὅτι εἶναι καθαροί, δηλαδὴ ἀπηλλαγμένοι ἀπὸ τὰ ἁμαρτήματά των, ἐπρόσθεσεν· «Ἤδη σεῖς εἴσθε καθαροὶ ἐξ αἰτίας αὐτῶν ποὺ σᾶς ἐδίδαξα»[20]· δηλαδὴ τώρα εἴσθε καθαροὶ ὑπ' αὐτὴν τὴν ἔννοιαν· ἐδέχθητε ἤδη τὸ φῶς καὶ ἀπηλλάγητε ἀπὸ τὴν Ἰουδαϊκὴν πλάνην· καθ' ὅσον λέγει ὁ προφήτης· «Λουσθεῖτε, καθαρισθεῖτε, ἐκδιώξατε τὰς πονηρίας ἀπὸ τὰς ψυχάς σας»[21]. Ὥστε ὁ παρόμοιος ἄνθρωπος εἶναι λουσμένος καὶ καθαρός. Ἐπειδὴ λοιπὸν ἀπέρριψαν ἀπὸ τὴν ψυχήν των κάθε πονηρίαν καὶ εὑρίσκοντο πλησίον του μὲ εἰλικρινῆ διάθεσιν, διὰ τοῦτο τοὺς ὁμιλεῖ σύμφωνα μὲ τὸν προφητικὸν λόγον· «Ὁ λουσμένος ἤδη εἶναι καθαρός»· καθ' ὅσον ἐκεῖ

ἤδη καθαρός ἐστι»· καὶ γὰρ ἐκεῖ λουτρὸν οὐ τὸ δι᾽ ὕδατος λέγει τὸ Ἰουδαϊκόν, ἀλλὰ τὸν τῆς συνειδήσεως καθαρμόν.

3. Γενώμεθα τοίνυν καὶ ἡμεῖς καθαροί· μάθωμεν καλὸν ποιεῖν. Τί δέ ἐστι τὸ καλόν; «Κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χήραν· καὶ δεῦτε, καὶ διαλεχθῶμεν, λέγει Κύριος». Πολὺς οὗτος ὁ λόγος ἐν ταῖς Γραφαῖς τῶν χηρῶν καὶ τῶν ὀρφανῶν, ἀλλ᾽ ἡμῖν οὐδεὶς τούτου λόγος· καίτοι γε ἐννόησον ἡλίκον τὸ ἔπαθλον. «Ἐὰν ὦσι», φησίν, «αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευκανῶ»· καὶ γὰρ ἀπροστάτευτον ἡ χήρα· διὰ τοῦτο πολλὴν ὑπὲρ αὐτῆς ποιεῖται σπουδήν· καὶ γὰρ παρὸν δευτέροις ὁμιλῆσαι γάμοις, διὰ τὸν τοῦ Θεοῦ φόβον τὰ ἀπὸ τῆς χηρείας ὑπομένουσι δεινά.

Ὀρέγωμεν τοίνυν αὐταῖς χεῖρα ἅπαντες, καὶ ἄνδρες καὶ γυναῖκες, ἵνα μή ποτε ὑποστῶμεν τὰ τῆς χηρείας. Κἂν ὑποστῶμεν, πολλὴν ἀποθώμεθα φιλανθρωπίας ἡμῖν ἀφορμήν. Οὐ μικρὰ δύναμις τῶν δακρύων τῆς χήρας ἐστίν, ἀλλὰ καὶ αὐτὸν τὸν οὐρανὸν διανοῖξαι δύναται. Μὴ τοίνυν αὐταῖς ἐπεμβαίνωμεν, μηδὲ χείρονα ποιῶμεν τὴν συμφοράν, ἀλλὰ παντὶ τρόπῳ βοηθῶμεν. Ἂν οὕτω ποιῶμεν, πολλὴν ἑαυτοῖς περιβαλοῦμεν ἀσφάλειαν καὶ κατὰ τὸν παρόντα καὶ κατὰ τὸν μέλλοντα αἰῶνα· οὐ γὰρ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἐκεῖ ἡμῶν προστήσονται, τὰ πλείονα τῶν ἁμαρτημάτων ἡμῶν διὰ τῆς εἰς αὐτὰς εὐεργεσίας ὑποτεμνόμεναι, καὶ μετὰ παρρησίας ποιοῦσαι παραστῆναι τῷ βήματι τοῦ Χριστοῦ· οὗ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

22. Ἡσ. 1, 17-18.
23. Ἡσ. 1, 19.

δὲν ἐννοεῖ τὸ Ἰουδαϊκὸν λουτρὸν μὲ νερό, ἀλλὰ τὸν καθαρμὸν τῆς συνειδήσεως.

3. Ἂς γίνωμεν λοιπὸν καὶ ἡμεῖς καθαροί· ἂς μάθωμεν νὰ πράττωμεν τὸ καλόν. Ποῖον δὲ εἶναι τὸ καλόν; «Ἀποδώσατε δικαίαν κρίσιν διὰ τὸ ὀρφανὸν καὶ δικαιοσύνην εἰς τὴν χήραν, καὶ ἐλᾶτε νὰ συνομιλήσωμεν, λέγει ὁ Κύριος»[22]. Πολὺς τέτοιος λόγος γίνεται εἰς τὰς Γραφὰς διὰ τὰς χήρας καὶ τὰ ὀρφανά, ἀλλ' εἰς ἡμᾶς δὲν ὑπῆρχε καμμία τέτοια διάθεσις· καὶ σκέψου μάλιστα πόσον μεγάλο εἶναι τὸ ἔπαθλον. «Ἐάν», λέγει, εἶναι αἱ ἁμαρτίαι σας κόκκιναι ὡσὰν τὸν φοινικὸν χρῶμα, θὰ τὰς κάνω λευκὰς ὡσὰν τὸ χιόνι· ἐὰν δὲ εἶναι ὡσὰν τὸ κόκκινον χρῶμα, θὰ τὰς κάνω λευκὰς ὡσὰν τὸ λευκὸν μαλλί»[23]· καθ' ὅσον ἡ χήρα δὲν ἔχει προστάτην καὶ διὰ τοῦτο δείχνει πολλὴν φροντίδα δι' αὐτήν· διότι, ἐνῷ ἠμποροῦν νὰ συνάψουν καὶ δεύτερον γάμον, ἐξ αἰτίας ὅμως τοῦ φόβου των πρὸς τὸν Θεὸν ὑπομένουν τὰς συμφορὰς τῆς χηρείας.

Ἂς βοηθῶμεν λοιπὸν ὅλοι αὐτάς, καὶ ἄνδρες καὶ γυναῖκες, διὰ νὰ μὴ ὑποστῶμεν κάποτε τὰς συμφορὰς τῆς χηρείας. Καὶ ἐὰν ἀκόμη συμβῇ νὰ τὰς ὑποστῶμεν, θὰ ἔχωμεν μεγάλην αἰτίαν νὰ τύχωμεν τῆς ἐκ μέρους τοῦ Θεοῦ φιλανθρωπίας. Δὲν εἶναι μικρὴ ἡ δύναμις τῶν δακρύων τῆς χήρας, ἀλλ' ἔχουν τὴν δύναμιν καὶ τὸν ἴδιον τὸν οὐρανὸν ν' ἀνοίξουν. Ἂς μὴ κακομεταχειριζώμεθα λοιπὸν αὐτάς, οὔτε νὰ κάμνωμεν χειροτέραν τὴν συμφοράν των, ἀλλὰ νὰ τὰς βοηθῶμεν μὲ κάθε τρόπον. Ἂν ἔτσι πράττωμεν, θὰ περιβάλωμεν τοὺς ἑαυτούς μας μὲ πολλὴν ἀσφάλειαν καὶ κατὰ τὴν παροῦσαν ζωὴν καὶ κατὰ τὴν μέλλουσαν· διότι ὄχι μόνον ἐδῶ, ἀλλὰ καὶ ἐκεῖ θὰ μᾶς γίνουν ὑπερασπισταί, ἀφαιροῦσαι τὰ περισσότερα ἀπὸ τὰ ἁμαρτήματα μὲ τὴν εὐεργεσίαν ποὺ ἐκάμαμεν πρὸς αὐτὰς καὶ δίδουσαι τὴν δύναμιν μὲ παρρησίαν νὰ σταθῶμεν πρὸ τοῦ βήματος τοῦ Χριστοῦ, πρᾶγμα ποὺ εὔχομαι ὅλοι μας νὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΟΑ΄

Ἰω. 13, 12 - 19

«Καὶ ἔλαβε τὰ ἱμάτια αὐτοῦ καὶ ἀναπεσὼν πάλιν εἶπεν αὐτοῖς· Γινώσκετε τί πεποίηκα ὑμῖν;» καὶ τὰ ἑξῆς.

1. Χαλεπόν, ἀγαπητοί, χαλεπὸν εἰς βάθος κακῶν ἐλθεῖν· λοιπὸν γὰρ δυσδιόρθωτος ἡ ψυχὴ γίνεται. Διὰ τοῦτο χρὴ πάντα πράττειν, ὥστε μὴ ἁλῶναι τὴν ἀρχήν· εὐκολώτερον γὰρ ἐμπεσεῖν ἢ ἐμπεσόντα ἀνακτήσασθαι ἑαυτόν. Ὅρα γοῦν, ἐπειδὴ ἐνέβαλεν ἑαυτὸν ὁ Ἰούδας, πόσης ἀπολαύει βοηθείας, καὶ οὐδὲ οὕτω διανίσταται. Εἶπε πρὸς αὐτὸν ὅτι «εἷς ἐξ ὑμῶν διάβολός ἐστιν», εἶπεν ὅτι «οὐ πάντες πιστεύουσιν», εἶπεν ὅτι «οὐ περὶ πάντων λέγω», καὶ ὅτι «οἶδα ἐγὼ οὓς ἐξελεξάμην», καὶ οὐδενὸς τούτων αἰσθάνεται. «Ὡς δὲ ἔνιψε τοὺς πόδας καὶ ἀνέλαβε τὰ ἱμάτια αὐτοῦ καὶ κατεκλίθη, φησί· Γινώσκετε τί πεποίηκα ὑμῖν;». Οὐκ ἔτι πρὸς Πέτρον μόνον, ἀλλὰ καὶ πρὸς ἅπαντας διαλέγεται. «Ὑμεῖς φωνεῖτέ με, Ὁ Κύριος καὶ ὁ διδάσκαλος, καὶ καλῶς λέγετε· εἰμὶ γάρ. Ὑμεῖς φωνεῖτέ με». Τὴν κρίσιν αὐτῶν προσλαμβάνει. Εἶτα, ἵνα μὴ τῆς ἐκείνων χάριτος εἶναι δόξῃ τὰ ῥήματα, ἐπάγει· «Εἰμὶ γάρ». Τῷ μὲν οὖν παρ' αὐτῶν τὸν λόγον εἰσαγαγεῖν, εὐθέως ἀνεπαχθῆ ποιεῖ, τῷ δὲ παρ' ἐκείνων εἰσαχθέντα βεβαιῶσαι παρ' ἑαυτοῦ, ἀνύποπτον· «εἰμὶ γάρ», φησίν.

---

1. Ἰω. 6, 70.
2. Ἰω. 6, 64.
3. Ἰω. 13, 18.
4. Αὐτόθι.

ΟΜΙΛΙΑ ΟΑ΄

Ἰω. 13, 12 - 19

«Καὶ ἀφοῦ ἐφόρεσε τὰ ἐνδύματά του καὶ παρεκάθησε πάλιν εἰς τὴν τράπεζαν, εἶπεν εἰς αὐτούς· Γνωρίζετε τί σημαίνει αὐτὸ ποὺ ἔκανα εἰς σᾶς;» κ.λ.π.

1. Εἶναι φοβερόν, ἀγαπητοί, εἶναι φοβερὸν νὰ φθάσῃ κανεὶς εἰς τὸν βυθὸν τῆς κακίας, διότι πλέον καθίσταται δύσκολος ἡ διόρθωσις τῆς ψυχῆς του. Διὰ τοῦτο πρέπει τὰ πάντα νὰ κάμνωμεν, ὥστε νὰ μὴ κυριευθῶμεν ἀπὸ αὐτὴν ἀπὸ τὴν ἀρχήν· διότι εἶναι εὐκολώτερον νὰ μὴ πέσῃ κανεὶς εἰς τὴν κακίαν, παρὰ νὰ ἀνακτήσῃ τὸν ἑαυτόν του ὅταν ἐμπέσῃ εἰς αὐτήν. Πρόσεχε λοιπόν, ἐπειδὴ ὁ Ἰούδας ἐκυριεύθη ἀπὸ τὴν κακίαν, πόσην βοήθειαν λαμβάνει, ἀλλὰ καὶ οὔτε ἔτσι συνέρχεται. Εἶπε πρὸς αὐτὸν ὅτι «ἕνας ἀπὸ σᾶς εἶναι διάβολος»[1], εἶπεν ὅτι «δὲν πιστεύουν ὅλοι»[2], εἶπεν ὅτι «δὲν τὰ λέγω αὐτὰ δι' ὅλους»[3], καὶ ὅτι «γνωρίζω ἐγὼ ποίους ἐξέλεξα»[4] καὶ κανὲν ἀπὸ αὐτὰ δὲν αἰσθάνεται. «Μόλις δὲ ἔνιψε τὰ πόδια των καὶ ἐφόρεσε τὰ ἐνδύματά του καὶ παρεκάθησεν εἰς τὴν τράπεζαν, λέγει· Γνωρίζετε τί σημαίνει αὐτὸ ποὺ ἔκανα εἰς σᾶς;». Δὲν ὁμιλεῖ πλέον μόνον πρὸς τὸν Πέτρον, ἀλλὰ καὶ πρὸς ὅλους. «Σεῖς μὲ ὀνομάζετε, ὁ Κύριος καὶ ὁ διδάσκαλος, καὶ καλῶς μὲ ὀνομάζετε ἔτσι, διότι εἶμαι. Σεῖς μὲ ὀνομάζετε». Ἀποδέχεται τὴν γνώμην των. Ἔπειτα, διὰ νὰ μὴ φανῇ ὅτι τὰ λόγια του λέγονται πρὸς εὐχαρίστησίν των, προσθέτει· «Διότι εἶμαι». Διότι μὲ τὸ νὰ παρουσιάσῃ τὸν λόγον αὐτὸν ὡς ἰδικόν των, κάμνει τὸν λόγον μὴ ἐνοχλητικόν, μὲ τὸ νὰ ἐπιβεβαιώσῃ δὲ καὶ ὁ ἴδιος αὐτὸ ποὺ ἔλεγον ἐκεῖνοι, καθιστᾷ τὸν ἑαυτόν του ἀνύποπτον· «διότι εἶμαι», λέγει..

Ὁρᾷς, ὅταν πρὸς τοὺς μαθητὰς διαλέγηται πῶς ἐκκαλύπτων τὰ καθ' ἑαυτὸν φθέγγεται μᾶλλον; Ὥσπερ οὖν λέγει· «Μὴ καλέσητε διδάσκαλον ἐπὶ τῆς γῆς· εἷς γάρ ὑμῶν ἐστιν ὁ καθηγητής», οὕτω λέγει· «Καὶ μὴ καλέσητε πατέρα ἐπὶ τῆς γῆς». Τὸ δὲ «εἷς» καὶ «εἷς» οὐ περὶ τοῦ Πατρὸς εἴρηται μόνον, ἀλλὰ καὶ περὶ αὐτοῦ· εἰ γὰρ ἑαυτὸν ἐκβάλλων ἔλεγε, πῶς φησιν, «Ἵνα υἱοὶ φωτὸς γένησθε»; Καὶ πάλιν, εἰ διδάσκαλον μόνον ἔλεγε τὸν Πατέρα, πῶς λέγει, «Εἰμὶ γάρ»; καὶ πάλιν· «Εἷς ἐστιν ὑμῶν ὁ καθηγητής, ὁ Χριστός»;

«Εἰ οὖν ἐγώ», φησίν, «ὁ Κύριος καὶ ὁ Διδάσκαλος, ἔνιψα ὑμῶν τοὺς πόδας, καὶ ὑμεῖς ἀλλήλους ὀφείλετε νίπτειν· τοῦτο γὰρ ὑπόδειγμα ἔδωκα ὑμῖν, καθὼς ἐγὼ ἐποίησα ὑμῖν οὕτω καὶ ὑμεῖς ποιῆτε». Καὶ μὴν οὐκ ἔστι τὸ αὐτό· αὐτὸς μὲν γὰρ διδάσκαλος καὶ Κύριος, ὑμεῖς δὲ ἀλλήλων ὁμόδουλοι. Τί οὖν ἐστι τὸ «οὕτω»; Μετὰ τῆς αὐτῆς σπουδῆς· διὰ γὰρ τοῦτο ἀπὸ τῶν μειζόνων πραγμάτων λαμβάνει τὰ παραδείγματα, ἵνα κἂν τὸ ἔλαττον ἐργασώμεθα· καὶ γὰρ οἱ διδάσκαλοι τοῖς παισὶ τὰ γράμματα μετὰ πολλοῦ τοῦ κάλλους γράφουσιν, ἵνα κἂν πρὸς τὸ καταδεέστερον ἔλθωσι τῆς μιμήσεως. Ποῦ νῦν οἱ διαπτύοντες τοὺς ὁμοδούλους; ποῦ νῦν οἱ τὰς τιμὰς ἀπαιτοῦντες; Τοῦ προδότου τοὺς πόδας ὁ Χριστὸς ἔνιψε (τοῦ ἱεροσύλου καὶ κλέπτου, καὶ παρὰ τὸν καιρὸν τῆς προδοσίας) καὶ ἀνιάτως ἔχοντα τραπέζης κοινωνὸν ἐποίησε, καὶ σὺ μέγα φρονεῖς καὶ τὰς ὀφρῦς ἀνασπᾷς;

Τοὺς πόδας οὖν ἀλλήλων νίπτωμεν, φησίν· οὐκοῦν καὶ τῶν οἰκετῶν. Καὶ τί μέγα, εἰ καὶ τῶν οἰκετῶν; Ἐνταῦθα μὲν γὰρ ὁ δοῦλος καὶ ὁ ἐλεύθερος, ὀνομάτων ἐστὶ διαφορά, ἐκεῖ δὲ πραγμάτων ἀλήθεια· φύσει γὰρ αὐτὸς

---

5. Ματθ. 23, 8· 10.
6. Ματθ. 23, 9.
7. Ἰω. 12, 36.
8. Ματθ. 23, 8· 10.

Βλέπεις, ὅταν ὁμιλῇ πρὸς τοὺς μαθητάς του, πῶς ἀποκαλύπτει κατὰ τὴν ὁμιλίαν τὰ σχετικὰ μὲ τὸν ἑαυτόν του; Ὅπως ἀκριβῶς λοιπὸν λέγει· «Μὴ ὀνομάσετε κανένα ἐπάνω εἰς τὴν γῆν διδάσκαλον· διότι ἕνας εἶναι ὁ καθηγητής σας»[5], ἔτσι λέγει· «Καὶ μὴ ὀνομάσετε κανένα ἐπάνω εἰς τὴν γῆν πατέρα σας»[6]. Τὸ δὲ «ἕνας» καὶ «ἕνας» δὲν ἔχει λεχθῆ μόνον διὰ τὸν Πατέρα, ἀλλὰ καὶ δι' αὐτὸν τὸν ἴδιον· διότι, ἐὰν τὸ ἔλεγεν αὐτὸ ἀποκλείων τὸν ἑαυτόν του, πῶς λέγει, «διὰ νὰ γίνετε υἱοὶ φωτός»[7]; Καὶ πάλιν, ἐὰν ὠνόμαζε διδάσκαλον μόνον τὸν Πατέρα, πῶς λέγει, «διότι εἶμαι»; καὶ πάλιν· «Ἕνας εἶναι ὁ καθηγητής σας, ὁ Χριστός»[8];

«Ἐὰν λοιπὸν ἐγώ», λέγει «ὁ Κύριος καὶ ὁ Διδάσκαλος, ἔπλυνα τὰ πόδια σας, καὶ σεῖς ὀφείλετε νὰ πλένετε τὰ πόδια ὁ ἕνας τοῦ ἄλλου· διότι σᾶς ἔδωσα αὐτὸ ὡσὰν παράδειγμα, ὥστε, νὰ κάμνετε καὶ σεῖς αὐτὸ ποὺ ἔκανα ἐγὼ εἰς σᾶς». Καὶ ὅμως δὲν εἶναι τὸ ἴδιο· διότι αὐτὸς μὲν εἶναι διδάσκαλος καὶ Κύριος, ἐνῷ σεῖς εἶσθε μεταξύ σας σύνδουλοι. Τί σημαίνει λοιπὸν τὸ «οὕτω»; Μὲ τὴν ἰδίαν προθυμίαν· διότι διὰ τὸν λόγον αὐτὸν λαμβάνει τὰ παραδείγματα ἀπὸ ἀνώτερα πράγματα, διὰ νὰ κάμωμεν ἔστω καὶ τὸ ἀσήμαντον· καθ' ὅσον καὶ οἱ διδάσκαλοι γράφουν τὰ γράμματα διὰ τὰ παιδιὰ πάρα πολὺ ὡραῖα, ὥστε νὰ τοὺς μιμηθοῦν ἔστω καὶ ὡς πρὸς τὸ ἐλάχιστον. Ποῦ εἶναι τώρα ἐκεῖνοι ποὺ περιφρονοῦν τοὺς συνδούλους των; ποῦ εἶναι τώρα ἐκεῖνοι ποὺ ἀπαιτοῦν τὰς τιμάς; Ὁ Χριστὸς ἔπλυνε τὰ πόδια τοῦ προδότου (τοῦ ἱεροσύλου καὶ κλέπτου καὶ ὀλίγον πρὸ τῆς προδοσίας), καί, ἂν καὶ ἦτο ἀδιόρθωτος, τὸν ἐδέχθη εἰς τὴν ἰδίαν τὴν τράπεζαν, καὶ σὺ μεγαλοφρονεῖς καὶ γίνεσαι ὑπερόπτης;

Τὰ πόδια λοιπόν, λέγει, νὰ πλένωμεν ὁ ἕνας τοῦ ἄλλου· ὁπωσδήποτε βέβαια καὶ τῶν δούλων. Καὶ τί τὸ σπουδαῖον εἶναι ἐὰν πλένωμεν καὶ τῶν δούλων τὰ πόδια; Διότι εἰς μὲν τὴν ἐδῶ ζωὴν ὁ δοῦλος καὶ ὁ ἐλεύθερος εἶναι διαφορετικὰ ὀνόματα, ἐνῷ εἰς τὴν ἄλλην ζωὴν ἀλήθεια πραγμάτων· διότι αὐτὸς ἦτο ἐκ φύσεως Κύριος καὶ ἡμεῖς

Κύριος ἦν, καὶ ἡμεῖς δοῦλοι, καὶ οὐδὲ τοῦτο παρῃτήσαιο νῦν ποιεῖν. Νυνὶ δὲ ἀγαπητόν, εἰ μὴ τοῖς ἐλευθέροις ὡς δούλοις ἡμεῖς χρησαίμεθα, ὡς ἀνδραπόδοις ἀργυρωνήτοις. Καὶ τί ἐροῦμεν τότε, τοσαύτης μὲν ἀνεξικακίας ὑποδείγματα λαβόντες, αὐτοὶ δὲ οὐδὲ μικρὸν μιμούμενοι, ἀλλ' ἐξ ἐναντίας ἑστῶτες καὶ πρὸς διάμετρον ἐπαιρόμενοι καὶ τὴν ὀφειλὴν οὐκ ἀποδιδόντες; Ὀφειλέτας γὰρ ἡμᾶς ἀλλήλων κατέστησεν ὁ Θεός, αὐτὸς κατάρξας τούτου, καὶ ὀφειλέτας ἐλάττονος μοίρας· αὐτὸς μὲν γὰρ Κύριος ἦν, ἡμεῖς δὲ πρὸς τοὺς συνδούλους τοῦτο ποιοῦμεν, ἐὰν ποιήσωμεν· ὃ δὴ καὶ αὐτὸ ἠνίξατο διὰ τοῦ εἰπεῖν· «Εἰ οὖν ἐγώ, ὁ Κύριος καὶ ὁ Διδάσκαλος», καὶ πάλιν· «Οὕτω καὶ ὑμεῖς». Τὸ μὲν γὰρ ἀκόλουθον ἦν εἰπεῖν, «Πόσῳ μᾶλλον ὑμεῖς οἱ δοῦλοι', ἀλλ' ἀφῆκεν αὐτὸ τῷ συνειδότι τῶν ἀκροωμένων. Τί δήποτε δὲ αὐτὸ νῦν πεποίηκεν; Ἔμελλον λοιπὸν τιμῆς ἀπολαύσεσθαι, οἱ μὲν πλείονος, οἱ δὲ ἐλάττονος.

2. Ἵν' οὖν μὴ κατ' ἀλλήλων ἐπαίρωνται, καὶ ταῦτα λέγωσιν, ἃ καὶ πρὸ τούτου «Τίς ἐστι μείζων;», μηδὲ ἀγανακτῶσι πρὸς ἀλλήλους, πάντων αὐτῶν καθαιρεῖ τὰ φρονήματα, λέγων ὅτι 'κἂν σφόδρα ᾖς μέγας, ὀφείλεις ἐπὶ τοῦ ἀδελφοῦ μηδὲν μέγα φρονεῖν'. Καὶ οὐκ εἶπε τὸ μεῖζον, ὅτι, 'εἰ ἐγὼ τοῦ προδότου τοὺς πόδας ἔνιψα, τί μέγα, ἂν ὑμεῖς τοὺς ἀλλήλων;' ἀλλά, διὰ τῶν ἔργων αὐτὸ δηλώσας, εἴασεν ἐν τῇ κρίσει τῶν θεωμένων λοιπόν. Διὰ τοῦτο ἔλεγεν· «Ὃς ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται»· τοῦτο γάρ ἐστι τὸ διδάξαι, τὸ διὰ τῶν ἔργων αὐτὸ

9. Ματθ. 18, 1.
10. Ματθ. 5, 19.

δοῦλοι, ἀλλὰ δὲν ἀπέφυγεν εἰς τὴν περίπτωσιν αὐτὴν καὶ αὐτὸ νὰ τὸ κάμῃ. Τώρα δὲ θὰ ἦτο εὐχῆς ἔργον, ἐὰν δὲν ἐχρησιμοποιούσαμεν τοὺς ἐλευθέρους ὡς δούλους, ὡς δούλους ἀγορασμένους μὲ χρήματα. Καὶ τί θὰ εἴπουμεν τότε, ὅταν ἡμεῖς, ἂν καὶ ἐλάβομεν παραδείγματα τόσον μεγάλης ἀνεξικακίας, δὲν μιμούμεθα αὐτὰ οὔτε εἰς τὸ ἐλάχιστον, ἀλλὰ λαμβάνομεν τὴν ἀντίθετον θέσιν καὶ ὑπερηφανευόμεθα ὅλως ἀντιθέτως καὶ δὲν ἐκτελοῦμεν τὸ χρέος μας; Διότι ὁ Θεὸς κατέστησε τὸν ἕνα ὀφειλέτην τοῦ ἄλλου, ὁ ἴδιος ἔκαμεν ἀρχὴν αὐτῆς τῆς ὀφειλῆς καὶ μάλιστα πρὸς ὀφειλέτας κατωτέρας μοίρας˙ καθ' ὅσον αὐτὸς μὲν ἦτο Κύριος, ἐνῷ ἡμεῖς, ἐὰν τὸ κάμωμεν αὐτό, τὸ κάμνομεν πρὸς τοὺς συνδούλους μας, πρᾶγμα βέβαια ποὺ ὑπηνίχθη μὲ τὰ ἑξῆς λόγια˙ «Ἐὰν λοιπὸν ἐγώ, ὁ Κύριος καὶ Διδάσκαλος» καὶ πάλιν˙ «Ἔτσι καὶ σεῖς». Διότι φυσιολογικὰ ἔπρεπε νὰ εἰπῇ, 'πόσον μᾶλλον σεῖς οἱ δοῦλοι', ἀλλὰ τὸ ἄφησεν αὐτὸ εἰς τὴν συνείδησιν τῶν ἀκροατῶν. Καὶ διατί τέλος πάντων τὸ ἔκαμεν αὐτὸ τώρα; Ἐπρόκειτο εἰς τὴν συνέχειαν ν' ἀπολαύσουν τιμῆς, ἄλλοι μὲν περισσοτέρας, ἄλλοι δὲ μικροτέρας.

2. Διὰ νὰ μὴ ὑπερηφανεύωνται λοιπὸν ὁ ἕνας πρὸς τὸν ἄλλον, καὶ λέγουν αὐτὰ ποὺ ἔλεγον πρὶν ἀπὸ αὐτὸ τὸ γεγονός, «Ποῖος εἶναι μεγαλύτερος;»[9], οὔτε ν' ἀγανακτοῦν μεταξύ των, τοὺς ἀπαλλάσσει ἐξ ὁλοκλήρου ἀπὸ αὐτὰς τὰς σκέψεις, λέγων, 'καὶ ἂν ἀκόμη εἶσαι πάρα πολὺ σπουδαῖος, ὀφείλεις νὰ μὴ ὑπερηφανεύεσαι καθόλου ἀπέναντι εἰς τὸν ἀδελφόν σου'. Καὶ δὲν εἶπεν αὐτὸ ποὺ ἦτο σπουδαιότερον, ὅτι δηλαδή, 'ἐὰν ἐγὼ ἔπλυνα τὰ πόδια τοῦ προδότου, τί τὸ σπουδαῖον, ἐὰν σεῖς πλένετε τὰ πόδια ὁ ἕνας τοῦ ἄλλου;' ἀλλ', ἀφοῦ τὸ ἔκαμεν αὐτὸ φανερὸν μὲ τὰ ἔργα, τὸ ἄφησε πλέον εἰς τὴν κρίσιν αὐτῶν ποὺ τὸν ἔβλεπον. Διὰ τοῦτο ἔλεγεν˙ «Ἐκεῖνος ποὺ θὰ τὰς ἐφαρμόσῃ καὶ θὰ τὰς διδάξῃ αὐτὰς τὰς ἐντολάς, αὐτὸς θὰ ὀνομασθῇ μέγας»[10]˙ καθ' ὅσον αὐτὸ σημαίνει τὸ νὰ τὸ διδάξῃ, τὸ νὰ τὸ πράτῃ αὐτὸ μὲ τὰ ἔργα του˙ διότι αὐτὸ ποίαν ὑπερηφάνειαν δὲν θὰ ἦτο δυνατὸν νὰ ἐξαλείψῃ;

ποιεῖν· τίνα γὰρ οὐκ ἂν τοῦτο τῦφον καθέλοι; ποίαν οὐκ ἂν κενώσειεν ἀπόνοιαν καὶ ἀλαζονείαν; Ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ τοὺς πόδας ἔνιψε τοῦ προδότου, σὺ δέ, ἄνθρωπε, γῆ καὶ σποδὸς ὤν, καὶ τέφρα, καὶ κόνις, ἐπαίρεις σεαυτὸν καὶ μέγα φρονεῖς; καὶ πόσης οὐκ ἂν εἴης ἄξιος γεέννης; Εἰ οὖν ὄντως ἐπιθυμεῖς μεγάλου φρονήματος, δεῦρο, ἐγώ σοι δείξω ὁδόν· οὐδὲ γὰρ οἶδας τί ποτέ ἐστιν. Ὁ τοίνυν τοῖς παροῦσιν ὡς μεγάλοις προσέχων, οὗτος ψυχῆς ἐστιν εὐτελοῦς. Ὥστε οὐδὲ ταπεινοφροσύνη γένοιτ' ἄν, εἰ μὴ μετὰ μεγαλοψυχίας, οὐδὲ φύσημα, εἰ μὴ ἀπὸ μικροψυχίας· καθάπερ γὰρ οἱ παῖδες οἱ μικροὶ πρὸς τὰ εὐτελῆ τῶν πραγμάτων ἐπτόηνται, πρὸς σφαίρας καὶ τροχοὺς καὶ ἀστραγάλους κεχηνότες, τῶν δὲ μεγάλων οὐδὲ ἔννοιαν λαβεῖν δύνανται, οὕτω δὴ καὶ ἐνταῦθα ὁ μὲν φιλοσοφῶν οὐδὲν ἡγήσεται τὰ παρόντα, (οὐκοῦν οὐδὲ αὐτὸς αἱρήσεται κατασχεῖν, οὐδὲ παρ' ἑτέρου αὐτὰ λαβεῖν), ὁ δὲ μὴ τοιοῦτος ἐναντία πείσεται, πρὸς ἀράχνας καὶ σκιὰς καὶ ὀνείρατα καὶ τὰ τούτων ἀδρανέστερα πράγματα ἐπτοημένος.

Ἀμήν, ἀμὴν λέγω ὑμῖν· Οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ, οὐδὲ ἀπόστολος μείζων τοῦ πέμψαντος αὐτόν. Εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε, ἐὰν ποιῆτε αὐτά. Οὐ περὶ πάντων ὑμῶν λέγω, ἀλλ' ἵνα ἡ Γραφὴ πληρωθῇ· Ὁ τρώγων μετ' ἐμοῦ τὸν ἄρτον, ἐπῆρεν ἐπ' ἐμὲ τὴν πτέρναν αὐτοῦ». Ὃ ἀνωτέρω εἶπε τοῦτο καὶ ἐνταῦθα λέγει ἐντρέπων· εἰ γὰρ «οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ, οὐδὲ ἀπόστολος μείζων τοῦ πέμψαντος αὐτόν», παρ' ἐμοῦ δὲ ταῦτα γέγονε, πολλῷ μᾶλλον χρὴ ταῦτα παρ' ὑμῶν

ποίαν μεγαλοφροσύνην καὶ ἀλαζονείαν δὲν θὰ ἦτο δυνατὸν νὰ ἐξαφανίσῃ; Ἐκεῖνος ποὺ κάθεται ἐπάνω εἰς τὰ Χερουβὶμ ἔπλυνε τὰ πόδια τοῦ προδότου, σὺ δέ, ἄνθρωπε, ἂν καὶ εἶσαι χῶμα καὶ στάκτη καὶ τέφρα καὶ σκόνη, ὑψώνεις τὸν ἑαυτόν σου καὶ ὑπερηφανεύεσαι; καὶ πόσης γεέννης τοῦ πυρὸς δὲν θὰ ἦσουν ἄξιος; Ἐὰν λοιπὸν πράγματι ἐπιθυμῇς νὰ μεγαλοφρονῇς, ἔλα, ἐγὼ θὰ σοῦ δείξω τὴν ὁδόν· διότι δὲν γνωρίζεις τί τέλος πάντων εἶναι αὐτό. Αὐτὸς λοιπὸν ποὺ προσέχει τὰ παρόντα ὡς σπουδαῖα πράγματα, αὐτὸς ἔχει εὐτελῆ ψυχήν. Ὥστε οὔτε ταπεινοφροσύνη θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ χωρὶς τὴν μεγαλοψυχίαν, οὔτε ὑπερηφάνεια ἐὰν δὲν ὑπάρχῃ μικροψυχία· διότι, ὅπως ἀκριβῶς τὰ μικρὰ παιδιὰ ἐνθουσιάζονται ἀπὸ τὰ ἀσήμαντα πράγματα, προσέχοντα μὲ ἀνοικτὸν στόμα τὰς σφαίρας καὶ τοὺς τροχοὺς καὶ τοὺς ἀστραγάλους, τὰ δὲ σπουδαῖα πράγματα δὲν ἠμποροῦν οὔτε κἂν νὰ τὰ σκεφθοῦν, ἔτσι λοιπὸν καὶ εἰς τὴν περίπτωσιν αὐτήν, ἐκεῖνος μέν, ποὺ φιλοσοφεῖ τὰ πράγματα τῆς παρούσης ζωῆς θὰ τὰ θεωρήσῃ ἀσήμαντα (οὔτε ὁ ἴδιος δηλαδὴ θὰ προτιμήσῃ νὰ τὰ ἀποκτήσῃ, οὔτε νὰ τὰ λάβῃ ἀπὸ ἄλλον), ἐνῷ ἐκεῖνος ποὺ δὲν ἐξετάζει αὐτὰ μὲ τέτοιαν διάθεσιν θὰ πάθῃ τὰ ἀντίθετα, θὰ δελεασθῇ ἀπὸ τὰς ἀράχνας καὶ τὰς σκιὰς καὶ τὰ ὀνείρατα καὶ τὰ πιὸ ἀσήμαντα ἀπὸ αὐτὰ τὰ πράγματα.

«Ἀλήθεια, ἀλήθεια σᾶς λέγω· Δὲν ὑπάρχει δοῦλος μεγαλύτερος ἀπὸ τὸν κύριόν του, οὔτε ἀπόστολος μεγαλύτερος ἀπὸ ἐκεῖνον ποὺ τὸν ἀπέστειλεν. Ἐὰν αὐτὰ τὰ γνωρίζετε καὶ τὰ ἀντιλαμβάνεσθε θὰ εἶσθε μακάριοι ἐὰν τὰ πράττετε. Δὲν τὰ λέγω αὐτὰ δι' ὅλους σας, ἀλλὰ διὰ νὰ πληρωθῇ ἡ Γραφή· Ἐκεῖνος ποὺ τρώγει μαζί μου τὸν ἄρτον, ἐσήκωσεν ἐναντίον μου τὴν πτέρναν του καὶ μὲ ἐλάκτισεν». Ἐκεῖνο ποὺ εἶπε προηγουμένως, αὐτὸ καὶ ἐδῶ λέγει διὰ νὰ τοὺς κάνῃ νὰ νοιώσουν ἐντροπήν· διότι, ἐὰν «δὲν ὑπάρχῃ δοῦλος μεγαλύτερος ἀπὸ τὸν κύριόν του, οὔτε ἀπόστολος μεγαλύτερος ἀπὸ ἐκεῖνον ποὺ τὸν ἀπέστειλεν», ἀλλ' αὐτὰ ἐπετελέσθησαν ἀπὸ ἐμένα, πολὺ περισσότερον πρέπει αὐτὰ νὰ πραχθοῦν ἀπὸ σᾶς. Ἔπειτα, διὰ

γενέσθαι. Εἶτα ἵνα μή τις εἴπῃ· Τί δήποτε ταῦτα λέγεις; νῦν γὰρ οὐκ οἴδαμεν', προσέθηκε τοῦτο αὐτό· Οὐχ ὡς ἀγνοοῦσι ταῦτα λέγω, ἀλλ' ἵνα διὰ τῶν ἔργων ἐπιδείξητε τὰ λεγόμενα· τὸ μὲν γὰρ εἰδέναι πάντων, τὸ δὲ ποιεῖν οὐ πάντων'· διὰ γὰρ τοῦτο εἶπε· «Μακάριοί ἐστε, ἐὰν ποιῆτε αὐτά». Διὰ δὴ τοῦτο αὐτὸ συνεχῶς καὶ ἐγὼ ἀεὶ λέγω, καίτοι γε εἰδότων ὑμῶν, ἵνα εἰς τὸ ἔργον ὑμᾶς ἐμβιβάσω· ἐπεὶ καὶ Ἰουδαῖοι οἴδασιν, ἀλλ' οὐκ εἰσι μακάριοι· οὐ γὰρ ποιοῦσιν αὐτά.

«Οὐ περὶ πάντων», φησίν, «ὑμῶν λέγω». Βαβαὶ τῆς ἀνεξικακίας! οὐδέπω τὸν προδότην ἐλέγχει, ἀλλὰ συσκιάζει τὸ πρᾶγμα, ἐντεῦθεν διδοὺς αὐτῷ μετανοίας χώραν. Καὶ ἐλέγχει, καὶ οὐκ ἐλέγχει, οὕτω λέγων· «Ὁ τρώγων μετ' ἐμοῦ τὸν ἄρτον, ἐπῆρεν ἐπ' ἐμὲ πτέρναν». Δοκεῖ δέ μοι καὶ τὸ «οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ» καὶ πρὸς τοῦτο εἰρῆσθαι, ἵνα, εἴ ποτε παρὰ οἰκετῶν, ἢ παρά τινων εὐτελεστέρων πάθοιέν τινες κακόν, μὴ σκανδαλίζωνται εἰς τὸ κατὰ τὸν Ἰούδαν ἀφορῶντες παράδειγμα, ὅς, μυρίων ἀπολαύσας ἀγαθῶν, τοῖς ἐναντίοις ἠμείβετο τὸν εὐεργέτην. Διὸ καὶ ἐπήγαγεν, «Ὁ τρώγων μετ' ἐμοῦ τὸν ἄρτον», καί, πάντα τὰ ἄλλα παρείς, τοῦτο, ὃ μάλιστα ἱκανὸν ἦν αὐτὸν κατασχεῖν καὶ ἐντρέψαι, τέθεικεν· «Ὁ παρ' ἐμοῦ τρεφόμενος, ὁ παρ' ἐμοῦ τραπέζης κοινωνῶν», φησί. Ταῦτα δὲ ἔλεγε, παιδεύων αὐτοὺς τοὺς κακῶς ποιοῦντας εὐεργετεῖν, κἂν μένωσιν ἀνιάτως ἔχοντες. Εἰπὼν δέ, «Οὐ περὶ πάντων ὑμῶν λέγω», ἵνα μὴ εἰς πολλοὺς περιστήσῃ τὸ δέος, ἀποσχίζει λοιπὸν αὐτόν, οὕτω λέγων· «Ὁ τρώγων μετ' ἐμοῦ τὸν ἄρτον»· τὸ γὰρ «οὐ περὶ πάντων» οὐ πάντως

νὰ μὴ εἰπῇ κάποιος, 'Διατί τέλος πάντων τὰ λέγεις αὐτά; διότι τώρα δὲν γνωρίζομεν', ἐπρόσθεσεν αὐτὸ τό ἴδιο' 'Δὲν τὰ λέγω αὐτὰ σκεπτόμενος ὅτι τὰ ἀγνοεῖτε, ἀλλὰ διὰ νὰ παρουσιάσετε τὰ λεγόμενα μὲ τὰ ἔργα σας' διότι τὸ νὰ τὰ γνωρίσουν μέν ἀνήκει εἰς ὅλους, τὸ νὰ τὰ πράξουν ὅμως δὲν εἶναι ἔργον ὅλων'' καὶ ἀκριβῶς διὰ τοῦτο εἶπε, «Θὰ εἶσθε μακάριοι, ἐὰν τὰ πράττετε αὐτά». Διὰ τοῦτο λοιπὸν καὶ ἐγὼ συνεχῶς αὐτὸ λέγω πάντοτε, ἂν καὶ βέβαια τὸ γνωρίζετε, διὰ νὰ σᾶς ὁδηγήσω εἰς τὴν πραγματοποίησιν αὐτοῦ' διότι καὶ οἱ Ἰουδαῖοι τὰ γνωρίζουν, ἀλλὰ δὲν εἶναι μακάριοι' καθ' ὅσον δὲν τὰ πράττουν αὐτά.

«Δὲν τὰ λέγω», λέγει, «αὐτὰ δι' ὅλους σας». Πώ, πώ μέγεθος ἀνεξικακίας! δὲν ἐλέγχει ἀκόμη τὸν προδότην, ἀλλὰ συγκαλύπτει τὸ πρᾶγμα, δίδων ἔτσι εἰς αὐτὸν εὐκαιρίαν πρὸς μετάνοιαν. Καὶ ἐλέγχει καὶ δὲν ἐλέγχει, λέγων τὰ ἑξῆς' «Αὐτὸς ποὺ τρώγει μαζί μου τὸν ἄρτον, ἐσήκωσεν ἐναντίον μου τὴν πτέρναν». Ἔχω δὲ τὴν ἐντύπωσιν, ὅτι καὶ τὸ «δὲν ὑπάρχει δοῦλος μεγαλύτερος ἀπὸ τὸν κύριόν του» ἐλέχθη καὶ πρὸς αὐτὸν τὸν σκοπόν, ὥστε, ἐὰν κάποτε κάποιοι ἤθελον πάθει κακὸν ἀπὸ δούλους ἢ ἀπὸ κάποιους ἄλλους κατωτέρας ἀξίας, νὰ μὴ σκανδαλίζωνται, ἔχοντες ἐστραμμένην τὴν προσοχήν των εἰς τὸ παράδειγμα σχετικὰ μὲ τὸν Ἰούδα, ὁ ὁποῖος, ἂν καὶ ἀπήλαυσε μυρίων ἀγαθῶν, ἤμειβε τὸν εὐεργέτην του μὲ τὰ ἀντίθετα. Διὰ τοῦτο καὶ ἐπρόσθεσεν' «Αὐτὸς ποὺ τρώγει μαζί μου τὸν ἄρτον», καί, ἀφοῦ παρέλειψεν ὅλα τὰ ἄλλα, προσέθεσεν αὐτὸ ποὺ ἦτο ἱκανὸν περισσότερον ἀπὸ ὅλα νὰ τὸν συγκρατήσῃ καὶ νὰ τὸν κάνῃ νὰ νοιώσῃ ἐντροπήν' 'Αὐτὸς ποὺ τρώγει', λέγει, 'μαζί μου, αὐτὸς ποὺ μετέχει μαζί μου εἰς τὴν τράπεζαν'. Αὐτὰ δὲ τὰ ἔλεγε διὰ νὰ τοὺς διδάξῃ νὰ εὐεργετοῦν ἐκείνους ποὺ τοὺς κάνουν κακόν, καὶ ἂν ἀκόμῃ ἐξακολουθοῦν νὰ εἶναι ἀδιόρθωτοι. Ἀφοῦ δὲ εἶπεν, «Δὲν τὰ λέγω αὐτὰ δι' ὅλους σας», διὰ νὰ μὴ ἐμβάλῃ εἰς πολλοὺς τὸν φόβον, διαχωρίζει πλέον αὐτόν, λέγων τὰ ἑξῆς' «Αὐτὸς ποὺ τρώγει μαζί μου τὸν ἄρτον»' διότι τὸ «ὄχι δι' ὅλους», ὁπωσδήποτε δὲν περιώριζε τὸν λόγον εἰς ἕνα'

εἰς ἕνα περιίστη τὸν λόγον· διὸ ἐπήγαγεν· «Ὁ τρώγων μετ' ἐμοῦ τὸν ἄρτον», δεικνὺς ἐκείνῳ τῷ ταλαιπώρῳ ὅτι οὐκ ἀγνοῶν συλλαμβάνεται, ἀλλὰ καὶ σφόδρα εἰδώς· ὃ καὶ αὐτὸ μάλιστα πάντων ἱκανὸν ἦν αὐτὸν κατασχεῖν. Καὶ οὐκ εἶπε, 'Παραδίδωσιν ἐμέ', ἀλλ' «ἐπῆρεν ἐπ' ἐμὲ πτέρναν», τὸ δολερὸν καὶ ὕπουλον, καὶ λαθραῖον τῆς ἐπιβουλῆς παραστῆσαι βουλόμενος.

3. Ταῦτα δὲ γέγραπται, ἵνα μὴ μνησικακῶμεν τοῖς ἀδικοῦσιν, ἀλλ' ἐλέγχωμεν αὐτοὺς καὶ θρηνῶμεν· θρήνων γὰρ ἄξιοι, οὐχ οἱ πάσχοντες, ἀλλ' οἱ ποιοῦντες κακῶς· ἑαυτοὺς μὲν γὰρ μέγιστα ἀδικοῦσιν ὅ τε πλεονέκτης, ὅ τε συκοφάντης, ὅ τε ἕτερόν τι κακὸν ἐργαζόμενος, ἡμᾶς δὲ ὠφελοῦσι τὰ μέγιστα, ἐὰν μὴ ἑαυτοὺς ἐκδικῶμεν. Οἷόν τι λέγω· Ἥρπασεν ὁ δεῖνα; ηὐχαρίστησας ὑπὲρ τῆς ἀδικίας σύ, καὶ ἐδόξασας τὸν Θεόν; Μυρίους διὰ τῆς εὐχαριστίας ἐκείνης ἐκαρπώσω μισθούς· ὥσπερ οὖν ἐκεῖνος ἄφατον ἑαυτῷ συνήγαγε πῦρ. Εἰ δὲ λέγοι τις· «Τί γάρ, εἰ μὴ ἠδυνάμην ἀμύνασθαι τὸν ἀδικήσαντα, ἀσθενέστερος ὤν;» ἐκεῖνο ἂν εἴποιμι, ὅτι ἠδύνασο πρᾶξαι τὸ δυσχερᾶναι, τὸ ἀποδυσπετῆσαι· ταῦτα γὰρ ἐν ἐξουσίᾳ ἡμῶν, τὸ κατεύξασθαι τοῦ λελυπηκότος, τὸ καταράσασθαι αὐτῷ μυρία, τὸ πρὸς πάντας διαβαλεῖν. Ὁ τοίνυν ταῦτα μὴ ποιήσας καὶ τοῦ μὴ ἀμύνασθαι μισθὸν λήψεται· δῆλον γὰρ ὅτι, καὶ ἐκείνου κύριος ὤν, οὐκ ἂν ἐποίησεν· ὁ γὰρ ἠδικημένος τῷ παρατυχόντι κέχρηται ὅπλῳ, ὅταν μικρόψυχος ὤν, κατάραις, λοιδορίαις, ἐπιβουλαῖς ἀμύνηται τὸν ἠδικηκότα. Ταῦτα τοίνυν καὶ σὺ μὴ ποιήσῃς μόνον, ἀλλὰ καὶ εὖξαι περὶ αὐτοῦ· καὶ γάρ, ἂν ταῦτα μὴ ποιήσῃς μόνον, ἀλλὰ καὶ εὔξῃ

διὰ τοῦτο ἐπρόσθεσεν· «Αὐτὸς ποὺ τρώγει τὸν ἄρτον μαζί μου», διὰ νὰ δείξῃ εἰς ἐκεῖνον τὸν ταλαίπωρον, ὅτι δὲν συλλαμβάνεται ἀγνοῶν αὐτό, ἀλλὰ καὶ γνωρίζων πολὺ καλὰ αὐτό, πρᾶγμα ποὺ περισσότερον ἀπὸ ὅλα ἦτο ἱκανὸν νὰ τὸν συγκρατήσῃ. Καὶ δὲν εἶπε, 'μὲ παραδίδει', ἀλλά, «ἐσήκωσεν ἐναντίον μου τὴν πτέρναν», θέλων νὰ παρουσιάσῃ τὸ δολερὸν καὶ ὕπουλον καὶ μυστικὸν τῆς ἐπιβουλῆς.

3. Αὐτὰ δὲ ἐγράφησαν διὰ νὰ μὴ εἴμεθα μνησίκακοι πρὸς ἐκείνους ποὺ μᾶς ἀδικοῦν, ἀλλὰ νὰ ἐλέγχωμεν αὐτοὺς καὶ νὰ θρηνῶμεν· διότι εἶναι ἄξιοι θρήνων, ὄχι αὐτοὶ ποὺ παθαίνουν τὸ κακόν, ἀλλ' ἐκεῖνοι ποὺ κάμνουν τὸ κακόν· καθ' ὅσον ἀδικεῖ τὸν ἑαυτόν του εἰς πάρα πολὺ μεγάλον βαθμὸν καὶ ὁ πλεονέκτης καὶ ὁ συκοφάντης καὶ ἐκεῖνος ποὺ διαπράττει κάποιο ἄλλο κακόν, ἐνῷ ἡμᾶς μᾶς ὠφελοῦν τὰ μέγιστα, ἐὰν δὲν ἐκδικούμεθα. Ἐννοῶ δηλαδὴ τὸ ἑξῆς· Σοῦ ἔκλεψεν ὁ τάδε; σὺ ηὐχαρίστησες καὶ ἐδόξασες τὸν Θεὸν διὰ τὴν ἀδικίαν; Ἐκαρπώθης μὲ ἐκείνην τὴν εὐχαριστίαν ἀπείρους μισθούς, ὅπως ἀκριβῶς βέβαια ἐκεῖνος ἐσυγκέντρωσε διὰ τὸν ἑαυτόν του ἀπερίγραπτον πῦρ. Ἐὰν ὅμως ἤθελεν εἰπεῖ κάποιος· 'Τί λοιπόν, ἐὰν δὲν ἠμποροῦσα νὰ ἀμυνθῶ πρὸς αὐτὸν ποὺ μὲ ἠδίκησε, τὴν στιγμὴν ποὺ εἶμαι ἀσθενέστερος;' θὰ ἠμποροῦσα ἐκεῖνο νὰ εἰπῶ, ὅτι ἠμποροῦσες νὰ δείξῃς τὴν δυσαρεσχέτησίν σου καὶ τὴν ἀπελπισίαν σου· διότι αὐτὰ εἶναι εἰς τὴν ἐξουσίαν μας, τὸ νὰ εὐχηθῶμεν κακὸν δι' ἐκεῖνον ποὺ μᾶς ἐλύπησε, τὸ νὰ τὸν καταρασθῶμεν μὲ ἀπείρους κατάρας, τὸ νὰ τὸν διαβάλωμεν πρὸς ὅλους. Ἐκεῖνος λοιπὸν ποὺ δὲν ἔκαμεν αὐτά, θὰ λάβῃ μισθὸν καὶ διὰ τὸ ὅτι δὲν ἐπρόβαλεν ἄμυναν· εἶναι φανερὸν ὅτι, ἂν καὶ ἀκόμη ἦτο κύριος ἐκείνου, δὲν θὰ ἦτο δυνατὸν νὰ τὸ κάμῃ αὐτό· καθ' ὅσον ἐκεῖνος ποὺ ἀδικεῖται χρησιμοποιεῖ τὸ παρατυχὸν ὅπλον ὅταν εἶναι μικρόψυχος καὶ ἀντιμετωπίζει αὐτὸν ποὺ τὸν ἠδίκησε μὲ κατάρας, ὕβρεις καὶ ἐπιβουλάς. Αὐτὰ λοιπὸν καὶ σὺ ὄχι μόνον μὴ τὰ κάνῃς, ἀλλὰ εὐχήσου δι' αὐτόν· καθ' ὅσον, ἂν αὐτὰ ὄχι μόνον δὲν τὰ κάνῃς, ἀλλὰ καὶ εὐχηθῇς ὑπὲρ αὐτοῦ, ἔγινες ὅμοιος μὲ τὸν Θεόν· διότι

ὑπὲρ αὐτοῦ, τῷ Θεῷ γέγονας ὅμοιος· «εὔχεσθε» γάρ, φησίν, «ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς, ὅπως γένησθε ὅμοιοι τῷ Πατρὶ ὑμῶν, τῷ ἐν τοῖς οὐρανοῖς».

Ὁρᾷς πῶς μέγιστα κερδαίνομεν ἀπὸ τῆς τῶν ἑτέρων ἐπηρείας; Οὐδὲν οὕτω τὸν Θεὸν εὐφραίνει, ὡς τὸ μὴ ἀποδιδόναι κακὸν ἀντὶ κακοῦ. Καὶ τί λέγω μὴ ἀποδιδόναι κακὸν ἀντὶ κακοῦ; Τἀναντία μὲν οὖν ἀποδιδόναι ἐπειάγημεν, εὐεργεσίας, εὐχάς. Διὰ τοῦτο καὶ ὁ Χριστὸς τὸν μέλλοντα αὐτὸν προδιδόναι τοῖς ἐναντίοις πᾶσιν ἠμείψατο· οἷον, τοὺς πόδας ἔνιπτεν, ἤλεγχε λάθρα, φειδομένως ἐπλήττεν, ἐθεράπευε, τραπέζης καὶ φιλήματος μετεδίδου· καὶ οὐδὲ τούτοις ἐγένετο βελτίων, καὶ ὅμως παρέμενεν ὁ Χριστὸς τὰ ἑαυτοῦ ποιῶν. Ἀλλὰ φέρε καὶ ἀπὸ τῶν δούλων σε παιδεύσωμεν, καὶ ἐκ περιουσίας τῶν ἐν τῇ Παλαιᾷ, ἵνα εἰδῇς οὐδεμίαν ἔχοντας ἡμᾶς ἀπολογίας ἀφορμήν, ὅταν μνησικακῶμεν. Βούλεσθε οὖν εἴπω Μωϋσέα, ἢ ἔτι τὸν λόγον ἀνωτέρω ἀγάγωμεν; Ὅσῳ γὰρ ἂν ἀρχαιότερα δειχθῇ τὰ παραδείγματα, τοσούτῳ μᾶλλον ἡμεῖς νικώμεθα. Τί δήποτε δέ; Ὅτι τότε δυσκολωτέρα ἦν ἡ ἀρετή· οὐδὲ γὰρ ὑποθήκας ἐγγράφους εἶχον ἐκεῖνοι τότε, οὐ βίων παραδείγματα, ἀλλὰ γυμνὴ καθ' ἑαυτὴν ἡ φύσις ἠγωνίζετο, καὶ ἀνερμάτιστος πανταχοῦ νήχεσθαι ἠναγκάζετο. Διὰ τοῦτο, καὶ τὸν Νῶε ἐπαινῶν, οὐχ ἁπλῶς τέλειον ἐκάλεσεν, ἀλλὰ προσέθηκεν· «Ἐν τῇ γενεᾷ αὐτοῦ», δηλῶν ὅτι ἐν ἐκείνῳ τῷ χρόνῳ, ὅτε πολλὰ τὰ κωλύματα ἦν· ἐπεὶ μετ' αὐτὸν ἔλαμψαν ἕτεροι, καὶ ὅμως οὐδὲν ἔλαττον αὐτῶν ἕξει· ἐν γὰρ τοῖς χρόνοις αὐτοῦ τέλειος ἦν.

Τίς οὖν πρὸ Μωϋσέως μακρόθυμος; Ὁ μακάριος καὶ γενναῖος Ἰωσήφ, ὅς, τῇ σωφροσύνῃ λάμψας, οὐκ ἔλαττον ἔλαμψε τῇ μακροθυμίᾳ· ἐπράθη γάρ, οὐδὲν ἠδικηκώς, ἀλ-

11. Ματθ. 5, 44 - 45.
12. Γέν. 6, 9.

λέγει· «Προσεύχεσθε δι' ἐκείνους ποὺ σᾶς κακομεταχειρίζονται καὶ σᾶς ἀδικοῦν, διὰ νὰ γίνετε ὅμοιοι μὲ τὸν οὐράνιον Πατέρα σας»[11].

Βλέπεις πῶς ἀποκομίζομεν μέγιστον κέρδος ἀπὸ τὴν ἀδικίαν τῶν ἄλλων; Τίποτε δὲν εὐχαριστεῖ τόσον πολὺ τὸν Θεόν, ὅσον τὸ νὰ μὴ ἀνταποδίδωμεν κακὸν εἰς τὸ κακόν. Καὶ διατί λέγω νὰ μὴ ἀνταποδίδωμεν κακὸν εἰς τὸ κακόν; Διότι ἐλάβομεν ἐντολὴν ν' ἀνταποδίδωμεν τὰ ἀντίθετα, εὐεργεσίας καὶ εὐχάς. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἐκεῖνον ποὺ ἐπρόκειτο νὰ τὸν προδώση τὸν ἤμειψε μὲ ὅλα ἐντελῶς τὰ ἀντίθετα· δηλαδὴ ἔπλυνε τὰ πόδια του, τὸν ἤλεγχε ὄχι φανερά, τὸν ἔπληττε μὲ μαλακὸν τρόπον, τὸν ὑπηρέτει, τὸν ἔκαμνε μέτοχον τῆς τραπέζης καὶ τοῦ φιλήματος· καὶ οὔτε μὲ αὐτὰ ἔγινε καλύτερος, καὶ ὅμως ἐπέμενεν ὁ Χριστὸς νὰ κάμνῃ ὅ,τι ἐξηρτᾶτο ἀπὸ αὐτόν. Ἀλλ' ἐμπρὸς νὰ σὲ διδάξωμεν καὶ ἀπὸ τοὺς δούλους καὶ μὲ ἀφθονίαν ἀπὸ τὰ παραδείγματα τῆς Παλαιᾶς Διαθήκης, διὰ νὰ γνωρίσῃς ὅτι δὲν ἔχομεν καμμίαν λογικὴν δικαιολογίαν, ὅταν μνησικακῶμεν. Θέλετε νὰ ἀναφέρω τὸν Μωϋσῆν ἢ νὰ ἀναφερθῶ εἰς ἀκόμη παλαιοτέραν ἐποχήν; Διότι, ὅσον περισσότερον ἀρχαιότερα παραδείγματα ἀναφερθοῦν, τόσον περισσότερον ἡμεῖς νικώμεθα. Καὶ διατί τέλος πάντων; Διότι τότε ἦτο δυσκολωτέρα ἡ ἄσκησις τῆς ἀρετῆς· καθ' ὅσον ἐκεῖνοι τότε δὲν εἶχον οὔτε γραπτὰς ἐντολάς, οὔτε παραδείγματα ἀπὸ ζωὴν ἄλλων, ἀλλ' ἠγωνίζετο ἡ ἀνθρωπίνη φύσις ἀπογυμνωμένη τελείως καὶ ἠναγκάζετο χωρὶς κανὲν ἐφόδιον νὰ πλέῃ παντοῦ. Διὰ τοῦτο, ἐπαινῶν τὸν Νῶε, ὄχι ἁπλῶς τὸν ὠνόμασε τέλειον, ἀλλὰ ἐπρόσθεσεν, «εἰς τὴν γενεάν του»[12], διὰ νὰ δείξῃ ὅτι διέπρεψε κατ' ἐκείνην τὴν ἐποχήν, ὅταν ἦσαν πολλὰ τὰ ἐμπόδια· διότι μετὰ ἀπὸ αὐτὸν ἔλαμψαν καὶ ἄλλοι, καὶ ὅμως εἰς τίποτε δὲν ὑπολείπεται ἀπὸ αὐτούς· καθ' ὅσον ἦτο τέλειος διὰ τὴν ἐποχήν του.

Ποῖος λοιπὸν ἦτο πρὶν ἀπὸ τὸν Μωϋσῆν μακρόθυμος; Ὁ μακάριος καὶ γενναῖος Ἰωσήφ, ὁ ὁποῖος, διαλάμψας ὡς πρὸς τὴν σωφροσύνην, δὲν διέλαμψε ὀλιγώτερον καὶ ὡς πρὸς τὴν μακροθυμίαν· διότι ἐπωλήθῃ χωρὶς νὰ ἠδίκησεν

λὰ θεραπεύων, δουλεύων, τὰ οἰκετῶν πάντα ἐπιδεικνύμενος. Κατήνεγκαν γοῦν αὐτῷ ψόγον πονηρόν, καὶ οὐκ ἠμύνατο, καίτοι τὸν πατέρα ἔχων μεθ' ἑαυτοῦ, ἀλλὰ καὶ ἀπῆλθε κομίζων αὐτοῖς εἰς τὴν ἔρημον τροφήν, καί, οὐχ εὑρὼν αὐτούς, οὐ περιεκάκησεν, οὐδὲ ὑπέστρεψε (καίτοι γε εἶχε πρόφασιν, εἴ γε ἐβούλετο), ἀλλὰ πρὸς τὰ θηρία καὶ τοὺς ὠμοὺς ἐκείνους ἔμενεν, ἀδελφοῦ γνησίου φυλάττων προαίρεσιν· πάλιν τὸ δεσμωτήριον οἰκήσας καὶ τὴν αἰτίαν ἐρωτηθείς, οὐδὲν εἶπε περὶ αὐτῶν πονηρόν, ἀλλ' ὅτι «οὐδὲν ἐποίησα» καὶ «κλοπῇ ἐκλάπην ἐκ γῆς Ἑβραίων»· καὶ μετὰ ταῦτα πάλιν, γενόμενος κύριος, καὶ ἔθρεψε καὶ ἀπήλλαξε μυρίων δεινῶν. Ἂν γὰρ νήφωμεν, οὐκ ἰσχύει τοῦ πλησίον ἡ κακία τῆς ἀρετῆς ἡμᾶς ἐκβαλεῖν τῆς ἑαυτῶν.

Ἀλλ' οὐκ ἐκεῖνοι τοιοῦτοι, ἀλλὰ καὶ ἀπέδυσαν καὶ ἀνελεῖν ἐπεχείρησαν καὶ ὀνειδίζουσι τὸ ἐνύπνιον, καίτοι καὶ τροφὴν παρ' αὐτοῦ κομισάμενοι, καὶ ζωῆς καὶ ἐλευθερίας αὐτὸν ἐκβαλεῖν ἐπεχείρουν, καὶ οἱ μὲν ἤσθιον, τὸν δὲ ἀδελφὸν περιεώρων ἐν λάκκῳ γυμνὸν ἐρριμμένον. Τί ταύτης τῆς θηριωδίας γένοιτ' ἂν χεῖρον; πόσων ἀνδροφόνων οὐκ ἦσαν χείρους; Καὶ μετὰ ταῦτα δὲ αὐτὸν ἀνελκύσαντες, μυρίοις θανάτοις παρέδωκαν, ἀνθρώποις βαρβάροις καὶ ἀγρίοις αὐτὸν ἀποδόμενοι, πρὸς βαρβάρους μέλλουσιν ἀπιέναι. Ἀλλ' αὐτός, γενόμενος βασιλεύς, οὐ μόνον τὴν τιμωρίαν αὐτοῖς ἀφῆκεν, ἀλλὰ καὶ τῆς ἁμαρτίας αὐτούς, τό γε εἰς αὐτὸν ἧκον, ἀπήλλαξεν, οἰκονομίαν Θεοῦ τὰ γεγενημένα καλῶν, οὐ πονηρίαν ἐκείνων· καὶ ἅπερ δὲ ἐποίησεν εἰς αὐτούς, οὐ μνησικακῶν, ἀλλ' ὑπὲρ τοῦ ἀδελφοῦ ταῦτα πάντα ὑπεκρίνατο. Μετὰ γοῦν ταῦτα, ἐπειδὴ εἶδεν ἀντεχομένους αὐτοῦ, ἔρριψε τὸ προσωπεῖον εὐθέως καὶ ὠλό-

---

13. Γεν. 40, 15.

εἰς τίποτε, καὶ ὅμως ὑπηρετεῖ, γίνεται δοῦλος καὶ ὑφίσταται ὅλα τὰ τῶν δούλων. Τοῦ ἀπέδωσαν λοιπὸν πονηρὰν κατηγορίαν, καὶ ὅμως δὲν ἠμύνθη, ἂν καὶ εἶχε μὲ τὸ μέρος του τὸν πατέρα του, ἀλλὰ καὶ ἔφυγε διὰ νὰ φέρῃ τροφὴν εἰς αὐτοὺς εἰς τὴν ἔρημον, καί, ἂν καὶ δὲν ηὗρεν αὐτούς, δὲν κατελήφθη ἀπὸ ἀπελπισίαν, οὔτε ἐπέστρεψεν (ἂν καὶ βέβαια εἶχε δικαιολογίαν, ἐὰν φυσικὰ τὸ ἤθελεν), ἀλλ' ἐξηκολούθησεν, ἀπέναντι εἰς ἐκεῖνα τὰ θηρία καὶ τοὺς σκληροὺς ἐκείνους ἀδελφούς, νὰ δείχνῃ διάθεσιν γνησίου ἀδελφοῦ· πάλιν, ὅταν ἐφυλακίσθῃ καὶ ἠρωτήθη διὰ τὴν αἰτίαν τῆς φυλακίσεώς του, δὲν εἶπε τίποτε τὸ κακὸν δι' αὐτούς, ἀλλ' ὅτι «Δὲν ἔκαμα τίποτε» καὶ «ἐκλάπην μὲ κακὸν τρόπον ἀπὸ τὴν γῆν τῶν Ἑβραίων»[13]· καὶ μετὰ ἀπὸ αὐτὰ πάλιν, ὅταν ἔγινε κύριος, καὶ τοὺς ἔδωσε τροφὴν καὶ τοὺς ἀπήλλαξεν ἀπὸ ἀπείρους συμφοράς. Διότι, ἐὰν εἴμεθα προσεκτικοί, δὲν ἠμπορεῖ ἡ κακία τοῦ πλησίον μας νὰ μᾶς ἀπομακρύνῃ ἀπὸ τὴν ἀρετήν μας.

Ἀλλ' ἐκεῖνοι δὲν ἦσαν τέτοιοι, ἀλλὰ καὶ τὸν ἐξέδυσαν καὶ ἐπεχείρησαν νὰ τὸν φονεύσουν καὶ τὸν περιγελοῦν διὰ τὸ ὄνειρόν του, ἂν καὶ τροφὴν ἔλαβον ἀπὸ αὐτόν, καὶ ἐπροσπαθοῦσαν νὰ τοῦ στερήσουν τὴν ζωὴν καὶ τὴν ἐλευθερίαν, καὶ αὐτοὶ μὲν ἔτρωγον, ἐνῷ τὸν ἀδελφόν των τὸν ἔβλεπον ἐρριμμένον γυμνὸν μέσα εἰς τὸν λάκκον. Τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ χειρότερον ἀπὸ αὐτὴν τὴν θηριωδίαν; ἀπὸ πόσους ἀνθρωποκτόνους δὲν ἦσαν χειρότεροι; Καὶ μετὰ δὲ ἀπὸ ὅλα αὐτὰ ἀφοῦ τὸν ἔβγαλον ἀπὸ τὸν λάκκον, τὸν παρέδωσαν εἰς μυρίους θανάτους, πωλήσαντες αὐτὸν εἰς ἀνθρώπους βαρβάρους καὶ ἀγρίους, ποὺ ἐπρόκειτο νὰ μεταβοῦν πρὸς βαρβάρους. Ἀλλ' αὐτός, ὅταν ἔγινε βασιλεύς, ὄχι μόνον δὲν τοὺς ἐτιμώρησεν, ἀλλὰ τοὺς ἀπήλλαξε καὶ ἀπὸ τὴν ἁμαρτίαν, ὅσον φυσικὰ ἐξηρτᾶτο ἀπὸ αὐτόν, ἀποκαλῶν τὰ ὅσα συνέβησαν οἰκονομίαν Θεοῦ, ὄχι πονηρίαν ἐκείνων· καὶ ἐκεῖνα δὲ ποὺ ἔκαμεν εἰς αὐτούς, δὲν τὰ ἔκαμεν ἀπὸ μνησικακίαν, ἀλλ' ἐπροσποιεῖτο ὅλα αὐτὰ χάριν τοῦ ἀδελφοῦ του. Μετὰ λοιπὸν ἀπὸ αὐτά, ὅταν εἶδεν αὐτοὺς νὰ ὑπερασπίζωνται τὸν ἀδελφόν

λυξε καὶ περιεπτύξατο, ὡς τὰ μέγιστα εὐηργετημένος, ὁ πάλαι παρ' αὐτῶν ἀνῃρημένος· καὶ πάντας αὐτοὺς εἰς Αἴγυπτον κατήγαγε, καὶ μυρίας εὐεργεσίας ἠμείψατο.

Τίνα οὖν ἕξομεν ἀπολογίαν μετὰ νόμον καὶ χάριν καὶ τοσαύτης φιλοσοφίας ἐπίδοσιν μηδὲ τὸν πρὸ τῆς χάριτος καὶ τοῦ νόμου ζηλώσαντες; τίς ἡμᾶς ἐξαιρήσεται τῆς κολάσεως; Οὐ γάρ ἐστι, οὐκ ἔστι τι μνησικακίας χαλεπώτερον. Καὶ τοῦτο ἐδήλωσεν ὁ τὰ μυρία τάλαντα ὀφείλων· εἶτα οὐκ ἀπαιτηθεὶς καὶ πάλιν ἀπαιτηθείς· οὐκ ἀπαιτηθεὶς μὲν διὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, ἀπαιτηθεὶς δὲ διὰ τὴν οἰκείαν πονηρίαν καὶ τὸ μνησικακῆσαι τῷ συνδούλῳ. Ἅπερ πάντα μαθόντες, ἀφῶμεν τοῖς πλησίον τὰ ἁμαρτήματα, καὶ τοῖς ἐναντίοις αὐτοὺς ἀμειβώμεθα, ἵνα καὶ τῆς παρὰ τοῦ Θεοῦ τύχωμεν φιλανθρωπίας χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

των ἀμέσως ἔρριψε τὸ προσωπεῖον καὶ ἔκλαυσε πικρὰ καὶ τοὺς ἀγκάλιασεν, ὡσὰν νὰ ἔτυχε μεγίστης εὐεργεσίας, αὐτὸς ποὺ παλαιότερον εἶχε παραδοθῆ ἀπὸ αὐτοὺς εἰς τὸν θάνατον· καὶ ὅλους αὐτοὺς τοὺς ἔφερεν εἰς τὴν Αἴγυπτον καὶ τοὺς ηὐεργέτησε μὲ ἀμετρήτους εὐεργεσίας.

Ποίαν λοιπὸν ἀπολογίαν θὰ ἔχωμεν, ὅταν, μετὰ ἀπὸ τὸν νόμον ποὺ μᾶς ἐδόθη καὶ τὴν χάριν καὶ τὴν τόσον ἀνωτέραν φιλοσοφίαν, δὲν μιμηθῶμεν ἐκεῖνον ποὺ ἔζησε πρὶν ἀπὸ τὸν νόμον καὶ τὴν χάριν; ποῖος θὰ μᾶς ἀπαλλάξῃ ἀπὸ τὴν κόλασιν; Πράγματι δὲν ὑπάρχει, δὲν ὑπάρχει τίποτε φοβερώτερον ἀπὸ τὴν μνησικακίαν. Καὶ αὐτὸ τὸ ἐφανέρωσεν ἐκεῖνος ποὺ ὤφειλε τὰ μύρια τάλαντα[14], ποὺ κατ' ἀρχὴν μὲν δὲν τοῦ ἐζητήθησαν, κατόπιν ὅμως τοῦ ἐζητήθησαν· δὲν τοῦ ἐζητήθησαν μὲν ἐξ αἰτίας τῆς φιλανθρωπίας τοῦ Θεοῦ, τοῦ ἐζητήθησαν δὲ λόγῳ τῆς ἰδικῆς του πονηρίας καὶ τῆς μνησικακίας του κατὰ τοῦ συνδούλου του. Ὅλα αὐτὰ ἀφοῦ τὰ ἐγνωρίσαμεν, ἂς συγχωρήσωμεν τὰ ἁμαρτήματα τῶν πλησίον μας καὶ ἂς τοὺς ἀνταποδίδωμεν τὰ ἀντίθετα, διὰ νὰ τύχωμεν καὶ τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

14. Ματθ. 18, 24.

ΟΜΙΛΙΑ ΟΒ΄

Ἰω. 13, 20-35

«Ἀμήν, ἀμὴν λέγω ὑμῖν· Ὁ λαμβάνων ἐάν τινα πέμψω, ἐμὲ λαμβάνει, καὶ ὁ ἐμὲ λαμβάνων λαμβάνει τὸν πέμψαντά με».

1. Μεγάλη τῆς περὶ τοὺς δούλους τοῦ Θεοῦ θεραπείας ἡ ἀνταπόδοσις, καὶ τοὺς καρποὺς ἐντεῦθεν ἡμῖν ἀποδίδωσιν· «ὁ δεχόμενος» γάρ, φησίν, «ὑμᾶς ἐμὲ δέχεται»· «ὁ δὲ λαμβάνων ἐμὲ λαμβάνει τὸν πέμψαντά με». Τοῦ δὲ τὸν Χριστὸν δέξασθαι καὶ τὸν τούτου Πατέρα τί γένοιτ' ἂν ἴσον; Καὶ ποία αὕτη ἀκολουθία πρὸς τὰ ἔμπροσθεν εἰρημένα; τί δὲ κοινὸν ἔχει πρὸς ὃ εἶπεν, «Ἐὰν ποιῆτε ταῦτα, μακάριοί ἐστε», τὸ ἐπαγαγεῖν, «Ὁ δεχόμενος ὑμᾶς»; Μεγάλη, καὶ σφόδρα συνᾴδουσα· καὶ σκόπει πῶς. Ἐπειδὴ γὰρ ἔμελλον ἐξιέναι, καὶ πολλὰ πάσχειν δεινά, δύο τρόποις αὐτοὺς παραμυθεῖται· ἑνὶ μέν, τῷ παρ' ἑαυτοῦ, ἑτέρῳ δέ, τῷ παρ' ἑτέρων. Ἐὰν γὰρ φιλοσοφῆτε, φησίν, ἐμὲ διὰ παντὸς ἔχοντες ἐν μνήμῃ καὶ ἅπερ ἔπαθον, καὶ ἅπερ ἐποίησα περιφέροντες ἅπαντα, ῥᾳδίως οἴσετε τὰ δεινά. Οὐ τούτῳ δὲ μόνῳ τῷ τρόπῳ, ἀλλὰ καὶ τῷ παρὰ πάντων πολλῆς ἀπολαύειν θεραπείας. Καὶ τὸ μὲν πρότερον ἐδήλωσεν, εἰπών, «Ἐὰν ποιῆτε ταῦτα, μακάριοί ἐστε», τὸ δὲ ἕτερον, «ὁ δεχόμενος ὑμᾶς ἐμὲ δέχεται» λέγων· τὰς γὰρ πάντων ἀνέῳξεν αὐτοῖς οἰκίας, ὥστε καὶ ἐκ τῆς τῶν

1. Ματθ. 10, 40.
2. Ἰω. 13, 17.
3. Ματθ. 10, 40.

ΟΜΙΛΙΑ ΟΒ΄

Ἰω. 13, 20 - 35

«Ἀλήθεια, ἀλήθεια σᾶς λέγω, ὅτι ἐκεῖνος ποὺ δέχεται κάποιον ποὺ ἐγὼ θὰ στείλω, ἐμένα δέχεται, καὶ ἐκεῖνος ποὺ δέχεται ἐμένα, δέχεται ἐκεῖνον ποὺ μὲ ἀπέστειλεν εἰς τὸν κόσμον».

1. Μεγάλη εἶναι ἡ ἀνταπόδοσις τοῦ Θεοῦ διὰ τὴν προσφερομένην ὑπηρεσίαν εἰς τοὺς δούλους του καὶ ἀπὸ αὐτὴν τὴν πρᾶξιν μας χορηγεῖ εἰς ἡμᾶς τὴν ἀμοιβήν· διότι λέγει· «ἐκεῖνος ποὺ δέχεται ἐσᾶς, δέχεται ἐμένα»[1] «ἐκεῖνος δὲ ποὺ δέχεται ἐμένα, δέχεται ἐκεῖνον ποὺ μὲ ἔστειλεν εἰς τὸν κόσμον». Τί δὲ θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ ἴσον μὲ τὸ νὰ δεχώμεθα τὸν Χριστὸν καὶ τὸν Πατέρα αὐτοῦ; Καὶ ποίαν σχέσιν ἔχουν αὐτὰ πρὸς ἐκεῖνα ποὺ ἐλέχθησαν προηγουμένως; τί κοινὸν δὲ ἔχει πρὸς ἐκεῖνο ποὺ εἶπεν, «Ἐὰν πράττετε αὐτὰ θὰ εἶσθε μακάριοι»[2], ἡ προσθήκη «Ἐκεῖνος ποὺ δέχεται ἐσᾶς»; Εἶναι μεγάλη ἡ σχέσις καὶ πάρα πολὺ ἁρμονική· καὶ πρόσεχε πῶς. Ἐπειδὴ δηλαδὴ ἐπρόκειτο νὰ ἐξέλθουν εἰς τὸν κόσμον καὶ νὰ ὑποστοῦν πολλὰ κακά, τοὺς παρηγορεῖ μὲ δύο τρόπους· μὲ ἕνα μὲν ποὺ ἔχει σχέσιν μὲ τὸν ἑαυτόν του, μὲ ἄλλον δέ, ποὺ ἔχει σχέσιν μὲ ἄλλους. Διότι, λέγει, ἐὰν φιλοσοφῆτε, ἔχοντες συνεχῶς εἰς τὴν μνήμην σας ἐμένα καὶ σκεπτόμενοι αὐτὰ ποὺ ἔπαθον καὶ ὅλα ὅσα ἔκαμα, εὔκολα θὰ ὑποφέρετε τὰ δεινά. Ὄχι δὲ μόνον μὲ αὐτὸν τὸν τρόπον, ἀλλὰ καὶ μὲ τὸ ὅτι θὰ ἀπολαμβάνετε πολλὰς ὑπηρεσίας ἀπὸ ὅλους. Καὶ τὸ μὲν πρῶτον τὸ ἐδήλωσε μὲ τὰ λόγια, «Ἐὰν πράττετε αὐτά, θὰ εἶσθε μακάριοι», τὸ δὲ ἄλλο λέγων, «ἐκεῖνος ποὺ δέχεται ἐσᾶς, δέχεται ἐμένα»[3]· διότι ἤνοιξεν εἰς αὐτοὺς τὰς οἰκίας ὅλων, ὥστε καὶ μὲ τὴν φιλοσο-

τρόπων φιλοσοφίας καὶ ἐκ τῆς τῶν θεραπευόντων προθυμίας διπλῆν ἔχειν παράκλησιν.

Εἶτα, ἐπειδὴ ταῦτα αὐτοῖς διετάξατο, ὡς μέλλουσι τὴν οἰκουμένην διατρέχειν ἅπασαν, ἐννοῶν ὅτι ἑκατέρων τούτων ὁ προδότης ἀπεστέρηται, καὶ οὐδενὸς αὐτῶν ἀπολαύσεται, οὔτε τῆς ἐν τοῖς πόνοις ὑπομονῆς, οὔτε τῆς τῶν ὑποδεχομένων θεραπείας, ἐταράχθη πάλιν· ὅπερ καὶ ὁ Εὐαγγελιστὴς ἐπισημαινόμενος, καὶ δηλῶν ὅτι δι' ἐκεῖνον ταράσσεται, ἐπάγει· «Ταῦτα εἰπὼν ὁ Ἰησοῦς, ἐταράχθη τῷ πνεύματι καὶ ἐμαρτύρησε καὶ εἶπεν· Εἷς ἐξ ὑμῶν παραδώσει με». Πάλιν εἰς πάντας περιΐστησι τὸν φόβον τῷ μὴ ὀνομαστὶ εἰπεῖν· οἱ δὲ ἀποροῦνται, καίτοι ἑαυτοῖς μηδὲν συνειδότες πονηρόν· τῶν οἰκείων γὰρ λογισμῶν ἀπόφασιν τοῦ Χριστοῦ πιστοτέραν ἡγοῦντο. Διὸ καὶ ἔβλεπον εἰς ἀλλήλους. Τῷ μὲν οὖν εἰς ἕνα περιστῆσαι τὸ πᾶν, ὑπετέμνετο τὸν φόβον, τῷ δὲ προσθεῖναι, «Εἷς ἐξ ὑμῶν», συνετάρασσεν ἅπαντας. Τί οὖν; Οἱ μὲν ἄλλοι βλέπουσιν εἰς ἀλλήλους, ὁ δὲ πανταχοῦ θερμὸς Πέτρος τῷ Ἰωάννη νεύει· ἐπειδὴ γὰρ καὶ πρότερον ἐπετιμήθη, καί, βουλομένου νίψαι, ἐκώλυσε, καὶ πανταχοῦ εὑρίσκεται ἀπὸ πόθου μὲν ὁρμῶν, ἐγκαλούμενος δέ, τούτου χάριν, οὔτε ἡσύχασεν, οὔτε ἐφθέγξατο, ἀλλὰ διὰ μέσου τοῦ Ἰωάννου βούλεται μαθεῖν.

Ἐκεῖνο δὲ ἄξιον διαπορῆσαι, τί δήποτε, πάντων ἀγωνιώντων, τρεμόντων, τοῦ κορυφαίου δεδοικότος, ὁ Ἰωάννης, ὥσπερ ἐντρυφῶν, ἀνάκειται εἰς τὸν κόλπον τοῦ Ἰησοῦ· καὶ οὐκ ἀνάκειται μόνον, ἀλλὰ καὶ τῷ στήθει· καὶ οὐ

4. Ματθ. 16, 22.

φικὴν ἀντιμετώπισιν τῆς ὅλης ζωῆς των καὶ μὲ τὴν προθυμίαν ἐκείνων ποὺ θὰ τοὺς ὑπηρετοῦσαν νὰ ἔχουν διπλῆν παρηγορίαν.

Ἔπειτα, ἀφοῦ ἔδωσεν εἰς αὐτοὺς αὐτὰς τὰς ἐντολάς, καθ᾽ ὅσον ἐπρόκειτο νὰ διατρέξουν ὅλην τὴν οἰκουμένην, σκεπτόμενος ὅτι ὁ προδότης ἐστερήθη καὶ τὰ δύο αὐτὰ καὶ ὅτι δὲν θ᾽ ἀπολαύση κανὲν ἀπὸ αὐτά, οὔτε τὴν ὑπομονὴν εἰς τοὺς κόπους, οὔτε τὴν ὑπηρεσίαν ἐκείνων ποὺ θὰ τοὺς ὑπεδέχοντο, ἐταράχθη πάλιν˙ αὐτὸ ἀκριβῶς ἐπισημαίνων καὶ ὁ εὐαγγελιστὴς καὶ διὰ νὰ δείξῃ ὅτι δι᾽ ἐκεῖνον ταράσσεται, προσθέτει˙ «Ἀφοῦ εἶπεν αὐτὰ ὁ Ἰησοῦς, ἐταράχθη ἀπὸ τὰ βάθη τῆς ψυχῆς του καὶ ἔδωσεν ἐπιβεβαίωσιν καὶ εἶπεν˙ Ἕνας ἀπὸ σᾶς θὰ μὲ παραδώσῃ». Πάλιν εἰς ὅλους δημιουργεῖ τὸν φόβον μὲ τὸ νὰ μὴ ἀναφέρῃ τὸ ὄνομα τοῦ προδότου˙ ἐκεῖνοι δὲ κυριεύονται ἀπὸ ἀπορίαν, μολονότι δὲν ᾐσθάνοντο τίποτε τὸ κακὸν διὰ τὸν ἑαυτόν των˙ διότι ἐθεωροῦσαν πιὸ ἀξιόπιστον τὴν γνώμην τοῦ Χριστοῦ ἀπὸ τοὺς ἰδικούς των λογισμούς. Διὰ τοῦτο καὶ ἔβλεπον ὁ ἕνας τὸν ἄλλον. Μὲ τὸ νὰ περιορίσῃ λοιπὸν τὸ ὅλον γεγονὸς τῆς προδοσίας εἰς ἕνα, περιώριζε τὸν φόβον, μὲ τὸ νὰ προσθέσῃ ὅμως, «Ἕνας ἀπὸ σᾶς», συνετάρασσεν ὅλους γενικῶς. Τί λοιπόν; Οἱ μὲν ἄλλοι βλέπουν ὁ ἕνας τὸν ἄλλον, ὁ δὲ θερμὸς εἰς κάθε περίπτωσιν Πέτρος κάμνει νεῦμα εἰς τὸν Ἰωάννην˙ ἐπειδὴ δηλαδὴ καὶ προηγουμένως ἐπετιμήθη[4] καὶ ἠμπόδισε τὸν Ἰησοῦν ποὺ ἤθελε νὰ πλύνῃ τὰ πόδια του καὶ εἰς κάθε περίπτωσιν εὑρίσκεται μὲν νὰ ἐκδηλώνῃ μὲ ὁρμὴν τὴν ἀγάπην του, νὰ ἐπιτιμᾶται δέ, φοβούμενος ἐξ αἰτίας αὐτοῦ τοῦ πράγματος, οὔτε ἡσύχασεν, οὔτε ὡμίλησεν, ἀλλὰ θέλει νὰ μάθῃ, διὰ μέσου τοῦ Ἰωάννου.

Ἄξιον δὲ ἀπορίας εἶναι ἐκεῖνο, διατί τέλος πάντων, ἐνῷ ὅλοι εἶναι κυριευμένοι ἀπὸ ἀγωνίαν καὶ τρόμον καὶ ὁ κορυφαῖος τῶν μαθητῶν φοβεῖται, ὁ Ἰωάννης, ὡσὰν κατὰ κάποιον τρόπον νὰ εὑρίσκετο εἰς διασκέδασιν, εἶναι πεσμένος εἰς τὴν ἀγκάλην τοῦ Ἰησοῦ˙ καὶ ὄχι μόνον εἶναι πεσμένος εἰς τὴν ἀγκάλην του, ἀλλὰ καὶ εἰς τὸ στῆθος του˙

τοῦτο μόνον ἄξιον ζητήσεως, ἀλλὰ καὶ τὸ ἑξῆς. Τί δὲ τοῦτό ἐστιν; Ὃ περὶ ἑαυτοῦ λέγει· «Ὃν ἠγάπα ὁ Ἰησοῦς». Διὰ τί γὰρ μηδεὶς ἕτερος τοῦτο εἶπε περὶ αὐτοῦ, καίτοι καὶ οἱ ἄλλοι ἠγαπῶντο; Ἀλλ' οὗτος πλέον τῶν ἄλλων. Εἰ δὲ μηδεὶς ἄλλος τοῦτο περὶ αὐτοῦ εἶπεν, ἀλλ' αὐτὸς περὶ ἑαυτοῦ, θαυμαστὸν οὐδέν. Ποιεῖ δὲ αὐτὸ καὶ Παῦλος, καιροῦ καλοῦντος, οὕτω λέγων· «Οἶδα ἄνθρωπον πρὸ ἐτῶν δέκα τεσσάρων», καίτοι γε οὐ μικρὰ αὐτοῦ διῆλθεν ἐγκώμια ἕτερα. Ἢ μικρὸν εἶναί σοι δοκεῖ τό, ἀκούσαντα, «Ἀκολούθει μοι», εὐθέως ἀφέντα τὰ δίκτυα καὶ τὸν πατέρα ἀκολουθῆσαι, καὶ τὸ μετὰ Πέτρου μόνον αὐτὸν λαβεῖν εἰς τὸ ὄρος, καὶ ἀλλαχοῦ πάλιν εἰς οἰκίαν εἰσελθόντα; Αὐτὸς δὲ ἡλίκον ἐγκώμιον τοῦ Πέτρου διῆλθε, καὶ οὐκ ἀπεκρύψατο, εἰρηκέναι τὸν Χριστὸν λέγων, «Πέτρε, φιλεῖς με πλέον τούτων»; Καὶ πανταχοῦ δὲ δείκνυσιν αὐτὸν θερμὸν καὶ γνησίως ἔχοντα πρὸς αὐτόν. Ὅτε γοῦν ἔλεγεν, «Οὗτος δὲ τί;», ἐκ πολλοῦ πόθου τοῦτο ἔλεγε.

Διὰ τοῦτο οὖν ἄλλος οὐδεὶς εἶπε περὶ αὐτοῦ, ἀλλ' οὐδὲ αὐτὸς εἶπεν ἄν, εἰ μὴ εἰς τοῦτο ἐνέπεσε τὸ χωρίον· εἰ γάρ, εἰπὼν ὅτι Πέτρος ἔνευσεν Ἰωάννῃ ἐρωτῆσαι, καὶ μηδὲν ἄλλο προσέθηκε, πολλὴν ἐποίει τὴν ἀπορίαν καὶ ζητεῖν ἠνάγκαζεν ἡμᾶς τὴν αἰτίαν· διὰ τοῦτο, λύων αὐτὸς ταύτην, «ἀνέκειτο», φησίν, «εἰς τὸν κόλπον τοῦ Ἰησοῦ». Ἢ μικρὸν οἴει μεμαθηκέναι, ἀκούσας ὅτι «ἀνέκειτο», καὶ τοσαύτης αὐτοῖς ὁ διδάσκαλος μετεδίδου παρρησίας; Εἰ καὶ τούτου τὴν αἰτίαν ζητεῖς μαθεῖν, ἀγάπης τὸ πρᾶγμα ἦν· καὶ διὰ τοῦτό φησιν· «Ὃν ἐφίλει ὁ Ἰησοῦς». Ἐγὼ δὲ αὐτὸν καὶ δι' ἄλλο οἶμαι τοῦτο ποιεῖν, βουλόμενον δεῖ-

---

5. Β' Κορ. 12, 2.
6. Ματθ. 4, 20.
7. Ματθ. 17, 1.
8. Λουκᾶ 8, 51.
9. Ἰω. 21, 15.
10. Ἰω. 21, 21.

καὶ δὲν εἶναι μόνον αὐτὸ ἄξιον ἐρεύνης, ἀλλὰ καὶ τὸ ἑξῆς. Ποῖο δὲ εἶναι αὐτό; Αὐτὸ ποὺ λέγει διὰ τὸν ἑαυτόν του· «τὸν ὁποῖον ἠγάπα ὁ Ἰησοῦς». Διατί λοιπὸν κανεὶς ἄλλος δὲν εἶπεν αὐτὸ διὰ τὸν ἑαυτόν του, μολονότι καὶ οἱ ἄλλοι ἠγαπῶντο; Ἀλλ' αὐτὸς ἠγαπᾶτο περισσότερον ἀπὸ τοὺς ἄλλους. Ἐὰν δὲ κανεὶς ἄλλος δὲν εἶπεν αὐτὸ διὰ αὐτόν, ἀλλ' αὐτὸς διὰ τὸν ἑαυτόν του, δὲν εἶναι καθόλου ἄξιον θαυμασμοῦ. Αὐτὸ τὸ κάμνει καὶ ὁ Παῦλος, ὅταν τὸ ἐπιτρέπῃ ἡ περίπτωσις, λέγων τὸ ἑξῆς· «Γνωρίζω ἄνθρωπον ποὺ πρὶν ἀπὸ δέκα τέσσαρα ἔτη»[5], ἂν καὶ βέβαια δὲν εἶναι μικρὰ καὶ ἄλλα ἐγκώμια ποὺ ἔπλεξε διὰ τὸν ἑαυτόν του. Ἢ σοῦ φαίνεται ὅτι εἶναι μικρὸν τὸ ὅτι, ἀκούσας τὸ «Ἀκολούθει μοι»[6], ἀμέσως, ἀφοῦ ἄφησε τὰ δίκτυα καὶ τὸν πατέρα του, ἠκολούθησεν αὐτόν, καὶ τὸ ὅτι ἔλαβε μόνον αὐτὸν μαζὶ μὲ τὸν Πέτρον εἰς τὸ ὄρος[7], καὶ εἰς ἄλλην περίπτωσιν πάλιν ὅταν εἰσῆλθεν εἰς τὴν οἰκίαν[8]; Ὁ ἴδιος δὲ πόσον μέγα ἐγκώμιον διετύπωσε διὰ τὸν Πέτρον καὶ δὲν ἀπέκρυψε νὰ εἰπῇ αὐτὸ ποὺ εἶπεν ὁ Χριστός, «Πέτρε, μὲ ἀγαπᾷς περισσότερον ἀπὸ αὐτούς»[9]; Καὶ εἰς κάθε περίπτωσιν δὲ τὸν παρουσιάζει θερμὸν ἀπὸ ἀγάπην καὶ νὰ ἔχῃ γνησίας διαθέσεις πρὸς αὐτόν. Ὅταν λοιπὸν ἔλεγεν, «Αὐτὸς δὲ τί θὰ πάθῃ;»[10], τὸ ἔλεγεν ἀπὸ πολλὴν ἀγωνίαν.

Διὰ τοῦτο λοιπὸν κανεὶς ἄλλος δὲν εἶπε περὶ αὐτοῦ, ἀλλ' οὔτε ὁ ἴδιος θὰ ἦτο δυνατὸν νὰ εἰπῇ, ἐὰν δὲν ἀνεφέρετο εἰς αὐτὸ τὸ σημεῖον τοῦ εὐαγγελίου· διότι, ἐάν, λέγων ὅτι ὁ Πέτρος ἔκαμε νεῦμα εἰς τὸν Ἰωάννην νὰ ἐρωτήσῃ, δὲν ἐπρόσθετε τίποτε ἄλλο, θὰ ἐδημιουργοῦσε πολλὴν ἀπορίαν, καὶ θὰ μᾶς ἠνάγκαζε νὰ ἀναζητήσωμεν τὴν αἰτίαν· διὰ τοῦτο, λύων ὁ ἴδιος αὐτὴν τὴν ἀπορίαν, λέγει ὅτι «ἦτο πεσμένος εἰς τὴν ἀγκάλην τοῦ Ἰησοῦ». Ἢ νομίζεις ὅτι εἶναι μικρὸν πρᾶγμα τὸ νὰ μάθῃς, ἀκούσας ὅτι «ἦτο πεσμένος εἰς τὴν ἀγκάλην του», τὸ ὅτι ὁ διδάσκαλος παρεῖχεν εἰς αὐτοὺς τόσον μεγάλην παρρησίαν; Ἐὰν ζητῇς νὰ μάθῃς καὶ τὴν αἰτίαν αὐτοῦ, ἦτο αὐτὸ τὸ πρᾶγμα ἀποτέλεσμα ἀγάπης· διὰ τοῦτο λέγει· «τὸν ὁποῖον ἠγάπα ὁ Ἰησοῦς». Ἐγὼ δὲ νομίζω ὅτι αὐτὸς τὸ κάμνει αὐτὸ καὶ δι' ἄλλον

ξαι ἀλλότριον ἑαυτὸν τοῦ ἐγκλήματος· διὰ τοῦτο παρρησιάζεται καὶ θαρρεῖ. Ἐπεὶ διὰ τί μὴ ἐν ἄλλῳ χωρίῳ τοῦτο εἶπεν, ἀλλ' ὅτε ὁ κορυφαῖος ἔνευσεν; Ἵνα γὰρ μὴ νομίσῃς ὅτι ὡς μείζονι ὄντι ἔνευσεν, λέγει ὅτι διὰ τὴν πολλὴν ἀγάπην τοῦτο ἐγίνετο. Τί δὲ καὶ ἐπιπίπτει τῷ στήθει; Οὐδὲν οὐδέπω περὶ αὐτοῦ μέγα ὑπώπτευον· ἄλλως δὲ καὶ τὴν ἀθυμίαν κατεπραΰνεν· εἰκὸς γὰρ καὶ τὴν ὄψιν αὐτῶν εἶναι κατηφῆ τότε· εἰ γὰρ ταῖς ψυχαῖς αὐτῶν ἐταράχθησαν, πολλῷ μᾶλλον ταῖς ὄψεσι. Μειλισσόμενος τοίνυν αὐτοὺς καὶ τῷ λόγῳ καὶ τῇ ἐρωτήσει, προοδοποιεῖ καὶ συγχωρεῖ ἀναπεσεῖν ἐπὶ τὸ στῆθος.

Σκόπει δὲ αὐτοῦ καὶ τὸ ἀκόμπαστον· οὐ γὰρ εἶπε τὸ ὄνομα, ἀλλ' ὅτι «ὃν ἠγάπα», καθάπερ καὶ Παῦλος, ὅτε ἔλεγεν· «Οἶδα ἄνθρωπον πρὸ ἐτῶν δέκα τεσσάρων». Τότε δὴ πρῶτον αὐτὸν ἔλεγεν ὁ Ἰησοῦς, καὶ οὐδὲ τότε ὀνομαστί, ἀλλὰ πῶς; «Ὧ ἐγὼ βάψας τὸ ψωμίον ἐπιδώσω». Καὶ ὁ τρόπος ἐντρεπτικός· οὐδὲ γὰρ τὴν τράπεζαν ᾐδέσθη, τοῦ αὐτοῦ ἄρτου κοινωνήσας. Ἔστω· ἡ κοινωνία τῶν ἁλῶν οὐκ ἐνέτρεψε, τὸ καὶ παρ' αὐτοῦ δέξασθαι τὸ ψωμίον τίνα οὐκ ἂν ἐπεσπάσατο; Ἀλλ' οὐκ ἐκεῖνον· διὸ καὶ «ὁ Σατανᾶς τότε εἰσῆλθεν εἰς αὐτόν», γελάσας αὐτὸν τῆς ἀναισχυντίας· ἕως γὰρ ἦν τοῦ χοροῦ, οὐκ ἐτόλμα ἐπιπηδῆσαι, ἀλλ' ἔξωθεν προσέβαλλεν, ἐπειδὴ δὲ δῆλον αὐτὸν ἐποίησε καὶ ἀφώρισεν, ἐπεπήδησε λοιπὸν μετὰ ἀδείας· οὐδὲ γὰρ ἔδει τοιοῦτον ὄντα καὶ ἀδιόρθωτον ἐπὶ πολὺ μένοντα κατέχειν ἔνδον. Διὰ τοῦτο καὶ ἐξέβαλεν αὐτὸν λοιπόν, καὶ ἀποτμη-

11. Β' Κορ. 12, 2.

λόγον, ἐπειδὴ θέλει νὰ δείξῃ τὸν ἑαυτόν του ἀμέτοχον τῆς κατηγορίας τοῦ Κυρίου˙ διὰ τοῦτο λαμβάνει παρρησίαν καὶ θάρρος. Καὶ διατὶ δὲν τὸ εἶπεν αὐτὸ εἰς ἄλλο χωρίον, ἀλλὰ ὅταν ὁ κορυφαῖος τοῦ ἔκαμε νεῦμα; Διὰ νὰ μὴ νομίσῃς δηλαδὴ ὅτι τοῦ ἔκαμε τὸ νεῦμα μὲ τὴν σκέψιν ὅτι ἦτο ἀνώτερος, λέγει ὅτι αὐτὸ συνέβη ἐξ αἰτίας τῆς πολλῆς ἀγάπης του. Καὶ διατί πίπτει εἰς τὸ στῆθος του; Τίποτε μέχρι τότε σπουδαῖον δὲν ὑπωπτεύοντο περὶ αὐτοῦ˙ ἄλλως τε δὲ καὶ τὴν λύπην των κατεπράυνεν˙ διότι φυσικὸν ἦτο τότε καὶ τὰ πρόσωπά των νὰ εἶναι σκυθρωπά˙ διότι, ἐὰν ἔννοιωσαν ταραχὴν εἰς τὰς ψυχάς των, πολὺ περισσότερον αὐτὴ ἔγινεν αἰσθητὴ εἰς τὰ πρόσωπά των. Καταπραΰνων λοιπὸν αὐτοὺς καὶ μὲ τὸν λόγον καὶ μὲ τὴν ἐρώτησιν, προετοιμάζει τὴν ὁδὸν καὶ ἐπιτρέπει νὰ πέσῃ εἰς τὸ στῆθος του.

Πρόσεχε δὲ αὐτοῦ καὶ τὴν ἔλλειψιν καυχήσεως˙ διότι δὲν εἶπε τὸ ὄνομα, ἀλλὰ «αὐτὸν ποὺ ἠγάπα», ὅπως ἀκριβῶς καὶ ὁ Παῦλος, ὅταν ἔλεγεν˙ «Γνωρίζω ἄνθρωπον πρὶν ἀπὸ δέκα τέσσερα ἔτη»[11]. Τότε λοιπὸν πρῶτον ἐλέγχει αὐτὸν ὁ Ἰησοῦς, καὶ τότε ὄχι μὲ τὸ ὄνομά του, ἀλλὰ πῶς; «Ἐκεῖνος εἰς τὸν ὁποῖον θὰ δώσω τὸ τεμάχιον ἄρτου ἀφοῦ τὸ βυθίσω εἰς τὸν ζωμόν». Καὶ ὁ τρόπος αὐτὸς προκαλεῖ ἐντροπήν˙ διότι δὲν ἐσεβάσθη οὔτε τὴν τράπεζαν, ἀφοῦ ἔφαγεν ἀπὸ τὸν ἴδιον ἄρτον. Ἂς ὑποθέσωμεν, ὅτι ἡ συμμετοχὴ εἰς τὴν ἰδίαν τράπεζαν δὲν τὸ ἔκαμε νὰ νοιώσῃ ἐντροπήν, τὸ ὅτι ὅμως ἔλαβε τὸ τεμάχιον ἄρτου ἀπὸ τὸν Κύριον ποίου τὴν προσοχὴν ἦτο δυνατὸν νὰ μὴ προσελκύσῃ; Ἀλλ᾽ ὄχι ἐκεῖνον˙ διὰ τοῦτο καὶ «ὁ Σατανᾶς τότε εἰσῆλθεν εἰς αὐτόν», γελάσας αὐτὸν μὲ τὴν ἀναισχυντίαν˙ διότι ἕως ὅτου ἀνῆκεν εἰς τὸν χορὸν τῶν μαθητῶν, δὲν ἐτόλμα νὰ εἰσέλθῃ ἐντός του, ἀλλὰ τὸν ἐπρόσβαλλεν ἐξωτερικά, ὅταν ὅμως τὸν ἐφανέρωσεν ὁ Κύριος καὶ τὸν διεχώρισεν ἀπὸ τὸν χορὸν τῶν μαθητῶν, εἰσῆλθε τότε πλέον τελείως ἐλεύθερα˙ διότι δὲν ἔπρεπεν, ἀφοῦ ἦτο τέτοιος καὶ ἐξηκολούθει ἐπὶ τόσον χρόνον νὰ παραμένῃ ἀδιόρθωτος, νὰ τὸν κρατῇ μέσα. Διὰ τοῦτο καὶ τὸν ἐξέβαλε πλέον

θέντα λαμβάνει τότε ἐκεῖνος, καὶ καταλιπὼν αὐτοὺς ἐξῆλθε νυκτός. «Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἑταῖρε, ὃ ποιεῖς, ποίησον τάχιον. Καὶ οὐδεὶς ἔγνω τῶν ἀνακειμένων».

2. Βαβαί, πόση ἡ ἀναισθησία! πῶς οὐκ ἐμαλάχθη, οὐδὲ ᾐσχύνθη, ἀλλά, ἀναισχυντότερος γενόμενος, ἐξήει! Τὸ δὲ «ποίησον τάχιον» οὐ προστάττοντός ἐστιν, οὐδὲ συμβουλεύοντος, ἀλλ' ὀνειδίζοντος, καὶ δεικνύντος ὅτι αὐτὸς μὲν ἐβούλετο διορθώσασθαι, ἐπειδὴ δὲ ἀδιορθώτως εἶχεν, ἀφίησιν αὐτόν. «Καὶ τοῦτο οὐδείς», φησίν, «ἔγνω τῶν ἀνακειμένων». Πολλὴν ἄν τις ἐνταῦθα ἀπορίαν εὕροι, εἴ γε, ἐρωτησάντων τῶν μαθητῶν τίς ἐστι, λέγει· «Ὧ βάψας τὸ ψωμίον ἐπιδώσω», καὶ οὐδὲ οὕτω συνῆκαν· πλὴν εἰ μὴ λάθρα εἴρηκεν, ὥστε μηδένα ἀκοῦσαι· καὶ γὰρ ὁ Ἰωάννης διὰ τοῦτο, παρὰ τὸ στῆθος ἀναπεσών, ἐρωτᾷ μονονουχὶ πρὸς τὸ οὖς, ὥστε μὴ γενέσθαι φανερὸν τὸν προδότην· καὶ ὁ Χριστὸς οὕτως ἀπεκρίνατο, καὶ οὐδὲ τότε αὐτὸν ἐποίησε φανερόν· καὶ ὁ μέν, καίπερ ἐμφαντικῶς εἰπών· «Ἑταῖρε, ὃ ποιεῖς, ποίησον τάχιον», οἱ δὲ οὐδὲ οὕτω συνίεσαν.

Τοῦτο δὲ ἔλεγε, δεικνὺς ὅτι ἀληθῆ τὰ πρὸς τοὺς Ἰουδαίους εἰρημένα ἦν αὐτῷ περὶ τοῦ θανάτου· καὶ γὰρ πρὸς ἐκείνους εἴρηκε τὸ «ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν», καί, «οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ». Ἕως γοῦν κατεῖχεν, οὐδεὶς ἴσχυσεν, ἐπειδὴ δὲ ἀφῆκε λοιπόν, εὔκολον τότε τὸ πρᾶγμα γίνεται. Ταῦτ' οὖν ἅπαντα αἰνιττόμενος, εἶπεν, «Ὃ ποιεῖς, ποίησον

12. Ἰω. 10, 18.

καὶ ἀποχωρισθέντα τὸν παραλαμβάνει τότε ἐκεῖνος, καὶ ἐγκαταλείπων αὐτοὺς ἐξῆλθε κατὰ τὴν διάρκειαν τῆς νυκτός. «Λέγει εἰς αὐτὸν ὁ Ἰησοῦς· Φίλε, αὐτὸ ποὺ ἀπεφάσισες νὰ κάμῃς κάμε το τὸ ταχύτερον. Καὶ κανεὶς ἀπὸ τοὺς παρακαθημένους δὲν ἀντελήφθη τὸν σκοπὸν διὰ τὸν ὁποῖον τὸ εἶπεν αὐτό».

2. Ἀλλοίμονον, πόση εἶναι ἡ ἀναισθησία του! πῶς δὲν ἐμαλάκωσεν ἡ ψυχή του, οὔτε ἔννοιωσεν ἐντροπήν, ἀλλά, γενόμενος ἀναισχυντότερος, ἐξήρχετο! Τὸ δὲ «κάμε το τὸ ταχύτερον», δὲν εἶναι λόγια κάποιου ποὺ προστάζει, οὔτε ποὺ συμβουλεύει, ἀλλὰ κάποιου ποὺ ἐπιτιμᾷ καὶ δείχνει, ὅτι αὐτὸς μὲν ἤθελε νὰ τὸν διορθώσῃ, ἀλλ' ἐπειδὴ ἐξηκολούθει νὰ μένῃ ἀδιάρθωτος, τὸν ἐγκαταλείπει. «Καὶ κανείς», λέγει, «δὲν ἀντελήφθη ἀπὸ τοὺς παρακαθημένους τὸν σκοπὸν διὰ τὸν ὁποῖον εἶπεν αὐτό». Καὶ θὰ ἦτο δυνατὸν νὰ δοκιμάσῃ κανεὶς ἐδῶ μεγάλην ἀπορίαν, καθ' ὅσον, εἰς τὴν ἐρώτησιν τῶν μαθητῶν, ποῖος εἶναι ὁ προδότης, ἀπαντᾷ, «ἐκεῖνος εἰς τὸν ὁποῖον θὰ δώσω τὸ βυθισμένον εἰς τὸν ζωμὸν ψωμί», καὶ ὅμως οὔτε καὶ μὲ αὐτὸ ἀντελήφθησαν τὸ νόημα τῶν λόγων του· ἐκτὸς μόνον ἐὰν δὲν τὸ ἔλεγεν κρυφά, ὥστε νὰ μὴ τὸ ἀκούσῃ κανείς· καθ' ὅσον ὁ Ἰωάννης διὰ τοῦτο, ἀφοῦ ἔπεσεν εἰς τὸ στῆθος τοῦ Ἰησοῦ, τὸν ἐρωτᾷ σχεδὸν εἰς τὸ αὐτί του, ὥστε νὰ μὴ φανερωθῇ ὁ προδότης· καὶ ὁ Χριστὸς μὲ τὸν ἴδιον τρόπον ἀπήντησε καὶ οὔτε τότε τὸν ἐφανέρωσε· καὶ ὁ μὲν Κύριος, ἂν καὶ εἶπε μὲ τρόπον ἔντονον, «Φίλε, αὐτὸ ποὺ ἐσκέφθης νὰ κάμῃς, κάμε το τὸ ταχύτερον», ἐκεῖνοι ὅμως οὔτε ἔτσι ἀντελήφθησαν τὸ νόημα τῶν λόγων του.

Αὐτὸ δὲ τὸ ἔλεγε διὰ νὰ δείξῃ ὅτι ἦσαν ἀληθῆ τὰ ὅσα εἶχεν εἰπεῖ αὐτὸς πρὸς τοὺς Ἰουδαίους περὶ τοῦ θανάτου του· καθ' ὅσον πρὸς ἐκείνους εἶχεν εἰπεῖ τὸ « Ἐξουσίαν ἔχω νὰ θυσιάσω τὴν ψυχήν μου καὶ ἐξουσίαν ἔχω πάλιν νὰ λάβω αὐτήν», καὶ «κανεὶς δὲν ἠμπορεῖ νὰ μοῦ τὴν ἀφαιρέσῃ»[12]. Ἐν ὅσῳ λοιπὸν τὴν κατεῖχεν, κανεὶς δὲν ἠμπόρεσε νὰ τοῦ τὴν ἀφαιρέσῃ, ὅταν ὅμως πλέον τὴν ἄφησεν, εὔκολον τότε γίνεται τὸ πρᾶγμα. Ὑπαινισσόμενος

τάχιον», καὶ οὐδὲ τότε αὐτὸν δῆλον ἐποίησε· τάχα γὰρ ἂν αὐτὸν καὶ διέσπασαν, τάχα ἂν ὁ Πέτρος καὶ ἀνεῖλεν αὐτόν. Διὰ τοῦτο «οὐδεὶς ἔγνω τῶν ἀνακειμένων». Ἆρα οὐδὲ ὁ Ἰωάννης; Οὐδὲ οὗτος· οὐ γὰρ ἂν προσεδόκησεν ὅτι μαθητὴς ἐπὶ τοσοῦτον χωρήσει παρανομίας. Ἐπειδὴ γὰρ πόρρω τῆς τοιαύτης πονηρίας ἦσαν, οὐδὲ περὶ ἑτέρων τοιαῦτα ὑποπτεύειν εἶχον. Ὥσπερ οὖν ἔμπροσθεν αὐτοῖς εἶπεν ὅτι «οὐ περὶ πάντων λέγω», καὶ οὐδαμοῦ ἐξεκάλυψεν, οὕτω καὶ ἐνταῦθα ἐνόμισαν περὶ ἑτέρου λέγεσθαι.

Ἦν δὲ νύξ, ὅτε ἐξῆλθε», φησί. Διὰ τί μοι τὸν καιρὸν λέγεις; Ἵνα μάθῃς τὴν ἰταμότητα, ὅτι οὐδὲ ὁ καιρὸς αὐτὸν ἀπέσχε τῆς ὁρμῆς. Ἀλλ' οὐδὲ τοῦτο αὐτὸν κατάδηλον ἐποίησεν. Ἐκεῖνοι γοῦν, φόβῳ κατεχόμενοι καὶ ἀγωνίᾳ πολλῇ τότε, τεθορύβηντο, καὶ τὴν μὲν ἀληθῆ τῶν εἰρημένων αἰτίαν οὐκ ᾔδεσαν, ὑπώπτευον δὲ ὅτι, «τοῖς πένησιν ἵνα τι δῷ», ταῦτα ἔλεγε· πολλὴν γὰρ ἐποιεῖτο τῶν πτωχῶν τὴν ἐπιμέλειαν, διδάσκων καὶ ἡμᾶς πολλὴν ὑπὲρ τούτου ποιεῖσθαι σπουδήν. Ἐδόκουν δὲ οὐχ ἁπλῶς, ἀλλ' ἐπειδὴ τὸ γλωσσόκομον εἶχε, καίτοι γε οὐδεὶς φαίνεται προσενεγκὼν αὐτῷ χρήματα· ἀλλ' ὅτι μὲν ἔτρεφον αὐτὸν ἐκ τῶν ὑπαρχόντων αἱ μαθήτριαι εἶπε, τοῦτο δὲ οὐδαμοῦ ᾐνίξατο.

Πῶς δέ, μὴ πήραν, μὴ χαλκόν, μὴ ῥάβδον κελεύων ἐπιφέρεσθαι, γλωσσόκομον ἐπεφέρετο πρὸς τὴν τῶν πενήτων διακονίαν; Ἵνα μάθῃς ὅτι καὶ τὸν σφόδρα ἀκτήμονα καὶ ἐσταυρωμένον τούτου δεῖ τοῦ μέρους πολλὴν ποιεῖσθαι τὴν πρόνοιαν· πολλὰ γὰρ πρὸς τὴν ἡμετέραν οἰκονομῶν δι-

13. Ἰω. 13, 18.
14. Ἰω. 12, 6.
15. Λουκᾶ 8, 2 - 3
16. Ματθ. 10, 9 - 10. Μάρκ. 6, 8 - 9. Λουκ. 9, 3· 10, 4 καὶ 22, 35 - 36

λοιπὸν ὅλα αὐτά, εἶπεν, «Αὐτὸ ποὺ ἐσκέφθης νὰ κάμῃς, κάμε το τὸ ταχύτερον» καὶ οὔτε καὶ τότε τὸν ἐφανέρωσε˙ διότι ἴσως καὶ νὰ τὸν ἐξέσχιζον, καὶ ἐνδεχομένως ὁ Πέτρος καὶ νὰ τὸν ἐφόνευεν. Διὰ τοῦτο «κανεὶς ἀπὸ τοὺς παρακαθημένους δὲν ἀντελήφθη τὸ νόημα τῶν λόγων του». Ἆρά γε οὔτε καὶ ὁ Ἰωάννης; Οὔτε αὐτός˙ διότι ἦτο ἀδύνατον νὰ περιμένῃ ὅτι μαθητὴς θὰ ἠμποροῦσε νὰ φθάσῃ εἰς ἕνα τόσον μεγάλο βαθμὸν παρανομίας. Ἐπειδὴ λοιπὸν εὑρίσκοντο μακρυὰ ἀπὸ μίαν τέτοιαν σκέψιν πονηρίας, δὲν ἦτο δυνατὸν νὰ ὑποπτεύωνται καὶ διὰ τοὺς ἄλλους παρόμοια πράγματα. Ὅπως ἀκριβῶς λοιπὸν προηγουμένως εἶπεν εἰς αὐτοὺς ὅτι «αὐτὰ δὲν τὰ λέγω δι᾿ ὅλους σας»[13] καὶ πουθενὰ δὲν ἐφανέρωσεν αὐτόν, ἔτσι καὶ ἐδῶ ἐνόμισαν ὅτι αὐτὸ λέγεται δι᾿ ἄλλον.

«Ἦτο δὲ νύκτα ὅταν ἐξῆλθε», λέγει. Διατί μοῦ ἀναφέρῃς τὸν χρόνον; Διὰ νὰ μάθῃς τὴν θρασύτητα, τὸ ὅτι δηλαδὴ οὔτε ὁ χρόνος συνεκράτησε τὴν ὁρμήν του. Ἀλλ᾿ οὔτε αὐτὸ ἐφανέρωσεν αὐτόν. Ἐκεῖνοι βέβαια, κυριευμένοι τότε ἀπὸ φόβον καὶ πολλὴν ἀγωνίαν, εἶχον θορυβηθῆ, καὶ τὴν μὲν πραγματικὴν αἰτίαν τῶν λόγων του δὲν τὴν ἀντελήφθησαν, ὑπωπτεύοντο δὲ ὅτι αὐτὰ τὰ ἔλεγε «διὰ νὰ δώσῃ ὁ Ἰούδας κάτι εἰς τοὺς πτωχούς»˙ διότι ἔδειχνε μεγάλην φροντίδα διὰ τοὺς πτωχούς, διδάσκων καὶ ἡμᾶς νὰ δείχνωμεν δι᾿ αὐτὸ τὸ πρᾶγμα μεγάλην φροντίδα. Ὑπωπτεύοντο δὲ αὐτὸ ὄχι τυχαῖα, ἀλλ᾿ ἐπειδὴ αὐτὸς εἶχε τὸ κιβώτιον τῶν συνεισφορῶν[14], ἂν καὶ βέβαια δὲν φαίνεται κανεὶς νὰ προσέφερεν εἰς αὐτὸν χρήματα˙ ἀλλ᾿ ὅτι μὲν ἔτρεφον αὐτὸν αἱ μαθήτριαι ἀπὸ τὰ ὑπάρχοντά των τὸ εἶπεν ὁ Εὐαγγελιστής[15], αὐτὸ ὅμως πουθενὰ δὲν τὸ ὑπηνίχθη.

Πῶς δέ, ἐνῷ δίδει ἐντολὴν νὰ μὴ φέρουν μαζί των οὔτε σάκκον, οὔτε χάλκινα νομίσματα, οὔτε ράβδον[16], ἔφερε μαζί του κιβώτιον συνεισφορῶν διὰ τὴν διακονίαν τῶν πτωχῶν; Διὰ νὰ μάθῃς ὅτι καὶ ὁ πάρα πολὺ ἀκτήμων καὶ ἐκεῖνος ποὺ ἀνέλαβε τὸν σταυρὸν αὐτοῦ πρέπει νὰ καταβάλλουν πολλὴν φροντίδα δι᾿ αὐτὸ τὸ θέμα˙ διότι

δασκαλίαν ἔπραττε. Τοῦτο οὖν καὶ λέγειν ἐνόμισαν οἱ μαθηταί, ἵνα τοῖς πένησί τι δῷ· καὶ οὐδὲ τοῦτο ἐνέτρεψε τὸ μέχρις ἐσχάτης ἡμέρας μὴ θελῆσαι αὐτὸν παραδειγματίσαι. Τοῦτο καὶ ἡμᾶς δεῖ ποιεῖν, καὶ μὴ ἐκπομπεύειν τὰ τῶν συνόντων ἁμαρτήματα, κἂν ἀνιάτως ἔχωσι. Καὶ γὰρ καὶ μετὰ ταῦτα ἐλθόντι προδοῦναι φίλημα ἔδωκε, καὶ κατεδέξατο πρᾶγμα τοσοῦτον, καὶ ἐπὶ τὸ πολλῷ τολμηρότερον προήει, τὸν σταυρὸν αὐτόν, τὸν θάνατον τὸν ἐπονείδιστον· καὶ πάλιν ἐκεῖ τὴν αὐτοῦ φιλανθρωπίαν ἐπεδείκνυτο. Καὶ δόξαν ἐνταῦθα τὸ πρᾶγμα καλεῖ, διδάσκων ἡμᾶς ὅτι οὐδὲν οὕτως αἰσχρὸν καὶ ἐπονείδιστον, ὃ μὴ λαμπρότερον ποιεῖ τὸν μετιόντα, ὅταν κατὰ Θεὸν γίνηται.

Μετὰ γοῦν τὸ ἐξελθεῖν τὸν Ἰούδαν ἐπὶ τὸ παραδοῦναι λέγει· «Νῦν ἐδοξάσθη ὁ Υἱὸς τοῦ ἀνθρώπου», ταύτῃ πεπτωκότας τοὺς λογισμοὺς τῶν μαθητῶν ἀνιστῶν, καὶ πείθων μὴ μόνον μὴ κατηφεῖν, ἀλλὰ καὶ χαίρειν. Διὰ τοῦτο καὶ Πέτρῳ ἐξ ἀρχῆς ἐπετίμησε. Τὸ γὰρ ἐν θανάτῳ γενόμενον περιγενέσθαι θανάτου, δόξα μεγάλη. Καὶ τοῦτό ἐστιν, ὃ περὶ ἑαυτοῦ ἔλεγεν· «Ὅταν ὑψωθῶ, τότε γνώσεσθε ὅτι ἐγώ εἰμι», καὶ πάλιν· «Λύσατε τὸν ναὸν τοῦτον», καὶ πάλιν· «Σημεῖον οὐ δοθήσεται ὑμῖν, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ». Πῶς γὰρ οὐ δόξα μεγάλη τὸ καὶ μετὰ θάνατον ἰσχῦσαι τῶν πρὸ τοῦ θανάτου μείζονα· ἵνα γὰρ πιστευθῇ ἡ ἀνάστασις, μείζονα εἰργάσαντο οἱ μαθηταί. Εἰ δὲ μὴ ἔζη καὶ Θεὸς ἦν, πῶς ἐν ὀνόματι αὐτοῦ τοσαῦτα εἰργάσαντο οὗτοι; «Καὶ ὁ Θεὸς δοξάσει αὐτόν». Τί ἐστι· «Καὶ ὁ Θεὸς δοξάσει αὐτὸν ἐν ἑαυτῷ»; τουτέστι, δι' ἑαυτοῦ, οὐ δι' ἑτέρου.

---

17. Ἰω. 8, 28.
18. Ἰω. 2, 19.
19. Λουκᾶ 11, 29.

πολλὰ ἔπραττε ποὺ ἀπέβλεπον διὰ τὴν ἰδικήν μας διδασκαλίαν. Αὐτὸ λοιπὸν ἐνόμισαν οἱ μαθηταὶ ὅτι τὸ ἔλεγεν, διὰ νὰ δώση κάτι εἰς τοὺς πτωχούς· καὶ οὔτε αὐτὸ τὸν ἔκαμε νὰ νοιώση ἐντροπήν, τὸ ὅτι δὲν ἠθέλησε μέχρι τὴν τελευταίαν ἡμέραν νὰ τὸν διαπομπεύση. Αὐτὸ καὶ ἡμεῖς πρέπει νὰ κάμνωμεν, καὶ νὰ μὴ διαπομπεύωμεν τὰ ἁμαρτήματα αὐτῶν ποὺ μᾶς συναναστρέφονται, καὶ ἂν ἀκόμη εἶναι ἀδιόρθωτοι. Καθ' ὅσον καὶ μετὰ ἀπὸ αὐτὰ ὅταν ἦλθε νὰ τὸν προδώση τὸν ἐφίλησε καὶ κατεδέχθη νὰ προβῇ εἰς μίαν τόσον σπουδαίαν ἐνέργειαν καὶ ἐπροχώρει εἰς τὸ πολὺ πιὸ τολμηρότερον, εἰς τὸν ἴδιον τὸν σταυρόν, τὸν θάνατον τὸν ἐπονείδιστον. Καὶ πάλιν ἐκεῖ ἔδειχνε τὴν φιλανθρωπίαν του. Καὶ αὐτὸ τὸ πρᾶγμα ἐδῶ τὸ ὀνομάζει δόξαν, διδάσκων ἡμᾶς, ὅτι τίποτε δὲν εἶναι τόσον αἰσχρὸν καὶ ἀτιμωτικόν, τὸ ὁποῖον νὰ μὴ καθιστᾷ λαμπρότερον αὐτὸν ποὺ τὸ ὑφίσταται, ὅταν γίνεται εἰς τὸ ὄνομα τοῦ Θεοῦ.

Μετὰ λοιπὸν τὴν ἀναχώρησιν τοῦ Ἰούδα διὰ τὴν προδοσίαν, λέγει· «Τώρα ἐδοξάσθη ὁ Υἱὸς τοῦ ἀνθρώπου», ἀνορθώνων μὲ τὰ λόγια αὐτὰ τὸ πεσμένον φρόνημα τῶν μαθητῶν καὶ πείθων αὐτοὺς ὄχι μόνον νὰ μὴ εἶναι σκυθρωποί, ἀλλὰ καὶ νὰ χαίρωνται. Διὰ τοῦτο καὶ τὸν Πέτρον ἀπὸ τὴν ἀρχὴν τὸν ἐπετίμησε. Διότι τὸ νὰ ὑποστῇ τὸν θάνατον καὶ νὰ κατανικήση τὸν θάνατον, εἶναι μεγάλη δόξα. Καὶ αὐτὸ εἶναι ἐκεῖνο ποὺ ἔλεγε διὰ τὸν ἑαυτόν του· «Ὅταν θὰ ὑψωθῶ, τότε θὰ γνωρίσετε ὅτι ἐγὼ εἶμαι»[17], καὶ πάλιν· «Λύσατε αὐτὸν τὸν ναόν»[18], καὶ πάλιν· «Δὲν θὰ δοθῇ εἰς ἐσᾶς σημεῖον, παρὰ μόνον τὸ σημεῖον τοῦ Ἰωνᾶ»[19]. Πῶς δηλαδὴ δὲν εἶναι δόξα μεγάλη τὸ νὰ δείξῃ μεγαλυτέραν δύναμιν μετὰ τὸν θάνατον ἀπὸ ἐκείνην ποὺ ἔδειξε μὲ ὅσα ἔπραξε πρὸ τοῦ θανάτου; διότι διὰ νὰ γίνῃ πιστευτὴ ἡ ἀνάστασις οἱ μαθηταὶ ἔπραξαν μεγαλύτερα θαύματα. Ἐὰν ὅμως δὲν ἔζη καὶ δὲν ἦτο Θεός, πῶς ἐν ὀνόματί του αὐτοὶ ἐπετέλεσαν τόσα μεγάλα ἔργα; «Καὶ ὁ Θεὸς θὰ δοξάση αὐτόν». Τί σημαίνει, «Καὶ ὁ Θεὸς θὰ δοξάση αὐτὸν μὲ ὅσα θὰ κάμῃ ὁ ἴδιος δι' αὐτόν»; δηλαδὴ αὐτὸς ὁ ἴδιος, ὄχι μέσου ἄλλου.

«Καὶ εὐθέως δοξάσει αὐτόν»· τουτέστιν, ἅμα τῷ σταυρῷ. Οὐδὲ γὰρ διὰ χρόνου πολλοῦ, φησίν, οὐδὲ τὸν μακρὸν τῆς ἀναστάσεως ἀναμενεῖ καιρόν, οὐδὲ τότε δείξει λαμπρόν, ἀλλ' εὐθέως ἐν αὐτῷ τῷ σταυρῷ τὰ λαμπρὰ φανεῖται. Ὁ γοῦν ἥλιος ἐσκοτίσθη, αἱ πέτραι ἐρράγησαν, τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη, πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη, ὁ τάφος σήμαντρα εἶχε, καὶ φύλακες παρεκαθέζοντο, καί, ἐπικειμένου τῷ σώματι τοῦ λίθου, ἀνέστη τὸ σῶμα, τεσσαράκοντα ἡμέραι παρῆλθον, καὶ ἡ τοῦ Πνεύματος ἦλθε χορηγία, καὶ πάντες αὐτὸν εὐθέως ἀνεκήρυττον. Τοῦτό ἐστι, «Δοξάσει αὐτὸν ἐν ἑαυτῷ, καὶ εὐθέως δοξάσει αὐτόν», οὐ δι' ἀγγέλων καὶ ἀρχαγγέλων, οὐδὲ δι' ἄλλης τινὸς δυνάμεως, ἀλλὰ δι' ἑαυτοῦ.

3. Πῶς δὲ καὶ ἐδόξασε δι' αὐτοῦ; Πάντα πράξας τὰ πρὸς δόξαν τοῦ Υἱοῦ, καίτοι πάντα ὁ Υἱὸς ἐποίησεν. Ὁρᾷς ὅτι τὰ ὑπ' αὐτοῦ γινόμενα τῷ Πατρὶ ἀνατίθησι; «Τεκνία, ἔτι μικρὸν μεθ' ὑμῶν εἰμι. Ζητήσετέ με, καὶ καθὼς εἶπον τοῖς Ἰουδαίοις ὅτι, ὅπου ὑπάγω ἐγώ, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν· καὶ ὑμῖν λέγω ἄρτι». Ἄρχεται λοιπὸν τῶν λυπηρῶν μετὰ τὸ δεῖπνον· ὅτε γὰρ Ἰούδας ἐξῆλθεν, οὐκ ἔτι ἑσπέρα ἦν, ἀλλὰ νύξ. Ἐπειδὴ γὰρ ἔμελλον μικρὸν ὕστερον ἐπιστήσεσθαι, ἔδει πάντα παρακαταθέσθαι αὐτοῖς, ὥστε ἔχειν ἐν μνήμῃ, μᾶλλον δὲ τὸ Πνεῦμα πάντα αὐτοὺς ἀνέμνησε· πολλὰ γὰρ εἰκός, ἅτε πρῶτον τότε ἀκούοντας, καὶ τοιούτους μέλλοντας πειρασμοὺς ὑπομένειν, ἀποβάλλειν αὐτούς· οἱ γὰρ πρὸς ὕπνον καταφερόμενοι, καθὼς καὶ ἕτερός φησιν Εὐαγγελιστής, καὶ ἀθυμίᾳ συνεχόμενοι, καθὼς καὶ αὐτὸς ὁ Χριστὸς λέγει, «Ἀλλ' ὅτι ταῦτα λελάληκα ὑμῖν, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν», πῶς ἂν ταῦτα πάντα κατέσχον ἀκριβῶς;

20. Λουκᾶ 23, 45. Ματθ. 27, 51 - 52.
21. Λουκᾶ 22, 45.
22. Ἰω. 16, 6.

«Καὶ ἀμέσως θὰ τὸν δοξάσῃ», δηλαδὴ συγχρόνως μὲ τὸν σταυρόν. Ὄχι δηλαδὴ μετὰ πολὺν χρόνον, λέγει, οὔτε θὰ περιμένῃ τὸν μακρὸν χρόνον τῆς ἀναστάσεως, οὔτε τότε θὰ τὸν ἀναδείξῃ λαμπρόν, ἀλλὰ ἀμέσως μὲ τὸν σταυρικὸν θάνατον θὰ φανερωθοῦν τὰ λαμπρὰ αὐτοῦ. Πράγματι λοιπὸν ὁ ἥλιος ἐσκοτίσθη, αἱ πέτραι ἐρράγησαν, τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη, πολλὰ σώματα τῶν ἁγίων ποὺ εἶχον ἀποθάνει ἀνεστήθησαν, ὁ τάφος ἦτο σφραγισμένος καὶ φρουροὶ ἐκάθοντο πλησίον αὐτοῦ, καί, ἂν καὶ ἦτο τοποθετημένος λίθος ἐπάνω εἰς τὸ σῶμα, ἀνεστήθη τὸ σῶμα, σαράντα ἡμέραι ἐπέρασαν καὶ ἦλθεν ἡ χορηγία τοῦ ἁγίου Πνεύματος, καὶ ὅλοι ἀμέσως ἔγιναν κήρυκες αὐτοῦ[20]. Αὐτὸ σημαίνει τό, «Δοξάσει αὐτὸν ἐν ἑαυτῷ, καὶ εὐθέως δοξάσει αὐτόν», ὄχι μὲ ἀγγέλους καὶ ἀρχαγγέλους, οὔτε μὲ κάποιαν ἄλλην δύναμιν, ἀλλὰ αὐτὸς ὁ ἴδιος.

3. Πῶς δὲ καὶ ἐδόξασεν αὐτὸν αὐτὸς ὁ ἴδιος ὁ Θεός; Μὲ τὸ νὰ πράξῃ ὅλα ἐκεῖνα ποὺ ἐδόξαζον τὸν Υἱόν, ἂν καὶ βέβαια ὅλα τὰ ἐπετέλεσεν ὁ Υἱός. Βλέπεις ὅτι τὰ ἐπιτελούμενα ὑπὸ αὐτοῦ τοῦ ἰδίου, ὅτι τὰ ἀποδίδει εἰς τὸν Πατέρα; «Τέκνα μου, ὀλίγον ἀκόμη χρόνον εἶμαι μαζί σας. Θὰ μὲ ζητήσετε, καὶ ὅπως εἶπον εἰς τοὺς Ἰουδαίους ὅτι, ὅπου πηγαίνω ἐγώ, σεῖς δὲν ἠμπορεῖτε νὰ ἔλθετε· καὶ εἰς ἐσᾶς λέγω τώρα». Ἀρχίζει πλέον τὰ δυσάρεστα μετὰ τὸ δεῖπνον· διότι ὅταν ἐξῆλθεν ὁ Ἰούδας δὲν ἦτο πλέον ἑσπέρα, ἀλλὰ νύκτα. Ἐπειδὴ λοιπὸν ἐπρόκειτο μετὰ ἀπὸ ὀλίγον νὰ ἔλθουν νὰ τὸν συλλάβουν, ἔπρεπεν ὅλα νὰ τὰ παραδώσῃ εἰς αὐτοὺς πρὸς φύλαξιν, ὥστε νὰ τὰ ἔχουν εἰς τὴν μνήμην των, μᾶλλον δὲ τὸ Πνεῦμα τοὺς τὰ ὑπενθύμισεν ὅλα· διότι φυσικὸν ἦτο, πολλά, ἐπειδὴ τότε τὰ ἤκουον διὰ πρώτην φορὰν καὶ ἐπρόκειτο νὰ ὑποστοῦν τέτοιου εἴδους δοκιμασίας, νὰ τὰ λησμονήσουν· διότι οἱ βυθιζόμενοι εἰς ὕπνον, καθὼς καὶ ἄλλος Εὐαγγελιστὴς λέγει[21], καὶ κυριευμένοι ἀπὸ τὴν λύπην, καθὼς καὶ ὁ ἴδιος ὁ Χριστὸς λέγει, «Ἀλλ' ἐπειδὴ σᾶς εἶπα αὐτά, ἡ λύπη ἐγέμισε τὴν καρδίαν σας»[22], πῶς θὰ ἦτο δυνατὸν νὰ κρατήσουν εἰς τὴν μνήμην των λεπτομερῶς ὅλα αὐτά;

Τί δήποτε οὖν ἐλέγετο; Οὐ μικρὸν αὐτοῖς ἐγίνετο κέρδος εἰς τὴν Χριστοῦ δόξαν τὸ σαφῶς εἰδέναι, μετὰ ταῦτα ὑπομιμνησκομένους ὅτι ταῦτα πάλαι ἀκηκοότες ἦσαν παρὰ τοῦ Χριστοῦ. Τίνος δὲ ἕνεκεν προκαταβάλλει αὐτῶν τὴν ψυχήν, λέγων, «Ἔτι μακρὸν χρόνον μεθ' ὑμῶν εἰμι»; Τοῖς μὲν γὰρ Ἰουδαίοις εἰκότως ἐλέγετο, ἡμᾶς δὲ τίνος ἕνεκεν εἰς τὴν αὐτὴν τάξιν ἄγεις ἐκείνοις τοῖς ἀγνώμοσιν; Οὐδαμῶς. Καὶ τίνος ἕνεκεν εἶπε, «Καθὼς εἶπον τοῖς Ἰουδαίοις»; Ἀνέμνησεν ὅτι οὐχὶ νῦν ἀπὸ τῆς τῶν δεινῶν παρουσίας ταῦτα προλέγει, ἀλλ' ἄνωθεν αὐτὰ προῄδει, καὶ μάρτυρες αὐτοὶ οἱ ἀκούσαντες ὅτι καὶ πρὸς Ἰουδαίους ταῦτα ἔλεγε. Διὸ καὶ προσέθηκε τὸ «τεκνία», ἵνα, ἀκούσαντες, «Καθὼς εἶπον τοῖς Ἰουδαίοις», μὴ καὶ πρὸς αὐτοὺς ὁμοίως εἰρῆσθαι τὸ εἰρημένον νομίσωσιν. Οὐ καταβάλλων τοίνυν αὐτούς, ἀλλὰ παραμυθούμενος, ταῦτά φησιν, ἵνα μὴ ἀπροσδόκητα ἐπιστάντα αὐτοῖς τὰ δεινὰ ἐκταράξῃ.

«Ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν». Δείκνυσιν ὅτι ὁ θάνατος αὐτοῦ μετάστασίς ἐστι καὶ μετάθεσις ἀμείνων εἰς τόπον, σώματα οὐ δεχόμενον φθαρτά. Ταῦτα δὲ λέγει, καὶ τὸν εἰς αὐτὸν διεγείρων πόθον, καὶ θερμότερον ποιῶν. Ἴστε γὰρ ὅτι, ἐπειδὰν ἴδωμεν τῶν φιλτάτων τινὰς ἀναχωροῦντας, μάλιστα διαθερμαινόμεθα, καὶ μᾶλλον, ὅταν ἴδωμεν εἰς τόπον ἀπιόντας, εἰς ὃν οὐδὲ δυνατὸν ἡμῖν ἀπελθεῖν. Ἐκείνους μὲν οὖν φοβῶν, ταῦτα ἔλεγε, τούτοις δὲ τὸν πόθον ἐξάπτων. Τοιοῦτός ἐστιν ὁ τόπος, ὥστε μὴ μόνον ἐκείνους, ἀλλὰ μηδὲ ἡμᾶς τοὺς φιλτάτους δύνασθαι παραγενέσθαι ἐκεῖ. Ἐνταῦθα καὶ τὸ ἀξίωμα τὸ ἑαυτοῦ δείκνυσι. «Καὶ ὑμῖν λέγω ἄρτι». Διὰ τί «ἄρτι»; Ἑτέρως ἐκείνοις,

Καὶ τί λοιπὸν τέλος πάντων ἐλέγετο; Δὲν ἦτο μικρὸν τὸ κέρδος εἰς αὐτοὺς εἰς τὴν δόξαν τοῦ Χριστοῦ τὸ νὰ τὰ γνωρίζουν αὐτὰ λεπτομερῶς, ἐνθυμούμενοι εἰς τὴν συνέχειαν ὅτι αὐτὰ τὰ εἶχον ἀκούσει παλαιότερον ἀπὸ τὸν Χριστόν. Διὰ ποῖον δὲ λόγον πληροῖ ἐκ τῶν προτέρων μὲ λύπην τὴν ψυχὴν αὐτῶν, λέγων, «Ἀκόμη ὀλίγον χρόνον θὰ εἶμαι μαζί σας»; Διότι, εἰς μὲν τοὺς Ἰουδαίους ὀρθῶς ἐλέγετο, ἡμᾶς ὅμως διὰ ποῖον λόγον μᾶς κατατάσσεις ἐπίσης εἰς τὴν ἰδίαν τάξιν μὲ ἐκείνους τοὺς ἀγνώμονας; Κάθε ἄλλο. Καὶ διὰ ποῖον λόγον εἶπε, «Ὅπως εἶπα εἰς τοὺς Ἰουδαίους»; Ὑπενθύμισεν ὅτι αὐτὰ δὲν τὰ προλέγει τώρα ἐξ αἰτίας τῆς παρουσίας τῶν δεινῶν, ἀλλὰ τὰ ἐγνώριζεν ἀπὸ τὴν ἀρχήν, καὶ μάρτυρες εἶναι αὐτοὶ οἱ ἴδιοι, ποὺ ἤκουσαν ὅτι τὰ ἔλεγεν αὐτὰ καὶ πρὸς τοὺς Ἰουδαίους. Διὰ τοῦτο καὶ ἐπρόσθεσε τὸ «τεκνία», ὥστε, ἀκούσαντες, «Ὅπως εἶπα εἰς τοὺς Ἰουδαίους», νὰ μὴ νομίσουν ὅτι αὐτὸς ὁ λόγος ἐλέχθη καὶ πρὸς αὐτοὺς μὲ τὸν ἴδιον σκοπόν. Τὰ λέγει αὐτά, ὄχι διὰ νὰ πληρώσῃ μὲ λύπην αὐτούς, ἀλλὰ διὰ νὰ τοὺς παρηγορήσῃ, ὥστε νὰ μὴ τοὺς συνταράξουν τὰ δεινὰ ἐρχόμενα ἀπροσδόκητα.

«Ἐκεῖ ποὺ πηγαίνω ἐγώ, σεῖς δὲν ἠμπορεῖτε νὰ ἔλθετε». Δείχνει ὅτι ὁ θάνατός του εἶναι μεταφορὰ καὶ μετάθεσις μεγίστης σημασίας εἰς τόπον ποὺ δὲν δέχεται σώματα φθαρτά. Αὐτὰ δὲ τὰ λέγει καὶ διὰ νὰ διεγείρῃ τὸν πόθον των δι' αὐτὸν καὶ νὰ τὸν καταστήσῃ θερμότερον. Διότι γνωρίζετε ὅτι, ὅταν ἰδοῦμεν κάποιους ἀπὸ τὰ ἀγαπητά μας πρόσωπα, νὰ φεύγουν ἀπὸ κοντά μας, αὐξάνεται εἰς μεγάλον βαθμὸν ἡ ἀγάπη μας δι' αὐτούς, καὶ ἀκόμη περισσότερον, ὅταν τοὺς ἰδοῦμεν νὰ μεταβαίνουν εἰς τόπον, εἰς τὸν ὁποῖον δὲν ἠμποροῦμεν ἡμεῖς νὰ μεταβοῦμεν. Τοὺς μὲν λοιπὸν Ἰουδαίους, τὰ ἔλεγεν αὐτά, διὰ νὰ τοὺς φοβίσῃ, τοὺς δὲ μαθητάς του διὰ νὰ τοὺς διεγείρῃ τὸν πόθον των. Τέτοιος εἶναι αὐτὸς ὁ τόπος, ὥστε ὄχι μόνον ἐκεῖνοι, ἀλλὰ οὔτε σεῖς οἱ ἀγαπητοὶ νὰ ἠμπορῆτε νὰ μεταβῆτε ἐκεῖ. Ἐδῶ ἀποκαλύπτει καὶ τὸ ἀξίωμά του. «Καὶ εἰς ἐσᾶς λέγω τώρα». Διατί «τώρα»; Μὲ ἄλλην σημασίαν τὰ

καὶ ἑτέρως ὑμῖν· τουτέστιν, οὐ μετ' ἐκείνων. Ποῦ δὲ αὐτὸν ἐζήτησαν οἱ Ἰουδαῖοι; ποῦ δὲ οἱ μαθηταί; Οἱ μαθηταὶ μέν, ὅτε ἔφυγον, οἱ Ἰουδαῖοι δέ, ὅτε τὰ ἀνήκεστα ἔπασχον δεινά, καὶ πάντα ὑπερβαίνοντα λόγον, τῆς πόλεως αὐτῆς ἁλούσης, καὶ τῆς θεηλάτου πάντοθεν κατ' αὐτῶν φερομένης ὀργῆς. Ἐκείνοις μὲν οὖν τότε ἔλεγε διὰ τὴν ἀπιστίαν, ὑμῖν δὲ νῦν διὰ τὸ μὴ ἀπροσδόκητα ἐπελθεῖν τὰ δεινά.

«Ἐντολὴν καινὴν δίδωμι ὑμῖν»· ἐπειδὴ γὰρ εἰς θόρυβον αὐτοὺς ἐμπεσεῖν εἰκὸς ἦν, ταῦτα ἀκούοντας, ὡς ἐρήμους μέλλοντας ἔσεσθαι, παραμυθεῖται αὐτούς, τὴν πάντων τῶν ἀγαθῶν ῥίζαν καὶ ἀσφάλειαν περιβάλλων αὐτοῖς, τὴν ἀγάπην· ὡσανεὶ ἔλεγεν· 'Αλγεῖτε, ἀπιόντος ἐμοῦ; ἀλλά, ἐὰν ἀγαπᾶτε ἀλλήλους, ἔσεσθε ἰσχυρότεροι'. Πῶς οὖν οὐ τοῦτο εἶπεν; Ὅτι ὃ τούτου μᾶλλον ὤνησεν αὐτοὺς εἶπεν· «Ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε». Διὰ γὰρ τούτου ἅμα ἐδήλωσεν ὅτι οὐ σβεσθήσεται ὁ χορός, ὁπότε καὶ γνώρισμα αὐτοῖς ἔδωκε. Τοῦτο δὲ εἶπεν, ὅτε ὁ προδότης αὐτῶν ἀπεσχίσθη. Πῶς δὲ αὐτὴν ἐντολὴν λέγει καινὴν καὶ ἐν τῇ Παλαιᾷ κειμένην; Αὐτὸς αὐτὴν ἐποίησε καινὴν τῷ τρόπῳ· ἐπήγαγε γοῦν· «Καθὼς ἠγάπησα ὑμᾶς»· οὐ γὰρ προϋπηργμένων ὑμῖν κατορθωμάτων ὄφλημα ὑμῖν ἀπέδωκα, ἀλλ' αὐτὸς κατῆρξα, φησίν. Οὕτω καὶ ὑμᾶς εὐεργετεῖν τοὺς φιλτάτους χρή, καὶ μὴ ὀφείλοντας αὐτοῖς. Καὶ ἀφεὶς εἰπεῖν τὰ θαύματα, ἃ ἔμελλον ποιεῖν, ἀπὸ τῆς ἀγάπης αὐτοὺς χαρακτηρίζει. Τί δήποτε; Ὅτι τοῦτο μάλιστά ἐστι τὸ δεικνύον ἀνθρώπους ἁγίους· πάσης γάρ ἐστιν ἀρετῆς ὑπόθεσις. Διὰ τούτου μάλιστα καὶ σωζόμεθα πάντες· τοῦτο γάρ ἐστιν εἶναι,

23. Δευτ. 19, 18.

λέγει εἰς ἐκείνους, μὲ ἄλλην δὲ εἰς ἐσᾶς· δηλαδὴ δὲν σᾶς κατατάσσει μεταξὺ ἐκείνων. Ποῦ δὲ τὸν ἐζήτησαν οἱ Ἰουδαῖοι; ποῦ δὲ οἱ μαθηταί; Οἱ μὲν μαθηταὶ ὅταν ἔφυγον, οἱ Ἰουδαῖοι δέ, ὅταν ἔπασχον τὰ ἀνυπόφορα δεινὰ ποὺ ὑπερβαίνουν κάθε λογισμόν, ὅταν δηλαδὴ ἡ πόλις των ἡ ἰδία ἐκυριεύθη καὶ ἡ ὀργὴ τοῦ Θεοῦ ἀπὸ παντοῦ ἔπιπτεν ἐναντίον των. Εἰς ἐκείνους μὲν λοιπὸν τὰ ἔλεγε τότε ἐξ αἰτίας τῆς ἀπιστίας των, εἰς ἐσᾶς δὲ τώρα διὰ νὰ μὴ ἔλθουν τὰ δεινὰ ὅλως ἀπροσδόκητα.

«Σᾶς δίδω νέαν ἐντολήν»· ἐπειδὴ δηλαδὴ φυσικὸν ἦτο νὰ θορυβηθοῦν, ἀκούοντες αὐτὰ καὶ σκεπτόμενοι ὅτι πρόκειται νὰ μείνουν ἔρημοι, τοὺς παρηγορεῖ περιφρουρῶν αὐτοὺς μὲ τὴν ἀγάπην, τὴν ρίζαν ὅλων τῶν ἀγαθῶν· ὡσὰν δηλαδὴ νὰ τοὺς ἔλεγε· Νοιώθετε λύπην ποὺ φεύγω ἀπὸ κοντά σας; ἀλλά, ἐὰν ἀγαπᾶτε ὁ ἕνας τὸν ἄλλον, θὰ γίνετε ἰσχυρότεροι. Πῶς λοιπὸν δὲν εἶπεν αὐτό; Διότι εἶπεν αὐτὸς ἐκεῖνο ποὺ τοὺς ὠφέλησε περισσότερον ἀπὸ αὐτό· «Ἀπὸ αὐτὸ θὰ μάθουν ὅλοι οἱ ἄνθρωποι ὅτι εἶσθε μαθηταί μου». Μὲ αὐτὸ δηλαδὴ ἐδήλωσε συγχρόνως ὅτι δὲν θὰ διαλυθῇ ὁ χορὸς τῶν μαθητῶν, καθ' ὅσον τοὺς ἔδωσε καὶ τὸ διακριτικὸν γνώρισμα. Αὐτὸ δὲ τὸ εἶπεν, ὅταν ὁ προδότης ἀπεχωρίσθη ἀπὸ αὐτούς. Πῶς δὲ τὴν ὀνομάζει αὐτὴν νέαν ἐντολὴν τὴν στιγμὴν ποὺ ἀπαντᾷ καὶ εἰς τὴν Παλαιὰν Διαθήκην[23]; Αὐτὸς τὴν ἔκαμε νέαν μὲ τὴν νέαν μορφὴν ποὺ τῆς ἔδωσε· διότι ἐπρόσθεσεν· «Ὅπως ἠγάπησα ἐσᾶς»· δὲν σᾶς ἀπέδωσα δηλαδὴ ὀφειλὴν διὰ κατορθώματα ποὺ τὰ ἐπράξατε προηγουμένως, ἀλλά, λέγει, ἐγὼ ὁ ἴδιος ἔκαμα τὴν ἀρχήν. Ἔτσι καὶ σεῖς πρέπει νὰ εὐεργετῆτε αὐτοὺς ποὺ ἀγαπᾶτε, καὶ ὄχι νὰ τοὺς θεωρῆτε ὡσὰν ὀφειλέτας. Καὶ παραλείψας ν' ἀναφέρῃ τὰ θαύματα ποὺ ἐπρόκειτο νὰ κάμουν, τοὺς χαρακτηρίζει ἀπὸ τὴν ἀγάπην. Καὶ διατί τέλος πάντων; Ἐπειδὴ αὐτὸ πρὸ πάντων εἶναι ἐκεῖνο ποὺ δείχνει τοὺς ἀνθρώπους ἁγίους· διότι εἶναι ἡ ρίζα πάσης ἀρετῆς. Χάριν αὐτοῦ ὡς ἐπὶ τὸ πλεῖστον καὶ σωζόμεθα ὅλοι· διότι, λέγει, αὐτὸ σημαίνει

φησί, μαθητήν. Οὕτως ὑμᾶς ἅπαντες ἐπαινέσονται, ὅταν ἴδωσιν ὑμᾶς μιμουμένους τὴν ἐμὴν ἀγάπην.

4. Τί οὖν; οὐ πολλῷ μᾶλλον τὰ θαύματα δείκνυσι τοῦτο; Οὐδαμῶς· «πολλοὶ γὰρ ἐροῦσι· Κύριε, οὐκ ἐν τῷ ὀνόματί σου δαιμόνια ἐξεβάλομεν;», καὶ πάλιν, χαιρόντων αὐτῶν ὅτι τὰ δαιμόνια αὐτοῖς ὑπακούει, φησί· «Μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑμῖν ὑπακούει, ἀλλ' ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν τοῖς οὐρανοῖς». Καὶ μὴν τοῦτο τὴν οἰκουμένην ἐπηγάγετο, ἐπειδὴ ἐκεῖνο προῆν· εἰ δὲ μὴ ἦν ἐκεῖνο οὔτε τοῦτο παρέμενε. Τοῦτο γοῦν εὐθέως αὐτοὺς ἐποίησε καλοὺς καὶ ἀγαθούς, καὶ τὸ τὴν καρδίαν πάντων καὶ τὴν ψυχὴν εἶναι μίαν. Εἰ δὲ διέστησαν ἀπ' ἀλλήλων, ἅπαντα ἂν ἀπολώλει. Οὐκ ἐκείνοις δὲ ταῦτα διελέγετο μόνοις, ἀλλὰ καὶ πᾶσι τοῖς μέλλουσι πιστεύειν εἰς αὐτόν· ἐπεὶ καὶ νῦν οὐδὲν ἄλλο ἐστὶ τὸ σκανδαλίζον Ἕλληνας, ἢ τὸ μὴ ἀγάπην εἶναι. Ἀλλὰ καὶ τὸ σημεῖα μὴ γίνεσθαι ἐγκαλοῦσι, φησίν. Ἀλλ' οὐχ οὕτω.

Ποῦ δὲ τὴν ἀγάπην ἐπεδείξαντο οἱ Ἀπόστολοι; Ὁρᾷς Πέτρον καὶ Ἰωάννην ἀδιασπάστως ἔχοντας ἀλλήλων καὶ ἐπὶ τὸ ἱερὸν ἀναβαίνοντας; ὁρᾷς Παῦλον οὕτω πρὸς αὐτοὺς διακείμενον καὶ ἀπορεῖς; Εἰ γὰρ τὰ ἄλλα ἐκέκτηντο, πολλῷ μᾶλλον εἶχον τὴν μητέρα τῶν ἀγαθῶν· ἀπὸ γὰρ ψυχῆς ἐναρέτου τοῦτο τὸ πρᾶγμα βλαστάνει· ἔνθα δὲ πονηρία, τοῦτο ξηραίνεται τὸ φυτόν· «ὅταν» γάρ, φησί, «πληθυνθῇ ἡ ἀνομία, ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν». Καὶ Ἕλληνας δὲ οὐχ οὕτως ἐπάγεται σημεῖα, ὡς βίος· βίον δὲ οὐδὲν οὕτως εἶναι ποιεῖ, ὡς ἀγάπη. Ἐκεῖνα μὲν γὰρ τοὺς ποιοῦντας πολλάκις

24. Ματθ. 7, 22.
25. Λουκᾶ 10, 20.
26. Ματθ. 24, 12.

νὰ εἶναι κανεὶς μαθητής. Τότε ὅλοι θὰ σᾶς ἐπαινέσουν, ὅταν θὰ σᾶς ἰδοῦν νὰ μιμῆσθε τὴν ἰδικήν μου ἀγάπην.

4. Τί λοιπόν; Τὸ γνώρισμα αὐτὸ δὲν τὸ δείχνουν πολὺ περισσότερον τὰ θαύματα; Καθόλου· διότι «πολλοὶ θὰ εἰποῦν· Κύριε, δὲν ἐξεδιώξαμεν δαιμόνια εἰς τὸ ὄνομά σου;»[24]· καὶ πάλιν, ἐπειδὴ ἐχαίροντο αὐτοί, ὅτι τὰ δαιμόνια ὑπακούουν εἰς αὐτούς, λέγει· «Μὴ χαίρεσθε ἐπειδὴ ὑπακούουν τὰ δαιμόνια εἰς ἐσᾶς, ἀλλὰ νὰ χαίρεσθε ἐπειδὴ τὰ ὀνόματά σας ἔχουν γραφῆ εἰς τοὺς οὐρανούς»[25]. Καὶ βέβαια αὐτὸ ὡδήγησε πλησίον των τὴν οἰκουμένην, ἀλλ' ἐπειδὴ προϋπῆρχεν ἡ ἀγάπη· ἐὰν δὲ δὲν ὑπῆρχεν αὐτή, οὔτε αὐτὴ ἡ θαυματουργικὴ δύναμις θὰ παρέμενε. Διότι αὐτὴ ἡ ἀγάπη τοὺς ἔκαμεν ἀμέσως καλοὺς καὶ ἀγαθοὺς καὶ τὸ νὰ εἶναι ἡ καρδία ὅλων καὶ ἡ ψυχὴ ὡσὰν μία. Ἐὰν ὅμως ἐφιλονεικοῦσαν μεταξύ των, ὅλα θὰ ἐχάνοντο. Δὲν τὰ ἔλεγε δὲ αὐτὰ μόνον δι' ἐκείνους, ἀλλὰ καὶ δι' ὅλους ἐκείνους ποὺ ἐπρόκειτο νὰ πιστεύσουν εἰς αὐτόν· διότι καὶ τώρα τίποτε ἄλλο δὲν ὑπάρχει ποὺ νὰ σκανδαλίζῃ τοὺς ἐθνικούς, παρὰ τὸ νὰ μὴ ὑπάρχῃ ἀγάπη. Ἀλλά, λέγει, κατηγοροῦν καὶ τὸ ὅτι δὲν γίνονται θαύματα. Ὄχι ὅμως τόσον πολύ.

Ποῦ δὲ ἐφανέρωσαν οἱ Ἀπόστολοι τὴν ἀγάπην; Βλέπεις τὸν Πέτρον καὶ τὸν Ἰωάννην νὰ εἶναι στενὰ συνδεδεμένοι μεταξύ των καὶ ν' ἀνεβαίνουν εἰς τὸν ναόν; Βλέπεις τὸν Παῦλον νὰ δείχνῃ τέτοιαν διάθεσιν πρὸς αὐτοὺς καὶ ἀπορεῖς; διότι, ἐὰν εἶχον κάμει κτῆμα των τὰ ἄλλα ἀγαθά, πολὺ περισσότερον εἶχον τὴν μητέρα τῶν ἀγαθῶν· καθ' ὅσον αὐτὸ τὸ ἀγαθὸν βλαστάνει ἀπὸ ψυχὴν ἐνάρετον· ὅπου ὅμως ὑπάρχει πονηρία, αὐτὸ τὸ φυτὸν ξηραίνεται· διότι λέγει· «Ὅταν θὰ πληθύνῃ ἡ ἀνομία, θὰ ψυχρανθῇ ἡ ἀγάπη τῶν πολλῶν»[26]. Καὶ τοὺς ἐθνικοὺς δὲ δὲν τοὺς πείθουν τόσον τὰ θαύματα, ὅσον ὁ τρόπος ζωῆς· τὸν ἐνάρετον δὲ βίον τίποτε δὲν τὸν κάνει νὰ εἶναι τέτοιος, ὅσον ἡ ἀγάπη. Διότι τὰ μὲν θαύματα πολλὲς φορὲς ἔγιναν ἀφορμὴ νὰ χαρακτηρισθοῦν πλάνοι ἐκεῖνοι ποὺ τὰ ἐπετέλεσαν,

καὶ πλάνους ἐκάλεσαν, βίου δὲ ἐπιλαβέσθαι οὐκ ἂν ἔχοιμεν καθαροῦ.

Ὅτε μὲν οὖν οὔπω τὸ κήρυγμα διαδοθὲν ἦν, εἰκότως τὰ σημεῖα ἐθαυμάζετο, νῦν δὲ ἀπὸ βίου χρὴ θαυμάζεσθαι· οὐδὲν γὰρ οὕτως ἐντρέπει Ἕλληνας, ὡς ἀρετή· οὐδὲν σκανδαλίζει, ὡς κακία. Καὶ εἰκότως· ὅταν γὰρ ἴδῃ πλεονεκτοῦντα, ἁρπάζοντα, τὰ ἐναντία κελεύοντα, καὶ τοῖς ὁμοφύλοις ὡς θηρίοις κεχρημένον τὸν κελευσθέντα καὶ ἐχθροὺς ἀγαπᾶν, λῆρον ἐρεῖ τὰ εἰρημένα· ὅταν ἴδῃ τρέμοντα θάνατον, πῶς δέξεται τοὺς περὶ ἀθανασίας λόγους; ὅταν ἴδῃ φιλαρχοῦντας καὶ τοῖς ἄλλοις δουλεύοντας πάθεσιν, ἀκριβέστερον ἐν τοῖς ἑαυτοῦ μενεῖ δόγμασιν, οὐδὲν μέγα περὶ ἡμῶν φανταζόμενος· ἡμεῖς γάρ ἐσμεν αἴτιοι, ἡμεῖς τοῦ μένειν αὐτοὺς ἐπὶ τῆς πλάνης· τῶν μὲν γὰρ δογμάτων τῶν παρ' ἑαυτοῖς πάλαι κατέγνωσαν, καὶ τὰ ἡμέτερα δὲ ὁμοίως θαυμάζουσιν· ἐκ τοῦ βίου δὲ ἡμῶν κωλύονται· τὸ μὲν γὰρ διὰ λόγων φιλοσοφῆσαι εὔκολον (πολλοὶ γὰρ καὶ παρ' αὐτῶν τοῦτο ἐποίησαν), ἐπιζητοῦσι δὲ τὴν διὰ τῶν ἔργων ἐπίδειξιν.

Ἀλλὰ τοὺς παλαιοὺς παρ' ἡμῖν ἐννοείτωσαν. Ἀλλ' οὐδαμῶς πιστεύουσιν, ἀλλὰ τοὺς νῦν ζῶντας ἐπιζητοῦσι· δεῖξον γάρ μοι, φησίν, τὴν πίστιν διὰ τῶν ἔργων σου. Ἀλλ' οὐκ ἔστιν· ἀλλὰ μᾶλλον ὁρῶντες καὶ θηρίου σπαράττοντας ἡμᾶς τοὺς πλησίον, λύμην ἡμᾶς καλοῦσι τῆς οἰκουμένης. Ταῦτα Ἕλληνας κατέχει, καὶ οὐκ ἀφίησι πρὸς ἡμᾶς μεταστῆναι. Ὥστε ἡμεῖς καὶ τούτων δίκην δώσομεν, οὐχ ὑπὲρ ὧν κακῶς πράττομεν μόνον, ἀλλὰ καὶ ὑπὲρ ὧν βλασφημεῖται τὸ ὄνομα τοῦ Θεοῦ. Μέχρι τίνος χρήμασι καὶ τρυφῇ καὶ τοῖς

ἐνῷ τὸν καθαρὸν βίον δὲν θὰ ἠμποροῦσαν νὰ τὸν κατηγορήσουν.

Ὅταν λοιπὸν δὲν εἶχεν ἀκόμη διαδοθῆ τὸ κήρυγμα, εὔλογα τὰ θαύματα ἐθαυμάζοντο, τώρα ὅμως πρέπει νὰ θαυμάζεται κανεὶς ἀπὸ τὸν τρόπον ζωῆς˙ διότι τίποτε δὲν μεταβάλλει τόσον τὸ φρόνημα τῶν ἐθνικῶν, ὅσον ἡ ἀρετή˙ τίποτε δὲν σκανδαλίζει τόσον ὅσον ἡ κακία. Καὶ εἶναι πολὺ φυσικόν˙ διότι ὅταν ἰδῇ ἐκεῖνον ποὺ ἔλαβεν ἐντολὴν καὶ τοὺς ἐχθρούς του ν' ἀγαπᾷ, νὰ εἶναι πλεονέκτης, νὰ ἁρπάζῃ, νὰ συμβουλεύῃ τὰ ἀντίθετα ἀπὸ ἐκεῖνα ποὺ πράττει καὶ νὰ μεταχειρίζεται τοὺς ὁμοφύλους του ὡσὰν θηρία, θὰ θεωρήσῃ τὰ λεχθέντα μωρίαν˙ ὅταν τὸν ἰδῇ νὰ τρέμῃ τὸν θάνατον, πῶς θὰ ἀποδεχθῇ τοὺς λόγους περὶ ἀθανασίας; ὅταν ἰδῇ τοὺς χριστιανοὺς νὰ ἐπιδιώκουν τὴν ἐξουσίαν καὶ νὰ εἶναι δοῦλοι τῶν ἄλλων παθῶν, θὰ παραμείνῃ περισσότερον ἀκλόνητος εἰς τὰ δόγματά του, μὴ φανταζόμενος τίποτε τὸ σπουδαῖον δι' ἡμᾶς˙ διότι ἡμεῖς εἴμεθα αἴτιοι, ἡμεῖς τοῦ νὰ μείνουν αὐτοὶ εἰς τὴν πλάνην των˙ βέβαια τὰ μὲν δόγματά των ἀπὸ παλαιὰ κατεδίκασαν καὶ τὰ ἰδικά μας δὲ ὁμοίως θαυμάζουν, ἀλλ' ὅμως ἐμποδίζονται ἀπὸ τὸν τρόπον τῆς ζωῆς μας˙ διότι, τὸ νὰ φιλοσοφήσῃ κανεὶς μὲ λόγια εἶναι εὔκολον (καθ' ὅσον πολλοὶ καὶ ἀπὸ αὐτοὺς τὸ ἔπραξαν αὐτό), ἐπιζητοῦν ὅμως τὴν ἐπίδειξιν διὰ τῶν ἔργων.

Ἀλλ' ἂς σκεφθοῦν τοὺς παλαιοὺς ἰδικούς μας. Καὶ ὅμως μὲ κανένα τρόπον δὲν πιστεύουν, ἀλλὰ ζητοῦν ἀπόδειξιν ἀπὸ αὐτοὺς ποὺ ζοῦν σήμερα˙ διότι, λέγει, δεῖξέ μου τὴν πίστιν σου μὲ τὰ ἔργα σου˙ αὐτὸ ὅμως δὲν συμβαίνει, ἀλλά, βλέποντες ἡμᾶς νὰ σπαράττωμεν τοὺς πλησίον μας πολὺ περισσότερον καὶ ἀπὸ τὰ θηρία, μᾶς θεωροῦν καταστροφὴν τῆς οἰκουμένης. Αὐτὰ συγκρατοῦν τοὺς ἐθνικοὺς καὶ δὲν τοὺς ἀφήνουν νὰ ἔλθουν πρὸς ἡμᾶς. Ὥστε ἡμεῖς καὶ δι' αὐτὰ θὰ τιμωρηθῶμεν, ὄχι μόνον διὰ τὰς κακὰς πράξεις μας, ἀλλὰ καὶ δι' ἐκεῖνα ἐξ αἰτίας τῶν ὁποίων βλασφημεῖται τὸ ὄνομα τοῦ Θεοῦ. Μέχρι πότε θὰ εἴμεθα παραδομένοι εἰς τὰ χρήματα καὶ τὴν ἀπόλαυσιν καὶ

ἄλλοις ἐσμὲν προδεδομένοι πάθεσιν; Ἀποστῶμεν οὖν λοιπόν. Ἄκουσον τί φησιν ὁ Προφήτης περί τινων ἀνοήτων· «Φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν». Ἐπὶ δὲ τῶν παρόντων οὐδὲ τοῦτο ἔστιν εἰπεῖν· οὕτω πολλοὶ τὰ τῶν ἁπάντων περιβάλλονται. Οὕτω καὶ αὐτοῖς ὀνειδίζων ἔλεγεν ὁ Προφήτης· «Μὴ οἰκήσετε μόνοι ἐπὶ τῆς γῆς;».

Διὸ καὶ δέδοικα μή τι γένηται χαλεπόν, καὶ πολλὴν ἐπισπασώμεθα τὴν παρὰ τοῦ Θεοῦ τιμωρίαν. Ὅπερ ἵνα μὴ γένηται, τῆς ἀρετῆς ἐπιμελώμεθα πάσης, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τὰ ἄλλα πάθη; Ἂς ἀπομακρυνθῶμεν λοιπὸν ἀπὸ αὐτὰ εἰς τὸ ἑξῆς. Ἄκουσε τί λέγει ὁ προφήτης δι' ὡρισμένους ἀνοήτους· «Ἂς φάγωμεν καὶ ἂς πίωμεν, διότι αὔριον πεθαίνομεν»[27]. Διὰ τοὺς σημερινοὺς ὅμως οὔτε αὐτὸ ἠμποροῦμεν νὰ εἰποῦμεν· τόσον πολὺ ἁρπάζουν πολλοὶ τὰ ὑπάρχοντα τῶν ἄλλων. Ἔτσι ὀνειδίζων καὶ αὐτοὺς ὁ προφήτης, ἔλεγεν· «Μήπως θὰ κατοικήσετε μόνοι σας ἐπάνω εἰς τὴν γῆν;»[28].

Διὰ τοῦτο φοβοῦμαι μήπως συμβῇ τίποτε τὸ φοβερὸν καὶ ἐπισύρωμεν τὴν τιμωρίαν ἀπὸ τὸν Θεόν. Διὰ νὰ μὴ συμβῇ αὐτό, ἂς φροντίζωμεν τὴν ἀρετὴν γενικῶς, ὥστε καὶ τὰ μελλοντικὰ ἀγαθὰ νὰ ἐπιτύχωμεν, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου ἀνήκει ἡ δόξα εἰς τὸν Πατέρα, συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

27. Ἡσ. 22, 13.
28. Ἡσ. 5, 8.

ΟΜΙΛΙΑ ΟΓ΄

Ἰω. 13, 36 - 14, 7

«Λέγει Σίμων Πέτρος· Κύριε, ποῦ ὑπάγεις; Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Ὅπου ὑπάγω ἐγώ, οὐ δύνασαί μοι νῦν ἀκολουθῆσαι· ὕστερον δὲ ἀκολουθήσεις μοι».

1. Μέγα ἀγάπη καλόν! πυρός ἐστι σφοδρότερον, καὶ πρὸς αὐτὸν ἄνεισι τὸν οὐρανόν, καὶ οὐδέν ἐστι κώλυμα, ὅπερ αὐτῆς τὴν ῥαγδαίαν ὁρμὴν ἐπισχεῖν δυνήσεται. Ὁ γοῦν θερμότατος Πέτρος, ἀκούσας ὅτι «ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν», τί λέγει; «Κύριε, ποῦ ὑπάγεις;». Τοῦτο δὲ εἶπεν, οὐχ οὕτω μαθεῖν βουλόμενος, ὡς ἀκολουθῆσαι ἐπιθυμῶν. Φανερῶς μὲν οὖν εἰπεῖν ὅτι «ἔρχομαι» οὐκ ἐτόλμησε τέως, φησὶ δέ· «Ποῦ ὑπάγεις;». Ὁ Χριστὸς δὲ οὐ πρὸς τὰ ῥήματα, ἀλλὰ πρὸς τὴν διάνοιαν ἀπεκρίνατο· ὅτι γὰρ τοῦτο ἤθελε, δι᾽ ὧν ὁ Χριστὸς εἶπε δῆλον· τί γάρ φησιν; «Ὅπου ἐγὼ ὑπάγω, οὐ δύνασαί μοι νῦν ἀκολουθῆσαι». Ὁρᾷς ὅτι τὸ ἀκολουθῆσαι ἐπεπόθει, καὶ διὰ τοῦτο ἐρωτᾷ; Ἀκούσας δὲ ὅτι «ἀκολουθήσεις ὕστερον», οὐδὲ οὕτω τὸν πόθον κατεῖχε (καίτοι χρηστὰς ἐλπίδας λαβών), ἀλλ᾽ οὕτως ἐπείγεται, ὡς εἰπεῖν· «Διὰ τί οὐ δύναμαί σοι νῦν ἀκολουθῆσαι; Τὴν ψυχήν μου ὑπὲρ σοῦ θήσω». Ἐπειδὴ γὰρ ἀπεσείσατο τὸν φόβον τῆς προδοσίας, καὶ τῶν γνησίων ἐφάνη καὶ αὐτὸς ὤν, μετὰ παρρησίας δι᾽ ἑαυτοῦ λοιπὸν ἐρωτᾷ, τῶν ἄλλων σιγώντων.

Τί λέγεις, Πέτρε; εἶπεν ὅτι «οὐ δύνασαι», καὶ σὺ λέγεις ὅτι «δύναμαι»; Οὐκοῦν εἴσῃ διὰ τῆς πείρας αὐτῆς ὅτι οὐδὲν

ΟΜΙΛΙΑ ΟΓ΄

'Ιω. 13, 36 - 14, 7

«Λέγει Σίμων Πέτρος· Κύριε, πού θὰ ὑπάγης; 'Απεκρίθη εἰς αὐτὸν ὁ 'Ιησοῦς· 'Εκεῖ πού πηγαίνω ἐγὼ δὲν ἠμπορεῖς σὺ νὰ μὲ ἀκολουθήσης τώρα· ἀργότερα θὰ μὲ ἀκολουθήσῃς».

1. Εἶναι μεγάλο καλὸν ἡ ἀγάπη! εἶναι σφοδρότερον ἀπὸ τὸ πῦρ καὶ ὁδηγεῖ πρὸς τὸν ἴδιον τὸν οὐρανὸν καὶ δὲν ὑπάρχει κανένα ἐμπόδιον πού νὰ ἠμπορέσῃ νὰ ἀνακόψῃ τὴν ἰσχυρὰν ὁρμήν της. Ὁ θερμότατος λοιπὸν Πέτρος, ἀκούσας ὅτι «ἐκεῖ πού ἐγὼ πηγαίνω σεῖς δὲν ἠμπορεῖτε νὰ ἔλθετε», τί λέγει; «Κύριε, ποῦ πηγαίνεις;». Αὐτὸ τὸ εἶπεν, ὄχι τόσον ἐπειδὴ ἤθελε νὰ μάθῃ, ὅσον ἐπειδὴ ἤθελε νὰ τὸν ἀκολουθήσῃ. Φανερὰ λοιπὸν νὰ εἴπῃ κατ' ἀρχὴν «ἔρχομαι» δὲν ἐτόλμησεν, ἀλλὰ λέγει· «Ποῦ πηγαίνεις;». Ὁ δὲ Χριστὸς δὲν ἀπήντησε σύμφωνα μὲ τὰ λόγια του, ἀλλ' ἀπεκρίθη εἰς τὴν σκέψιν του· τὸ ὅτι βέβαια ἤθελεν αὐτό, γίνεται φανερὸν ἀπὸ ἐκεῖνα πού εἶπεν ὁ Χριστός· τί λέγει δηλαδή; «'Εκεῖ πού πηγαίνω ἐγώ, δὲν ἠμπορεῖς τώρα νὰ μὲ ἀκολουθήσῃς». Βλέπεις ὅτι ἐποθοῦσε τὸ νὰ τὸν ἀκολουθήσῃ καὶ ὅτι διὰ τοῦτο ἐρωτᾷ; 'Ακούσας δὲ «θὰ μὲ ἀκολουθήσῃς ἀργότερα», οὔτε ἔτσι ἐσυγκράτησε τὸν πόθον του (ἂν καὶ ἔλαβεν ἀγαθὰς ἐλπίδας), ἀλλὰ τόσον πολὺ βιάζεται, ὥστε νὰ εἴπῃ· «Διατί δὲν ἠμπορῶ νὰ σὲ ἀκολουθήσω; Τὴν ψυχήν μου θὰ θυσιάσω πρὸς χάριν σου». Ὅταν δηλαδὴ ἀπέβαλε τὸν φόβον τῆς προδοσίας καὶ ἐφάνη καὶ αὐτὸς ὅτι εἶναι ἀπὸ τοὺς γνησίους μαθητάς του, μὲ παρρησίαν πλέον ἐρωτᾷ μόνος αὐτὸς ἐνῷ οἱ ἄλλοι σιωποῦν.

Τί λέγεις, Πέτρε; εἶπεν ὅτι «δὲν ἠμπορεῖτε» καὶ σὺ λέγεις «ἠμπορῶ»; Λοιπὸν θὰ γνωρίσῃς μὲ αὐτὴν τὴν δοκι-

σού ἐστιν ἡ ἀγάπη, μὴ τῆς ἄνωθεν παρούσης ῥοπῆς. Ὅθεν δῆλον ὅτι καὶ τὸ πτῶμα ἐκεῖνο, αὐτοῦ κηδόμενος, συνεχώρησεν· ἐβούλετο μὲν γὰρ καὶ διὰ τῶν πρώτων παιδεῦσαι, ἐπειδὴ δὲ ἐπέμενε τῇ σφοδρότητι, αὐτὸς μὲν οὐκ ἐνέβαλεν αὐτόν, οὔτε ὦσεν ἐπὶ τὴν ἄρνησιν, εἴασε δὲ ἔρημον, ὥστε μαθεῖν τὴν ἑαυτοῦ ἀσθένειαν. Εἶπεν ὅτι δεῖ παραδοθῆναι, καὶ λέγει· «Ἵλεώς σοι· οὐ μὴ ἔσται σοι τοῦτο»· ἐπετιμήθη, καὶ οὐκ ἐπαιδεύθη, ἀλλὰ πάλιν, βουλομένου τοῦ Χριστοῦ νίψαι αὐτοῦ τοὺς πόδας, φησίν· «Οὐ μὴ νίψῃς μου τοὺς πόδας εἰς τὸν αἰῶνα»· ἀκούσας πάλιν ὅτι «οὐ δύνασαί μοι νῦν ἀκολουθῆσαι», λέγει· «Κἂν πάντες ἀρνήσωνται, ἐγὼ οὐκ ἀρνήσομαι». Ἐπεὶ οὖν εἰκὸς ἦν αὐτὸν καὶ εἰς ἀπόνοιαν ἀρθῆναι, μελετῶντα ἀντιλέγειν αὐτῷ, παιδεύει λοιπὸν αὐτὸν μὴ ἀντιπίπτειν. Τοῦτο γοῦν καὶ ὁ Λουκᾶς αἰνιττόμενος, αὐτόν φησιν εἰρηκέναι· «Καὶ ἐγὼ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου»· τουτέστιν, 'ἵνα μὴ εἰς τέλος ἀπόλῃ', διὰ πάντων ταπεινοφροσύνην αὐτὸν διδάσκων, καὶ τὴν ἀνθρωπίνην ἐλέγχων φύσιν, οὐδὲν αὐτὴν καθ' ἑαυτὴν οὖσαν. Ἐπειδὴ γὰρ ἡ πολλὴ ἀγάπη ἀντιλογικὸν αὐτὸν ἐποίησε, σωφρονίζει λοιπὸν αὐτόν, ἵνα μὴ καὶ ἐν τοῖς μετὰ ταῦτα τοῦτο πάθῃ, ὅταν τῆς οἰκουμένης τὴν οἰκονομίαν ἀναδέξηται, ἀλλ' ἵνα ἀναμιμνησκόμενος ὧν ἔπαθεν, ἐπιγινώσκῃ ἑαυτόν.

Καὶ ὅρα σφοδρότητα πτώματος· οὐ γὰρ ἅπαξ καὶ δὶς τοῦτο ἔπαθεν, ἀλλ' οὕτως ἐξέστη, ὡς ἐν βραχεῖ καιρῷ τρίτον εἰπεῖν τὸ ῥῆμα τὸ τῆς ἀρνήσεως, ἵνα μάθῃ ὅτι οὐχ οὕτως ἠγάπησεν, ὡς ἠγαπήθη. Ἀλλ' ὅμως τῷ οὕτω πεσόντι πάλιν λέγει· «Ἀγαπᾷς με πλέον τούτων;». Οὕτως οὐκ ἀπὸ ψύξεως, ἀλλ' ἐκ τοῦ γυμνωθῆναι τῆς ἄνωθεν βοηθείας γέγονε. Τὴν μὲν οὖν ἀγάπην ἀποδέχεται τοῦ Πέτρου,

1. Ματθ. 16, 22.
2. Ἰω. 13, 8.
3. Λουκᾶ 22, 32.
4. Ἰω. 21, 15.

μασίαν, ὅτι δὲν ἔχει καμμίαν ἀξίαν ἡ ἀγάπη σου, ἐὰν δὲν ὑπάρχῃ ἡ οὐράνιος ἐνίσχυσις. Γίνεται ἑπομένως φανερόν, ὅτι καὶ ἐκείνην τὴν πτῶσιν τὴν ἐπέτρεψεν ἀπὸ ἐνδιαφέρον δι' αὐτόν· ἤθελε βέβαια καὶ μὲ τὰ πρῶτα λόγια του νὰ τὸν διδάξῃ, ἐπειδὴ ὅμως ἐπέμενεν εἰς τὴν ὁρμητικότητά του, αὐτὸς μὲν δὲν τὸν ὡδήγησεν οὔτε τὸν ὤθησεν εἰς τὴν ἄρνησιν, τὸν ἄφησε δὲ μόνον, ὥστε νὰ ἀντιληφθῇ τὴν ἀδυναμίαν του. Εἶπεν ὅτι πρέπει νὰ παραδοθῇ, καὶ λέγει· «Ἄς σὲ εὐσπλαγχνισθῇ, ὥστε νὰ μὴ σοῦ συμβῇ αὐτό»[1]· ἐπετιμήθη καὶ δὲν ἐδιδάχθη, ἀλλὰ πάλιν, ὅταν ἤθελεν ὁ Χριστὸς νὰ πλύνῃ τὰ πόδια του, λέγει· «Δὲν θὰ πλύνῃς τὰ πόδια μου εἰς τὸν αἰῶνα»[2]· ἀκούσας πάλιν ὅτι «δὲν ἠμπορεῖς νὰ μὲ ἀκολουθήσῃς», λέγει· «Καὶ ἂν ἀκόμη ὅλοι σὲ ἀρνηθοῦν, ἐγὼ δὲν θὰ σὲ ἀρνηθῶ». Ἐπειδὴ λοιπὸν εὔλογον ἦτο νὰ ὁδηγηθῇ καὶ εἰς ἀλαζονείαν, προβάλλων ἀντιλογίας εἰς αὐτόν, τὸν διδάσκει εἰς τὸ ἑξῆς νὰ μὴ προβάλλῃ ἀντιρρήσεις. Αὐτὸ λοιπὸν ὑπαινισσόμενος καὶ ὁ Λουκᾶς, λέγει ὅτι εἶπεν ὁ Χριστός· «Καὶ ἐγὼ προσηυχήθην διὰ σένα διὰ νὰ μὴ ἐκλείψῃ ἡ πίστις σου»[3]· δηλαδή, 'διὰ νὰ μὴ ὁδηγηθῇς εἰς τὸ τέλος εἰς τὴν ἀπώλειαν', διδάσκων εἰς αὐτὸν μὲ ὅλα αὐτὰ ταπεινοφροσύνην καὶ ἐλέγχων τὴν ἀνθρωπίνην φύσιν, ὅτι αὐτὴ καθ' ἑαυτὴν δὲν εἶναι τίποτε. Ἐπειδὴ δηλαδὴ ἡ πολλὴ ἀγάπη του τὸν ἔκανε νὰ προβάλλῃ ὅλο ἀντιρρήσεις, σωφρονίζει πλέον αὐτόν, διὰ νὰ μὴ πάθῃ τὸ ἴδιο καὶ εἰς τὴν συνέχειαν, ὅταν θὰ ἀναλάβῃ τὸ ἔργον τῆς οἰκονομίας εἰς τὴν οἰκουμένην, ἀλλά, ἐνθυμούμενος ἐκεῖνα ποὺ ἔπαθεν, νὰ ἔχῃ ἐπίγνωσιν τοῦ ἑαυτοῦ του.

Καὶ πρόσεχε τὸ τεράστιον μέγεθος τῆς πτώσεώς του· διότι δὲν τὸ ἔπαθεν αὐτὸ μίαν καὶ δύο φοράς, ἀλλὰ τόσον πολὺ παρεκτράπη, ὥστε μέσα εἰς πολὺ σύντομον χρόνον διὰ τρίτην φορὰν νὰ ἐπαναλάβῃ τὸν λόγον τῆς ἀρνήσεως, διὰ νὰ μάθῃ, ὅτι δὲν ἠγάπησε τόσον πολύ, ὅσον ἠγαπήθη. «Μὲ ἀγαπᾷς περισσότερον ἀπὸ αὐτούς;»[4]. Αὐτὸ συνέβη ὄχι ἐπειδὴ ἐψυχράνθη ἡ ἀγάπη του, ἀλλὰ διὰ νὰ φανερωθῇ ἡ ἐκ τοῦ οὐρανοῦ βοήθεια. Τὴν μὲν λοιπὸν ἀγάπην τοῦ

τὴν δὲ ἐξ αὐτῆς τικτομένην ἀντιλογίαν περικόπτει· εἰ γὰρ ἀγαπᾷς, ὀφείλεις τῷ ἠγαπημένῳ πείθεσθαι. Εἶπε καὶ σοὶ καὶ τοῖς μετὰ σοῦ, «Οὐ δύνασαι»· τί φιλονεικεῖς; οὐκ οἶδας τί ποτέ ἐστιν ἀπαγόρευσις Θεοῦ; Ἐπειδὴ δὲ ἐν τούτῳ μαθεῖν οὐ θέλεις ὅτι οὐχ οἷόν τε μὴ γενέσθαι ὃ λέγω, ἐν τῇ ἀρνήσει αὐτὸ μαθήσῃ, καίτοι πολύ σοι τοῦτο τότε ἀπιστότερον ἐφαίνετο· τοῦτο μὲν γὰρ οὐδὲ ᾔδεις, ἐκείνου δὲ τὴν γνῶσιν αὐτὸς εἶχες ἐν τῇ ψυχῇ· ἀλλ' ὅμως ἐγίνετο τὸ μηδὲ προσδοκηθέν. «Τὴν ψυχήν μου ὑπὲρ σοῦ θήσω». Ἐπειδὴ γὰρ ἤκουσεν ὅτι μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἐπεπήδησεν εὐθέως, ἀκόρεστος ὤν, καὶ τῶν ἄκρων ἐφικνεῖσθαι βουλόμενος. Ἀλλ' ὁ Χριστός, δεικνὺς ὅτι αὐτοῦ μόνου ἐστὶ ταῦτα μετὰ αὐθεντίας ἐπαγγέλλεσθαι, φησί· «Πρὶν ἀλέκτορα φωνῆσαι»· τουτέστι νῦν· οὐδὲ γὰρ ἦν πολὺ τὸ διάστημα· ἀωρὶ γὰρ τῶν νυκτῶν διελέγετο, καὶ πρώτη καὶ δευτέρα ἦν φυλακὴ διελθοῦσα.

«Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία». Τοῦτο λέγει, ἐπειδὴ εἰκὸς ἦν αὐτοὺς ἀκούσαντας ταράττεσθαι· εἰ γὰρ ὁ κορυφαῖος καὶ οὕτω διάπυρος πρὸ φωνῆς ἀλέκτορος τρὶς ἀπαρνήσεσθαι ἤκουσε, μεγάλην τινὰ προσδοκᾶν αὐτοὺς περίστασιν ὑποστήσεσθαι εἰκὸς ἦν, ἱκανὴν καὶ τὰς ἀδαμαντίνους περιτρέψαι ψυχάς. Ἐπεὶ οὖν ταῦτα λογιζομένους εἰκὸς ἦν αὐτοὺς καὶ ἐκστῆναι, ὅρα πῶς αὐτοὺς παραμυθεῖται, «μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία», λέγων· τούτῳ πρώτῳ τῆς θεότητος αὐτοῦ τὴν δύναμιν ἐνδεικνύμενος, ὅτι, ἃ κατὰ ψυχὴν εἶχον, ταῦτα οἶδε, καὶ εἰς μέσον ἄγει. «Πιστεύετε εἰς τὸν Θεόν, καὶ εἰς ἐμὲ πιστεύετε»· τουτέστι, 'πάντα παρελεύσεται τὰ δεινά· ἡ γὰρ εἰς ἐμὲ πίστις καὶ τὸν γεγεννηκότα δυνατωτέρα τῶν ἐπιόντων ἐστί, καὶ οὐδὲν ἐάσει κρατῆσαι τῶν δυσχερῶν'.

5. Ἰω. 14, 1.

Πέτρου τὴν ἀποδέχεται, τὴν δὲ ἀντιλογίαν ποὺ πηγάζει ἀπὸ αὐτήν, τὴν ἀποκόπτει· διότι, ἐὰν ἀγαπᾷς, ὀφείλεις νὰ δείχνῃς ὑπακοὴν εἰς αὐτὸν ποὺ ἀγαπᾷς. Εἶπε καὶ εἰς ἐσένα καὶ εἰς τοὺς συμμαθητάς σου, «Δὲν ἠμπορεῖς»· διατί φιλονεικεῖς; δὲν γνωρίζεις τί τέλος πάντων σημαίνει ἀπαγόρευσις Θεοῦ; Ἐπειδὴ ὅμως μὲ ὅλα αὐτὰ δὲν θέλεις νὰ μάθῃς, ὅτι δὲν εἶναι δυνατὸν νὰ μὴ συμβῇ αὐτὸ ποὺ λέγω, θὰ τὸ μάθῃς κατὰ τὴν ἄρνησιν, ἂν καὶ βέβαια τότε σοῦ ἐφαίνετο αὐτὸ πολὺ πιὸ ἀπίστευτον· διότι αὐτὸ μὲν δὲν τὸ ἐγνώριζες, ἐνῷ τὴν γνῶσιν ἐκείνου τὴν εἶχες ὁ ἴδιος μέσα εἰς τὴν ψυχήν σου· ἀλλ' ὅμως συνέβη τὸ ἀπροσδόκητον. «Τὴν ζωήν μου θὰ θυσιάσω πρὸς χάριν σου». Ἐπειδὴ δηλαδὴ ἤκουσεν, ὅτι μεγαλυτέραν ἀγάπην ἀπὸ αὐτὴν δὲν ἔχει κανείς, ἐπειδὴ ἦτο ἀκόρεστος, ὥρμησεν ἀμέσως, ἐπιθυμῶν νὰ φθάσῃ εἰς τὸ τέρμα. Ἀλλ' ὁ Χριστός, διὰ νὰ τοῦ δείξῃ ὅτι μόνον εἰς αὐτὸν ἀνήκει τὸ νὰ ὑπόσχεται αὐτὰ μὲ αὐθεντίαν, λέγει· «Πρὶν λαλήσῃ ὁ πετεινός»· δηλαδή, τώρα· διότι δὲν ἦτο πολὺ τὸ διάστημα· καθ' ὅσον τὰ ἔλεγεν αὐτὰ εἰς περασμένην ὥραν τῆς νυκτὸς καὶ εἶχε περάσει ὁ χρόνος τῆς πρώτης καὶ δευτέρας φυλακῆς.

«Ἂς μὴ ταράσσεται ἡ καρδία σας»[5]. Αὐτὸ τὸ λέγει, ἐπειδὴ φυσικὸν ἦτο νὰ ταραχθοῦν αὐτοὶ ὅταν ἤκουσαν αὐτά· διότι, ἐὰν ὁ κορυφαῖος καὶ ὁ τόσον ἔνθερμος ἤκουσεν, ὅτι πρὶν ἀπὸ τὴν φωνὴν τοῦ πετεινοῦ θὰ τὸν ἀπαρνηθῇ τρεῖς φορές, φυσικὸν ἦτο νὰ περιμένουν αὐτοί, ὅτι θὰ τοὺς εὕρῃ κάποιο μεγάλο συμβάν, ἱκανὸν νὰ μεταβάλῃ καὶ τὰς ἀδαμαντίνους ψυχάς. Ἐπειδὴ λοιπὸν φυσικὸν ἦτο αὐτοὶ νὰ σκέπτωνται αὐτὰ καὶ νὰ ταράσσωνται, πρόσεχε πῶς τοὺς παρηγορεῖ, λέγων· «Ἂς μὴ ταράσσεται ἡ καρδία σας». Μὲ αὐτὰ τὰ λόγια, κατὰ πρῶτον φανερώνει τὴν δύναμιν τῆς θεότητός του, ὅτι δηλαδὴ ἐγνώριζεν αὐτὰ ποὺ εἶχον εἰς τὴν ψυχήν των, καὶ προσθέτει· «Πιστεύετε εἰς τὸν Θεὸν καὶ πιστεύετε καὶ εἰς ἐμένα»· δηλαδή, ὅλα τὰ δεινὰ θὰ περάσουν· διότι ἡ πίστις εἰς ἐμένα καὶ τὸν Πατέρα μου εἶναι πιὸ δυνατὴ ἀπὸ τὰ κακὰ ποὺ ἔρχονται, καὶ δὲν θ' ἀφήσῃ κανὲν ἀπὸ τὰ δυσάρεστα νὰ ἐπικρατήσῃ.

Εἶτα ἐπάγει· «Ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου μοναὶ πολλαί εἰσι». Ὥσπερ τὸν Πέτρον ἀλύοντα παραμυθεῖται, λέγων, «Ἀκολουθήσεις δὲ ὕστερον», οὕτω καὶ τούτοις ταύτην τὴν ἐλπίδα ἀποφαίνει· ἵνα γὰρ μὴ νομίσωσιν ἐκείνῳ μόνῳ τὴν ἐπαγγελίαν δεδόσθαι, φησίν· «Ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου μοναὶ πολλαί εἰσιν. Εἰ δὲ μή, εἶπον ἂν ὑμῖν· Πορεύομαι ἑτοιμάσαι τόπον ὑμῖν»· τουτέστιν, 'ὅτι καὶ ὑμᾶς ἐκεῖνος ὁ χῶρος δέξεται, ὁ καὶ τὸν Πέτρον· ἀφθονία γὰρ ἐκεῖ πολλὴ καταγωγίων, καὶ οὐκ ἔνι εἰπεῖν ὅτι ἑτοιμασίας δεῖται'. Ἐπειδὴ γὰρ εἶπεν, «Οὐ δύνασθέ μοι νῦν ἀκολουθῆσαι», ἵνα μὴ νομίσωσιν εἰς τέλος ἐκκεκόφθαι, ἐπήγαγεν· «Ἵνα, ὅπου ἐγώ εἰμι, καὶ ὑμεῖς ἐκεῖ ἦτε». 'Τοσαύτην ὑπὲρ τοῦ πράγματος τούτου πεποίημαι τὴν σπουδήν, ὅτι ἤδη ἂν τούτου ἐγενόμην, εἰ μὴ πάλαι ὑμῖν παρεσκεύαστο', δεικνὺς ὅτι σφόδρα αὐτοὺς χρὴ θαρρεῖν καὶ πεποιθέναι.

2. Εἶτα, ἵνα μὴ δόξῃ ὥσπερ ψυχαγωγῶν αὐτοὺς λέγειν, ἀλλὰ πιστεύσωσιν ὅτι οὕτως ἐστίν, ἐπάγει· «Καὶ ὅπου ὑπάγω οἴδατε, καὶ τὴν ὁδὸν οἴδατε». Ὁρᾷς πῶς δίδωσιν αὐτοῖς ἀπόδειξιν τοῦ μὴ ἁπλῶς ταῦτα εἰρῆσθαι; Τοῦτο δὲ λέγει, ἐπεὶ συνεῖδεν αὐτῶν τὴν ψυχὴν τοῦτο λοιπὸν ζητοῦσαν μαθεῖν· ὁ μὲν γὰρ Πέτρος οὐχ ὑπὲρ τοῦ μαθεῖν, ἀλλ' ὥστε ἀκολουθῆσαι ἔλεγεν ὅπερ ἔλεγεν, ἐπειδὴ δὲ ἐπετιμήθη ἐκεῖνος, καί, ὃ τέως ἀδύνατον ἐδόκει εἶναι, δυνατὸν αὐτὸς ἀπεφήνατο, ἀδύνατον δὲ φανέν, εἰς ἐπιθυμίαν αὐτὸν ἤγαγε τοῦ γνῶναι μετὰ ἀκριβείας αὐτό, διὰ τοῦτο τούτοις φησί· «Καὶ τὴν ὁδὸν οἴδατε»· ὥσπερ γάρ, εἰπών, «Ἀπαρνήσῃ με», μηδενὸς μηδὲν προφθεγξαμένου, καὶ τὰ ἐν τῇ καρδίᾳ ἐρευνῶν, ἔλεγε, «Μὴ ταράττεσθε», οὕτω καὶ

Ἔπειτα προσθέτει· «Εἰς τὴν οἰκίαν τοῦ Πατρός μου ὑπάρχουν πολλοὶ τόποι διαμονῆς». Ὅπως ἀκριβῶς παρηγορεῖ τὸν ταρασσόμενον ἀπὸ τὴν θλῖψιν Πέτρον, λέγων, «Θὰ μὲ ἀκολουθήσῃς δὲ ἀργότερα», ἔτσι καὶ εἰς αὐτοὺς παρουσιάζει πολὺ ἀμυδρὰν αὐτὴν τὴν ἐλπίδα· διότι, διὰ νὰ μὴ νομίσουν, ὅτι ἡ ὑπόσχεσις ἐδόθη μόνον εἰς τὸν Πέτρον, λέγει· «Εἰς τὴν οἰκίαν τοῦ Πατρός μου ὑπάρχουν πολλοὶ τόποι διαμονῆς. Ἐὰν δὲν ὑπῆρχον, θὰ σᾶς τὸ ἔλεγον. Ἐγὼ δὲ πηγαίνω νὰ ἑτοιμάσω τόπον δι' ἐσᾶς»· δηλαδή, 'καὶ σᾶς θὰ σᾶς ὑποδεχθῇ ἐκεῖνος ὁ τόπος ποὺ θὰ ὑποδεχθῇ τὸν Πέτρον· διότι ἐκεῖ ὑπάρχει μεγάλη ἀφθονία καταλυμάτων καὶ δὲν εἶναι δυνατὸν νὰ εἰπῇ κανεὶς ὅτι χρειάζονται ἑτοιμασίαν'. Διότι, ἐπειδὴ εἶπεν, «Δὲν ἠμπορεῖτε τώρα νὰ μὲ ἀκολουθήσετε», διὰ νὰ μὴ νομίσουν ὅτι ἀπεκλείσθησαν τελείως, ἐπρόσθεσεν· «Ὥστε, ὅπου θὰ εἶμαι ἐγώ, ἐκεῖ νὰ εἶσθε καὶ σεῖς». Τόσον μεγάλην φροντίδα ἔδειξα δι' αὐτὸ τὸ πρᾶγμα, καὶ ὅτι θὰ ἐφρόντιζον ἀκόμη δι' αὐτὸ τὸ πρᾶγμα, ἐὰν δὲν εἶχε προετοιμασθῇ πρὸ πολλοῦ ὁ τόπος αὐτὸς δι' ἐσᾶς', δεικνύων μὲ αὐτά, ὅτι πρέπει αὐτοὶ νὰ ἔχουν πάρα πολὺ μεγάλο θάρρος καὶ πεποίθησιν.

2. Ἔπειτα, διὰ νὰ μὴ φανῇ, ὅτι τὰ λέγει αὐτά, ὡσὰν ἀκριβῶς νὰ θέλῃ νὰ τοὺς ψυχαγωγήσῃ, ἀλλὰ διὰ νὰ πιστεύσουν, ὅτι ἔτσι θὰ συμβοῦν, προσθέτει· «Καὶ ἐκεῖ ποὺ πηγαίνω τὸ γνωρίζετε καὶ γνωρίζετε καὶ τὴν ὁδόν». Βλέπεις πῶς τοὺς δίδει ἀπόδειξιν, ὅτι αὐτὰ δὲν ἐλέχθησαν ἔτσι τυχαῖα; Αὐτὸ δὲ τὸ λέγει, ἐπειδὴ διεπίστωσεν, ὅτι ἡ ψυχή των αὐτὸ πλέον ἐζήτει νὰ μάθῃ· διότι, ὁ μὲν Πέτρος αὐτὸ ποὺ ἔλεγε τὸ ἔλεγεν ὄχι διὰ νὰ μάθῃ, ἀλλὰ διὰ νὰ τὸν ἀκολουθήσῃ, ὅταν ὅμως ἐπετιμήθη ἐκεῖνος, καὶ ἀπέδειξεν ὁ Κύριος ὡς δυνατόν, ἐκεῖνο ποὺ προηγουμένως ἐφαίνετο ὅτι εἶναι ἀδύνατον, ἐπειδὴ τοῦ ἐφάνη δὲ ἀδύνατον τὸν ὡδήγησεν εἰς τὴν ἐπιθυμίαν νὰ γνωρίσῃ αὐτὸ μὲ ἀκρίβειαν, διὰ τοῦτο λέγει εἰς αὐτούς· «Καὶ τὴν ὁδὸν γνωρίζετε»· διότι, ὅπως ἀκριβῶς, εἰπών, «θὰ μὲ ἀπαρνηθῇς», χωρὶς κανεὶς νὰ εἰπῇ τίποτε καὶ ἐρευνῶν τὰ τῆς καρδίας των, ἔλεγε, «Μὴ ταράσσεσθε», ἔτσι καὶ τώρα, ὅταν εἶπεν «γνω-

ἐνταῦθα, εἰπὼν ὅτι «οἴδατε», τὴν ἐπιθυμίαν ἐδήλου τὴν ἐν τῇ διανοίᾳ αὐτῶν, καὶ αὐτὸς αὐτοῖς δίδωσι πρόφασιν τοῦ ἐρωτῆσαι. Τὸ δὲ «ποῦ ὑπάγεις;» Πέτρος μὲν ἀπὸ φιλοστοργίας πολλῆς, Θωμᾶς δὲ ἀπὸ δειλίας λέγει· Κύριε, οὐκ οἴδαμεν ποῦ ὑπάγεις». Τὸν τόπον οὐκ ἴσμεν, φησί, «καὶ τὴν ἐκεῖ φέρουσαν ὁδὸν πῶς εἰσόμεθα;». Καὶ ὅρα μεθ' ὅσης ὑποστολῆς· οὐ γὰρ εἶπεν, 'Εἰπὲ ἡμῖν τὸν τόπον', ἀλλ' «οὐκ οἴδαμεν ποῦ ὑπάγεις»· τοῦτο γὰρ πάλαι πάντες μαθεῖν ὤδινον· εἰ γὰρ Ἰουδαῖοι διηπόρουν ἀκούοντες, καίτοι γε ἀπαλλαγῆναι αὐτοῦ βουλόμενοι, πολλῷ μᾶλλον οἱ μηδέποτε αὐτοῦ χωρισθῆναι βουλόμενοι μαθεῖν ἤθελον. Ἐδεδοίκεισαν μὲν οὖν αὐτὸν ἐρωτῆσαι ἐρωτῶσι δὲ ὅμως ἀπό τε τοῦ πολλοῦ πόθου καὶ τῆς ἀγωνίας.

Τί οὖν ὁ Χριστός; «Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή. Οὐδεὶς δύναται ἐλθεῖν πρὸς τὸν Πατέρα, εἰ μὴ δι' ἐμοῦ». Τί οὖν οὐκ εὐθέως, ἐρωτηθεὶς παρὰ τοῦ Πέτρου· «Ποῦ ὑπάγεις;» εἶπεν· 'Ἐγὼ πρὸς τὸν Πατέρα πορεύομαι· ὑμεῖς δὲ οὐ δύνασθε ἐλθεῖν νῦν', ἀλλὰ τοσούτων ἐνέβαλε λόγων περίοδον, ἐρωτήσεις καὶ ἀποκρίσεις συντιθείς; Ἰουδαίοις μὲν γὰρ εἰκότως τοῦτο οὐκ ἔλεγε, τούτοις δὲ διὰ τί; Εἶπε μὲν καὶ τούτοις καὶ Ἰουδαίοις ὅτι ἐκ τοῦ Θεοῦ ἐξῆλθε, καὶ πρὸς τὸν Θεὸν ὑπάγει, καὶ νῦν δὲ αὐτὸ λέγει σαφέστερον ἢ πρότερον. Ἄλλως δέ, καὶ Ἰουδαίοις μὲν σαφῶς οὕτως οὐκ εἶπεν· εἰ γὰρ εἶπεν ὅτι 'οὐ δύνασθε πρὸς τὸν Πατέρα ἐλθεῖν, εἰ μὴ δι' ἐμοῦ', εὐθέως ἂν τῦφον τὸ πρᾶγμα ἐνόμισαν, νῦν δὲ ἀποκρύψας εἰς ἀγωνίαν αὐτοὺς ἐνέβαλε.

Καὶ τοῖς μαθηταῖς δὲ τίνος ἕνεκεν οὕτως εἶπε, φησί, καὶ τῷ Πέτρῳ; Ἤδει αὐτοῦ πολλὴν προθυμίαν, καὶ ὅτι μᾶλλον ἐντεῦθεν ἐπικείσεται ἐνοχλῶν· Ὥστε οὖν αὐτὸν ἀ-

ρίζετε», ἐφανέρωνε τὴν ἐπιθυμίαν πού ὑπῆρχεν εἰς τὴν σκέψιν των καὶ ὁ ἴδιος δίδει εἰς αὐτοὺς ἀφορμὴν νὰ τὸν ἐρωτήσουν. Τὸ δὲ «ποῦ πηγαίνεις;» ὁ μὲν Πέτρος τὸ λέγει ἀπὸ πολλὴν φιλοστοργίαν, ὁ δὲ Θωμᾶς ἀπὸ δειλίαν λέγει· «Κύριε, δὲν γνωρίζομεν ποῦ πηγαίνεις». Τὸν τόπον, λέγει, δὲν τὸν γνωρίζομεν «Καὶ πῶς ἠμποροῦμεν νὰ γνωρίζωμεν τὴν ὁδὸν ποὺ ὁδηγεῖ ἐκεῖ;». Καὶ πρόσεχε μὲ πόσην συστολὴν τὸ λέγει· διότι δὲν εἶπεν, 'Εἰπέ μας τὸν τόπον', ἀλλὰ «δὲν γνωρίζομεν ποῦ πηγαίνεις»· καθ' ὅσον αὐτὸ ἐπεθύμουν ὅλοι των πρὸ πολλοῦ νὰ μάθουν· διότι, ἐὰν οἱ Ἰουδαῖοι, ἀκούοντες αὐτό, ἀποροῦσαν, μολονότι βέβαια ἤθελον ν' ἀπαλλαγοῦν ἀπὸ αὐτόν, πολὺ περισσότερον ἤθελον νὰ μάθουν αὐτὸ ἐκεῖνοι πού δὲν ἤθελον ποτὲ νὰ τὸν ἀποχωρισθοῦν. Ἐφοβοῦντο βέβαια νὰ τὸν ἐρωτήσουν, τὸν ἐρωτοῦν ὅμως λόγῳ τοῦ μεγάλου πόθου των καὶ τῆς ἀγωνίας των.

Τί ἀπαντᾷ λοιπὸν ὁ Χριστός; «Ἐγὼ εἶμαι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή. Κανεὶς δὲν ἠμπορεῖ νὰ ἔλθῃ πρὸς τὸν Πατέρα, παρὰ μόνον δι' ἐμοῦ». Διατί λοιπόν, ἐρωτηθεὶς ἀπὸ τὸν Πέτρον, «Ποῦ πηγαίνεις;», δὲν ἀπαντᾷ ἀμέσως, 'Ἐγὼ πηγαίνω, πρὸς τὸν Πατέρα μου, σεῖς ὅμως δὲν ἠμπορεῖτε νὰ ἔλθετε τώρα', ἀλλὰ παρενέβαλε περίοδον τόσων πολλῶν λόγων, συνθέσας ἐρωτήσεις καὶ ἀπαντήσεις; Διότι, εἰς μὲν τοὺς Ἰουδαίους πολὺ σωστὰ δὲν τὸ ἔλεγεν αὐτό, εἰς αὐτοὺς ὅμως διατί; Εἶπε μὲν καὶ πρὸς αὐτοὺς καὶ πρὸς τοὺς Ἰουδαίους, ὅτι ἦλθεν ἀπὸ τὸν Θεὸν καὶ ὅτι πηγαίνει πρὸς τὸν Θεὸν καὶ τώρα δὲ τὸ ἴδιο λέγει σαφέστερα ἀπὸ ὅ,τι προηγουμένως. Ἐξ ἄλλου δὲ καὶ εἰς τοὺς Ἰουδαίους δὲν τὸ εἶπε τόσον καθαρά· διότι ἐὰν ἔλεγε 'δὲν ἠμπορεῖτε νὰ ἔλθετε πρὸς τὸν Πατέρα, παρὰ μόνον δι' ἐμοῦ', θὰ ἦτο δυνατὸν ἀμέσως νὰ θεωρήσουν τὰ λόγια αὐτὰ ὡς δεῖγμα ἀλαζονείας, ἐνῷ τώρα, ἀποκρύψας αὐτό, ἐδημιούργησε μέσα των ἀγωνίαν.

Καὶ εἰς τοὺς μαθητὰς ὅμως καὶ εἰς τὸν Πέτρον, λέγει, διατί ὡμίλησεν ἔτσι; Ἐγνώριζε τὴν μεγάλην προθυμίαν του καὶ ὅτι ἐξ αἰτίας αὐτοῦ θὰ τὸν κατεπίεζε περισσότε-

παγαγεῖν, κρύπτει. Κατορθώσας δὲ ὅπερ ἐβούλετο διὰ τῆς ἀσαφείας καὶ τοῦ κρύψαι τὸν λόγον, πάλιν αὐτὸ ἐκκαλύπτει· εἰπὼν γὰρ ὅτι, «ὅπου εἰμί, οὐδεὶς δύναται ἐλθεῖν», ἐπήγαγεν· «Ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου μοναὶ πολλαί εἰσι»· καὶ πάλιν· «Οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα, εἰ μὴ δι' ἐμοῦ». Τοῦτο οὖν οὐκ ἐβούλετο αὐτοῖς παρὰ τὴν ἀρχὴν εἰπεῖν, ὥστε μὴ εἰς πλείονα ἀθυμίαν ἐμβαλεῖν· ἐπειδὴ δὲ αὐτοὺς κατεπράϋνε, τότε λέγει· ἀπὸ γὰρ τῆς ἐπιτιμήσεως τοῦ Πέτρου τὸ πολὺ τῆς ἀθυμίας ἐξέβαλεν, εἰς φόβον τε ἐμπεσόντες, μή ποτε τὰ αὐτὰ ἀκούσωσι, κατεστέλλοντο μᾶλλον.

«Ἐγώ εἰμι ἡ ὁδός»· τοῦτο ἀπόδειξις τοῦ «οὐδεὶς ἔρχεται, εἰ μὴ δι' ἐμοῦ»· τὸ δὲ «καὶ ἀλήθεια καὶ ἡ ζωή», τοῦ ὅτι πάντως ταῦτα ἔσται. Οὐδὲν τοίνυν παρ' ἐμοῦ ψεῦδος, εἰ ἀλήθεια· εἰ δὲ καὶ ζωή, οὔτε αὐτὸς ὁ θάνατος ὑμᾶς κωλῦσαι δυνήσεται ἐλθεῖν. Ἄλλως δέ, εἰ «ἐγώ εἰμι ἡ ὁδός», οὐ δεήσεσθε τοῦ χειραγωγοῦντος· εἰ δὲ καὶ ἡ ἀλήθεια, οὐ ψεῦδος τὰ λεγόμενα· εἰ δὲ καὶ ζωή, κἂν ἀποθάνητε, τεύξεσθε τῶν εἰρημένων. Τὸ μὲν οὖν τῆς ὁδοῦ καὶ συνῆκαν καὶ ὡμολόγησαν, τὰ δὲ λοιπὰ ἠγνόουν, οὐ μὴν ἐτόλμων εἰπεῖν, ἅπερ ἠγνόουν· ἀλλ' ὅμως πολλὴν ἀπὸ τῆς ὁδοῦ τὴν παραμυθίαν ἔλαβον. Εἰ τοίνυν ἐγὼ κύριός εἰμι, φησί, τοῦ πρὸς τὸν Πατέρα ἀγαγεῖν, πάντως ἥξετε ἐκεῖ· οὐδὲ γὰρ ἔστιν ἑτέραν ἐλθεῖν ὁδόν. Εἰπὼν δὲ ἔμπροσθεν, «Οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ Πατὴρ ἑλκύσῃ αὐτόν», καὶ πάλιν, «Ἐὰν ἐγὼ ὑψωθῶ ἀπὸ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν», καὶ νῦν πάλιν «Οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα, εἰ μὴ δι' ἐμοῦ», δείκνυσιν ἴσον ἑαυτὸν τῷ γεγεννηκότι. Πῶς δέ, εἰπών, «Ὅπου ὑπάγω οἴδατε, καὶ τὴν ὁδὸν οἴδατε», ἐπήγαγεν, «Εἰ ἐμὲ ἐγνώ-

6. Ἰω. 6, 44.
7. Ἰω. 12, 32.

ρον μὲ τὰς ἐνοχλήσεις του. Ὥστε λοιπὸν τὸ ἀποκρύπτει διὰ νὰ τὸν ἀποτρέψῃ ἀπὸ αὐτό. Ἀφοῦ δὲ κατώρθωσεν ἐκεῖνο ποὺ ἤθελε μὲ τὴν ἀσάφειαν καὶ τὴν ἀπόκρυψιν τοῦ λόγου, πάλιν τὸ φανερώνει αὐτό· διότι, ἀφοῦ εἶπεν «ὅπου εἶμαι κανεὶς δὲν ἠμπορεῖ νὰ ἔλθῃ», ἐπρόσθεσεν· «Εἰς τὴν οἰκίαν τοῦ Πατρός μου ὑπάρχουν πολλοὶ τόποι διαμονῆς»· καὶ πάλιν· «Κανεὶς δὲν ἔρχεται πρὸς τὸν Πατέρα, παρὰ μόνον δι' ἐμοῦ». Αὐτὸ λοιπὸν δὲν ἤθελεν ἀπὸ τὴν ἀρχὴν νὰ τοὺς τὸ εἰπῇ, διὰ νὰ μὴ τοὺς προξενήσῃ περισσοτέραν λύπην· ὅταν ὅμως τοὺς καθησύχασε, τότε τὸ λέγει· διότι ἀπὸ τὴν ἐπιτίμησιν τοῦ Πέτρου ἀπεμάκρυνε τὸ μεγαλύτερον μέρος τῆς λύπης, κυριευθέντες δὲ ἀπὸ φόβον, μὴ τυχὸν καὶ ἀκούσουν τὰ ἴδια, ἔδειχναν μεγαλυτέραν συστολήν.

«Ἐγὼ εἶμαι ἡ ὁδός»· αὐτὸ ἀποτελεῖ ἀπόδειξιν τοῦ «Κανεὶς δὲν ἔρχεται, παρὰ μόνον δι' ἐμοῦ»· τὸ δὲ «καὶ ἀλήθεια καὶ ἡ ζωή», τοῦ ὅτι αὐτὰ θὰ συμβοῦν ὁπωσδήποτε. Ἐφ' ὅσον λοιπὸν εἶμαι καὶ ζωή, οὔτε αὐτὸς ὁ θάνατος θὰ ἠμπορέσῃ νὰ σᾶς ἐμποδίσῃ νὰ ἔλθετε. Ἐξ ἄλλου δὲ ἐὰν «ἐγὼ εἶμαι ἡ ὁδὸς» δὲν θὰ χρειασθῆτε ὁδηγόν· ἐὰν δὲ εἶμαι καὶ ἡ ἀλήθεια, δὲν εἶναι ψεῦδος τὰ λεγόμενά μου· ἐὰν δὲ καὶ ζωή, καὶ ἂν ἀκόμη ἀποθάνετε, θὰ ἐπιτύχετε τὰ ὅσα ἐλέχθησαν'. Αὐτὸ λοιπὸν ποὺ εἶπε σχετικὰ μὲ τὴν ὁδὸν καὶ τὸ ἀντελήφθησαν καὶ τὸ ὡμολόγησαν, τὰ ὑπόλοιπα δὲ τὰ ἀγνοοῦσαν, δὲν ἐτολμοῦσαν ὅμως νὰ εἰποῦν ἐκεῖνα ποὺ ἀγνοοῦσαν· ἀλλ' ὅμως πολλὴν παρηγορίαν ἔλαβον ἀπὸ τὰ λόγια περὶ τῆς ὁδοῦ. Ἐὰν ἐγώ', λέγει, 'εἶμαι Κύριος τοῦ νὰ σᾶς ὁδηγήσω πρὸς τὸν Πατέρα, ὁπωσδήποτε θὰ ἔλθετε ἐκεῖ'· διότι δὲν ὑπάρχει ἄλλη ὁδὸς διὰ νὰ ἔλθῃ κανεὶς ἐκεῖ. Εἰπὼν δὲ προηγουμένως, «Κανεὶς δὲν ἠμπορεῖ νὰ ἔλθῃ πρὸς ἐμένα, ἐὰν ὁ Πατήρ μου δὲν τὸν προσελκύσῃ»[6], καὶ πάλιν, «Ἐὰν ἐγὼ ὑψωθῶ ἀπὸ τὴν γῆν, ὅλους θὰ τοὺς προσελκύσω πρὸς ἐμένα»[7], καὶ τώρα πάλιν, «Κανεὶς δὲν ἔρχεται πρὸς τὸν Πατέρα, παρὰ μόνον δι' ἐμοῦ», δείχνει ἴσον τὸν ἑαυτόν του μὲ τὸν Πατέρα. Πῶς δέ, εἰπών, «Ὅπου πηγαίνω τὸ γνωρίζετε, καὶ τὴν ὁδὸν τὴν γνωρίζετε», ἐπρόσθεσεν,

κειτε, καὶ τὸν Πατέρα μου ἐγνώκειτε ἄν, καὶ ἀπ' ἄρτι γνώσεσθε αὐτόν, καὶ ἑωράκατε αὐτόν»; Οὐχὶ ἐναντιολογῶν· ᾔδεσαν μὲν γὰρ αὐτόν, οὐχ οὕτω δέ, ὡς ἐχρῆν· Θεὸν μὲν γὰρ ᾔδεσαν, Πατέρα δὲ οὐδέπω· ὕστερον γὰρ τὸ Πνεῦμα ἐπελθὸν πᾶσαν ἐν αὐτοῖς κατεσκεύασε τὴν γνῶσιν. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· 'Εἰ ᾔδειτε τὴν ἐμὴν οὐσίαν καὶ τὴν ἀξίαν, καὶ τὴν τοῦ Πατρὸς ᾔδειτε'.

«Καὶ ἄρτι γνώσεσθε αὐτόν, καὶ ἑωράκατε αὐτόν», (τὸ μὲν μέλλοντος, τὸ δὲ παρόντος)· τουτέστι, «δι' ἐμοῦ». Ὄψιν δὲ λέγει τὴν κατὰ διάνοιαν γνῶσιν· τοὺς μὲν γὰρ ὁρωμένους δυνάμεθα καὶ ὁρᾶν καὶ ἀγνοεῖν, τοὺς δὲ γινωσκομένους οὐ δυνάμεθα γινώσκειν καὶ ἀγνοεῖν. Διὰ τοῦτό φησι· «Καὶ ἑωράκατε αὐτόν»· ὥσπερ φησίν· «Ὤφθη καὶ ἀγγέλοις». Καίτοι γε οὐκ αὐτὴ ἡ οὐσία ὤφθη, ἀλλ' ὅμως φησὶν ὦφθαι, δηλαδὴ ὡς ἐκείνοις ἰδεῖν δυνατόν. Οὕτω δὲ εἴρηται, ἵνα μάθῃς ὅτι ὁ αὐτὸν ἑωρακὼς τὸν γεγεννηκότα οἶδεν. Ἐθεάσαντο δὲ αὐτὸν οὐ γυμνῇ τῇ οὐσίᾳ, ἀλλὰ σάρκα περιβεβλημένον. Οἶδε δὲ ἀλλαχοῦ καὶ τὴν ὄψιν γνῶσιν λέγειν ὡς, ὅταν λέγῃ· «Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται». Καθαροὺς δὲ οὐχὶ τοὺς πορνείας ἀπηλλαγμένους, ἀλλὰ τοὺς πάντων ἁμαρτημάτων φησί· πᾶσα γὰρ ἁμαρτία ῥύπον ἐντίθησι τῇ ψυχῇ.

3. Πάντα τοίνυν πράττωμεν ὥστε ἀποσμῆξαι τὴν ῥυπαρίαν. Ἀποσμήχει δὲ πρῶτον τὸ λουτρόν, ὕστερον δὲ καὶ ἕτεραι ὁδοὶ πολλαὶ καὶ παντοδαπαί· φιλάνθρωπος γὰρ ὢν

8. Α' Τιμ. 3, 16.
9. Ματθ. 5, 8.

«Ἐὰν μὲ εἴχετε γνωρίσει καλά, θὰ εἴχετε γνωρίσει καὶ τὸν Πατέρα μου. Καὶ ἀπὸ τώρα θὰ γνωρίσετε αὐτὸν καὶ ἔχετε ἰδεῖ αὐτὸν δι' ἐμοῦ»; Δὲν τὰ λέγει διὰ νὰ ἀναιρέσῃ μὲ τὸ ἕνα τὸ ἄλλο· διότι ἐγνώρισαν μὲ αὐτόν, ὄχι ὅμως ἔτσι, ὅπως ἔπρεπε· καθ' ὅσον ἐγνώρισαν μὲν Θεόν, ὄχι ἀκόμη ὅμως καὶ Πατέρα· διότι ἀργότερα, ἀφοῦ ἦλθε τὸ ἅγιον Πνεῦμα ὡλοκλήρωσεν εἰς αὐτοὺς ὅλην τὴν γνῶσιν. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· 'Ἐὰν ἐγνωρίσατε τὴν ἰδικήν μου οὐσίαν καὶ τὴν ἀξίαν ἐγνωρίσατε καὶ τὴν τοῦ Πατρός'.

«Καὶ ἀπὸ τώρα θὰ γνωρίσετε αὐτὸν καὶ ἔχετε ἰδεῖ αὐτὸν δι' ἐμοῦ» (τὸ μὲν πρῶτον θὰ συμβῇ μελλοντικά, τὸ δὲ ἄλλο τώρα), δηλαδὴ αὐτὸ θὰ συμβῇ «δι' ἐμοῦ». Ὄψιν δὲ ὀνομάζει τὴν διὰ τοῦ νοῦ γνῶσιν· διότι αὐτοὺς ποὺ βλέπομεν εἶναι δυνατὸν καὶ νὰ τοὺς βλέπωμεν καὶ νὰ τοὺς ἀγνοοῦμεν, αὐτοὺς ὅμως ποὺ γνωρίζομεν δὲν εἶναι δυνατὸν νὰ γνωρίζωμεν καὶ ν' ἀγνοοῦμεν. Διὰ τοῦτο λέγει· «Καὶ ἔχετε ἰδεῖ αὐτόν»· ὅπως ἀκριβῶς λέγει· «Ἔγινεν ὁρατὸς εἰς τοὺς ἀγγέλους»[8]. Μολονότι βέβαια δὲν ἐφανερώθη ἡ ἰδία ἡ οὐσία τοῦ Πατρός, ἀλλ' ὅμως λέγει ὅτι ἔχει γίνει ὁρατή, δηλαδὴ ὅσον ἦτο δυνατὸν εἰς ἐκείνους νὰ τὸν ἰδοῦν. Ἐλέχθη δὲ κατ' αὐτὸν τὸν τρόπον, διὰ νὰ μάθῃς ὅτι ἐκεῖνος ποὺ ἔχει ἰδεῖ αὐτὸν ἐγνώρισε τὸν Πατέρα του. Εἶδον δὲ αὐτὸν ὄχι μὲ γυμνὴν τὴν οὐσίαν του, ἀλλὰ φέροντα τὴν ἀνθρωπίνην σάρκα. Συνηθίζει δὲ καὶ εἰς ἄλλας περιπτώσεις νὰ ὀνομάζῃ τὴν ὄψιν γνῶσιν, ὅπως ὅταν λέγῃ· «Μακάριοι οἱ καθαροὶ εἰς τὴν καρδίαν, διότι αὐτοὶ θὰ γνωρίσουν τὸν Θεόν»[9]. Καθαροὺς δὲ ὀνομάζει ὄχι ἐκείνους ποὺ εἶναι ἀπηλλαγμένοι ἀπὸ τὴν πορνείαν, ἀλλ' ἐκείνους ποὺ εἶναι καθαροὶ ἀπ' ὅλα τὰ ἁμαρτήματα· διότι κάθε ἁμαρτία προσθέτει εἰς τὴν ψυχὴν ρύπον.

3. Ἂς κάμνωμεν λοιπὸν τὸ πᾶν, ὥστε νὰ ἐξαφανίσωμεν τὴν ἀκαθαρσίαν τῆς ψυχῆς μας. Μᾶς καθαρίζει δὲ πρῶτα τὸ λουτρὸν τοῦ βαπτίσματος, ὕστερα δὲ καὶ ἄλλαι ὁδοὶ πολλαὶ καὶ παντὸς εἴδους· διότι, ὡσὰν φιλάνθρω-

ὁ Θεός, καὶ μετὰ ταῦτα ἔδωκεν ἡμῖν ὁδοὺς ποικίλης ἀπαλλαγῆς, ὧν πρώτη πασῶν ἐστιν ἡ διὰ τῆς ἐλεημοσύνης· «ἐλεημοσύναις γάρ», φησί, «καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι». Ἐλεημοσύνην δὲ οὐ τὴν ἐξ ἀδικίας λέγω· τοῦτο γὰρ οὐδὲ ἐλεημοσύνη, ἀλλ' ὠμότης καὶ ἀπανθρωπία· τί γὰρ ὄφελος ἐκδῦσαι ἕτερον, καὶ ἐνδῦσαι ἕτερον; ἀπὸ γὰρ οἴκτου τοῦ πράγματος ἄρχεσθαι δεῖ· τοῦτο δὲ ἀπανθρωπία. Κἂν γὰρ πάντα τὰ παρ' ἑτέρων δῶμεν, οὐδὲν κέρδος ἡμῖν· καὶ δείκνυσιν ὁ Ζακχαῖος, ὃς τότε ἔφησεν ἐξιλεοῦσθαι τὸν Θεόν, δοὺς τῶν ἀφαιρεθέντων τετραπλασίονα. Ἡμεῖς δέ, μυρία ἁρπάζοντες, καὶ ὀλίγα διδόντες, νομίζομεν ἵλεων ποιεῖν τὸν Θεόν, οὐκ εἰδότες ὅτι μᾶλλον αὐτὸν παροξύνομεν. Εἰπὲ γάρ μοι, εἴ γε ὄνον νεκρὸν καὶ σεσηπότα, ἀπὸ τῆς τριόδου καὶ τῶν ἀμφόδων ἑλκύσας, ἐπὶ τὸ θυσιαστήριον ἔφερες, ἆρα οὐκ ἂν ἅπαντές σε κατέλευσαν ὡς ἐναγῆ καὶ μυσαρόν;

Τί οὖν, ἐὰν ἐλέγξω ὅτι ἡ θυσία ἡ ἐξ ἁρπαγῆς, μυσαρωτέρα τούτου, ποίας τευξόμεθα ἀπολογίας; Θῶμεν γάρ τι κειμήλιον γεγενῆσθαι ἐξ ἁρπαγῆς· οὐχὶ ὄνου τεθνηκότος μᾶλλον ὄδωδε; Βούλει μαθεῖν πόση τῆς ἁμαρτίας ἡ σηπεδών ἐστιν; Ἄκουσον τοῦ Προφήτου λέγοντος· «Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου». Σὺ δὲ διὰ μὲν ῥημάτων τὸν Θεὸν ἀξιοῖς ἐπιλαθέσθαι ὧν ποιεῖς κακῶν, αὐτὸς δὲ δι' ὧν ποιεῖς, ἁρπάζων καὶ πλεονεκτῶν, καὶ παρασκευάζεις μεμνῆσθαι διηνεκῶς, ἐπιτιθείς σου τὴν ἁμαρτίαν ἐπὶ τὸ θυσιαστήριον. Νῦν δὲ οὐ τοῦτο μόνον ἐστὶ τὸ ἁμάρτημα, ἀλλὰ καὶ τὸ τούτου χαλεπώτερον, ὅτι τὰς τῶν ἁγίων μολύνεις ψυχάς· τοῦτο μὲν γὰρ λίθος ἐστί, καὶ ἁγιάζεται, ἐκεῖναι δὲ διὰ παντὸς αὐτὸν φέρουσι τὸν Χριστόν, καὶ τολ-

10. Παροιμ. 15, 27.
11. Λουκᾶ 19, 8.
12. Ψαλμ. 37, 6.

πος πού είναι ὁ Θεός, ἔδωσεν εἰς ἡμᾶς καὶ εἰς τὴν συνέχειαν διαφόρους ὁδοὺς ἀπαλλαγῆς, μεταξὺ τῶν ὁποίων πρώτη εἶναι ἡ ὁδὸς διὰ τῆς ἐλεημοσύνης· διότι λέγει· «Μὲ ἐλεημοσύνας καὶ πίστιν εἰς τὸν Θεὸν καθαρίζονται αἱ ἁμαρτίαι»[10]. Ἐλεημοσύνην δὲ δὲν ἐννοῶ ἐκείνην ποὺ γίνεται ἀπὸ ἀδικίαν, καθ' ὅσον αὐτὸ δὲν εἶναι ἐλεημοσύνη, ἀλλὰ ὠμότης καὶ ἀπανθρωπία· διότι τί τὸ ὄφελος νὰ ἐκδύσῃ κανεὶς κάποιον καὶ νὰ ἐνδύσῃ ἄλλον; πρέπει δηλαδὴ νὰ ἔχῃ ὡς κίνητρον τὴν εὐσπλαγχνίαν, ἐνῷ αὐτὸ εἶναι ἀπανθρωπία. Διότι καὶ ἂν ἀκόμη δώσωμεν ὅλα ἐκεῖνα ποὺ ἐπήραμεν ἀπὸ τοὺς ἄλλους, δὲν ἔχομεν κανὲν κέρδος· καὶ γίνεται φανερὸν ἀπὸ τὸν Ζακχαῖον, ὁ ὁποῖος εἶπεν ὅτι τότε θὰ ἐξιλεωθῇ ἀπὸ τὸν Θεόν, ἐὰν δώσῃ τετραπλάσια ἀπὸ ἐκεῖνα ποὺ ἀφήρεσεν[11]. Ἐνῷ ἡμεῖς, ἁρπάζοντες μύρια καὶ δίδοντες ὀλίγα, ἔχομεν τὴν ἐντύπωσιν ὅτι ἐξιλεώνομεν τὸν Θεόν, μὴ γνωρίζοντες ὅτι παροργίζομεν αὐτὸν περισσότερον. Διότι εἰπέ μου, ἐὰν ἔπαιρνες ἀπὸ τὰ σταυροδρόμια καὶ τὰς παρόδους ὄνον νεκρὸν καὶ σάπιον καὶ τὸν ἔφερες εἰς τὸ θυσιαστήριον, ἆρά γε δὲν θὰ σὲ λιθοβολοῦσαν ὅλοι ὡς βδελυρὸν καὶ μυαρόν;

Τί λοιπόν, ἐὰν ἀποδείξω ὅτι ἡ θυσία ποὺ προέρχεται ἀπὸ ἁρπαγὴν ὅτι εἶναι πιὸ μυαρὴ ἀπὸ τοῦ ὄνου, ποίαν δικαιολογίαν θὰ ἔχωμεν νὰ παρουσιάσωμεν; Ἂς ὑποθέσωμεν δηλαδὴ ὅτι κάποιο κειμήλιον προέρχεται ἀπὸ ἁρπαγήν· δὲν μυρίζει ἄσχημα περισσότερον καὶ ἀπὸ ψόφιον ὄνον; Θέλεις νὰ μάθῃς πόση εἶναι ἡ σαπίλα τῆς ἁμαρτίας; Ἄκουσε τὸν Προφήτην ποὺ λέγει· «Ἐσάπησαν καὶ μυρίζουν οἱ μώλωπές μου»[12]. Σὺ ὅμως μὲ λόγια μὲν ἔχεις τὴν ἀξίωσιν νὰ λησμονήσῃ ὁ Θεὸς τὰ κακὰ ποὺ κάμνεις, ὁ ἴδιος δὲ μὲ ἐκεῖνα ποὺ κάμνεις, μὲ τὰς ἁρπαγὰς καὶ τὴν πλεονεξίαν σου, τὸν κάμνεις νὰ τὰ ἐνθυμῆται συνεχῶς, τοποθετῶν τὰ ἁμαρτήματά σου ἐπάνω εἰς τὸ θυσιαστήριον. Τώρα ὅμως δὲν εἶναι αὐτὸ μόνον τὸ ἁμάρτημά σου, ἀλλὰ καὶ τὸ φοβερώτερον ἀπὸ αὐτό, διότι μολύνεις τὰς ψυχὰς τῶν ἁγίων· διότι αὐτὸ μὲν εἶναι λίθος καὶ ἁγιάζεται, ἐνῷ αἱ ψυχαὶ φέρουν πάντοτε τὸν ἴδιον τὸν

μᾶς ἐκεῖ πέμπειν ἀπὸ τοιαύτης ἀκαθαρσίας; Οὐχί, φησίν· οὐκ αὐτὰ τὰ χρήματα, ἀλλ' ἕτερα. Γέλως ταῦτα καὶ λῆρος! Οὐκ οἶδας ὅτι, κἂν εἰς πολὺ πλῆθος χρημάτων τῆς ἀδικίας ἐμπέσῃ ῥανίς, πάντα μολύνεται; Καθάπερ οὖν, εἰς πηγὴν καθαρὰν κόπρον τις ἐμβαλών, πᾶσαν αὐτὴν ἀκάθαρτον εἰργάσατο, οὕτω καὶ ἐν πλούτῳ πλεονεξία τις εἰσελθοῦσα πάντα ἀποπνεῖν ποιεῖ τῆς ἐκεῖθεν δυσωδίας.

Εἶτα χεῖρας μὲν νιπτόμεθα, εἰς Ἐκκλησίαν εἰσιόντες, τὴν δὲ καρδίαν οὐκ ἔτι; Μὴ γὰρ αἱ χεῖρες φωνὴν ἀφιᾶσιν; Ἡ ψυχὴ προφέρει τὰ ῥήματα, εἰς ἐκείνην ὁ Θεὸς καθορᾷ· οὐδὲν δεῖ τῆς τοῦ σώματος καθαρότητος, ἐκείνης μεμολυσμένης· τί γὰρ ὄφελος, ἂν τὰς ἔξωθεν μὲν χεῖρας ἀποσμήξῃς, τὰς δὲ ἔνδον ἀκαθάρτους ἔχῃς; Τὸ γὰρ δεινὸν καὶ πάντα ἀνατρέπον τοῦτό ἐστιν, ὅτι, τὰ μικρὰ δεδοικότες, τῶν μεγάλων καταφρονοῦμεν. Τὸ μὲν οὖν ἀνίπτοις χερσὶν εὔξασθαι, ἀδιάφορον, τὸ δὲ ἀνίπτῳ διανοίᾳ, τοῦτό ἐστι τὸ πάντων ἔσχατον. τῶν κακῶν. Ἄκουσον καὶ Ἰουδαίοις τοῖς περὶ τὰς τοιαύτας ἀκαθαρσίας ἠσχολημένοις, τί εἴρηται· «Ἀπόπλυναι ἀπὸ κακίας τὴν καρδίαν σου». Ἕως πότε ἔσονταί σοι διαλογισμοὶ πόνων σου;

Ἀποπλύνωμεν καὶ ἡμεῖς μὴ βορβόρῳ, ἀλλ' ὕδατι καθαρῷ, ἐλεημοσύνῃ, καὶ μὴ πλεονεξίᾳ. Πρῶτον ἀπαλλάγηθι τοῦ ἁρπάζειν, καὶ τότε ἐπίδειξαι τὴν ἐλεημοσύνην. Ἐκκλίνωμεν ἀπὸ κακοῦ, καὶ ποιήσωμεν ἀγαθόν. Στῆσον τὰς χεῖρας ἀπὸ πλεονεξίας, καὶ οὕτως αὐτὰς ἐπὶ τὴν ἐλεημοσύνην ἄγε. Ἂν δὲ ταῖς αὐταῖς ἄλλους ἀποδύσωμεν, εἰ καὶ μὴ τοῖς ἐξ ἐκείνων ἀφῃρημένοις ἐνδύομεν, οὐδὲ οὕτω διαφεύγομεν τὴν κόλασιν· ἡ γὰρ ὑπόθεσις τοῦ ἱλασμοῦ πάσης πλημμελείας

13. Ἱερ. 4, 13.
14. Ψαλμ. 36, 27.

Χριστὸν καὶ τολμᾷς ἐκεῖ νὰ ἀναπέμπης θυσίαν ἀπὸ τέτοιαν ἀκαθαρσίαν; Ὄχι, λέγει· δὲν εἶναι αὐτὰ τὰ χρήματα, ἀλλὰ ἄλλα. Αὐτὰ εἶναι λόγια γεμᾶτα ἀπὸ γέλια καὶ ἀνοησίαν! Δὲν γνωρίζεις ὅτι, καὶ ἂν ἀκόμη πέσῃ μία σταγὼν ἀδικίας μέσα εἰς μέγα πλῆθος χρημάτων, μολύνονται ὅλα; Ὅπως ἀκριβῶς λοιπόν, ἐὰν κάποιος ρίψη κοπριὰν εἰς πηγὴν καθαράν, τὴν κατέστησεν ὅλην ἀκάθαρτον, ἔτσι καὶ εἰς τὸν πλοῦτον, ἐὰν κάποια πλεονεξία εἰσέλθη εἰς αὐτὸν τὸν κάμνει ὅλον νὰ ἀναδίδη τὴν δυσωδίαν ποὺ πηγάζει ἀπὸ ἐκεῖ.

Ἔπειτα τὰ μὲν χέρια τὰ νίπτομεν ὅταν εἰσερχώμεθα εἰς τὴν Ἐκκλησίαν, τὴν δὲ καρδίαν ὄχι; Μήπως δηλαδὴ τὰ χέρια ὁμιλοῦν; Ἡ ψυχὴ προφέρει τὰ λόγια, εἰς ἐκείνην ὁ Θεὸς ἔχει ἐστραμμένον τὸ βλέμμα του· δὲν ἔχει καμμίαν ἀνάγκην τῆς καθαρότητος τοῦ σώματος, ὅταν ἐκείνη εἶναι μολυσμένη· διότι ποῖο τὸ ὄφελος, ἐὰν τὰ μὲν ἐξωτερικὰ χέρια νὰ καθαρίσῃς, τὰ δὲ ἐσωτερικὰ τὰ ἔχῃς ἀκάθαρτα; Διότι τὸ φοβερὸν ποὺ ὅλα τὰ ἀνατρέπει εἶναι αὐτό, ὅτι, φοβούμενοι τὰ μικρά, περιφρονοῦμεν τὰ μεγάλα. Τὸ νὰ προσευχώμεθα λοιπὸν μὲ ἄνιπτα χέρια εἶναι ἀδιάφορον, ἐνῷ τὸ νὰ προσευχώμεθα μὲ ἀκάθαρτον διάνοιαν, αὐτὸ εἶναι τὸ πιὸ φοβερώτερον ἀπὸ ὅλα τὰ κακά. Ἄκουσε τί ἐλέχθη καὶ εἰς τοὺς Ἰουδαίους ποὺ ἠσχολοῦντο μὲ τὰς τέτοιου εἴδους ἀκαθαρσίας· «Καθάρισε τὴν καρδίαν σου ἀπὸ τὴν κακίαν»[13]. Μέχρι πότε θὰ σκέπτεσαι τοὺς κόπους σου;

Ἂς καθαρίσωμεν καὶ ἡμεῖς τὴν καρδίαν μας, ὄχι μὲ βοῦρκον, ἀλλὰ μὲ καθαρὸ νερό, μὲ ἐλεημοσύνην καὶ ὄχι μὲ πλεονεξίαν. Κατὰ πρῶτον ἀπαλλάξου ἀπὸ τὴν ἁρπαγὴν καὶ τότε δεῖξε τὴν ἐλεημοσύνην. Ἂς ἀπομακρυνθῶμεν ἀπὸ τὸ κακὸν καὶ ἂς πράξωμεν τὸ ἀγαθὸν[14]. Ἀπομάκρυνε τὰ χέρια σου ἀπὸ τὴν πλεονεξίαν καὶ ἔτσι καθαρὰ ὁδήγησέ τα εἰς τὴν ἐλεημοσύνην. Ἐὰν μὲ τὰ ἴδια χέρια ἐκδύσωμεν ἄλλους, καὶ ἂν ἀκόμη δὲν ἐνδύωμεν μὲ ἐκεῖνα ποὺ ἀφηρέσαμεν ἀπὸ ἐκείνους, οὔτε ἔτσι διαφεύγομεν τὴν κόλασιν· διότι τὸ μέσον τοῦ ἐξιλασμοῦ γίνεται μέσον κάθε πλημμελήματός μας· καθ' ὅσον ἀπὸ τὴν ἐλεημοσύνην αὐτοῦ τοῦ

ὑπόθεσις γίνεται· τοῦ γὰρ οὕτως ἐλεεῖν τὸ μὴ ἐλεεῖν κρεῖττον· ἐπεὶ καὶ τῷ Κάϊν βέλτιον ἦν μηδὲ ὅλως προσενεγκεῖν. Εἰ δὲ ὁ τὰ ἐλάττω κομίσας τὸν Θεὸν παρώξυνεν, ὁ τὰ ἀλλότρια διδοὺς πῶς οὐ παροξυνεῖ; Ἐγώ σοι εἶπον φησί, μὴ ἁρπάζειν, καὶ σύ με ἐξ αὐτῶν τιμᾷς; τί νομίζεις; ὅτι ἥδομαι τούτοις; Οὐκοῦν ἐρεῖ πρὸς σέ· «Ὑπέλαβες ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοιος· ἐλέγξω σε, καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου».

Ἀλλὰ μὴ γένοιτο μηδένα ταύτης ἀκοῦσαι τῆς φωνῆς, ἀλλά, ἐλεημοσύνην καθαρὰν ἐργασαμένους, καὶ λαμπρὰς τὰς λαμπάδας ἔχοντας, οὕτως εἰς τὸν νυμφῶνα εἰσελθεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

εἴδους εἶναι προτιμότερον τὸ νὰ μὴ ἐλεοῦμεν καθόλου· διότι καὶ εἰς τὸν Κάϊν ἦτο προτιμότερον νὰ μὴ ἐθυσίαζε καθόλου. Ἐὰν δὲ παρώργισε τὸν Θεὸν ἐκεῖνος ποὺ προσέφερε τὰ κατώτερα, πῶς δὲν θὰ τὸν παροργίσῃ ἐκεῖνος ποὺ δίδει τὰ ξένα; Ἐγὼ σοῦ εἶπον, λέγει, νὰ μὴ ἁρπάζῃς, καὶ σὺ μὲ τιμᾷς μὲ αὐτὰ ποὺ ἁρπάζεις; Τί νομίζεις; ὅτι νοιώθω εὐχαρίστησιν ἀπὸ αὐτά; Θὰ εἰπῇ λοιπὸν πρὸς ἐσένα· Ἐνόμισες ἀνόμως, ὅτι θὰ γίνω ὅμοιος μὲ ἐσένα· θὰ σὲ ἐλέγξω καὶ θὰ σοῦ παρουσιάσω τὰς ἁμαρτίας σου»[15].

Ἀλλ' εἴθε νὰ μὴ συμβῇ νὰ ἀκούσῃ κανεὶς αὐτὰ τὰ λόγια, ἀλλά, ἀφοῦ ἐπιτελέσωμεν καθαρὰν ἐλεημοσύνην, καὶ διατηρήσωμεν λαμπρὰ ἀνημμένας τὰς λαμπάδας, ἔτσι νὰ εἰσέλθωμεν εἰς τὸν νυμφῶνα του μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΟΔ΄

Ἰω. 14, 8-14

«Λέγει αὐτῷ Φίλιππος· Κύριε, δεῖξον ἡμῖν τὸν Πατέρα, καὶ ἀρκεῖ ἡμῖν. Λέγει αὐτῷ ὁ Ἰησοῦς· Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε; Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα».

1. Ὁ μὲν προφήτης ἔλεγεν Ἰουδαίοις· «Ὄψις πόρνης ἐγένετό σοι, ἀπηναισχύντησας πρὸς πάντας», ὡς ἔοικε δὲ οὐκ ἐκείνῃ τῇ πόλει δίκαιον μόνον ταῦτα εἰπεῖν, ἀλλὰ καὶ τοῖς ἀναισχύντως πρὸς τὴν ἀλήθειαν ἀντιβλέπουσι· τοῦ γὰρ Φιλίππου πρὸς τὸν Χριστὸν εἰπόντος, «Δεῖξον ἡμῖν τὸν Πατέρα σου», φησί· «Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε;». Καὶ ὅμως τινές εἰσι καὶ μετὰ τὰ ῥήματα ταῦτα ἀποσχίζοντες τοῦ γεγεννηκότος τὸν Υἱόν. Καίτοι ποίαν μείζω ταύτης ζητεῖς ἐγγύτητα; Τινὲς γὰρ ἐκ τῆς ῥήσεως ταύτης καὶ εἰς τὴν Σαβελλίου νόσον ἐνέπεσον. Ἀλλά, καὶ τούτους καὶ ἐκείνους ἀφέντες ἡμεῖς, ὡς ἐκ διαμέτρου παρανομοῦντας, ἴδωμεν τῶν εἰρημένων τὴν ἀκρίβειαν.

«Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε;» φησί. Τί γάρ; σὺ εἶ ὁ Πατήρ, ὃν ἐπιζητῶ; Οὐχί, φησί. Διὰ τοῦτο οὐδὲ εἶπεν, 'Οὐκ ἔγνωκας αὐτόν', ἀλλ' «οὐκ ἔγνωκάς με;», οὐδὲν ἄλλο ἐμφαίνων, ἢ ὅτι οὐδὲν ἕτερόν ἐστιν ὁ Υἱός, ἢ τοῦτο ὅπερ ἐστὶν ὁ Πατήρ, μένων ἐν τῷ εἶναι Υἱός. Πόθεν δὲ ἐπὶ τοῦτο ἦλθεν ὁ Φίλιππος; Ἔλεγεν· «Εἰ ἐμὲ ἐγνώκειτε, καὶ τὸν Πατέρα μου ἐγνώκει-

---

1. Ἱερ. 3, 3.

ΟΜΙΛΙΑ ΟΔ'

'Ιω. 14, 8 - 14

«Λέγει εἰς αὐτὸν ὁ Φίλιππος· Κύριε, δεῖξε μας τὸν Πατέρα σου καὶ μᾶς ἀρκεῖ. Λέγει εἰς αὐτὸν ὁ Ἰησοῦς· Τόσον χρόνον εἶμαι μαζί σας καὶ δὲν μὲ ἐγνώρισες, Φίλιππε; Ἐκεῖνος ποὺ εἶδεν ἐμένα εἶδε καὶ τὸν Πατέρα».

1. Ὁ μὲν προφήτης ἔλεγεν εἰς τοὺς Ἰουδαίους· «Ἔλαβες μορφὴν πόρνης, ἔδειξες τὴν ἀδιαντροπίαν σου πρὸς ὅλους»[1], πού, ὅπως φαίνεται, δίκαιον εἶναι νὰ εἰπῇ αὐτὰ τὰ λόγια ὄχι μόνον δι' ἐκείνην τὴν πόλιν, ἀλλὰ καὶ δι' ἐκείνους ποὺ μὲ ἀναισχυντίαν ἀτενίζουν πρὸς τὴν ἀλήθειαν· διότι, ὅταν ὁ Φίλιππος εἶπε πρὸς τὸν Χριστόν, «Δεῖξε μας τὸν Πατέρα σου», λέγει· «Τόσον χρόνον εἶμαι μαζί σας καὶ δὲν μὲ ἐγνώρισες, Φίλιππε;». Καὶ ὅμως ὑπάρχουν ὡρισμένοι, ποὺ μετὰ ἀπὸ αὐτὰ τὰ λόγια ἀποχωρίζουν τὸν Υἱὸν ἀπὸ τὸν Πατέρα. Καὶ πράγματι ποίαν ἄλλην συγγένειαν ἀπὸ αὐτὴν ζητεῖς; Διότι μερικοὶ ἀπὸ τὰ λόγια αὐτὰ περιέπεσαν εἰς τὴν νόσον τοῦ Σαβελλίου. Ἀλλά, ἀφοῦ ἀφήσωμεν ἡμεῖς καὶ αὐτοὺς καὶ ἐκείνους ὡσὰν παρανομοῦντας ἐκ διαμέτρου, ἂς ἐξετάσωμεν τὸ ἀκριβὲς νόημα τῶν λόγων.

«Τόσον χρόνον εἶμαι μαζί σας καὶ δὲν μὲ ἐγνώρισες, Φίλιππε;», λέγει. Τί δηλαδή; σὺ εἶσαι ὁ Πατὴρ ποὺ ἐπιζητῶ; Ὄχι, λέγει. Διὰ τοῦτο δὲν εἶπε, 'Δὲν ἐγνώρισες αὐτόν', ἀλλὰ «δὲν μὲ ἐγνώρισες;», φανερώνων τίποτε ἄλλο, παρὰ ὅτι ὁ Υἱὸς τίποτε ἄλλο δὲν εἶναι, παρὰ αὐτὸ ποὺ εἶναι ὁ Πατήρ, παραμένων ὡς πρὸς τὴν ὕπαρξιν Υἱός. Τί εἶναι αὐτὸ ποὺ ὡδήγησε τὸν Φίλιππον εἰς αὐτὴν τὴν ἐρώτησιν; Ἔλεγεν· «Ἐὰν εἴχετε γνωρίσει ἐμένα, θὰ εἴχετε γνωρί-

τε ἄν»), καὶ τοῖς Ἰουδαίοις πολλάκις εἶπε τοῦτο· ἐπεὶ οὖν ἠρώτησεν αὐτὸν ὁ Πέτρος πολλάκις, καὶ Ἰουδαῖοι, «Τίς ἐστιν ὁ Πατήρ», ἠρώτησεν αὐτὸν καὶ ὁ Θωμᾶς, καὶ οὐδεὶς οὐδὲν ἔμαθε σαφές, ἀλλ' ἔτι ἠγνοεῖτο τὰ λεγόμενα, ἵνα μὴ δόξῃ προσκορὴς εἶναι ὁ Φίλιππος, καὶ διενοχλεῖν αὐτὸν μετὰ τοὺς Ἰουδαίους, ἐρωτῶν καὶ αὐτός, «Δεῖξον ἡμῖν τὸν Πατέρα σου», ἐπήγαγε· «Καὶ ἀρκεῖ ἡμῖν»· οὐδὲν πλέον ζητοῦμεν. Καίτοι ὁ Χριστὸς ἔλεγεν· «Εἰ ἐμὲ ἐγνώκειτε, καὶ τὸν Πατέρα μου ἐγνώκειτε ἄν», καὶ δι' ἑαυτοῦ τὸν Πατέρα ἐδήλου, ὁ δὲ ἀντέστρεψε τὴν τάξιν, καί φησι· 'Τὸν Πατέρα δεῖξον, ὡς αὐτὸν εἰδὼς ἀκριβῶς'. Ἀλλ' οὐκ ἀνέχεται αὐτοῦ ὁ Χριστός, ἀλλ' ἐπὶ τὴν ὁδὸν αὐτὸν ἵστησι, δι' αὐτοῦ τὸν Πατέρα μανθάνειν πείθων· αὐτὸς δὲ τοῖς τοῦ σώματος ὀφθαλμοῖς τούτοις ἐβούλετο ἰδεῖν, ἴσως περὶ τῶν προφητῶν ἀκούων ὅτι εἶδον τὸν Θεόν. Ἀλλὰ συγκατάβασις ἦν ἐκεῖνα, ὦ Φίλιππε. Διὰ τοῦτο ὁ Χριστὸς ἔλεγε· «Θεὸν οὐδεὶς ἑώρακε πώποτε», καὶ πάλιν· «Πᾶς ὁ ἀκούσας παρὰ τοῦ Θεοῦ καὶ μαθὼν ἔρχεται πρός με. Οὔτε φωνὴν αὐτοῦ ἀκηκόατε, οὔτε εἶδος αὐτοῦ ἑωράκατε»· καὶ ἐν τῇ Παλαιᾷ· «Οὐδεὶς ὄψεται τὸ πρόσωπόν μου, καὶ ζήσεται».

Τί οὖν ὁ Χριστός; Σφόδρα ἐπιτιμητικῶς· «Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε;». Καὶ οὐκ εἶπεν, 'Οὐκ εἶδές με', ἀλλ' «οὐκ ἔγνωκάς με». Μὴ γάρ σε βούλομαι, φησί, μαθεῖν; Τὸν Πατέρα σου ἰδεῖν ζητῶ νῦν, σὺ δέ μοι λέγεις, «Οὐκ ἔγνωκάς με;»· ποίαν οὖν ἀκολουθίαν ἔχει τοῦτο; Πολλὴν μὲν οὖν· ἐπειδὴ γὰρ τοῦτό ἐστιν, ὅπερ ἐστὶν ὁ Πατήρ, μένων Υἱός, εἰκότως ἐν αὐτῷ δείκνυσι τὸν γεγεννηκότα. Εἶτα, διαιρῶν τὰς ὑποστάσεις, φησίν· «Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα», ἵνα μή τις

---

2. Ἰω. 14, 7.
3. Ἰω. 1, 18.
4. Ἰω. 6, 45 καὶ 5, 37.
5. Ἐξ. 33, 20.

σει καὶ τὸν Πατέρα μου»[2], καὶ εἰς τοὺς Ἰουδαίους πολλὲς φορὲς τὸ εἶπεν αὐτό· ἐπειδὴ λοιπὸν ἠρώτησεν αὐτὸν ὁ Πέτρος πολλὲς φορὲς καὶ οἱ Ἰουδαῖοι «Ποῖος εἶναι ὁ Πατήρ», ἠρώτησεν αὐτὸν καὶ ὁ Θωμᾶς, καὶ κανεὶς δὲν ἔμαθε τίποτε μὲ σαφήνειαν, ἀλλ' ἀκόμη ἦτο ἄγνωστον τὸ νόημα τῶν λόγων του, διὰ νὰ μὴ φανῇ ὁ Φίλιππος βαρετὸς καὶ ὡς ἐνοχλῶν αὐτὸν μαζὶ μὲ τοὺς Ἰουδαίους, ἐρωτῶν καὶ αὐτός, «Δεῖξε μας τὸν Πατέρα σου», ἐπρόσθεσε· «Καὶ μᾶς εἶναι ἀρκετόν»· τίποτε ἐπὶ πλέον δὲν θέλομεν. Μολονότι ὁ Χριστὸς ἔλεγεν· «Ἐὰν εἴχετε γνωρίσει ἐμένα, θὰ εἴχετε γνωρίσει καὶ τὸν Πατέρα μου», καὶ διὰ τοῦ ἑαυτοῦ του ἐδείκνυε τὸν Πατέρα, αὐτὸς ὅμως ἤλλαξε τὴν σειρὰν τῶν λόγων του, καὶ λέγει· 'Δεῖξε μας τὸν Πατέρα, ἀκριβῶς ὅπως τὸν γνωρίζεις'. Ἀλλ' ὅμως ὁ Χριστὸς δὲν τὸν ἀνέχεται, ἀλλὰ τὸν ὁδηγεῖ εἰς τὴν ἀληθῆ ὁδόν, πείθων αὐτὸν νὰ γνωρίσῃ τὸν Πατέρα μέσῳ αὐτοῦ· αὐτὸς δὲ ἤθελε νὰ ἰδῇ αὐτὸν μὲ τοὺς ἰδίους τοὺς ὀφθαλμοὺς τοῦ σώματος, ἴσως ἐπειδὴ ἤκουε περὶ τῶν προφητῶν ὅτι εἶδον τὸν Θεόν. Ἀλλ' ἐκεῖνα, Φίλιππε, ἐλέγοντο κατὰ συγκατάβασιν. Διὰ τοῦτο ὁ Χριστὸς ἔλεγε· «Τὸν Θεὸν κανεὶς δὲν τὸν εἶδε ποτέ»[3], καὶ πάλιν· «Ὁ καθένας ποὺ ἀκούει ἀπὸ τὸν Θεὸν καὶ μαθαίνει τὴν ἀλήθειαν περὶ ἐμοῦ ἔρχεται πρὸς ἐμένα. Οὔτε τὴν φωνήν του ἠκούσατε ποτέ, οὔτε τὴν μορφήν του εἴδετε»[4]· καὶ εἰς τὴν Παλαιὰν Διαθήκην· «Κανεὶς δὲν εἶναι δυνατὸν νὰ ἰδῇ τὸ πρόσωπόν μου καὶ νὰ ζήσῃ»[5].

Τί ἀπαντᾷ λοιπὸν ὁ Χριστός; Μὲ πάρα πολὺ ἐπιτιμητικὸν τρόπον· «Τόσον χρόνον εἶμαι μαζί σας καὶ δὲν μὲ ἐγνώρισες, Φίλιππε;». Καὶ δὲν εἶπε, 'δὲν μὲ εἶδες', ἀλλὰ «Δὲν μὲ ἐγνώρισες». Μήπως, λέγει, θέλω νὰ γνωρίσω ἐσένα; Τὸν Πατέρα σου ζητῶ τώρα νὰ ἰδῶ, καὶ σὺ μοῦ λέγεις, «Δὲν μὲ ἐγνώρισες;»· ποίαν λοιπὸν σχέσιν ἔχει αὐτό; Καὶ πολλὴν βέβαια· διότι, ἐπειδὴ αὐτὸς εἶναι αὐτὸ ἀκριβῶς ποὺ εἶναι ὁ Πατήρ, μένων Υἱός, πολὺ εὔλογα δείχνει τὸν Πατέρα εἰς τὸν ἑαυτόν του. Ἔπειτα, διακρίνων τὰς ὑποστάσεις, λέγει· «Ἐκεῖνος ποὺ εἶδεν ἐμένα,

εἴπῃ ὅτι αὐτὸς Πατήρ, αὐτὸς Υἱός· εἰ γὰρ αὐτὸς ἦν ὁ Πατήρ, αὐτὸς Υἱός· εἰ γὰρ αὐτὸς ἦν ὁ Πατήρ, οὐκ ἂν εἶπεν· «Ὁ ἑωρακὼς ἐμὲ ἐκεῖνον ἑώρακε». Πῶς δὲ οὐκ εἶπεν αὐτῷ, "Ἀδύνατα αἰτεῖς, καὶ οὐ κατὰ ἄνθρωπον, ἐμοὶ γὰρ μόνῳ τοῦτο δυνατόν'; Ἐπειδὴ εἶπεν, «Ἀρκεῖ ἡμῖν», ὡς αὐτὸν εἰδώς, δείκνυσιν ὅτι οὐδὲ αὐτὸν ἑώρακεν· ἢ γὰρ ἂν κἀκεῖνον εἶδεν, εἰ καὶ αὐτὸν ἠδυνήθη. Διόπερ ἔλεγεν· «Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα»· εἴ τις ἐμὲ εἶδε, κἀκεῖνον ὄψεται. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, ὅτι οὔτε ἐμέ, οὔτε ἐκεῖνον δυνατόν ἐστιν ἰδεῖν· ὁ γὰρ Φίλιππος τὴν δι' ὄψεως ἐζήτει γνῶσιν· καὶ ἐπειδὴ αὐτὸν μὲν ἑωρακέναι ἐνόμιζεν, ἐβούλετο δὲ καὶ τὸν Πατέρα οὕτως ἰδεῖν, δείκνυσιν ὅτι οὐδὲ αὐτὸν εἶδεν.

Εἰ δὲ λέγει τις ὄψιν ἐνταῦθα τὴν γνῶσιν, οὐδὲ τούτῳ ἀντιλέγω· ὁ γὰρ ἐμὲ γνούς, φησίν, ἔγνω τὸν Πατέρα. Ἀλλ' οὐκ εἶπε τοῦτο, ἀλλά, τὸ ὁμοούσιον παραστῆσαι βουλόμενος, εἶπεν· «Ὁ τὴν ἐμὴν οὐσίαν εἰδὼς οἶδε καὶ τὴν τοῦ Πατρός». Καὶ τί τοῦτο; φησί· καὶ γὰρ ὁ τὴν κτίσιν εἰδὼς οἶδε καὶ τὸν Θεόν. Καίτοι πάντες ἴσασι τὴν κτίσιν καὶ ἑωράκασι· τὸν δὲ Θεὸν οὐκ ἴσασι πάντες. Ἄλλως δέ, ἴδωμεν τί ὁ Φίλιππος ζητεῖ ἰδεῖν. Ἆρα τὴν σοφίαν τοῦ Πατρός; ἆρα τὴν ἀγαθότητα; Οὐχί· ἀλλὰ αὐτὸ τὸ τί ποτέ ἐστιν ὁ Θεός, αὐτὴν τὴν οὐσίαν. Πρὸς τοῦτο οὖν ἀποκρίνεται ὁ Χριστός· «Ὁ ἑωρακὼς ἐμέ». Ὁ δὲ τὴν κτίσιν ἰδὼν οὐχὶ καὶ τοῦ Θεοῦ τὴν οὐσίαν εἶδεν. «Εἴ τις εἶδεν ἐμέ, τὸν Πατέρα μου εἶδε»», φησίν· εἰ δὲ ἑτέρας οὐσίας ἦν, οὐκ ἂν τοῦτο εἶπεν. Ἵνα δὲ καὶ παχυτέρου ἅψωμαι λόγου, οὐδείς, χρυσὸν ἀγνοῶν, ἐν ἀργύρῳ τοῦ χρυσίου τὴν οὐσίαν ἰδεῖν δύναται· οὐ γὰρ

εἶδε καὶ τὸν Πατέρα», διὰ νὰ μὴ εἰπῇ κάποιος ὅτι ὁ ἴδιος εἶναι καὶ Πατὴρ καὶ Υἱός· διότι, ἐὰν αὐτὸς ἦτο ὁ Πατήρ, δὲν θὰ ἦτο δυνατὸν νὰ εἰπῇ, «ἐκεῖνος ποὺ εἶδεν ἐμένα, εἶδεν ἐκεῖνον». Πῶς δὲ δὲν εἶπεν εἰς αὐτόν, Ἀδύνατα ζητεῖς νὰ μάθῃς, ποὺ δὲν εἶναι διὰ τὰ μέτρα τοῦ ἀνθρώπου, διότι αὐτὸ εἶναι δυνατὸν μόνον εἰς ἐμένα'; Ἐπειδὴ εἶπεν, «Ἀρκεῖ εἰς ἡμᾶς», ὡσὰν νὰ ἐγνώριζεν αὐτόν, δείχνει ὅτι οὔτε αὐτὸν εἶδε· διότι πράγματι καὶ ἐκεῖνον θὰ ἠμποροῦσε νὰ ἰδῇ, ἐὰν ἠμποροῦσε νὰ ἰδῇ αὐτόν. Διὰ τοῦτο ἀκριβῶς ἔλεγεν· «Ἐκεῖνος ποὺ εἶδεν ἐμένα, εἶδε καὶ τὸν Πατέρα»· ἐὰν κανεὶς εἶδεν ἐμένα, θὰ ἰδῇ καὶ ἐκεῖνον. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς, ὅτι δηλαδὴ οὔτε ἐμένα, οὔτε ἐκεῖνον εἶναι δυνατὸν νὰ ἰδῇ· διότι ὁ Φίλιππος ἐζήτει τὴν διὰ τῆς ὄψεως γνῶσιν· καὶ ἐπειδὴ ἐνόμιζεν ὅτι αὐτὸν μὲν τὸν εἶχεν ἰδεῖ, ἤθελε δὲ κατὰ τὸν ἴδιον τρόπον νὰ ἰδῇ καὶ τὸν Πατέρα, δείχνει ὅτι οὔτε αὐτὸν εἶδεν.

Ἐὰν ὅμως κάποιος ἐδῶ θεωρῇ τὴν ὄψιν ὡς γνῶσιν, δὲν ἀντιλέγω εἰς αὐτόν· διότι, λέγει, ἐκεῖνος ποὺ ἐγνώρισεν ἐμένα, ἐγνώρισε καὶ τὸν Πατέρα. Ὅμως δὲν εἶπεν αὐτό, ἀλλά, θέλων νὰ παραστήσῃ τὸ ὁμοούσιον, εἶπεν· «Ἐκεῖνος ποὺ γνωρίζει τὴν ἰδικήν μου οὐσίαν, γνωρίζει καὶ τὴν οὐσίαν τοῦ Πατρός». Καὶ διατί, λέγει, τὸ λέγει αὐτό; καθ' ὅσον ἐκεῖνος ποὺ γνωρίζει τὴν κτίσιν γνωρίζει καὶ τὸν Θεόν. Ἂν καὶ βέβαια ὅλοι γνωρίζουν τὴν κτίσιν καὶ τὴν ἔχουν ἰδεῖ, τὸν Θεὸν ὅμως δὲν τὸν γνωρίζουν ὅλοι. Ἀλλ' ὅμως ἂς ἰδοῦμεν τί ζητεῖ ὁ Φίλιππος νὰ ἰδῇ. Ἆρά γε τὴν σοφίαν τοῦ Πατρός; ἆρά γε τὴν ἀγαθότητα αὐτοῦ; Ὄχι, ἀλλὰ αὐτὸ ἀκριβῶς ποὺ εἶναι ὁ Θεός, τὴν ἰδίαν τὴν οὐσίαν του. Σύμφωνα μὲ αὐτὸ λοιπὸν ἀποκρίνεται ὁ Χριστός· «Ἐκεῖνος ποὺ εἶδεν ἐμένα». Ἐνῷ ἐκεῖνος ποὺ εἶδε τὴν κτίσιν δὲν εἶδε καὶ τὴν οὐσίαν τοῦ Θεοῦ. «Ἐὰν κάποιος εἶδεν ἐμένα, εἶδε καὶ τὸν Πατέρα μου», λέγει· ἐὰν ἦτο ἄλλης οὐσίας, δὲν θὰ ἦτο δυνατὸν νὰ τὸ εἰπῇ αὐτό. Διὰ νὰ ἐκφρασθῶ δὲ μὲ πιὸ κοινὸν τρόπον, κανείς, ποὺ ἀγνοεῖ τὸν χρυσόν, δὲν ἠμπορεῖ νὰ ἰδῇ τὴν οὐσίαν τοῦ χρυσοῦ εἰς τὸν ἄργυρον· διότι ἡ φύσις ἑνὸς πράγματος δὲν φαί-

ἄλλη δι' ἄλλης φαίνεται φύσις. Διὰ τοῦτο καὶ καλῶς ἐπετίμησεν, εἰπών· «Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι». Τοσαύτης ἀπέλαυσας διδασκαλίας, εἶδες σημεῖα μετὰ αὐθεντίας, καὶ πάντα, ἅπερ θεότητος ἦν ἴδια, καὶ ὃ ὁ Πατὴρ μόνος ἐργάζεται, ἁμαρτήματα λυόμενα, ἀπόρρητα εἰς μέσον ἀγόμενα, θάνατον ἀναχωροῦντα, δημιουργίαν ἀπὸ γῆς γινομένην, «καὶ οὐκ ἔγνωκάς με;».

2. Ἐπειδὴ γὰρ σάρκα περιέκειτο, διὰ τοῦτο εἶπεν· «Οὐκ ἔγνωκάς με». Εἶδες τὸν Πατέρα; Μὴ ζήτει πλέον ἰδεῖν· ἐν ἐκείνῳ γάρ με ἑώρακας. Εἰ εἶδές με, μηδὲν περιεργάζου· καὶ γὰρ ἐν ἐμοὶ ἐκεῖνον ἔγνως. «Οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ Πατρί;» τουτέστιν, ἐν ἐκείνῃ τῇ οὐσίᾳ φαίνομαι. «Τὰ ῥήματα, ἃ ἐγὼ λαλῶ, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ». Εἶδες ἐγγύτητος ὑπερβολήν, καὶ μιᾶς οὐσίας ὑπόδειγμα; «Ὁ δὲ Πατήρ, ὁ ἐν ἐμοὶ μένων, αὐτὸς ποιεῖ τὰ ἔργα». Πῶς, ἀπὸ ῥημάτων ἀρξάμενος, ἐπὶ τὰ ἔργα ἦλθε; τὸ γὰρ ἀκόλουθον ἦν εἰπεῖν· Αὐτὸς λαλεῖ τὰ ῥήματα· ἀλλὰ δύο τίθησιν ἐνταῦθα, περὶ διδασκαλίας καὶ σημείων, ἢ ἐπειδὴ καὶ τὰ ῥήματα ἔργα ἦν. Πῶς οὖν αὐτὸς ποιεῖ; Καὶ μὴν ἀλλαχοῦ φησιν· «Εἰ μὴ ποιῶ τὰ ἔργα τοῦ Πατρός μου, μὴ πιστεύετέ μοι»· πῶς οὖν ἐνταῦθα τὸν Πατέρα φησὶ ποιεῖν; Τὸ αὐτὸ τοῦτο δηλῶν, ὅτι οὐδὲν μέσον Πατρὸς καὶ Υἱοῦ. Ὃ δὲ λέγει, τοῦτό ἐστιν· Οὐκ ἂν ἄλλως ἐποίησεν ὁ Πατήρ, καὶ ἄλλως ἐγώ· καὶ μὴν ἀλλαχοῦ καὶ αὐτὸς καὶ ὁ Πατὴρ ἐργάζεται, λέγων· «Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι», ἐκεῖ μὲν τὸ ἀπαράλλακτον τῶν ἔργων, ἐνταῦθα δὲ τὸ ταὐτὸν ἐνδεικνύμενος. Εἰ δὲ ἡ πρόχειρος τῶν λέξεων ἔμφασις ταπεινότητα ἐμφαίνει, μὴ θαυμάσῃς· πρότερον γὰρ εἰπών, «Οὐ πιστεύσεις», τότε τοῦτο ἐφθέγξατο, δεικνὺς ὅτι ὑπὲρ

6. Δηλαδὴ ἀνάστασιν νεκρῶν.
7. Πρβλ. Ἰω. 9, 1 - 6.
8. Ἰω. 10, 37.
9. Ἰω. 5, 17.

νεται διὰ τῆς φύσεως ἄλλου πράγματος. Διὰ τοῦτο καὶ καλῶς τὸν ἐπετίμησεν, εἰπών· «Τόσον χρόνον εἶμαι μαζί σας». Τόσην διδασκαλίαν ἤκουσες, εἶδες θαύματα αὐθεντικὰ καὶ ὅλα ἐκεῖνα ποὺ εἶναι χαρακτηριστικὰ γνωρίσματα τῆς θεότητος, καὶ αὐτὰ ποὺ ὁ Πατὴρ μόνος ἐπιτελεῖ, συγχώρησιν ἁμαρτημάτων, ἀποκάλυψιν ἀπορρήτων, ἀναχώρησιν θανάτου[6], δημιουργίαν πραγματοποιουμένην διὰ τῆς γῆς[7], «καὶ δὲν μὲ ἐγνώρισες;».

2. Ἐπειδὴ λοιπὸν ἔφερε τὴν ἀνθρωπίνην σάρκα, διὰ τοῦτο εἶπε, «Δὲν μὲ ἐγνώρισες». Εἶδες τὸν Πατέρα; Μὴ ζητεῖς νὰ ἰδῇς ἐπὶ πλέον· διότι εἰς ἐκεῖνον εἶδες ἐμένα. Ἐὰν μὲ εἶδες, μὴ δείχνεις καμμίαν περιέργειαν· καθ' ὅσον εἰς ἐμένα ἐγνώρισες ἐκεῖνον. «Δὲν πιστεύεις ὅτι ἐγὼ εἶμαι ἐν τῷ Πατρί;», δηλαδὴ ὅτι φαίνομαι εἰς ἐκείνην τὴν οὐσίαν. «Τὰ λόγια ποὺ ἐγὼ λέγω, δὲν τὰ λέγω ἀπὸ τὸν ἑαυτόν μου». Εἶδες ὑπερβολὴν συγγενείας καὶ ἀπόδειξιν μιᾶς οὐσίας; «Ὁ δὲ Πατὴρ ποὺ μένει εἰς ἐμένα, αὐτὸς κάμνει τὰ ἔργα». Πῶς, ἀρχίζων ἀπὸ τὰ λόγια, ἦλθεν εἰς τὰ ἔργα; διότι ἡ λογικὴ ἀκολουθία ἦτο νὰ εἴπῃ, Ἀὐτὸς λέγει τὰ λόγια'· ἀλλὰ ὁμιλεῖ ἐδῶ περὶ δύο πραγμάτων, περὶ διδασκαλίας καὶ θαυμάτων, ἢ ἐπειδὴ καὶ τὰ λόγια ἦσαν ἔργα. Πῶς λοιπὸν αὐτὸς ἐπιτελεῖ ἔργα; Πράγματι εἰς ἄλλην περίπτωσιν λέγει· «Ἐὰν δὲν ἐκτελῶ τὰ ἔργα τοῦ Πατρός μου, μὴ μὲ πιστεύετε»[8]· πῶς λοιπὸν ἐδῶ λέγει ὅτι ὁ Πατὴρ ἐπιτελεῖ τὰ ἔργα; Διὰ νὰ δείξῃ ἀκριβῶς αὐτό, ὅτι δὲν ὑπάρχει τίποτε τὸ ἐνδιάμεσον μεταξὺ Πατρὸς καὶ Υἱοῦ. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Δὲν θὰ ἦτο δυνατὸν νὰ ἐνεργῇ διαφορετικὰ ὁ Πατὴρ καὶ διαφορετικὰ ἐγώ. Καὶ πράγματι εἰς ἄλλην περίπτωσιν λέγει ὅτι καὶ αὐτὸς καὶ ὁ Πατὴρ ἐργάζονται· «Ὁ Πατήρ μου ἕως τώρα ἐργάζεται, καὶ ἐγὼ ἐπίσης ἐργάζομαι»[9], ἐκεῖ μὲν διὰ νὰ δείξῃ τὸ ἀπαράλλακτον τῶν ἔργων, ἐδῶ δὲ τὴν ταυτότητα αὐτῶν. Ἐὰν δὲ ἡ χρησιμοποίησις προχείρων λέξεων παρουσιάζῃ ταπεινότητα, μὴ θαυμάσῃς· διότι, ἀφοῦ εἶπε προηγουμένως, «Δὲν πιστεύεις», τότε εἶπεν αὐτό, διὰ νὰ δείξῃ ὅτι

τοῦ εἰς πίστιν αὐτὸν ἀγαγεῖν οὕτως ἐσχημάτισε τὰ ῥήματα· τὰς γὰρ καρδίας αὐτῶν ἐνεβάτευε.

«Πιστεύετε ὅτι ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί;». Ἔδει μὲν ὑμᾶς, ἀκούοντας Πατέρα καὶ Υἱόν, μηδὲν ἕτερον ζητεῖν εἰς παράστασιν τῆς κατὰ τὴν οὐσίαν συγγενείας, εἰ δὲ ὑμῖν οὐκ ἀρκεῖ τοῦτο πρὸς τὸ δεῖξαι τὸ ὁμότιμον καὶ ὁμοούσιον, κἂν ἀπὸ τῶν ἔργων μάθετε. Καὶ τὸ «ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα μου» εἰ περὶ ἔργων ἐλέγετο, οὐκ ἂν ὕστερον εἶπεν· «Εἰ δὲ μή, διὰ τὰ ἔργα πιστεύετέ μοι». Εἶτα, δεικνὺς ὅτι οὐ ταῦτα δύναται μόνον, ἀλλὰ καὶ ἕτερα πολλῷ τούτων μείζονα, μεθ' ὑπερβολῆς τίθησιν· οὐ γὰρ λέγει ὅτι 'καὶ μείζονα τούτων δύναμαι ποιῆσαι', ἀλλά, ὃ πολλῷ θαυμαστότερον ἦν, 'καὶ ἑτέροις δύναμαι δοῦναι, φησί, καὶ μείζονα ποιῆσαι τούτων'. «Ἀμήν, ἀμὴν λέγω ὑμῖν ὅτι ὁ πιστεύων εἰς ἐμὲ τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει· ὅτι ἐγὼ πρὸς τὸν Πατέρα πορεύομαι». Τουτέστιν, 'ὑμῶν ἐστι λοιπὸν τὸ θαυματουργεῖν· ἐγὼ γὰρ ἀπέρχομαι'.

Εἶτα, ἐπειδὴ ἤνυσεν, ὅπερ ὁ λόγος ἐβούλετο, φησὶν ὅτι, «ὃ ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου, λήψεσθε, καὶ ἐγὼ τοῦτο ποιήσω, ἵνα ἐν ἐμοὶ δοξασθῇ ὁ Πατήρ». Ὁρᾷς πῶς πάλιν αὐτὸς ποιεῖ τοῦτο; «Ποιήσω» γάρ, φησίν, «ἐγώ». Καὶ οὐκ εἶπεν· 'Ἀξιῶ τὸν Πατέρα', ἀλλ' «ἵνα δοξασθῇ ἐν ἐμοὶ ὁ Πατήρ». Καὶ μὴν ἀλλαχοῦ ἔλεγεν· «Ὁ Θεὸς δοξάσει αὐτὸν ἐν ἑαυτῷ», ἐνταῦθα δέ· «Αὐτὸς δοξάσει τὸν Πατέρα»· ὅταν γὰρ ὁ Υἱὸς φαίνηται μεγάλα δυνάμενος, δοξασθήσεται ὁ γεγεννηκώς. Τί δέ ἐστιν, «Ἐν τῷ ὀνόματί μου»; Ὅπερ οἱ ἀπόστολοι ἔλεγον· «Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἔγειραι καὶ περιπάτει»· πάντα γὰρ τὰ σημεῖα, ἅπερ ἐποίησαν, αὐτὸς ἐνήργει. «Καὶ χεὶρ Κυρίου ἦν μετ' αὐτῶν». «Ἐ-

---

10. Ἰω. 13, 32.
11. Πράξ. 3, 6.

ἐξεφράσθη μὲ αὐτὸν τὸν τρόπον διὰ νὰ τὸν ὁδηγήσῃ εἰς τὴν πίστιν· διότι διείσδυεν εἰς τὰς καρδίας αὐτῶν.

«Πιστεύετε ὅτι ἐγὼ εἶμαι εἰς τὸν Πατέρα καὶ ὁ Πατὴρ εἰς ἐμένα;». Ἔπρεπε μὲν σεῖς, ἀκούοντες Πατέρα καὶ Υἱόν, νὰ μὴ ζητῆτε τίποτε ἄλλο πρὸς ἀπόδειξιν τῆς συγγενείας μας ὡς πρὸς τὴν οὐσίαν, ἐὰν ὅμως δέν σᾶς εἶναι αὐτὸ ἀρκετὸν πρὸς ἀπόδειξιν τοῦ ὁμοτίμου καὶ ὁμοουσίου, τουλάχιστον μάθετέ το ἀπὸ τὰ ἔργα. Καὶ τὸ «Ἐκεῖνος ποὺ εἶδε ἐμένα, εἶδε καὶ τὸν Πατέρα μου», ἐὰν ἐλέγετο περὶ τῶν ἔργων, δὲν θὰ ἦτο δυνατὸν εἰς τὴν συνέχειαν νὰ εἴπῃ· «Ἐὰν δὲ μή, πιστεύετέ με διὰ τὰ ἔργα». Ἔπειτα, διὰ νὰ δείξῃ ὅτι ὄχι μόνον αὐτὰ ἠμπορεῖ νὰ κάμῃ, ἀλλὰ καὶ πολλὰ ἄλλα μεγαλύτερα ἀπὸ αὐτά, ἀναφέρει αὐτὰ μὲ ὑπερβολήν· διότι, δὲν λέγει ὅτι 'καὶ μεγαλύτερα ἀπὸ αὐτὰ ἠμπορῶ νὰ κάμω', ἀλλὰ αὐτὸ ποὺ ἦτο πολὺ πιὸ θαυμαστότερον, 'καὶ εἰς ἄλλους ἠμπορῶ', λέγει, 'νὰ δώσω αὐτὴν τὴν δύναμιν καὶ νὰ κάμουν μεγαλύτερα ἀπὸ αὐτὰ τὰ ἔργα'. «Ἀλήθεια, ἀλήθεια σᾶς λέγω, ὅτι ἐκεῖνος ποὺ πιστεύει εἰς ἐμένα, τὰ ἔργα ποὺ ἐγὼ πράττω καὶ ἐκεῖνος θὰ πράξῃ, καὶ θὰ πράξῃ μεγαλύτερα ἀπὸ αὐτά· διότι ἐγὼ πηγαίνω πρὸς τὸν Πατέρα μου». Δηλαδή, 'εἰς ἐσᾶς πλέον ἀνήκει ἡ ἐπιτέλεσις θαυμάτων· διότι ἐγὼ φεύγω'.

Ἔπειτα, ἀφοῦ κατώρθωσεν ἐκεῖνο ποὺ ἤθελεν ὁ λόγος λέγει· «Ὅ,τιδήποτε καὶ ἂν ζητήσετε εἰς τὸ ὄνομά μου, θὰ τὸ λάβετε, καὶ ἐγὼ θὰ τὸ πράξω, διὰ νὰ δοξασθῇ δι' ἐμοῦ ὁ Πατήρ». Βλέπεις πῶς πάλιν αὐτὸς τὸ κάμνει αὐτό; Διότι λέγει, «Θὰ τὸ κάμω ἐγώ». Καὶ δὲν εἶπε 'τὸ ζητῶ ἀπὸ τὸν Πατέρα', ἀλλὰ «διὰ νὰ δοξασθῇ δι' ἐμοῦ ὁ Πατήρ». Καὶ ὅμως εἰς ἄλλην περίπτωσιν ἔλεγεν· «Ὁ Θεὸς θὰ τὸν δοξάσῃ μὲ ὅσα θὰ κάμῃ δι' αὐτόν»[10], ἐνῷ ἐδῶ λέγει· «Αὐτὸς θὰ δοξάσῃ τὸν Πατέρα»· διότι ὅταν ὁ Υἱὸς φαίνεται νὰ ἠμπορῇ νὰ ἐπιτελῇ μεγάλα ἔργα, θὰ δοξασθῇ ὁ Πατήρ. Τί σημαίνει δέ, «Ἐν τῷ ὀνόματί μου»; Ἐκεῖνο ἀκριβῶς ποὺ οἱ ἀπόστολοι ἔλεγον· «Εἰς τὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ σήκω ὄρθιος καὶ περιπάτει»[11]· διότι ὅλα τὰ θαύματα ποὺ ἔκαμαν, αὐτὸς τὰ ἔκαμνε. «Καὶ ἦτο μαζί των

γὼ ποιήσω», φησίν. Ὁρᾷς αὐθεντίαν; τὰ δι' ἄλλων αὐτὸς ποιεῖ, τὰ δὲ δι' αὐτοῦ οὐκ ἰσχύει, ἀλλ' ὑπὸ τοῦ Πατρὸς ἐνεργούμενος; Καὶ τίς ἂν ταῦτα εἴποι; Τίνος δὲ ἕνεκεν δεύτερον αὐτὸ τίθησι; Βεβαιῶν τὸν ἑαυτοῦ λόγον, καὶ δεικνὺς ὅτι τὰ πρότερα συγκαταβάσεως ἦν. Τὸ δὲ «πρὸς τὸν Πατέρα πορεύομαι», τοῦτό ἐστιν· Οὐκ ἀπολοῦμαι, ἀλλ' ἐπὶ τῆς οἰκείας ἀξίας μένω, καὶ ἐν τοῖς οὐρανοῖς εἰμι'. Πάντα δὲ ταῦτα, παραμυθούμενος αὐτούς, ἔλεγεν· ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτούς, μηδέπω τοὺς περὶ τῆς ἀναστάσεως εἰδότας λόγους, ἐννοεῖν τι σκυθρωπόν, ἑτέροις ἐπαγγέλλεται τοιαῦτα δώσειν αὐτούς, πανταχοῦ θεραπεύων αὐτούς, καὶ δεικνὺς ὅτι μένει διηνεκῶς, καὶ οὐ μένει μόνον, ἀλλὰ καὶ μείζονα ἐπιδείξεται δύναμιν.

3. Ἀκολουθήσωμεν τοίνυν αὐτῷ, καὶ λάβωμεν τὸν σταυρόν· εἰ γὰρ καὶ μὴ πάρεστι διωγμός, ἀλλ' ἑτέρου πάρεστι θανάτου καιρός· «Νεκρώσατε», γάρ, φησί, «τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς». Σβέσωμεν οὖν ἐπιθυμίαν, ἀποκτείνωμεν θυμόν, ἀνέλωμεν φθόνον. Τοῦτό ἐστι θυσία ζῶσα. Οὐκ εἰς τέφραν αὕτη ἡ θυσία τελευτᾷ, οὐδὲ εἰς καπνὸν διαχεῖται, οὐδὲ ξύλων δεῖται, καὶ πυρὸς καὶ μαχαίρας· ἔχει γὰρ πῦρ καὶ μάχαιραν τὸ Πνεῦμα τὸ ἅγιον. Ταύτῃ χρησάμενος τῇ μαχαίρᾳ, περίτεμε τῆς καρδίας τὸ περιττὸν καὶ ἀλλότριον, ἄνοιξον τὸ μεμυκὸς τῆς ἀκοῆς· τὰ γὰρ νοσήματα καὶ αἱ πονηραὶ ἐπιθυμίαι ἐμφράττειν εἰώθασι τοῦ λόγου τὴν εἴσοδον· καὶ γὰρ χρημάτων ἐπιθυμία προτεθεῖσα οὐκ ἀφίησιν ἀκοῦσαι τὸν περὶ ἐλεημοσύνης λόγον, καὶ βασκανία παραγενομένη διατειχίζει τὴν περὶ τῆς ἀγάπης διδασκαλίαν, καὶ ἕτερον νόσημα ἐμπεσὸν πάλιν νωθροτέραν αὐτὴν κατασκευάζει πρὸς πάντα. Ἀνέλωμεν τοίνυν τὰς πονηρὰς ἐπιθυμίας· καὶ γὰρ ἀρκεῖ θελῆσαι, καὶ πάντα ἔσβεσται. Μὴ γὰρ δὴ

12. Πράξ. 11, 21.
13. Κολ. 3, 5.
14. Ρωμ. 12, 1.

ἡ δύναμις τοῦ Κυρίου»[12]. «Ἐγὼ θὰ τὰ κάμω», λέγει. Βλέπεις αὐθεντίαν; τὰ ἐπιτελούμενα ἔργα δι' ἄλλων τὰ ἐπιτελεῖ ὁ ἴδιος, τὰ δὲ ἔργα ποὺ ὁ ἴδιος πράττει δὲν τὰ πράττει ἀπὸ μόνος του, ἀλλὰ μὲ τὴν ἐνέργειαν τοῦ Πατρός του; Καὶ ποῖος θὰ ἠμποροῦσε νὰ τὸ εἰπῇ αὐτό; Διατί δὲ ἀναφέρει αὐτὸ δεύτερον; Διὰ νὰ ἐπιβεβαιώσῃ τὸν ἰδικόν του λόγον καὶ νὰ δείξῃ ὅτι τὰ προηγούμενα ἦσαν λόγια συγκαταβάσεως. Τὸ δὲ «Πρὸς τὸν Πατέρα πορεύομαι», σημαίνει τὸ ἑξῆς· Δὲν θὰ χαθῶ, ἀλλὰ διατηρῶ τὴν ἀξίαν μου καὶ εἶμαι εἰς τοὺς οὐρανούς'. Ὅλα δὲ αὐτὰ τὰ ἔλεγε διὰ νὰ τοὺς παρηγορήσῃ· διότι, ἐπειδὴ φυσικὸν ἦτο αὐτοί, μὴ κατανοήσαντες τοὺς περὶ ἀναστάσεώς του λόγους, νὰ σκέπτωνται δυσάρεστα πράγματα, ὑπόσχεται ὅτι θὰ τοὺς δώσῃ τὴν δύναμιν νὰ ἐπιτελοῦν αὐτὰ εἰς ἄλλους, παρηγορῶν πάντοτε αὐτοὺς καὶ δεικνύων ὅτι μένει αἰωνίως, καὶ ὄχι μόνον μένει, ἀλλὰ καὶ θὰ ἐπιδείξῃ μεγαλυτέραν δύναμιν.

3. Ἂς ἀκολουθήσωμεν λοιπὸν αὐτὸν καὶ ἂς λάβωμεν τὸν σταυρόν· διότι, καὶ ἂν ἀκόμη δὲν εἶναι καιρὸς διωγμοῦ, ἀλλ' εἶναι καιρὸς ἄλλου θανάτου· διότι λέγει· «Νεκρώσατε τὰ μέλη σας τὰ ἐπὶ τῆς γῆς»[13]. Ἂς σβήσωμεν λοιπὸν τὴν ἐπιθυμίαν, ἂς ἐξαφανίσωμεν τὸν θυμόν, ἂς ἐκριζώσωμεν τὸν φθόνον. Αὐτὸ εἶναι θυσία ζῶσα[14]. Αὐτὴ ἡ θυσία δὲν καταλήγει εἰς στάκτην, οὔτε διασκορπίζεται εἰς καπνόν, οὔτε ἔχει ἀνάγκην ἀπὸ ξύλα καὶ φωτιὰν καὶ μαχαίρας· διότι ἔχει ἀντὶ φωτιᾶς καὶ μαχαίρας τὸ ἅγιον Πνεῦμα. Χρησιμοποιῶν αὐτὴν τὴν μάχαιραν, ἀπόκοψε τὸ περιττὸν καὶ ξένον τῆς καρδίας, ἄνοιξε τὴν κλεισμένην ἀκοήν· διότι τὰ νοσήματα καὶ αἱ πονηραὶ ἐπιθυμίαι συνήθως ἐμποδίζουν τὴν εἴσοδον τοῦ λόγου· καθ' ὅσον ἡ ἐπιθυμία τῶν χρημάτων τεθεῖσα ἔμπροσθέν μας δὲν ἀφήνει νὰ ἀκούσωμεν τὸν λόγον περὶ ἐλεημοσύνης, καὶ ἡ ἐμφάνισις τοῦ φθόνου παρεμποδίζει τὴν διδασκαλίαν περὶ τῆς ἀγάπης, καὶ ἄλλο νόσημα ἐμφανισθὲν πάλιν τὴν καθιστᾷ τὴν ψυχὴν νωθροτέραν πρὸς ὅλα. Ἂς ἐξαφανίσωμεν λοιπὸν τὰς πονηρὰς ἐπιθυμίας· καθ' ὅσον ἀρκεῖ καὶ μόνον νὰ τὸ θελή-

τοῦτο ἴδωμεν, ὅτι τυραννικὸν ὁ τῶν χρημάτων ἔρως, ἀλλ' ὅτι τῆς ἡμετέρας ῥᾳθυμίας ἡ τυραννίς.

Πολλοὶ γοῦν οὐδ' ὅτι ἔστιν ἀργύριον εἰδέναι λέγουσιν· οὐ γάρ ἐστι φυσικὴ ἡ ἐπιθυμία αὕτη· αἱ γὰρ φυσικαὶ ἄνωθεν καὶ ἐξ ἀρχῆς κατεβλήθησαν· χρυσὸς δὲ καὶ ἄργυρος καὶ μέχρι πολλοῦ χρόνου οὐδ' ὅ,τι ποτέ ἐστι γνώριμον ἦν. Πόθεν οὖν ηὐξήθη ἡ ἐπιθυμία αὕτη; Ἀπὸ κενοδοξίας καὶ ῥᾳθυμίας ἐσχάτης· τῶν γὰρ ἐπιθυμιῶν αἱ μέν εἰσιν ἀναγκαῖαι, αἱ δὲ φυσικαί, αἱ δὲ οὐδέτερον τούτων. Οἷόν τι λέγω· ὅσαι μὴ πληρούμεναι φθείρουσι τὸ ζῶον, αὗται φυσικαὶ καὶ ἀναγκαῖαι τυγχάνουσιν, (οἷον ἡ τῶν σιτίων καὶ ποτῶν καὶ ἡ τοῦ καθεύδειν ἐπιθυμία), ὁ δὲ τῶν σωμάτων ἔρως, φυσικὸς μέν ἐστιν, οὐκ ἀναγκαῖος δὲ (πολλοὶ γὰρ αὐτοῦ περιγεγόνασι, καὶ οὐκ ἀπώλοντο), ἡ δὲ τῶν χρημάτων ἐπιθυμία οὔτε φυσική, οὔτε ἀναγκαία, ἀλλὰ περιττή· κἂν βουλώμεθα, οὐ δεχόμεθα αὐτῆς τὴν ἀρχήν. Ἀμέλει καὶ ὁ Χριστός, περὶ παρθενίας διαλεγόμενος, φησίν· «Ὁ δυνάμενος χωρεῖν χωρείτω»· περὶ δὲ χρημάτων οὐχ οὕτως ἀλλὰ τί; «Ἐὰν μή τις ἀποτάξηται αὐτοῦ πᾶσι τοῖς ὑπάρχουσιν οὐκ ἔστι μου ἄξιος»· ὃ μὲν γὰρ ἦν εὔκολον παρῄνει, ὃ δὲ ὑπερβαίνει τοὺς πολλούς, ἐπιτρέπει τῇ προαιρέσει. Τί τοίνυν πάσης ἀποστεροῦμεν ἑαυτοὺς ἀπολογίας; Ὁ μὲν γὰρ ὑπὸ τοῦ τυραννικωτέρου πάθους ἁλοὺς οὐ πολλὴν δώσει δίκην, ὁ δὲ ὑπὸ τοῦ ἀσθενοῦς χειρωθεὶς πάσης ἀπεστέρηται ἀπολογίας· τί γὰρ ἐροῦμεν ὅταν λέγῃ, «Πεινῶντα με εἴδετε, καὶ οὐκ ἐθρέψατε»; ποίαν ἕξομεν ἀπολογίαν; τὴν πενίαν προβαλούμεθα πάντως; Ἀλλ' οὐκ ἐσμεν τῆς χήρας ἐκείνης πενέστεροι, ἥτις, δύο ὀβολοὺς βαλοῦσα, πάντας ὑπερη-

15. Ματθ. 19, 12.
16. Λουκᾶ 14, 33.
17. Ματθ. 25, 42.

σωμεν καὶ ὅλα σβήνουν. Ἂς μὴ σκεφθῶμεν βέβαια αὐτό, ὅτι εἶναι τυραννικὸς ὁ ἔρως τῶν χρημάτων, ἀλλ᾽ ὅτι ἡ τυραννία εἶναι ἀποτέλεσμα τῆς ἰδικῆς μας ὀκνηρίας.

Πολλοὶ βέβαια λέγουν ὅτι οὔτε κἄν γνωρίζουν τί εἶναι ἀργύριον˙ διότι ἡ ἐπιθυμία αὐτὴ δὲν εἶναι φυσική˙ καθ᾽ ὅσον αἱ φυσικαὶ ἐπιθυμίαι ἐτοποθετήθησαν εἰς τὸν ἄνθρωπον ἀπὸ τὸν Θεὸν καὶ εὐθὺς ἐξ ἀρχῆς˙ ὁ χρυσὸς ὅμως καὶ ὁ ἄργυρος ἐπὶ πολὺν χρόνον δὲν ἦσαν οὔτε κἄν γνωστὸν τί τέλος πάντων εἶναι. Ἀπὸ ποῦ λοιπὸν ηὐξήθη αὐτὴ ἡ ἐπιθυμία; Ἀπὸ τὴν ματαιοδοξίαν καὶ τὴν μεγίστην ὀκνηρίαν μας˙ διότι ἀπὸ τὰς ἐπιθυμίας ἄλλαι μὲν εἶναι ἀναγκαῖαι, ἄλλαι φυσικαί, ἄλλαι δὲ οὐδέτεροι αὐτῶν. Ἐννοῶ τὸ ἑξῆς˙ ὅσαι ἐπιθυμίαι δὲν ἐκπληρώνονται καὶ καταστρέφουν τὸ ζῶον, αὐταὶ εἶναι φυσικαὶ καὶ ἀναγκαῖαι (ὅπως ἐπὶ παραδείγματι ἡ ἐπιθυμία τῶν τροφίμων, τῶν ποτῶν καὶ τοῦ ὕπνου), ἐνῷ ὁ ἔρως τῶν σωμάτων, εἶναι μὲν φυσικός, ὄχι ὅμως ἀναγκαῖος (διότι πολλοὶ κατενίκησαν αὐτὸν καὶ δὲν ἐχάθησαν), ἡ ἐπιθυμία ὅμως τῶν χρημάτων οὔτε φυσικὴ εἶναι οὔτε ἀναγκαία, ἀλλὰ περιττή˙ καὶ ἂν θέλωμεν δὲν δεχόμεθα τὴν ἐξουσίαν αὐτῆς. Βέβαια καὶ ὁ Χριστός, ὁμιλῶν περὶ παρθενίας, λέγει˙ «Ὅποιος ἠμπορεῖ νὰ βαδίσῃ αὐτὴν τὴν ὁδὸν ἂς τὴν βαδίσῃ»[15]˙ περὶ τῶν χρημάτων ὅμως δὲν ὁμιλεῖ κατὰ τὸν ἴδιον τρόπον, ἀλλὰ τί λέγει; «Ἐὰν δὲν ἀπαρνηθῇ ὅλα τὰ ὑπάρχοντά του δὲν εἶναι ἄξιος νὰ εἶναι μαθητής μου»[16]˙ αὐτὸ δηλαδὴ πού ἦτο εὔκολον ἔδιδε συμβουλὰς δι᾽ αὐτό, ἐνῷ ἐκεῖνο πού εἶναι ἐπάνω ἀπὸ τὰς δυνάμεις τῶν πολλῶν, τὸ ἀφήνει εἰς τὴν διάθεσιν τοῦ καθενός. Διατί λοιπὸν στεροῦμεν τὸν ἑαυτόν μας ἀπὸ κάθε ἀπολογίαν; Διότι ἐκεῖνος μὲν πού θὰ κυριευθῇ ἀπὸ τὸ τυραννικώτερον πάθος, δὲν θὰ ὑποστῇ μεγάλην τιμωρίαν, ἐνῷ ἐκεῖνος πού θὰ αἰχμαλωτισθῇ ἀπὸ τὸ ἀσθενὲς πάθος στερεῖται κάθε ἀπολογίας˙ διότι τί θὰ εἰποῦμεν, ὅταν λέγῃ, «Μὲ εἴδετε πεινασμένον καὶ δὲν μοῦ ἐδώσατε τροφήν»[17]˙ ποίαν ἀπολογίαν θὰ ἔχωμεν; θὰ προβάλωμεν τὴν πτωχείαν; Ἀλλὰ δὲν εἴμεθα πτωχότεροι ἀπὸ ἐκείνην τὴν χήραν, πού, προσφέρουσα δύο ὀβολούς, ὅλους τοὺς ὑπερέ-

κόμισεν· οὐ γὰρ ποσότητα εἰσφορᾶς ἀπαιτεῖ ὁ Θεός, ἀλλὰ μέτρα γνώμης· καὶ τοῦτο δὲ τῆς αὐτοῦ κηδεμονίας.

Θαυμάσαντες τοίνυν αὐτοῦ τὴν φιλανθρωπίαν, τὰ δυνατὰ συνεισενέγκωμεν, ἵνα, καὶ κατὰ τὸν παρόντα βίον καὶ κατὰ τὸν μέλλοντα πολλῆς τυχόντες τῆς τοῦ Θεοῦ φιλανθρωπίας, δυνηθῶμεν ἀπολαῦσαι τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

βαλεν[18]· διότι ὁ Θεὸς δὲν ζητεῖ ποσότητα εἰσφορᾶς, ἀλλὰ μέτρα διαθέσεως· καὶ αὐτὸ εἶναι γνώρισμα τῆς προνοίας του.

Θαυμάσαντες λοιπὸν τὴν φιλανθρωπίαν του, ἂς συνεισφέρωμεν τὸ κατὰ δύναμιν, ὥστε, καὶ κατὰ τὴν παροῦσαν ζωὴν καὶ κατὰ τὴν μέλλουσαν, ἀφοῦ ἐπιτύχωμεν εἰς μεγάλον βαθμὸν τὴν φιλανθρωπίαν τοῦ Θεοῦ, νὰ ἠμπορέσωμεν νὰ ἀπολαύσωμεν τὰ ὑποσχεθέντα εἰς ἡμᾶς ἀγαθά, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΟΕ΄

Ἰω. 14, 15 - 30

«Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσατε· καὶ ἐγὼ ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν εἰς αἰῶνα, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτό, οὐδὲ γινώσκει αὐτό».

1. Ἔργων ἡμῖν δεῖ καὶ πράξεων πανταχοῦ, οὐ τῆς διὰ ῥημάτων ἐπιδείξεως· εἰπεῖν γὰρ καὶ ὑποσχέσθαι παντί που ῥᾴδιον, πρᾶξαι δὲ οὐκ ἔτι ὁμοίως εὔκολον. Τί δήποτε δὲ ταῦτα εἶπον; Ὅτι πολλοὶ νῦν εἰσι, λέγοντες φοβεῖσθαι τὸν Θεὸν καὶ ἀγαπᾶν, τοῖς δὲ ἔργοις τὰ ἐναντία ἐπιδείκνυνται· ὁ δὲ Θεὸς διὰ τῶν ἔργων ἀγάπην ἐπιζητεῖ. Διὰ τοῦτο καὶ πρὸς τοὺς μαθητὰς ἔλεγεν· «Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολάς μου τηρήσατε». Ἐπειδὴ γὰρ εἶπεν ὅτι, «ὃ ἐὰν αἰτήσητε, ἐγὼ ποιήσω», ἵνα μὴ νομίσωσιν ἁπλῶς τὴν αἴτησιν ἰσχύειν, ἐπήγαγεν· «Ἐὰν ἀγαπᾶτέ με»· τότε, φησί, ποιήσω. Ἐπειδὴ δὲ εἰκὸς ἦν αὐτοὺς καὶ ἀκούοντας ὅτι «ἐγὼ πρὸς τὸν Πατέρα πορεύομαι» θορυβεῖσθαι, φησίν· Οὐ τοῦτό ἐστι τὸ ἀγαπᾶν τὸ θορυβεῖσθαι νῦν, ἀλλὰ τὸ πείθεσθαι τοῖς λεγομένοις· ἔδωκα ὑμῖν ἐντολήν, ἵνα ἀγαπᾶτε ἀλλήλους, ἵνα οὕτω ποιῆτε ἀλλήλοις, καθὼς καὶ ἐγὼ ὑμῖν ἐποίησα’. Τοῦτό ἐστιν ἀγάπη, τὸ πείθεσθαι τούτοις, καὶ εἴκειν τῷ ποθουμένῳ.

Καὶ ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον Παράκλητον δώ-

1. Ἰω. 14, 14.
2. Ἰω. 14, 12.

ΟΜΙΛΙΑ ΟΕ΄

Ἰω. 14, 15 - 30

«Ἐὰν μὲ ἀγαπᾶτε, τηρήσατε τὰς ἐντολάς μου· καὶ θὰ παρακαλέσω τὸν Πατέρα μου καὶ θὰ σᾶς στείλῃ ἄλλον Παράκλητον, διὰ νὰ μένῃ μαζί σας διὰ παντός, τὸν Παράκλητον, ποὺ εἶναι τὸ Πνεῦμα τῆς ἀληθείας, τὸ ὁποῖον ὁ κόσμος δὲν ἠμπορεῖ νὰ λάβῃ, διότι δὲν τὸ βλέπει οὔτε τὸ γνωρίζει».

1. Ἔργα καὶ πράξεις χρειαζόμεθα πάντοτε καὶ ὄχι τὴν ἐπίδειξιν μὲ τὰ λόγια· διότι τὸ νὰ εἰπῇ κανεὶς λόγια καὶ νὰ δώσῃ ὑποσχέσεις εἶναι βέβαια εὔκολον εἰς τὸν καθένα, ἀλλ' ὅμως δὲν εἶναι ἐξ ἴσου εὔκολον ἡ ἐπιτέλεσις πράξεων. Διατί βέβαια τὰ εἶπα αὐτά; Διότι ὑπάρχουν πολλοὶ τώρα, λέγοντες ὅτι φοβοῦνται καὶ ἀγαποῦν τὸν Θεόν, ἐνῷ μὲ τὰ ἔργα των ἀποδεικνύουν τὸ ἀντίθετον· ὁ Θεὸς ὅμως ζητεῖ τὴν διὰ τῶν ἔργων ἀγάπην. Διὰ τοῦτο καὶ ἔλεγε πρὸς τοὺς μαθητάς του· «Ἐὰν μὲ ἀγαπᾶτε, τηρήσατε τὰς ἐντολάς μου». Ἐπειδὴ δηλαδὴ εἶπεν, «ἐκεῖνο ποὺ θὰ ζητήσετε, ἐγὼ θὰ τὸ πράξω»[1], διὰ νὰ μὴ νομίσουν ὅτι εἶναι ἀρεστὴ ἁπλῶς καὶ μόνον ἡ αἴτησις, ἐπρόσθεσεν· «Ἐὰν μὲ ἀγαπᾶτε»· τότε, λέγει, θὰ τὸ πράξω. Ἐπειδὴ δὲ φυσικὸν ἦτο ἀκούοντες αὐτοί, «ἐγὼ μεταβαίνω πρὸς τὸν Πατέρα μου»[2], νὰ θορυβοῦνται, λέγει· Ἀὲν εἶναι αὐτὸ τὸ γνώρισμα τῆς ἀγάπης τὸ νὰ θορυβῆσθε τώρα, ἀλλὰ τὸ νὰ πείθεσθε εἰς τὰ λεγόμενά μου· σᾶς ἔδωσα ἐντολὴν νὰ ἀγαπᾶτε ὁ ἕνας τὸν ἄλλον, καὶ νὰ κάμνετε ὁ ἕνας διὰ τὸν ἄλλον, αὐτὸ ἀκριβῶς ποὺ ἔκαμα ἐγὼ δι' ἐσᾶς'. Αὐτὸ εἶναι ἀγάπη, τὸ νὰ πείθεσθε εἰς τὰ λεγόμενά μου καὶ νὰ ὑπακούετε εἰς ἐκεῖνον ποὺ ἀγαπᾶτε.

«Καὶ θὰ παρακαλέσω τὸν Πατέρα, καὶ ἄλλον Παρά-

σει ὑμῖν». Συγκαταβάσεως πάλιν ὁ λόγος. Ἐπειδὴ γὰρ οὐδέπω αὐτὸν ἐγνωκότας εἰκὸς ἦν σφόδρα ἐπιζητεῖν τὴν συνουσίαν ἐκείνην, τὰ ῥήματα, τὴν κατὰ σάρκα αὐτοῦ παρουσίαν, καὶ μηδεμίαν δέχεσθαι παραμυθίαν ἀπόντος, τί φησιν; «Ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν»· τουτέστιν, 'ἄλλον ὡς ἐμέ'. Αἰσχυνθήτωσαν καὶ οἱ τὰ Σαβελλίου νοσοῦντες, καὶ οἱ περὶ τοῦ Πνεύματος οὐ τὴν προσήκουσαν δόξαν ἔχοντες· καὶ γὰρ τὸ θαῦμα τοῦ λόγου τοῦτό ἐστιν, ὅτι τὰς ἐκ διαμέτρου ἑστώσας αἱρέσεις μιᾷ πληγῇ κατήνεγκε· τῷ μὲν γὰρ εἰπεῖν, «Ἄλλον» δείκνυσιν αὐτοῦ τῆς ὑποστάσεως τὴν διαφοράν, τῷ δὲ εἰπεῖν, «Παράκλητον», τῆς οὐσίας τὴν συγγένειαν. Διὰ τί δέ φησιν, «Ἐρωτήσω τὸν Πατέρα». Ὅτι, εἰ εἶπεν, 'Ἐγὼ πέμψω', οὐκ ἂν ὁμοίως ἐπίστευσαν· νῦν δὲ τὸ σπουδαζόμενον τοῦτό ἐστιν, ὥστε πιστευθῆναι αὐτόν· ὕστερον γὰρ αὐτός φησιν αὐτὸν πέμπειν, λέγων· «Λάβετε Πνεῦμα ἅγιον», ἐνταῦθα δέ φησιν ἐρωτᾶν τὸν Πατέρα, ὥστε ἀξιόπιστον ποιῆσαι αὐτοῖς τὸν λόγον. Ἐπειδὴ ὁ Ἰωάννης φησὶ περὶ αὐτοῦ ὅτι «ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν», ὃ δὲ εἶχε, πῶς παρ' ἑτέρου λαμβάνει; καὶ πάλιν· «Αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί».

Τί δὲ τῶν Ἀποστόλων πλεῖον εἶχεν, εἰ τὸν Πατέρα ἀξιοῦν ἔμελλεν ὥστε διδόναι ἑτέροις, ὁπότε ἐκεῖνοι πολλάκις καὶ χωρὶς εὐχῆς φαίνονται τοῦτο ποιοῦντες; πῶς δέ, εἰ κατὰ ἀξίωσιν παρὰ τοῦ Πατρὸς πέμπεται αὐτὸ ἀφ' ἑαυτοῦ ἐφίσταται; πῶς δὲ παρ' ἑτέρου πέμπεται τὸ πανταχοῦ παρόν, καὶ διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται, καὶ λέγον μετὰ αὐθεντίας, «Ἀφορίσατε δή μοι τὸν Παῦλον καὶ τὸν Βαρνάβαν»; Καίτοι τῷ Θεῷ ἐλειτούργουν οἱ λειτουργοῦντες, ἀλλ' ὅμως μετὰ αὐθεντίας εἰς τὸ ἴδιον ἔργον ἐκάλεσεν· οὐχ ὅτι

---

3. Ἰω. 20, 22.
4. Ἰω. 1, 16.
5. Λουκᾶ 3, 16.
6. Πράξ. 13, 2.

κλητον θὰ σᾶς στείλῃ». Πάλιν ὁ λόγος αὐτὸς λέγεται ἀπὸ συγκατάβασιν. Ἐπειδὴ δηλαδὴ φυσικὸν ἦτο, μὴ γνωρίσαντες ἀκόμη αὐτόν, νὰ ἐπιζητοῦν ἐκείνην τὴν συναναστροφήν, τὰ λόγια, τὴν κατὰ σάρκα παρουσίαν του, καὶ νὰ μὴ δέχωνται καμμίαν παρηγορίαν, τί λέγει; «Θὰ παρακαλέσω τὸν Πατέρα καὶ θὰ σᾶς στείλῃ ἄλλον Παράκλητον»˙ δηλαδή, 'ἄλλον ὡσὰν ἐμένα'. Ἂς νοιώσουν ἐντροπὴν οἱ διδάσκοντες τὰς νοσηρὰς δοξασίας τοῦ Σαβελλίου καὶ ἐκεῖνοι ποὺ δὲν ἔχουν τὴν πρέπουσαν γνώμην περὶ τοῦ ἁγίου Πνεύματος˙ καθ' ὅσον τὸ ἀξιοθαύμαστον αὐτοῦ τοῦ λόγου εἶναι αὐτό, ὅτι δηλαδὴ μὲ ἕνα πλῆγμα κατέβαλε τὰς ἐκ διαμέτρου ἀντιθέτους αἱρέσεις˙ διότι, μὲ τὸ νὰ εἰπῇ «ἄλλον», δείχνει τὴν διαφορὰν τῆς ὑποστάσεώς του, ἐνῷ μὲ τὸ νὰ εἰπῇ «Παράκλητον», δείχνει τὴν συγγένειαν τῆς οὐσίας. Διατί δὲ λέγει, «Θὰ παρακαλέσω τὸν Πατέρα»; Διότι, ἐὰν ἔλεγεν, 'Ἐγὼ θὰ τὸν στείλω', δὲν θὰ ἐπίστευον ὁμοίως˙ ἐνῷ τώρα ἡ ἐπιδίωξίς του εἶναι αὐτή, νὰ γίνῃ δηλαδὴ πιστευτός˙ διότι εἰς τὴν συνέχειαν λέγει ὅτι αὐτὸς στέλλει αὐτόν, λέγων˙ «Λάβετε Πνεῦμα ἅγιον»[3], ἐνῷ ἐδῶ λέγει ὅτι παρακαλεῖ τὸν Πατέρα, ὥστε νὰ κάμῃ ἀξιόπιστον εἰς αὐτοὺς τὸν λόγον. Ἐπειδὴ ὁ Ἰωάννης λέγει περὶ αὐτοῦ ὅτι «ὅλοι ἡμεῖς ἐλάβομεν ἀπὸ τὸ πλήρωμα αὐτοῦ»[4], ἐκεῖνο ποὺ εἶχε, πῶς τὸ λαμβάνει ἀπὸ ἄλλον; καὶ πάλιν˙ «Αὐτὸς θὰ σᾶς βαπτίσῃ μὲ Πνεῦμα ἅγιον καὶ πῦρ»[5].

Τί δὲ περισσότερον ἀπὸ τοὺς Ἀποστόλους εἶχεν, ἐὰν ἐπρόκειτο νὰ ζητῇ ἀπὸ τὸν Πατέρα νὰ δώσῃ εἰς ἄλλους τὸ Πνεῦμα, τὴν στιγμὴν ποὺ ἐκεῖνοι πολλὲς φορὲς φαίνονται νὰ κάμνουν αὐτὸ χωρὶς προσευχήν; πῶς δέ, ἐὰν τὸ Πνεῦμα στέλλεται ἀπὸ τὸν Πατέρα κατόπιν παρακλήσεως, αὐτὸ ἀπὸ μόνον του ἐφίπταται εἰς τὸν κόσμον; πῶς δὲ στέλλεται ἀπὸ ἄλλον αὐτὸ ποὺ εἶναι πανταχοῦ παρὸν καὶ χορηγεῖ εἰς τὸν καθένα χωριστὰ τὰς δωρεάς του, ὅπως αὐτὸ θέλει, καὶ λέγει μὲ ἐξουσίαν, «Ξεχωρίσατέ μου ἀμέσως τὸν Παῦλον καὶ τὸν Βαρνάβαν»[6]; Μολονότι βέβαια οἱ λειτουργοὶ ἐκεῖνοι ἦσαν λειτουργοὶ τοῦ Θεοῦ, ἀλλ' ὅμως μὲ ἐξουσίαν ἐκάλεσεν αὐτοὺς εἰς τὸ ἰδικόν του ἔργον˙

ἐπ' ἄλλο ἔργον ἐκάλει, ἀλλ' ἵνα τὴν ἐξουσίαν δείξῃ. Τί οὖν, φησίν, ἐστίν, «Ἐρωτήσω τὸν Πατέρα»; Δεικνὺς τῆς παρουσίας τὸν καιρόν· ὅτε γὰρ αὐτοὺς ἐκάθαρε διὰ τῆς θυσίας, τότε ἐπέπτη τὸ Πνεῦμα τὸ ἅγιον. Καὶ τί δήποτε, ὄντος μετ' αὐτῶν, οὐκ ἐπήρχετο; Ὅτι οὐδέπω ἦν ἡ θυσία ἀνηνεγμένη. Ἐπειδὴ δὲ λοιπὸν καὶ ἡ ἁμαρτία ἐλύθη, καὶ αὐτοὶ πρὸς κινδύνους ἐπέμποντο, καὶ πρὸς τοὺς ἀγῶνας ἀπεδύοντο, ἔδει τὸν ἀλείφοντα ἐλθεῖν. Τίνος δὲ ἕνεκεν οὐκ εὐθέως μετὰ τὴν ἀνάστασιν τὸ Πνεῦμα ἔρχεται; Ἵνα, ἐν πολλῇ αὐτοῦ καταστάντες ἐπιθυμίᾳ, μετὰ πολλῆς αὐτὸ δέξωνται χάριτος· ἕως μὲν γὰρ ἦν μετ' αὐτῶν ὁ Χριστός, οὐκ ἦσαν ἐν θλίψει, ἐπειδὴ δὲ ἀπῆλθε, γυμνωθέντες καὶ ἐν φόβῳ πολλῷ καταστάντες, μετὰ πολλῆς ἔμελλον αὐτὸ τῆς προθυμίας δέχεσθαι.

«Μεθ' ὑμῶν μένει». Τοῦτο δηλοῖ ὅτι οὐδὲ μετὰ τελευτὴν ἀφίσταται. Ἵνα δὲ μή, Παράκλητον ἀκούσαντες, πάλιν ἐνσάρκωσιν ἑτέραν ὑποπτεύσωσι, καὶ ὀφθαλμοῖς προσδοκήσωσιν αὐτὸ θεωρεῖν, διορθούμενός φησιν· «Ὁ ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτό». Οὐ γὰρ οὕτως ὑμῖν συνέσται, ὥσπερ ἐγώ, ἀλλ' ἐν αὐταῖς οἰκήσει ταῖς ὑμετέραις ψυχαῖς· τοῦτο γάρ ἐστι τὸ «ἐν ὑμῖν ἔσται». Πνεῦμα δὲ ἀληθείας αὐτὸ καλεῖ, διὰ τούτου τοὺς τύπους τοὺς ἐν τῇ Παλαιᾷ δηλῶν. «Ἵνα μεθ' ὑμῶν ᾖ». Τί ἐστι· Μεθ' ὑμῶν ᾖ»; Ὅ φησιν αὐτός, ὅτι «ἐγὼ μεθ' ὑμῶν εἰμι». Ἄλλως δὲ καὶ ἕτερόν τι αἰνίττεται, ὅτι 'οὐ πείσεται ταῦτα, ἅπερ ἐγώ, οὔτε ἀποφοιτήσει'. «Ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτό». Τί γάρ, εἰπέ μοι, τῶν ἄλλων θεωρητόν; Οὐδέν. Ἀλλ' ἐνταῦθα τὴν γνῶσίν φησιν. Ἐπήγαγε γοῦν· «Οὐδὲ γινώσκει αὐτό»· οἶδε γὰρ καὶ ἐπὶ τῆς ἀκριβοῦς γνώσεως θεωρίαν λέγειν· ἐπειδὴ γὰρ τῶν αἰσθη-

7. Ματθ. 28, 20.

ὄχι ὅτι τοὺς ἐκάλει εἰς ἄλλο ἔργον, ἀλλὰ διὰ νὰ δείξῃ τὴν ἐξουσίαν του. Τί λοιπὸν σημαίνει, λέγει, «Ἐρωτήσω τὸν Πατέρα»; Τὸ λέγει διὰ νὰ δείξῃ τὸν καιρὸν τῆς παρουσίας εἰς τὸν κόσμον τοῦ Πνεύματος· διότι, ὅταν τοὺς ἐκαθάρισε διὰ τῆς θυσίας, τότε ἐστάλη τὸ Πνεῦμα τὸ ἅγιον. Καὶ διατί τέλος πάντων δὲν ἤρχετο εἰς τὸν κόσμον καθ' ὃν χρόνον ἦτο αὐτὸς μαζὶ μὲ αὐτούς; Διότι δὲν εἶχεν ἀκόμη προσφερθῆ ἡ θυσία. Ἀλλ' ὅταν πλέον καὶ ἡ ἁμαρτία κατελύθη καὶ αὐτοὶ εἰς κινδύνους ἐστέλλοντο καὶ ἀπεδύοντο εἰς ἀγῶνας, ἔπρεπε νὰ ἔλθῃ ἐκεῖνος ποὺ θὰ τοὺς προητοίμαζε καὶ θὰ τοὺς ὡδήγει εἰς τοὺς ἀγῶνας. Διὰ ποῖον δὲ λόγον δὲν ἔρχεται τὸ Πνεῦμα ἀμέσως μετὰ τὴν ἀνάστασιν; Διὰ νὰ τὸ δεχθοῦν μὲ πολλὴν εὐχαρίστησιν, ἀφοῦ πλέον θὰ τὸ ἐπεθύμουν πάρα πολύ· διότι ἐν ὅσῳ ἦτο μαζί των ὁ Χριστός, δὲν ἐστενοχωροῦντο, ὅταν ὅμως ἔφυγεν ἀπὸ κοντά των, ἀπομείναντες μόνοι καὶ κυριευθέντες ἀπὸ πολὺν φόβον, ἐπρόκειτο νὰ δεχθοῦν τὸ Πνεῦμα μὲ πολλὴν προθυμίαν.

«Διὰ νὰ μένῃ μαζί σας». Αὐτὸ δείχνει ὅτι οὔτε μετὰ τὸν θάνατον ἀπομακρύνεται. Διὰ νὰ μὴ ὑποπτευθοῦν δὲ πάλιν ἄλλην ἐνσάρκωσιν, ἀκούσαντες περὶ τοῦ παρακλήτου, καὶ περιμένουν νὰ τὸν ἰδοῦν μὲ τοὺς ὀφθαλμούς, διορθώνων αὐτὴν τὴν ὑποψίαν λέγει· «ὁ κόσμος δὲν ἠμπορεῖ νὰ τὸ λάβῃ, διότι δὲν τὸ βλέπει». Δὲν θὰ σᾶς συναναστραφῇ ἔτσι, ὅπως ἀκριβῶς ἐγώ, ἀλλὰ θὰ κατοικήσῃ μέσα εἰς τὰς ψυχάς σας· διότι αὐτὸ σημαίνει τὸ «ἐν ὑμῖν ἔσται». Ὀνομάζει δὲ αὐτὸ Πνεῦμα ἀληθείας, δηλώνων μὲ αὐτὸ τὰς προτυπώσεις τῆς Παλαιᾶς Διαθήκης. «Ἵνα μεθ' ὑμῶν ᾖ». Τί σημαίνει, «Μεθ' ὑμῶν»; Ἐκεῖνο ποὺ ὁ ἴδιος λέγει, ὅτι «ἐγὼ εἶμαι μαζί σας»[7]. Ἄλλως τε δὲ ὑπαινίσσεται καὶ κάτι ἄλλο, ὅτι 'Δὲν θὰ πάθῃ αὐτὰ ποὺ θὰ πάθω ἐγώ, οὔτε θὰ φύγῃ ἀπὸ κοντά σας'. «Τὸ ὁποῖο ὁ κόσμος δὲν ἠμπορεῖ νὰ λάβῃ, διότι δὲν τὸ βλέπει». Εἰπέ μου λοιπόν· Τί ἀπὸ τὰ ἄλλα εἶναι ὁρατόν; Κανέν. Ἀλλ' ἐδῶ ἐννοεῖ τὴν γνῶσιν. Ἐπρόσθεσε λοιπόν· «Οὔτε τὸ γνωρίζει»· διότι συνηθίζει καὶ τὴν ἀκριβῆ γνῶσιν νὰ τὴν ὀνομάζῃ θεωρίαν· διότι,

σεων τρανοτέρα ἐστὶν ἡ ὄψις, διὰ ταύτης ἀεὶ τὴν ἀκριβῆ παρίστησι γνῶσιν. Κόσμον δὲ ἐνταῦθα τοὺς πονηρούς φησι, καὶ ταύτῃ παραμυθούμενος αὐτοὺς τοῦ δοῦναι αὐτοῖς δῶρον ἐξαίρετον.

Ὅρα πόσοις ἐπῆρε τὸν περὶ αὐτοῦ λόγον. Εἶπεν ὅτι ʻἄλλος ὥς ἐγώ ἐστιν᾽· εἶπεν ὅτι ʻοὐκ ἀφίησιν ὑμᾶς᾽· εἶπεν ὅτι ʻπρὸς ὑμᾶς μόνους ἔρχεται, ὥσπερ οὖν καὶ ἐγώ᾽· εἶπεν ὅτι ʻἐν ὑμῖν μένει᾽· ἀλλ᾽ οὐδὲ οὕτω τὴν ἀθυμίαν αὐτῶν ἐξέβαλεν. Αὐτὸν γὰρ ἐζήτουν ἔτι, καὶ τὴν συνήθειαν τὴν αὐτοῦ, τοῦτο γοῦν θεραπεύων, φησίν· «Οὐδὲ ἐγὼ ἀφήσω ὑμᾶς ὀρφανούς· ἔρχομαι πρὸς ὑμᾶς». ʻΜὴ δείσητε, φησίν, οὐ διὰ τοῦτο εἶπον ἄλλον Παράκλητον πέμπειν, ὡς αὐτὸς ὑμῶν εἰς τέλος ἀπανιστάμενος· οὐ διὰ τοῦτο εἶπον ὅτι «παρ᾽ ὑμῖν μένει», ὡς οὐκ ἔτι ὀψόμενος ὑμᾶς· καὶ γὰρ καὶ αὐτὸς ἔρχομαι πρὸς ὑμᾶς᾽. «Οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς». Ἐπειδὴ γὰρ ἀρχόμενος ἔλεγε, «Τεκνία», διὰ τοῦτο καὶ ἐνταῦθά φησιν· «Οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς».

2. *Παρὰ μὲν οὖν τὴν ἀρχὴν ἔλεγεν ὅτι «ἥξετε, ὅπου ἐγὼ ὑπάγω», καὶ ὅτι «ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου μοναὶ πολλαί εἰσιν», ἐνταῦθα δέ, ἐπειδὴ μακρὸς ὁ χρόνος ἐκεῖνος ἦν, δίδωσι τὸ Πνεῦμα. Ἀλλ᾽ ἐπειδή, μὴ εἰδότες ὅ,τι ποτὲ ἦν τὸ λεγόμενον, οὐκ εἶχον ἱκανὴν παράκλησιν, «οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς», λέγει· τοῦτο γὰρ μάλιστα ἐζήτουν. Ἀλλά, ἐπειδὴ τὸ «ἔρχομαι πρὸς ὑμᾶς» δηλοῦντος ἦν παρουσίαν, ἵνα μὴ πάλιν τὴν αὐτὴν ἐπιζητῶσι παρουσίαν, οἵαν καὶ πρότερον, ὅρα πῶς αὐτὸ σαφῶς μὲν οὐκ εἶπεν, ᾐνίξατο δέ· εἰπὼν γάρ, «Ἔτι μικρόν, καὶ ὁ κόσμος οὐ θεωρεῖ με», ἐπήγαγεν· «Ὑμεῖς δέ, θεωρεῖτέ με»· ὡσανεὶ ἔλεγεν· «Ἔρχομαι μὲν πρὸς ὑμᾶς, οὐ μὴν ὁμοίως ὡς πρότερον καθ᾽ ἑκάστην ὑμῖν ἀεὶ συγγινόμενος τὴν ἡμέραν᾽. Καὶ ἵνα μὴ λέγωσι· ʻΠῶς οὖν Ἰουδαίοις εἶπας, «Ἀπ᾽ ἄρτι οὐκ ὄψεσθέ*

8. Ἰω. 13, 33.
9. Ἰω. 13, 3.
10. Ἰω. 13, 4.

ἐπειδὴ ἀπὸ τὰς αἰσθήσεις ἡ ὅρασις εἶναι ἡ σπουδαιοτέρα, μὲ αὐτὴν πάντοτε παριστάνει τὴν ἀκριβῆ γνῶσιν. Κόσμον δὲ ἐδῶ ὀνομάζει τοὺς πονηρούς, καὶ μὲ αὐτὸ παρηγορεῖ αὐτοὺς ὅτι θὰ τοὺς δώσῃ δῶρον ἐξαίρετον.

Πρόσεχε μὲ πόσα στολίζει τὸν λόγον του. Εἶπεν ὅτι 'εἶναι ἄλλος ὅπως ἐγώ'' εἶπεν ὅτι 'δὲν θὰ σᾶς ἐγκαταλείψῃ'' εἶπεν ὅτι 'πρὸς ἐσᾶς μόνους ἔρχεται, ὅπως ἀκριβῶς λοιπὸν καὶ ἐγώ'' εἶπεν ὅτι 'θὰ μένῃ μαζί σας'' ἀλλ' ὅμως οὔτε ἔτσι τοὺς ἀπήλλαξεν ἀπὸ τὴν θλῖψιν. Διότι αὐτὸν ἐζητοῦσαν ἀκόμη καὶ τὴν συναναστροφήν του˙ αὐτὸ λοιπὸν θεραπεύων, λέγει˙ «Οὔτε ἐγὼ θὰ σᾶς ἀφήσω ὀρφανούς˙ ἔρχομαι πρὸς ἐσᾶς». 'Μὴ φοβηθῆτε, λέγει˙ δὲν εἶπα δι' αὐτὸ ὅτι ἄλλον Παράκλητον στέλλω, ὡσὰν ὁ ἴδιος νὰ φεύγω ἀπὸ κοντά σας διὰ πάντα˙ δὲν εἶπα δι' αὐτὸ ὅτι «μένει μαζί σας», ὡσὰν νὰ μὴ σᾶς ἰδῶ πλέον˙ καθ' ὅσον καὶ ὁ ἴδιος ἔρχομαι πρὸς ἐσᾶς'. «Δὲν θὰ σᾶς ἀφήσω ὀρφανούς». Ἐπειδὴ δηλαδὴ εἰς τὴν ἀρχὴν τῆς ὁμιλίας του ἔλεγε, «Τεκνία»[8], διὰ τοῦτο καὶ ἐδῶ λέγει˙ «Δὲν θὰ σᾶς ἀφήσω ὀρφανούς».

2. Εἰς τὴν ἀρχὴν λοιπὸν τῆς ὁμιλίας του ἔλεγεν ὅτι «θὰ ἔλθετε ἐκεῖ ποὺ ἐγὼ πηγαίνω»[9], καὶ ὅτι «Εἰς τὴν οἰκίαν τοῦ Πατρός μου ὑπάρχουν πολλαὶ μοναί»[10], ἐνῷ ἐδῶ, ἐπειδὴ ἐκεῖνος ὁ χρόνος ἦτο μακρός, δίδει τὸ Πνεῦμα. Ἀλλ' ἐπειδή, μὴ γνωρίζοντες τί τέλος πάντων ἐσήμαινε τὸ λεγόμενον, δὲν εἶχον ἀρκετὴν παρηγορίαν, «δὲν θὰ σᾶς ἀφήσω ὀρφανούς», λέγει˙ διότι αὐτὸ πρὸ πάντων ἐζητοῦσαν. Ἀλλά, ἐπειδὴ τὸ «ἔρχομαι πρὸς ἐσᾶς», ἐφανέρωνε σωματικὴν παρουσίαν, διὰ νὰ μὴ ἐπιζητήσουν πάλιν τὴν ἰδίαν παρουσίαν μὲ τὴν προηγουμένην, πρόσεχε πῶς αὐτὸ μὲν δὲν τὸ εἶπε μὲ σαφήνειαν, ἀλλὰ τὸ ὑπηνίχθη˙ διότι, εἰπών, «Ἀκόμη ὀλίγον καὶ ὁ κόσμος δὲν θὰ μὲ βλέπῃ», ἐπρόσθεσε˙ «Σεῖς δὲ μὲ βλέπετε»˙ ὡσὰν δηλαδὴ νὰ τοὺς ἔλεγεν˙ ''Ἔρχομαι μὲν πρὸς ἐσᾶς, ὄχι ὅμως καθ' ὅμοιον τρόπον μὲ τὸν προηγούμενον, συναναστρεφόμενος ἐσᾶς καθημερινῶς'. Καὶ διὰ νὰ μὴ λέγουν, 'Πῶς λοιπὸν εἶπες εἰς τοὺς Ἰουδαίους «Ἀπὸ τώρα σχεδὸν καὶ πέρα δὲν θὰ μὲ

με»; λύει τὴν ἀντίθεσιν, εἰπών, «Πρὸς ὑμᾶς» μόνους· ἐπεὶ καὶ τὸ Πνεῦμα τοιοῦτόν ἐστιν.

«Ὅτι ἐγὼ ζῶ, καὶ ὑμεῖς ζήσεσθε». Οὐ γὰρ δὴ ὁ σταυρὸς διίστησιν ἡμᾶς εἰς τέλος, ἀλλ' ἢ ῥοπὴν μικρὰν ἀποκρύπτει μόνον. Ζωὴν δέ μοι δοκεῖ οὐχὶ τὴν παροῦσαν μόνον, ἀλλὰ καὶ τὴν μέλλουσαν λέγειν. «Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γνώσεσθε ὅτι ἐγὼ ἐν τῷ Πατρί, καὶ ὑμεῖς ἐν ἐμοί, καὶ ἐγὼ ἐν ὑμῖν». Ἐπὶ μὲν οὖν τοῦ Πατρὸς οὐσίας ἐστίν, ἐπὶ δὲ αὐτῶν ὁμονοίας καὶ βοηθείας τῆς παρὰ τοῦ Θεοῦ τὸ εἰρημένον. Καὶ πῶς ἔχει λόγον, εἰπέ μοι; φησί· πῶς μὲν οὖν τὸ ἐναντίον ἔχει λόγον; πολὺ γὰρ τὸ μέσον καὶ σφόδρα ἄπειρον τοῦ Χριστοῦ καὶ τῶν μαθητῶν· εἰ δὲ τὰ αὐτὰ κεῖται ῥήματα, μὴ θαυμάσῃς· οἶδε γὰρ ἡ Γραφὴ πολλάκις τοῖς αὐτοῖς ῥήμασιν, ἐπὶ Θεοῦ καὶ ἀνθρώπων κειμένοις, οὐχ ὁμοίως κεχρῆσθαι· ἐπεὶ καὶ θεοὶ λεγόμεθα, καὶ υἱοὶ Θεοῦ καὶ οὐ τὴν αὐτὴν ἰσχὺν ἔχει τὸ ῥῆμα, ἐφ' ἡμῶν καὶ τοῦ Θεοῦ κείμενον· καὶ εἰκὼν ὁ Υἱὸς λέγεται, καὶ δόξα· καὶ ἡμεῖς· ἀλλὰ πολὺ τὸ μέσον. Καὶ πάλιν· «Ὑμεῖς δὲ Χριστοῦ, Χριστὸς δὲ Θεοῦ»· οὐχ ὁμοίως δὲ Θεοῦ ὁ Χριστός, καὶ ἡμεῖς τοῦ Χριστοῦ. Τί δέ ἐστιν, ὃ λέγει; "Ὅταν ἀναστῶ, φησίν, εἴσεσθε ὅτι οὐκ ἀπέσχισμαι τοῦ Πατρός, ἀλλὰ τὴν αὐτὴν ἔχω δύναμιν, καὶ ὅτι μεθ' ὑμῶν εἰμι διηνεκῶς, τῶν πραγμάτων ἀνακηρυττόντων τὴν περὶ ὑμᾶς βοήθειαν, παρ' ἐμοῦ γινομένην, τῶν ἐχθρῶν κατεσταλμένων, ὑμῶν παρρησιαζομένων, τῶν δεινῶν ἐκ μέσου γινομένων, τοῦ κηρύγματος καθ' ἑκάστην ἀνθοῦντος τὴν ἡμέραν, πάντων εἰκόντων καὶ παραχωρούντων τῷ λόγῳ τῆς εὐσεβείας'.

«Καθὼς ἀπέστειλέ με, κἀγὼ ἀπέστειλα ὑμᾶς». Ὁρᾷς ὅτι οὐδὲ ἐνταῦθα τὴν αὐτὴν ἰσχὺν ἡ λέξις ἔχει; Εἰ γὰρ τοῦτο

11. Ἰω. 16, 10' 16.
12. Α' Κορ. 8, 5.
13. Γαλ. 3, 26.
14. Κολ. 1, 15.
15. Α' Κορ. 11, 7.
16. Α' Κορ. 3, 23.
17. Ἰω. 20, 21.

βλέπετε»[11]; λύει τὴν ἀντίθεσιν, εἰπὼν «Πρὸς ἐσᾶς» μόνους˙ διότι καὶ τὸ Πνεῦμα εἶναι τοῦ αὐτοῦ εἴδους.

«Διότι ζῶ ἐγώ, ἐπειδὴ εἶμαι ἡ ζωή, καὶ σεῖς δι' αὐτὸ θὰ ζήσετε». Δὲν μᾶς ἀποχωρίζει δηλαδὴ ὁ σταυρὸς διὰ πάντα, ἀλλὰ μὲ ἀποκρύπτει μόνον διὰ μίαν μικρὰν στιγμήν. Ζωὴν δὲ νομίζω ὅτι ἐννοεῖ ὄχι μόνον τὴν παροῦσαν, ἀλλὰ καὶ τὴν μέλλουσαν. «Κατὰ τὴν ἡμέραν ἐκείνην θὰ γνωρίσετε ὅτι ἐγὼ εἶμαι εἰς τὸν Πατέρα καὶ σεῖς εἰς ἐμένα καὶ ἐγὼ εἰς ἐσᾶς». Διὰ μὲν τὸν Πατέρα τὰ λόγια αὐτὰ δηλώνουν οὐσίαν, δι' αὐτοὺς δὲ ὁμόνοιαν καὶ βοήθειαν ἐκ μέρους τοῦ Θεοῦ. Καὶ πῶς, λέγει, δικαιολογεῖται αὐτό; πῶς λοιπὸν δικαιολογεῖται ἡ ἀντίθεσις˙ διότι εἶναι μεγάλη καὶ πάρα πολὺ ἄπειρος ἡ ἀπόστασις μεταξὺ τοῦ Χριστοῦ καὶ τῶν μαθητῶν˙ ἐὰν δὲ ἀναφέρωνται τὰ ἴδια λόγια, μὴ θαυμάσῃς˙ διότι συνηθίζει ἡ Γραφὴ πολλὲς φορὲς τὰ ἴδια λόγια, ποὺ ἀναφέρονται διὰ τὸν Θεὸν καὶ τοὺς ἀνθρώπους, νὰ μὴ τὰ χρησιμοποιῇ μὲ τὴν ἰδίαν σημασίαν˙ καθ' ὅσον καὶ Θεοὶ ὀνομαζόμεθα[12], καὶ υἱοὶ τοῦ Θεοῦ[13], καὶ δὲν ἔχουν τὴν ἰδίαν σημασίαν τὰ λόγια αὐτὰ ποὺ ἀναφέρονται εἰς ἡμᾶς καὶ εἰς τὸν Θεόν˙ καὶ εἰκὼν ὁ Υἱὸς ὀνομάζεται[14], καὶ δόξα[15]˙ καθὼς καὶ ἡμεῖς, ἀλλ' εἶναι μεγάλη ἡ ἀπόστασις. Καὶ πάλιν˙ «Σεῖς δὲ ἀνήκετε εἰς τὸν Χριστόν, ὁ Χριστὸς δὲ εἰς τὸν Θεόν»[16]˙ δὲν ἀνήκει ὅμως καθ' ὅμοιον τρόπον ὁ Χριστὸς εἰς τὸν Θεὸν καὶ ἡμεῖς εἰς τὸν Χριστόν. Ποία δὲ εἶναι ἡ σημασία αὐτῶν τῶν λόγων; 'Ὅταν θὰ ἀναστηθῶ', λέγει, 'θὰ γνωρίσετε ὅτι δὲν εἶμαι χωρισμένος ἀπὸ τὸν Πατέρα, ἀλλ' ὅτι ἔχω τὴν ἰδίαν δύναμιν, καὶ ὅτι εἶμαι μαζί σας συνεχῶς καὶ τὰ ἴδια τὰ γεγονότα θὰ διακηρύσσουν τὴν πρὸς ἐσᾶς βοήθειαν, ποὺ θὰ προέρχεται ἀπὸ ἐμένα, ὅταν οἱ ἐχθροὶ θὰ κατανικῶνται, σεῖς θὰ ὁμιλῆτε μὲ παρρησίαν, τὰ δεινὰ θὰ ἐξαφανίζωνται ἀπὸ τὸ μέσον, τὸ κήρυγμα θὰ ἀνθίζῃ καθημερινῶς καὶ ὅλοι θὰ ὑποχωροῦν καὶ θὰ ἀποδέχωνται τὸν λόγον τῆς εὐσεβείας'.

«Ὅπως ἀκριβῶς μὲ ἀπέστειλεν ὁ Πατήρ μου, ἔτσι καὶ ἐγὼ ἀπέστειλα ἐσᾶς»[17]. Βλέπεις ὅτι οὔτε ἐδῶ ἔχει τὴν ἰδίαν σημασίαν ἡ λέξις; Διότι ἐὰν τὴν δεχθῶμεν μὲ τὴν

οὕτως ἐκδεξόμεθα, οὐδὲν ἔσονται διεστηκότες οἱ Ἀπόστολοι τοῦ Χριστοῦ. Διὰ τί δέ φησι, «Τότε γνώσεσθε»; Ὅτι τότε εἶδον αὐτὸν ἀναστάντα καὶ συνόντα αὐτοῖς, τότε τὴν ἀκριβῆ πίστιν ἔμαθον· μεγάλη γὰρ ἡ τοῦ Πνεύματος δύναμις ἦν, ἡ πάντα αὐτοὺς παιδεύουσα. «Ὁ ἔχων μου τὰς ἐντολάς, καὶ τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με»· οὐ γὰρ ἀρκεῖ τὸ ἔχειν μόνον, ἀλλὰ καὶ φυλακῆς ἡμῖν δεῖ ἀκριβοῦς. Διὰ τί δὲ πολλάκις αὐτοῖς τὸ αὐτὸ λέγει; (οἷον· «Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολάς μου τηρήσατε», καὶ «ὁ ἔχων τὰς ἐντολάς μου, καὶ τηρῶν αὐτάς», καὶ «ἐάν τίς μου ἀκούσῃ τὸν λόγον, καὶ τηρήσῃ αὐτόν, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με· ὁ μὴ ἀκούων μου τοὺς λόγους, οὐκ ἀγαπᾷ με»). Οἶμαι αὐτὸν αἰνίττεσθαι τὴν ἀθυμίαν αὐτῶν. Ἐπειδὴ γὰρ πολλὰ περὶ θανάτου αὐτοῖς ἐφιλοσόφησε, λέγων, «Ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν», καὶ «ἐὰν μή τις λάβῃ τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθήσῃ μοι, οὐκ ἔστι μου ἄξιος», μέλλει δὲ καὶ ἕτερα πλείονα λέγειν, ὀνειδίζων αὐτούς, φησί· Νομίζετε ὑμεῖς ἐξ ἀγάπης πάσχειν τὸ λυπεῖσθαι; Τὸ μὴ λυπεῖσθαι μὲν οὖν ἀγάπης ἦν· (ὅτι δὲ τοῦτο δι' ὅλου κατασκευάσαι βούλεται, εἰς αὐτὸ προϊὼν τὸν λόγον ἀνεκεφαλαίωσεν· «εἰ γὰρ ἠγαπᾶτέ με», φησίν, «ἐχάρητε ἄν, ὅτι πρὸς τὸν Πατέρα μου πορεύομαι»· νῦν γὰρ ὑπὸ δειλίας τοῦτο πάσχετε· τὸ δὲ οὕτω διακεῖσθαι πρὸς θάνατον οὐκ ἔστι τῶν ἐμῶν ἐντολῶν μεμνημένους ποιεῖν· ἐχρῆν γὰρ ὑμᾶς σταυροῦσθαι, εἴ γε ὄντως ἠγαπᾶτέ με· καὶ γὰρ ὁ ἐμὸς λόγος παραινεῖ μὴ φοβεῖσθαι ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα. Τοὺς τοιούτους καὶ ὁ Πατὴρ ἀγαπᾷ, καὶ ἐγώ). «Καὶ ἐμφανίσω αὐτοῖς ἐμαυτόν». Εἶτα ὁ Ἰούδας, «καὶ τί», φησίν, «ὅτι ἡμῖν μέλλεις ἐμφανίζειν σεαυτόν;».

3. Ὁρᾷς ἀπὸ δειλίας πεπιλημμένην αὐτῶν τὴν ψυχήν;

---

18. Ἰω. 12, 25.
19. Ματθ. 10, 38.
20. Ματθ. 10, 28.

αὐτὴν σημασίαν, δὲν θὰ διαφέρουν καθόλου οἱ Ἀπόστολοι ἀπὸ τὸν Χριστόν. Διατί δὲ λέγει, «Τότε θὰ γνωρίσετε»; Διότι τότε εἶδον αὐτὸν ἀναστάντα καὶ συναναστρεφόμενον αὐτούς, τότε ἐγνώρισαν τὴν ὀρθὴν πίστιν· διότι ἦτο μεγάλη ἡ δύναμις τοῦ Πνεύματος, ποὺ ὅλα τοὺς τὰ ἐδίδασκεν. «Ἐκεῖνος ποὺ ἔχει εἰς τὸν νοῦν του τὰς ἐντολάς μου καὶ φυλάσσει αὐτάς, ἐκεῖνος εἶναι ποὺ μὲ ἀγαπᾷ»· διότι δὲν ἀρκεῖ μόνον νὰ τὰς ἔχῃ, ἀλλὰ χρειάζεται καὶ ἀκριβὴς φύλαξις αὐτῶν. Διατί δὲ πολλὲς φορὲς λέγει εἰς αὐτοὺς τὸ ἴδιο; (ἐπὶ παραδείγματι· «Ἐὰν μὲ ἀγαπᾶτε, θὰ φυλάξετε τὰς ἐντολάς μου», καὶ «αὐτὸς ποὺ ἔχει τὰς ἐντολάς μου καὶ τὰς φυλάσσει», καὶ «ἐὰν κάποιος ἀκούσῃ τὸν λόγον μου καὶ τηρήσῃ αὐτόν, ἐκεῖνος εἶναι ποὺ μὲ ἀγαπᾷ· ἐκεῖνος ποὺ δὲν τηρεῖ τοὺς λόγους μου δὲν μὲ ἀγαπᾷ». Νομίζω ὅτι ὁ Κύριος ὑπαινίσσεται τὴν λύπην αὐτῶν. Διότι, ἐπειδὴ πολλὰ τοὺς ἀνέφερε περὶ θανάτου, λέγων, «Ἐκεῖνος ποὺ μισεῖ τὴν ψυχὴν εἰς αὐτὸν τὸν κόσμον, θὰ τὴν φυλάξῃ εἰς ζωὴν αἰώνιον»[18], καὶ «ἐὰν κανεὶς δὲν λάβῃ τὸν σταυρὸν καὶ νὰ μὲ ἀκολουθήσῃ, δὲν εἶναι ἄξιος νὰ εἶναι μαθητής μου»[19], πρόκειται δὲ καὶ πολλὰ ἄλλα νὰ τοὺς εἰπῇ, ἐπιτιμῶν αὐτούς, λέγει· Νομίζετε ὅτι ἀπὸ ἀγάπην ὑποφέρετε τὴν λύπην; Τὸ νὰ μὴ λυπῆσθε θὰ ἦτο δεῖγμα τῆς ἀγάπης· (ἐπειδὴ δηλαδὴ θέλει μὲ ὅλα αὐτὸ νὰ ἐπιτύχῃ, προχωρῶν εἰς αὐτὸ ἀνακεφαλαίωσε τὸν λόγον· διότι λέγει· «ἐὰν μὲ ἠγαπᾶτε, θὰ ἔπρεπε νὰ χαίρεσθε, διότι μεταβαίνω πρὸς τὸν Πατέρα μου»)· διότι τώρα τὸ πάσχετε αὐτὸ ἀπὸ δειλίαν· τὸ νὰ ἀντιμετωπίζετε δὲ κατ' αὐτὸν τὸν τρόπον τὸν θάνατον δὲν εἶναι δεῖγμα ἐκείνων ποὺ τὸ κάμνουν αὐτὸ ἐνθυμούμενοι τὰς ἐντολάς μου· καθ' ὅσον ἔπρεπε νὰ σταυρωθῆτε, ἐὰν πράγματι μὲ ἠγαπᾶτε· διότι ὁ ἰδικός μου λόγος συμβουλεύει νὰ μὴ φοβῆσθε ἐκείνους ποὺ θανατώνουν τὸ σῶμα[20]. Αὐτοὺς ἀγαπᾷ καὶ ὁ Πατὴρ καὶ ἐγώ'. «Καὶ θὰ ἐμφανίσω εἰς αὐτοὺς τὸν ἑαυτόν μου». Ἔπειτα λέγει ὁ Ἰούδας· «Καὶ τί εἶναι ἐκεῖνο ποὺ θὰ σὲ κάνῃ νὰ ἐμφανίζεσαι εἰς ἡμᾶς;».

3. Βλέπεις τὴν ψυχήν των ποὺ εἶναι λυπημένη ἀπὸ

συνεχύθη γὰρ καὶ ἐταράχθη καὶ ἐνόμισεν, ὥσπερ τοὺς νεκροὺς ὁρῶμεν ὄναρ, οὕτω καὶ αὐτὸν μέλλειν ὁρᾶσθαι. Ἵν' οὖν μὴ τοῦτο ὑποπτεύσωσιν, ἄκουσον τί φησιν· «Ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα πρὸς αὐτόν, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν»· μονονουχὶ λέγων· «Ὥσπερ ὁ Πατὴρ ἐμφανίζει ἑαυτὸν οὕτω καὶ ἐγώ». Οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ τῷ εἰπεῖν ὅτι «μονὴν παρ' αὐτῷ ποιήσομεν», ἀνεῖλε τὴν ὑποψίαν· ὅπερ ὀνειράτων οὐκ ἔστι. Σὺ δέ μοι θέα τὸν μαθητὴν καὶ θορυβούμενον καὶ οὐ τολμῶντα σαφῶς, εἰπεῖν, ὅπερ εἰπεῖν ἐπεθύμει· οὐ γὰρ εἶπεν· Οὐαὶ ἡμῖν, ὅτι ἀποθνήσκεις, καὶ ὡς οἱ τετελευτηκότες μέλλεις ἡμῖν ἐφίστασθαι· ἀλλ' οὐκ εἶπεν οὕτως, ἀλλὰ «τί ἐστιν, ὅτι ἡμῖν μέλλεις ἐμφανίζειν σεαυτόν, καὶ οὐχὶ τῷ κόσμῳ;». Λέγει οὖν ὅτι Ὑμᾶς ἀποδέχομαι, ὅτι ὑμεῖς τὴν ἐντολήν μου τηρεῖτε. Ἵνα γὰρ μὴ μετὰ ταῦτα ὁρῶντες αὐτὸν φάντασμα νομίσωσι, διὰ τοῦτο ταῦτα προλέγει. Καὶ ἵνα μὴ οὕτως, ὡς εἶπον, νομίσωσιν αὐτοῖς φαίνεσθαι, λέγει καὶ τὴν αἰτίαν· διὰ τὸ τὰς ἐντολάς μου τηρεῖν, λέγει ὅτι καὶ τὸ Πνεῦμα οὕτω μέλλει φαίνεσθαι.

Εἰ δέ, τοσοῦτον αὐτῷ συγγενόμενοι χρόνον, οὔπω φέρουσιν ἐκείνην τὴν οὐσίαν, μᾶλλον δὲ οὐδὲ νοοῦσιν αὐτήν, τί ἂν ἔπαθον, εἰ παρὰ τὴν ἀρχὴν οὕτως αὐτοῖς ἐφάνη; Διὰ τοῦτο καὶ συνεσθίει, ἵνα μὴ φάντασμα τὸ πρᾶγμα νομισθῇ· εἰ γὰρ ἐπὶ τῶν ὑδάτων ἰδόντες τοῦτο ἐνόμισαν, καίτοι τῆς αὐτῆς ὄψεως φαινομένης, καὶ οὐ πρὸ πολλοῦ διαστάντος, τί ἂν ὑπώπτευσαν, εἴ γε εἶδον αὐτὸν εὐθέως ἀναστάντα, ὃν εἶδον κατεχόμενον καὶ ἐσπαργανωμένον; Διὰ τοῦτο συνεχῶς αὐτοῖς λέγει ὅτι φανεῖται, καὶ διὰ τί φανεῖται, καὶ πῶς, ἵνα μὴ φάντασμα νομίσωσιν. «Ὁ μὴ ἀγαπῶν με, τοὺς

δειλίαν; διότι ἔπαθε σύγχυσιν καὶ ἐταράχθη καὶ ἐνόμισεν, ὅπως ἀκριβῶς βλέπομεν τοὺς νεκροὺς εἰς ὄνειρον, ἔτσι καὶ αὐτὸν πρόκειται νὰ τὸν βλέπουν. Διὰ νὰ μὴ ὑποπτευθοῦν λοιπὸν αὐτό, ἄκουσε τί λέγει· «Ἐγὼ καὶ ὁ Πατὴρ θὰ ἔλθωμεν πρὸς αὐτὸν ποὺ μὲ ἀγαπᾷ καὶ θὰ κατοικήσωμεν μονίμως εἰς αὐτόν»· εἶναι ὡσὰν νὰ λέγῃ· ‘Ὅπως ἀκριβῶς ὁ Πατὴρ ἐμφανίζει τὸν ἑαυτόν του, ἔτσι καὶ ἐγώ’. Ὄχι δὲ μόνον μὲ αὐτό, ἀλλὰ καὶ μὲ τὸ νὰ εἰπῇ ὅτι «θὰ κατοικήσωμεν μονίμως εἰς αὐτόν», διέλυσε τὴν ὑποψίαν· αὐτὸ δὲ δὲν εἶναι δεῖγμα ὀνείρων. Σὺ ὅμως πρόσεχε, σὲ παρακαλῶ, τὸν μαθητὴν ποὺ καὶ ταράσσεται καὶ δὲν τολμᾷ καθαρὰ νὰ εἰπῇ ἐκεῖνο ποὺ ἤθελε νὰ εἰπῇ· διότι δὲν εἶπεν· “Ἀλλοίμονόν μας ποὺ πεθαίνεις καὶ πρόκειται νὰ ἐμφανίζεσαι εἰς ἡμᾶς ὅπως ἀκριβῶς οἱ ἀποθανόντες” δὲν εἶπεν αὐτό, ἀλλὰ «καὶ τί εἶναι ἐκεῖνο ποὺ θὰ σὲ κάνῃ νὰ ἐμφανίζεσαι εἰς ἡμᾶς καὶ ὄχι εἰς τὸν κόσμον;». Λέγει λοιπὸν ὅτι ‘ἀποδέχομαι ἐσᾶς, διότι σεῖς τηρεῖτε τὴν ἐντολήν μου’. Διὰ νὰ μὴ νομίσουν λοιπόν, βλέποντες αὐτὸν μετὰ ἀπὸ ὅλα αὐτά, ὅτι εἶναι φάντασμα, διὰ τοῦτο αὐτὰ τὰ προλέγει. Καὶ διὰ νὰ μὴ νομίσουν ὅτι θὰ ἐμφανίζεται εἰς αὐτοὺς ἔτσι, ὅπως εἶπα, λέγει καὶ τὴν αἰτίαν· ἐπειδὴ τηρεῖτε τὰς ἐντολάς μου, λέγει, πρόκειται καὶ τὸ ἅγιον Πνεῦμα νὰ παρουσιασθῇ κατὰ τὸν ἴδιον τρόπον.

Ἐὰν δέ, συναναστραφέντες αὐτὸν ἐπὶ τόσον πολὺν χρόνον, δὲν ὑπομένουν ἀκόμη ἐκείνην τὴν οὐσίαν, μᾶλλον δὲ οὔτε κἂν ἠμποροῦν νὰ ἐννοήσουν αὐτήν, τί θὰ ἦτο δυνατὸν νὰ πάθουν, ἐὰν ἀπὸ τὴν ἀρχὴν ἐφαίνετο κατ' αὐτὸν τὸν τρόπον εἰς αὐτούς; Διὰ τοῦτο καὶ συντρώγει, διὰ νὰ μὴ νομισθῇ τὸ πρᾶγμα φάντασμα· διότι, ἐὰν ἐνόμισαν αὐτὸ ὅταν τὸν εἶδον ἐπάνω εἰς τὰ ὕδατα, ἂν καὶ ἐνεφανίσθη ὑπὸ τὴν ἰδίαν μορφὴν καὶ εἶχε φύγει ἀπὸ κοντά των πρὸ ὀλίγου χρόνου, τί δὲν θὰ ἦτο δυνατὸν νὰ ὑποπτευθοῦν, ἐὰν τὸν ἔβλεπον ἀμέσως ἀναστάντα, αὐτὸν ποὺ τὸν εἶδον κατεχόμενον καὶ σπαργανωμένον; Διὰ τοῦτο συνεχῶς τοὺς λέγει ὅτι θὰ ἐμφανισθῇ καὶ διατί θὰ ἐμφανισθῇ καὶ πῶς, διὰ νὰ μὴ τὸν νομίσουν ὡς φάντασμα. «Ἐκεῖνος

λόγους μου οὐ τηρεῖ. Καὶ ὁ λόγος, ὃν ἠκούσατε, οὐκ ἔστιν ἐμός, ἀλλὰ τοῦ πέμψαντός με». Ὥστε οὐκ ἐμὲ μόνον, ἀλλ' οὐδὲ τὸν Πατέρα ἀγαπᾷ ὁ μὴ τούτων ἀκούων τῶν λόγων· εἰ γὰρ τοῦτο τεκμήριον ἀγάπης, τὸ ἀκούειν τῶν ἐντολῶν, αὗται δὲ τοῦ Πατρός εἰσιν, ὁ ἀκούων οὐχὶ τὸν Υἱὸν μόνον, ἀλλὰ καὶ τὸν Πατέρα ἠγάπησε. Πῶς δὲ σός, καὶ οὐ σός; Τουτέστιν, ὅτι 'οὐδὲν ἔξω τοῦ Πατρὸς φθέγγομαι, οὐδὲ ἴδιόν τι ἄλλο παρὰ τὸ δοκοῦν αὐτῷ'. «Ταῦτα ἐλάλησα ὑμῖν, παρ' ὑμῖν μένων». Ἐπειδὴ ταῦτα ἀσαφῆ ἦν, καὶ τὰ μὲν οὐδὲ συνίεσαν, τὰ δὲ πλείονα καὶ ἀμφέβαλλον, ἵνα μὴ θορυβῶνται πάλιν, μηδὲ λέγωσι, 'Ποίας ἐντολάς; ἀπήλλαξεν αὐτοὺς τῆς ἀγωνίας ἁπάσης, εἰπών· «Ὁ δὲ Παράκλητος, ὃν πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς διδάξει». Τάχα ἀσαφῆ τὰ εἰρημένα νῦν ὑμῖν· ἀλλ' ἐστὶ τούτων σαφὴς διδάσκαλος ἐκεῖνος. Τὸ δὲ «παρ' ὑμῖν μένει» αἰνιττομένου ἐστίν, ὅτι αὐτὸς ἄπεισιν.

Εἶτα, ἵνα μὴ λυπῶνται, φησὶν ὅτι, ἕως ἂν παρ' αὐτοῖς μένη καὶ τὸ Πνεῦμα μὴ ἔρχηται, οὐδὲν μέγα, οὐδὲ ὑψηλὸν δυνήσονται συνιδεῖν. Ταῦτα δὲ λέγει, παρασκευάζων αὐτοὺς γενναίως ἐνεγκεῖν αὐτοῦ τὴν ἀναχώρησιν, ὡς μεγάλων αἰτίαν ἐσομένην αὐτοῖς ἀγαθῶν. Συνεχῶς δὲ «Παράκλητον» καλεῖ διὰ τὰς συνεχούσας αὐτοὺς τότε θλίψεις. Ἐπεὶ οὖν καὶ ταῦτα ἀκούοντες ἐταράττοντο, ἐννοοῦντες τὰς ἐπαχθείας, τοὺς πολέμους, τὴν ἀναχώρησιν τὴν αὐτοῦ, ὅρα πῶς αὐτοὺς καταστέλλει πάλιν, λέγων· «Εἰρήνην ἀφίημι ὑμῖν»· μονονουχὶ λέγων· 'Τί βλάπτεσθε ἀπὸ τῆς τοῦ κόσμου ταραχῆς, ἕως ἂν εἰρηνεύητε πρός με; οὐ γὰρ τοιαύτη αὕτη ἡ εἰρήνη· ἡ μὲν γὰρ ἔξωθεν, καὶ ἐπὶ κακῷ γίνεται πολλάκις καὶ ἀνόνητος καὶ τοὺς ἔχοντας οὐδὲν ὠφέλησεν, ἐγὼ δὲ δί-

πού δὲν μὲ ἀγαπᾷ, δὲν τηρεῖ τοὺς λόγους μου. Καὶ ὁ λόγος, πού ἠκούσατε, δὲν εἶναι ἰδικός μου, ἀλλὰ ἐκείνου πού μὲ ἔστειλεν». Ὥστε ὄχι μόνον ἐμένα, ἀλλὰ οὔτε τὸν Πατέρα ἀγαπᾷ ἐκεῖνος πού δὲν ἀκούει αὐτοὺς τοὺς λόγους· διότι, ἐὰν αὐτὸ εἶναι ἀπόδειξις ἀγάπης, τὸ ν' ἀκούῃ δηλαδὴ κανεὶς εἰς τὰς ἐντολάς, αὐταὶ δὲ εἶναι τοῦ Πατρός, αὐτὸς πού τὰς ἀκούει, ἠγάπησεν ὄχι μόνον τὸν Υἱόν, ἀλλὰ καὶ τὸν Πατέρα. Πῶς δὲ εἶναι ἰδικός σου ὁ λόγος καὶ ὄχι ἰδικός σου; Δηλαδὴ 'τίποτε δὲν λέγω πού νὰ μὴ τὸ θέλῃ ὁ Πατήρ, οὔτε τίποτε ἄλλο ἰδικόν μου ἀντίθετον ἀπὸ αὐτὸ πού ἀρέσει εἰς αὐτόν'. «Αὐτὰ σᾶς εἶπα τώρα πού ἀκόμη εἶμαι μαζί σας». Ἐπειδὴ αὐτὰ ἦσαν ἀσαφῆ, καὶ τὰ μὲν οὔτε κἂν ἀντελήφθησαν, τὰ δὲ περισσότερα καὶ ἀμφέβαλλον, διὰ νὰ μὴ θορυβῶνται πάλιν οὔτε νὰ λέγουν, 'ποίας ἐντολάς;' ἀπήλλαξεν αὐτοὺς ἀπὸ ὅλην τὴν ἀγωνίαν, εἰπών· Ὁ δὲ Παράκλητος, τὸν ὁποῖον θὰ στείλῃ ὁ Πατήρ μου ἐν τῷ ὀνόματί μου, ἐκεῖνος θὰ σᾶς διδάξῃ». Ἴσως εἶναι ἀσαφῆ τὰ ὅσα τώρα ἐλέχθησαν εἰς σᾶς· ἀλλ' εἶναι ἐκεῖνος σαφὴς διδάσκαλος αὐτῶν. Τὸ δὲ «παρ' ὑμῖν μένει» ἀποτελεῖ ὑπαινιγμόν, ὅτι αὐτὸς θὰ φύγῃ.

Ἔπειτα, διὰ νὰ μὴ λυπῶνται, λέγει ὅτι, ἐν ὅσῳ θὰ εὑρίσκεται μαζί των καὶ τὸ Πνεῦμα δὲν ἔρχεται, τίποτε τὸ σπουδαῖον, οὔτε τὸ ὑψηλὸν θὰ ἠμπορέσουν νὰ ἰδοῦν. Αὐτὰ δὲ τὰ λέγει διὰ νὰ τοὺς προετοιμάσῃ νὰ ὑπομείνουν μὲ γενναιότητα τὴν ἀναχώρησίν του, πού θ' ἀποβῇ αἰτία δι' αὐτοὺς μεγάλων ἀγαθῶν. Συνεχῶς δὲ ἀναφέρει τὸν Παράκλητον ἐξ αἰτίας τῶν θλίψεων πού τοὺς κατεῖχον. Ἐπειδὴ λοιπὸν ἀκούοντες καὶ αὐτὰ ἐταράσσοντο, σκεπτόμενοι τὰς ἐνοχλήσεις, τοὺς πολέμους, τὴν ἀναχώρησίν του, πρόσεχε πῶς καὶ πάλιν τοὺς καθησυχάζει, λέγων· «Σᾶς ἀφήνω εἰρήνην»· ὡσὰν δηλαδὴ νὰ τοὺς ἔλεγε· 'Τί ἀνησυχεῖτε ἀπὸ τὴν ταραχὴν τοῦ κόσμου, καθ' ὅσον ἔχετε εἰρήνην πρὸς ἐμένα; διότι αὐτὴ ἡ εἰρήνη δὲν εἶναι ὅπως ἡ ἐξωτερικὴ εἰρήνη. Καθ' ὅσον ἡ μὲν ἐξωτερικὴ εἰρήνη συμβαίνει πολλὲς φορὲς καὶ διὰ κακὸν καὶ εἶναι ἀνώφελος, καὶ δὲν ὠφέλησε καθόλου αὐτοὺς πού τὴν ἔχουν, ἐνῷ ἐγὼ

δωμι τοιαύτην ὥστε μετ' ἀλλήλων εἰρηνεύειν, ὅπερ ὑμᾶς ἰσχυροτέρους ποιεῖ. Ἀλλ' ἐπειδὴ πάλιν εἶπεν, «Ἀφίημι», ὅπερ ἦν ἀναχωροῦντος, καὶ ἱκανὸν ἦν αὐτοὺς συγχεῖν, διὰ τοῦτο πάλιν φησὶ «Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία, μηδὲ δειλιάτω». Ὁρᾷς ὅτι τὰ μὲν ὑπὸ φιλοστοργίας, τὰ δὲ ὑπὸ δειλίας ἔπασχον; «Ἠκούσατε ὅτι ἐγὼ εἶπον ὑμῖν, ὅτι ὑπάγω πρὸς τὸν Πατέρα, καὶ ἔρχομαι πρὸς ὑμᾶς. Εἰ ἠγαπᾶτέ με, ἐχάρητε ἂν ὅτι πορεύομαι πρὸς τὸν Πατέρα, ὅτι ὁ Πατὴρ μείζων μού ἐστι». Καὶ ποίαν τοῦτο αὐτοῖς χαρὰν φέρειν ἔμελλε; ποίαν παραμυθίαν;

4. Τί οὖν ἐστι τὸ εἰρημένον; Οὐδέπω ᾔδεσαν περὶ τῆς ἀναστάσεως, οὐδὲ οἵαν ἐχρῆν περὶ αὐτοῦ δόξαν εἶχον (πῶς γάρ, οἱ μηδὲ ὅτι ἀναστήσεται εἰδότες;), τὸν δὲ Πατέρα μέγαν εἶναι ἐνόμιζον. Λέγει οὖν ὅτι, 'εἰ καὶ περὶ ἐμοῦ δεδοίκατε, ὡς οὐκ ἀρκοῦντος ἐμαυτοῦ προστῆναι, οὐδὲ θαρρεῖτε ὅτι μετὰ τὸν σταυρὸν πάλιν ὑμᾶς ὄψομαι, ἀλλά, ἀκούσαντες ὅτι πρὸς τὸν Πατέρα ἀπέρχομαι, ἔδει χαίρειν λοιπὸν ὅτι πρὸς τὸν μείζονα ἄπειμι, καὶ δυνατὸν πάντα λῦσαι τὰ δεινά'. Ὅτι οὕτω σφόδρα θαρρῶ, φησί, τοῖς γινομένοις, ὡς καὶ προειπεῖν· οὕτως οὐ δέδοικα. Τοῦτο γοῦν καὶ μετὰ ταῦτα «εἶπον ὑμῖν πρὶν γενέσθαι, ἵνα ὅταν γένηται, πιστεύσητε ὅτι ἐγώ εἰμι»· ὡσανεὶ ἔλεγε· 'Μὴ ᾔδειτε, εἰ μὴ ἐγὼ εἶπον; οὐκ ἂν δὲ εἶπον, εἰ μὴ ἐθάρρουν. Εἶδες συγκαταβάσεως τὸν λόγον ὄντα; Καὶ γάρ, ὅταν λέγῃ, «Δοκεῖτε ὅτι οὐ δύναμαι παρακαλέσαι τὸν Πατέρα, καὶ παραστήσει μοι δώδεκα λεγεῶνας ἀγγέλων;», πρὸς τὴν ὑπόνοιαν τῶν ἀκουόντων φθέγγεται· οὐδὲ γὰρ ἂν ἐκεῖνο εἴποι τις

21. Ματθ. 26, 53.

σᾶς δίδω τέτοιαν εἰρήνην, ὥστε νὰ εἰρηνεύετε μεταξύ σας, πρᾶγμα ποὺ σᾶς κάμνει ἰσχυροτέρους'. Ἀλλ' ἐπειδὴ πάλιν εἶπε, «Σᾶς ἀφήνω», πρᾶγμα ποὺ ἦτο δεῖγμα ἀναχωροῦντος καὶ ἱκανὸν νὰ τοὺς συγχήσῃ, διὰ τοῦτο πάλιν λέγει· «Ἂς μὴ ταράσσεται ἡ καρδία σας, οὔτε καὶ νὰ κηριεύεται ἀπὸ δειλίαν». Βλέπεις ὅτι ἀνησυχοῦσαν ἀφ' ἑνὸς μὲν ἀπὸ φιλοστοργίαν, ἀφ' ἑτέρου δὲ ἀπὸ δειλίαν; «Ἠκούσατε ὅτι ἐγὼ σᾶς εἶπα, ὅτι πηγαίνω πρὸς τὸν Πατέρα μου καὶ ὅτι ἔρχομαι πρὸς ἐσᾶς. Ἐὰν μὲ ἀγαπούσατε θὰ ἔπρεπε νὰ χαίρεσθε ποὺ μεταβαίνω πρὸς τὸν Πατέρα μου, διότι ὁ Πατήρ μου εἶναι μεγαλύτερος». Καὶ ποίαν χαρὰν ἐπρόκειτο αὐτό νὰ τοὺς φέρῃ, ποίαν παρηγορίαν;

4. Τί σημαίνει λοιπὸν τὸ λεχθέν; Δὲν ἐγνώριζον ἀκόμη περὶ τῆς ἀναστάσεώς του, οὔτε εἶχον περὶ αὐτοῦ τὴν γνώμην ποὺ ἔπρεπε (διότι πῶς θὰ ἠμποροῦσε νὰ συμβῇ αὐτὸ τὴν στιγμὴν ποὺ δὲν ἐγνώριζον οὔτε κἂν ὅτι θὰ ἀναστηθῇ;), ἐνῷ τὸν Πατέρα τὸν ἐθεωροῦσαν μέγαν. Λέγει λοιπὸν ὅτι 'ἂν καὶ φοβεῖσθε δι' ἐμένα, μὲ τὴν σκέψιν ὅτι δὲν ἠμπορῶ νὰ προφυλάξω τὸν ἑαυτόν μου, οὔτε πιστεύετε ὅτι μετὰ τὸν σταυρὸν πάλιν θὰ σᾶς ἰδῶ, ἀλλά, ἀκούσαντες ὅτι μεταβαίνω πρὸς τὸν Πατέρα μου, ἔπρεπε νὰ χαίρεσθε πλέον, διότι πηγαίνω πρὸς ἐκεῖνον ποὺ εἶναι μεγαλύτερος καὶ δυνατὸς νὰ ἐξαλείψῃ ὅλα τὰ δεινά'. «Σεῖς ἠκούσατε ὅτι ἐγὼ σᾶς εἶπα». Διατί τὸ ἀνέφερεν αὐτό; Διότι, λέγει, τόσον πολὺ σίγουρος εἶμαι δι' ἐκεῖνα ποὺ θὰ συμβοῦν, ὥστε καὶ νὰ τὰ προείπω· διὰ τοῦτο δὲν φοβοῦμαι. Αὐτὸ λοιπὸν «τὸ εἶπα εἰς ἐσᾶς πρὶν συμβῇ, ὥστε, ὅταν θὰ συμβῇ, νὰ πιστεύσετε ὅτι ἐγὼ εἶμαι»· εἶναι ὡσὰν νὰ τοὺς ἔλεγε· 'Μήπως θὰ τὰ ἐγνωρίζετε ἐὰν ἐγὼ δὲν τὰ ἔλεγον; δὲν θὰ ἦτο δυνατὸν δὲ νὰ τὰ εἰπῶ, ἐὰν δὲν ἤμουν βέβαιος ὅτι θὰ συμβοῦν'. Εἶδες ὅτι ὁ λόγος του εἶναι γεμᾶτος ἀπὸ συγκατάβασιν; Καθ' ὅσον, ὅταν λέγῃ, «Νομίζετε ὅτι δὲν ἠμπορῶ νὰ παρακαλέσω τὸν Πατέρα καὶ νὰ παρατάξῃ πρὸς χάριν μου δώδεκα λεγεῶνας ἀγγέλων;»[21], ὁμιλεῖ ἀνάλογα μὲ τὴν πνευματικὴν ὡριμότητα τῶν ἀκροατῶν· διότι οὔτε ἐκεῖνο θὰ ἠμποροῦσε νὰ εἰπῇ

ἄν, κἂν σφόδρα ᾖ μεμηνώς, ὅτι οὐ ἐδύνατο ἑαυτῷ βοηθῆσαι, ἀλλ' ἀγγέλων ἐδεῖτο, ἀλλά, ἐπειδὴ περὶ αὐτοῦ ὡς ἀνθρώπου δόξαν εἶχον, διὰ τοῦτό φησι· «Δώδεκα λεγεῶνας ἀγγέλων»· καίτοι γε ἁπλῶς αὐτοὺς ἠρώτησε, καὶ ἔρριψεν εἰς τὰ ὀπίσω.

Εἰ δὲ λέγοι τις μείζονα εἶναι τὸν Πατέρα, καθ' ὃ αἴτιος τοῦ Υἱοῦ, οὐδὲ τοῦτο ἀντεροῦμεν. Ἀλλ' οὐ μὴν τοῦτο ἑτέρας εἶναι τὸν Υἱὸν οὐσίας ποιεῖ. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· «Ἕως μὲν ἂν ἐνταῦθα ὦ, εἰκὸς νομίζειν ὑμᾶς ὅτι κινδυνεύομεν, ἐὰν δὲ ἐκεῖ ἀπέλθω, θαρρεῖτε ὅτι ἐν ἀσφαλείᾳ ἐσμέν· ἐκείνου γὰρ οὐδεὶς περιγενέσθαι δυνήσεται»· ταῦτα δὲ πάντα πρὸς τὴν ἀσθένειαν τῶν μαθητῶν ἐλέγετο· καὶ αὐτὸς μὲν γὰρ θαρρῶ, καὶ οὐ φροντίζω τοῦ θανάτου. Διὰ γὰρ τοῦτο εἶπε· «Ταῦτα εἶπον ὑμῖν πρὶν γενέσθαι». Ἐπειδὴ δέ, φησίν, ὑμεῖς οὐδέπω δύνασθε τὸν περὶ τούτων δέξασθαι λόγον, καὶ ἀπὸ τοῦ Πατρός, ὃν ὀνομάζετε μέγαν εἶναι, εἰσάγω τὴν παράκλησιν. Παραμυθησάμενος τοίνυν αὐτούς, πάλιν λέγει τὰ λυπηρά· «Οὐκ ἔτι λαλήσω μεθ' ὑμῶν». Διὰ τί; «Ἔρχεται γὰρ ὁ τοῦ κόσμου τούτου ἄρχων, καὶ ἐν ἐμοὶ ἔχει οὐδέν». Κόσμου δὲ ἄρχοντα τὸν διάβολόν φησι, καὶ τοὺς πονηροὺς ἀνθρώπους οὕτω καλῶν· οὐ γὰρ οὐρανοῦ ἄρχει καὶ γῆς, ἐπεὶ ἂν ἀνέτρεψε πάντα καὶ κατέβαλε· ἄρχει δὲ τῶν ἑαυτοὺς παραδιδόντων αὐτῷ. Διὰ τοῦτο καὶ ἄρχοντα τοῦ σκότους τοῦ αἰῶνος τούτου καλεῖ, σκότος ἐνταῦθα πάλιν τὰς πονηρὰς πράξεις καλῶν.

Τί οὖν; ὁ διάβολός σε ἀναιρεῖ; Οὐδαμῶς· οὐ γὰρ ἔχει ἐν ἐμοὶ οὐδέν. Πῶς οὖν σε ἀναιροῦσιν; Ἐπειδὴ βούλομαι, καὶ ἵνα γνῷ ὁ κόσμος ὅτι ἀγαπῶ τὸν Πατέρα· οὐ γὰρ ὑπεύθυνος ὢν θανάτου, φησίν, οὐδὲ ὀφείλων αὐτῷ, διὰ δὲ

22. Ἰω. 18, 4-6.
23. Ἐφ. 6, 12.

κάποιος, καὶ ἂν ἀκόμη εἶναι πάρα πολὺ παραλογικός, ὅτι δὲν ἠμποροῦσε νὰ βοηθήσῃ τὸν ἑαυτόν του, ἀλλ' εἶχεν ἀνάγκην ἀπὸ ἀγγέλους, ἐπειδὴ ὅμως τὸν ἐθεωροῦσαν ὡς ἄνθρωπον, διά τοῦτο λέγει· «Δώδεκα λεγεῶνας ἀγγέλων», ἂν καὶ βέβαια ἁπλῆν ἐρώτησιν τοὺς ἔκαμε καὶ τοὺς ἔρριψε πρὸς τὰ ὀπίσω[22].

Ἐὰν ὅμως λέγῃ κάποιος ὅτι εἶναι μεγαλύτερος ὁ Πατήρ, ὡς πρὸς τὸ ὅτι εἶναι αἴτιος τοῦ Υἱοῦ, οὔτε εἰς αὐτὸ θὰ φέρωμεν ἀντίρρησιν. Ἀλλ' ὅμως αὐτὸ δὲν κάμνει τὸν Υἱὸν νὰ εἶναι ἄλλης οὐσίας. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· "Ἐν ὅσῳ εἶμαι ἐδῶ φυσικὸν εἶναι νὰ νομίζετε ὅτι κινδυνεύομεν, ἐὰν ὅμως μεταβῶ ἐκεῖ νὰ εἴσθε ἀπόλυτα βέβαιοι ὅτι εἴμεθα ἀσφαλεῖς· διότι ἐκεῖνον κανεὶς δὲν θὰ ἠμπορέσῃ νὰ ὑπερνικήσῃ" ὅλα δὲ αὐτὰ τὰ ἔλεγεν ἐξ αἰτίας τῆς πνευματικῆς ἀδυναμίας τῶν μαθητῶν· καὶ ὁ ἴδιος δὲ ἔχω θάρρος καὶ δὲν σκέπτομαι τὸν θάνατον. Διὰ τοῦτο λοιπὸν εἶπεν· «Αὐτὰ σᾶς τὰ εἶπα πρὶν συμβοῦν». Ἐπειδὴ ὅμως, λέγει, σεῖς δὲν ἠμπορεῖτε ἀκόμη νὰ δεχθῆτε τὸν λόγον δι' αὐτά, καὶ ἀπὸ τὸν Πατέρα, τὸν ὁποῖον θεωρεῖτε μέγαν, εἰσάγω τὴν παρηγορίαν. Ἀφοῦ λοιπὸν τοὺς παρηγόρησε, πάλιν λέγει τὰ λυπηρά· «Δὲν ἔχω πλέον καιρὸν διὰ νὰ ὁμιλήσω μαζί σας». «Διατί; «Διότι ἔρχεται ὁ ἄρχων αὐτοῦ τοῦ κόσμου, ἀλλ' ἐμένα δὲν ἔχει νὰ μὲ βλάψῃ εἰς τίποτε». Ἄρχοντα δὲ τοῦ κόσμου ὀνομάζει τὸν διάβολον καὶ ἔτσι ὀνομάζει καὶ τοὺς πονηροὺς ἀνθρώπους· διότι δὲν εἶναι ἄρχων τοῦ οὐρανοῦ καὶ τῆς γῆς, καθ' ὅσον θὰ ἀνέτρεπε τὰ πάντα καὶ θὰ τὰ κατέστρεφεν· εἶναι ἄρχων ἐκείνων ποὺ παραδίδουν τὸν ἑαυτόν των εἰς αὐτόν. Διὰ τοῦτο καὶ τὸν ὀνομάζει ἄρχοντα τοῦ σκότους τοῦ αἰῶνος αὐτοῦ[23], σκότος πάλιν ἐδῶ ὀνομάζει τὰς πονηρὰς πράξεις.

Τί λοιπόν; ὁ διάβολος σὲ θανατώνει; Καθόλου· διότι δὲν ἔχει καμμίαν ἐξουσίαν ἐπάνω μου. Πῶς λοιπὸν τότε σὲ θανατώνει; Ἐπειδὴ θέλω καὶ διὰ νὰ γνωρίσῃ ὁ κόσμος ὅτι ἀγαπῶ τὸν Πατέρα· διότι, λέγει, δὲν εἶμαι ὑπόλογος θανάτου, οὔτε ὀφειλέτης αὐτοῦ, ἀλλὰ ὑπομένω τὸν θάνα-

τὴν ἀγάπην τὴν εἰς τὸν Πατέρα ὑπομένω. Τοῦτο δέ φησιν, ἵνα πάλιν αὐτῶν ἀναστήσῃ τὴν ψυχήν, καὶ μάθωσιν ὅτι οὐκ ἄκων, ἀλλ' ἑκὼν ἐπὶ τοῦτο ἔρχεται, καὶ ὅτι καταφρονῶν τοῦ διαβόλου. Οὐ γὰρ ἤρκει τὸ εἰπεῖν ὅτι «μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι», ἀλλὰ συνεχῶς αὐτὸ στρέφει τοῦτο τὸ λυπηρόν, εἰκότως, ἕως ἂν αὐτὸ παρ' αὐτοῖς εὐπαράδεκτον ποιήσῃ, παρυφαίνων αὐτῷ τὰ χρηστά. Διὰ τοῦτο ποτὲ μὲν λέγει, «Ὑπάγω καὶ ἔρχομαι», καὶ ὅτι «ὅπου εἰμὶ ἐγώ, ἵνα καὶ ὑμεῖς ἦτε», καὶ «οὐ δύνασθέ μοι νῦν ἀκολουθῆσαι, ἀκολουθήσετε δὲ ὕστερον», καὶ «πρὸς τὸν Πατέρα πορεύομαι», καὶ «ὁ Πατήρ μείζων μού ἐστι», καὶ «πρὶν γενέσθαι εἴρηκα ὑμῖν», καὶ ὅτι «οὐκ ἀπὸ ἀνάγκης ταῦτα πάσχω, ἀλλὰ δι' ἀγάπην τοῦ Πατρός», ὥστε ἐννοῆσαι αὐτοὺς ὅτι οὐκ ὀλέθριον τὸ πρᾶγμα, οὐδὲ βλάβην ἔχον, εἴ γε ὅ τε σφόδρα αὐτὸν ἀγαπῶν, καὶ ὁ ἀγαπώμενος παρ' αὐτοῦ οὕτω βούλεται. Διὰ δὴ τοῦτο, τὰ χρηστὰ ταῦτα ἀναμιγνύς, συνεχῶς ἔλεγε καὶ τὰ λυπηρά, ἐκγυμνάζων αὐτῶν τὴν διάνοιαν· καὶ γὰρ τὸ «παρ' ὑμῖν μένει», καὶ ὅτι «συμφέρει ὑμῖν» ἡ ἀναχώρησις, παραμυθουμένου ἦν. Διὰ γάρ τοι τοῦτο προλαβὼν μυρία εἶπε περὶ τοῦ Πνεύματος, τὸ «ἐν ὑμῖν ἐστι», καὶ «ὁ κόσμος οὐ δύναται λαβεῖν», καὶ «αὐτὸς ἀναμνήσει πάντα», καὶ «Πνεῦμα ἀληθείας», καὶ «Πνεῦμα ἅγιον», καὶ «Παράκλητον», καὶ ὅτι «συμφέρει ὑμῖν», ἵνα μὴ ἀθυμῶσιν, ὡς οὐδενὸς ὄντος τοῦ προστησομένου καὶ βοηθήσοντος. Συμφέρειν δὲ λέγει, δηλῶν ὅτι πνευματικοὺς αὐτοὺς ἐργάσεται.

5. Τοῦτο γοῦν καὶ ὁρῶμεν γεγενημένον· οἱ γὰρ τρέμοντες καὶ δεδοικότες μετὰ τὸ λαβεῖν τὸ Πνεῦμα εἰς μέσους ἥλλοντο τοὺς κινδύνους, καὶ πρὸς σίδηρον, καὶ πῦρ, καὶ

24. Ἰω. 7, 33.
25. Ἰω. 14, 3.
26. Ἰω. 13, 36.
27. Ἰω. 16, 7.

τον διὰ τὴν ἀγάπην μου πρὸς τὸν Πατέρα. Αὐτὸ δὲ τὸ λέγει διὰ νὰ παρηγορήση τὴν ψυχήν των καὶ διὰ νὰ μάθουν ὅτι ἔρχεται πρὸς τὸ πάθος του ὄχι χωρὶς τὴν θέλησίν του, ἀλλὰ μὲ τὴν θέλησίν του καὶ περιφρονῶν τὸν διάβολον. Διότι δὲν ἦτο ἀρκετὸν τὸ νὰ εἰπῇ «ὀλίγον ἀκόμη χρόνον εἶμαι μαζί σας»[24], ἀλλὰ συνεχῶς αὐτὸ ἐπαναλαμβάνει τὸ δυσάρεστον, καὶ πολὺ εὔλογα, μέχρις ὅτου νὰ τὸ κάνῃ νὰ τὸ παραδεχθοῦν οἱ μαθηταί του, συνενώνων μαζὶ μὲ αὐτὸ καὶ τὰ ἀγαθά. Διὰ τοῦτο, ἄλλοτε μὲν λέγει «Πηγαίνω καὶ ἔρχομαι», καὶ ὅτι, «ὅπου εἶμαι ἐγὼ διὰ νὰ εἶσθε καὶ σεῖς»[25], καὶ «δὲν ἠμπορεῖτε τώρα νὰ μὲ ἀκολουθήσετε, ἀλλὰ θὰ μὲ ἀκολουθήσετε ἀργότερα»[26], καὶ «Πρὸς τὸν Πατέρα μου μεταβαίνω», καὶ «Ὁ Πατὴρ μου εἶναι μεγαλύτερος ἀπὸ μένα», καὶ «Πρὶν συμβοῦν σᾶς τὰ εἶπα», καὶ ὅτι «δὲν τὰ παθαίνω αὐτὰ ἀπὸ ἀνάγκην, ἀλλ' ἐξ αἰτίας τῆς ἀγάπης μου πρὸς τὸν Πατέρα», ὥστε νὰ κατανοήσουν οἱ μαθηταί του, ὅτι τὸ πάθος του δὲν εἶναι ὀλέθριον, οὔτε περιέχει βλάβην, ἐφ' ὅσον βέβαια καὶ αὐτὸς ποὺ ἀγαπᾷ ἐκεῖνον πάρα πολὺ καὶ ὁ ἀγαπώμενος ἀπὸ αὐτὸν αὐτὸ θέλουν. Διὰ τοῦτο λοιπόν, ἀνεμίγνυε συνεχῶς αὐτὰ τὰ εὐχάριστα μὲ τὰ λυπηρά, διὰ νὰ προετοιμάση τὴν διάνοιάν των˙ καθ' ὅσον τὸ «παρ' ὑμῖν μένει» καὶ τὸ «σᾶς συμφέρει»[27] ἡ ἀναχώρησις, ἦτο γνώρισμα παρηγοροῦντος. Διὰ τοῦτο λοιπὸν προλαβαίνει καὶ τοὺς λέγει ἄπειρα περὶ τοῦ ἁγίου Πνεύματος, τὸ «θὰ εἶναι μαζί σας», καὶ «ὁ κόσμος δὲν ἠμπορεῖ νὰ τὸ λάβῃ», καὶ «αὐτὸς θὰ σᾶς ὑπενθυμίσῃ ὅλα», καὶ «Πνεῦμα ἀληθείας», καὶ «Πνεῦμα ἅγιον», καὶ «Παράκλητον» καὶ ὅτι «σᾶς συμφέρει», διὰ νὰ μὴ κυριεύωνται ἀπὸ θλῖψιν, σκεπτόμενοι ὅτι δὲν ὑπάρχει κανεὶς ποὺ νὰ τοὺς προστατεύσῃ καὶ νὰ τοὺς βοηθήσῃ. Λέγει δὲ ὅτι τοὺς συμφέρει ἡ ἀναχώρησίς του, διὰ νὰ δηλώσῃ ὅτι θὰ τοὺς κάνῃ πνευματικούς.

5. Αὐτὸ βέβαια βλέπομεν πραγματοποιημένον˙ διότι αὐτοὶ ποὺ ἔτρεμον καὶ ἐφοβοῦντο, μετὰ τὴν λῆψιν τοῦ ἁγίου Πνεύματος ἐρρίπτοντο μέσα εἰς τοὺς κινδύνους καὶ ἐπεδόθησαν εἰς ἀγῶνας κατὰ τοῦ σιδήρου, τοῦ πυρός, τῶν

θηρία, καὶ πελάγη, καὶ πρὸς πᾶσαν ἀπεδύσαντο τιμωρίαν, καὶ οἱ ἀγράμματοι καὶ ἰδιῶται μετὰ τοσαύτης διελέγοντο παρρησίας, ὡς ἐκπλήττειν τοὺς ἀκροωμένους· ἀπὸ γὰρ πηλίνων σιδηροῦς αὐτοὺς ἐποίησε τὸ Πνεῦμα, καὶ πτηνοὺς εἰργάσατο, καὶ πρὸς οὐδὲν τῶν ἀνθρωπίνων καταπεσεῖν ἀφῆκε· τοιαύτη γὰρ ἡ χάρις ἐκείνη, κἂν ἀθυμίαν εὕρῃ, διαλύει, κἂν ἐπιθυμίαν πονηράν, δαπανᾷ, κἂν δειλίαν, ἐκβάλλει, καὶ οὐκ ἀφίησι λοιπὸν ἄνθρωπον εἶναι τὸν μετασχόντα αὐτοῦ, ἀλλά, ὥσπερ εἰς αὐτὸν μετασπάντα τὸν οὐρανόν, πάντα τὰ ἐκεῖ φαντάζεσθαι παρασκευάζει. Διὰ τοῦτο οὐδείς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλὰ προσεκαρτέρουν ταῖς εὐχαῖς ἐν ἀγαλλιάσει καὶ ἀφελότητι καρδίας· τούτου γὰρ μάλιστα δεῖται τὸ Πνεῦμα τὸ ἅγιον· «ὁ γὰρ καρπὸς τοῦ Πνεύματος χαρά, εἰρήνη, πίστις, πραότης».

Καὶ μὴν καὶ ἀλγοῦσι πολλάκις οἱ πνευματικοί, φησίν, ἀλλ' ἡ λύπη χαρᾶς ἐστιν ἡδίων. Ἐπεὶ καὶ ὁ Κάϊν ἐλυπήθη, ἀλλὰ τὴν τοῦ κόσμου λύπην· καὶ ὁ Παῦλος ἐλυπήθη, ἀλλὰ τὴν κατὰ Θεόν. Πᾶν γάρ, ὅπερ ἂν ᾖ πνευματικόν, κέρδος ἔχει μέγιστον· ὥσπερ καὶ τὸ κοσμικὸν ἅπαν ζημίαν ἐσχάτην. Ἐπισπασώμεθα τοίνυν τὴν ἄμαχον τοῦ Πνεύματος βοήθειαν, τὰς ἐντολὰς τηροῦντες, καὶ οὐδὲν τῶν ἀγγέλων ἐσόμεθα ἐλάττους· οὔτε γὰρ ἐκεῖνοι, ἐπειδὴ ἀσώματοί εἰσι, τοιοῦτοί εἰσιν (εἰ γὰρ τοῦτο ἦν, οὐδεὶς ἂν τῶν ἀσωμάτων ἐγένετο πονηρός), ἀλλ' ἡ προαίρεσις πανταχοῦ πάντων αἰτία. Διὰ τοῦτο καὶ ἐν τοῖς ἀσωμάτοις ἀνθρώπων χείρους καὶ ἀλόγων εὑρέθησαν, καὶ ἐν τοῖς σώματα ἔχουσιν ἀσωμάτων κρείττους. Πάντες γοῦν οἱ δίκαιοι, τὴν γῆν οἰκοῦντες, καὶ σώματα ἔχοντες, κατώρθωσαν ἅπερ κατώρθωσαν· ὡς γὰρ παρεπίδημοι ὄντες καὶ ξένοι τὴν γῆν ᾤκησαν, τὸν δὲ οὐρανὸν ὡς πολῖται.

Μὴ τοίνυν μηδὲ σὺ λέγε, 'Σάρκα περίκειμαι, οὐ δύναμαι περιγενέσθαι, οὐδὲ τῶν ὑπὲρ ἀρετῆς ἱδρώτων λαβέσθαι'.

---

28. Πράξ. 2, 46.
29. Γαλ. 5, 22· 23.

θηρίων, τῶν θαλασσῶν καὶ ἐναντίον πάσης τιμωρίας, καὶ οἱ ἀγράμματοι καὶ ἰδιῶται μὲ τόσην παρρησίαν ὡμιλοῦσαν, ὥστε νὰ ἐκπλήσσουν τοὺς ἀκροατάς των· διότι ἀπὸ πήλινοι ποὺ ἦσαν τοὺς ἔκαμε τὸ Πνεῦμα σιδηρένιους καὶ πτερωτοὺς καὶ δὲν τοὺς ἄφησε νὰ ὑποπέσουν εἰς τίποτε τὸ ἀνθρώπινον· διότι τέτοια εἶναι ἐκείνη ἡ χάρις, καὶ ἂν ἀκόμη εὕρῃ θλῖψιν, τὴν διαλύει, ἂν εὕρῃ πονηρὰν ἐπιθυμίαν, τὴν ἐξαφανίζει, ἐὰν δειλίαν, τὴν ἐκδιώκει, καὶ δὲν ἀφήνει πλέον νὰ εἶναι ἄνθρωπος ἐκεῖνος ποὺ μετέχει αὐτοῦ, ἀλλά, ὡσὰν ἀκριβῶς νὰ μετέβη εἰς τὸν οὐρανόν, τὸν προετοιμάζει νὰ φαντάζεται ὅλα τὰ ἐκεῖ. Διὰ τοῦτο κανεὶς δὲν ἔλεγεν ὅτι εἶναι ἰδικόν του κάτι ἀπὸ τὰ ὑπάρχοντά του, ἀλλὰ ἐπέμενον μὲ καρτερίαν εἰς τὰς προσευχὰς μὲ χαρὰν καὶ ἁπλότητα καρδίας[28]· διότι αὐτὸ πρὸ πάντων θέλει τὸ ἅγιον Πνεῦμα· διότι «ὁ καρπὸς τοῦ Πνεύματος εἶναι χαρά, εἰρήνη, πίστις, πραότης»[29].

Καὶ βέβαια, λέγει, πολλὲς φορὲς θλίβονται οἱ πνευματικοὶ ἄνθρωποι, ἀλλὰ ἡ λύπη εἶναι πιὸ εὐχάριστος ἀπὸ τὴν χαράν. Διότι καὶ ὁ Κάϊν ἐλυπήθη, ἀλλὰ ἡ λύπη του ἦτο κοσμική· καὶ ὁ Παῦλος ἐλυπήθη, ἀλλὰ τὴν κατὰ Θεὸν λύπην. Διότι κάθε τι τὸ πνευματικὸν ἀποφέρει μέγιστον κέρδος· ὅπως πάλιν καὶ κάθε τι τὸ κοσμικὸν τὴν πιὸ χειροτέραν ζημίαν. Ἂς ἀποσπάσωμεν λοιπὸν τὴν ἀκαταμάχητον βοήθειαν τοῦ Πνεύματος, φυλάσσοντες τὰς ἐντολάς, καὶ ὡς πρὸς τίποτε θὰ εἴμεθα κατώτεροι τῶν ἀγγέλων· διότι οὔτε ἐκεῖνοι, ἐπειδὴ εἶναι ἀσώματοι, εἶναι τέτοιοι (διότι ἐὰν συνέβαινεν αὐτό κανεὶς ἀπὸ τὰς ἀσωμάτους δυνάμεις δὲν θὰ ἐγίνετο πονηρός), ἀλλὰ παντοῦ ἡ προαίρεσις εἶναι αἰτία τῶν πάντων. Διὰ τοῦτο καὶ μεταξὺ τῶν ἀσωμάτων εὑρέθησαν χειρότεροι ἀπὸ ἀνθρώπους καὶ ἀλόγους ὑπάρξεις, καὶ μεταξὺ ἐκείνων ποὺ ἔχουν σώματα καλύτεροι καὶ ἀπὸ τοὺς ἀσωμάτους. Ὅλοι λοιπὸν οἱ δίκαιοι κατοικοῦντες εἰς τὴν γῆν καὶ ἔχοντες σώματα, κατώρθωσαν ἐκεῖνα ποὺ κατώρθωσαν· διότι κατώκησαν εἰς τὴν γῆν ὡσὰν νὰ ἦσαν παρεπίδημοι καὶ ξένοι, εἰς δὲ τὸν οὐρανὸν ὡσὰν πολῖται.

Νὰ μὴ λέγῃς λοιπὸν καὶ σύ, 'φέρω σάρκα, δὲν ἠμπορῶ νὰ ὑπερισχύσω οὔτε νὰ καταβάλω τοὺς ὑπὲρ τῆς ἀρετῆς

Μὴ κατηγορήσῃς τοῦ Δημιουργοῦ· εἰ γὰρ τὸ σάρκα φορεῖν ἀδύνατον ποιεῖ τὴν ἀρετήν, οὐχ ἡμῶν τὸ ἔγκλημα· ὅτι δὲ οὐ ποιεῖ ἀδύνατον ἔδειξεν ὁ τῶν ἁγίων χορός. Τὸν γοῦν Παῦλον οὐ ἐκώλυσε τῆς σαρκὸς ἡ φύσις γενέσθαι τοιοῦτον, οἷος ἐγένετο, οὐδὲ Πέτρον λαβεῖν τὰς κλεῖς τῶν οὐρανῶν· καὶ ὁ Ἐνὼχ δέ, σάρκα φορέσας, μετετέθη, καὶ οὐχ εὑρίσκετο· οὕτω καὶ ὁ Ἠλίας ἡρπάγη μετὰ τῆς σαρκός, καὶ ὁ Ἀβραὰμ μετὰ τοῦ Ἰσαὰκ καὶ τοῦ ἐγγόνου, σάρκα ἔχοντες, ἔλαμψαν· καὶ ὁ Ἰωσὴφ μετὰ ταύτης ἐπάλαισε πρὸς τὸ ἀκόλαστον ἐκεῖνο γύναιον. Καὶ τί λέγω σάρκα; Κἂν γὰρ ἅλυσιν τῇ σαρκὶ περιθῇς, οὐδὲν ἐβλάβη· εἰ γὰρ καὶ ἐγὼ δέδεμαι, φησὶν ὁ Παῦλος, «ἀλλ' ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται». Καὶ τί λέγω δεσμὰ καὶ ἅλυσιν; Πρόσθες καὶ δεσμωτήριον καὶ κλεῖθρα, καὶ οὐδὲ οὕτω κώλυμα γίνεται ταῦτα τῇ ἀρετῇ. Οὕτω γοῦν ἐμυσταγώγησεν ὁ Παῦλος· δεσμὸς γὰρ ψυχῆς οὐ σίδηρος, ἀλλὰ δειλία καὶ χρημάτων ἐπιθυμία, καὶ τὰ μυρία πάθη· ταῦτα δεσμεῖ, κἂν λελυμένον ᾖ, τὸ σῶμα. Ἀλλ' ἀπὸ τοῦ σώματος ταῦτα τίκτεται, φησί. Σκῆψις ταῦτα καὶ πρόφασις ψευδής· εἰ γὰρ ἀπὸ τοῦ σώματος ἐτίκτετο, πάντες ἂν αὐτὰ ὑπέμενον· ὥσπερ γὰρ κόπον καὶ ὕπνον καὶ τὸ πεινῆν καὶ διψῆν οὐκ ἔνι διαφυγεῖν, ἐπειδὴ φύσεώς ἐστιν, οὕτω καὶ ταῦτα, εἰ τοιαῦτα ἦν, οὐδένα ἂν ἀφῆκαν ἔξω τῆς αὐτῶν εἶναι τυραννίδος. Εἰ δὲ πολλοὶ διαφεύγουσιν, εὔδηλον ὅτι ῥαθυμούσης ἐστὶ ψυχῆς τὰ τοιαῦτα ἐλαττώματα.

Ταύτην τοίνυν ἐγκόψωμεν, καὶ μὴ κατηγορῶμεν τοῦ σώματος, ἀλλ' ὑποτάξωμεν αὐτὸ τῇ ψυχῇ, ἵνα, εὐήνιον ἔχοντες, τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

30. Ματθ. 16, 13 - 19.
31. Γεν. 5, 24. Σοφ. Σειρὰχ 44, 16.
32. Β' Τιμ. 2, 9.

ἱδρῶτας. Μὴ κατηγορήσῃς τὸν Δημιουργόν˙ διότι, ἐὰν καθιστᾷ ἀδύνατον τὴν ἀρετὴν τὸ ὅτι φοροῦμεν τὴν σάρκα, δὲν εἶναι ἰδική μας ἡ κατηγορία˙ τὸ ὅτι δὲ δὲν τὴν καθιστᾷ ἀδύνατον τὸ ἔδειξεν ὁ χορὸς τῶν ἁγίων. Τὸν Παῦλον δηλαδὴ δὲν τὸν ἠμπόδισε νὰ γίνῃ τέτοιος ποὺ ἔγινεν ἡ φύσις τῆς σαρκός, οὔτε τὸν Πέτρον νὰ λάβῃ τὰ κλειδιὰ τῶν οὐρανῶν[30]˙ καὶ ὁ Ἐνὼχ δέ, ἂν καὶ ἐφόρεσε σάρκα, μετετέθη εἰς τὸν οὐρανὸν καὶ δὲν εὑρίσκετο[31]˙ κατὰ τὸν ἴδιον τρόπον καὶ ὁ Ἠλίας ἡρπάγη μὲ τὴν σάρκα του καὶ ὁ Ἀβραὰμ μαζὶ μὲ τὸν Ἰσαὰκ καὶ τὸν ἔγγονόν του, ἂν καὶ εἶχον σάρκα, διέλαμψαν˙ καὶ ὁ Ἰωσὴφ μὲ αὐτὴν ἐπάλαισεν πρὸς ἐκεῖνο τὸ ἀκόλαστον γύναιον. Καὶ διατί λέγω σάρκα; Διότι, καὶ ἂν ἀκόμη δέσῃς μὲ ἁλυσίδα τὴν σάρκα, ὡς πρὸς τίποτε δὲν ἐβλάβη˙ διότι, καὶ ἂν ἀκόμη ἐγὼ ἔχω δεθῇ, λέγει ὁ Παῦλος, «ἀλλ᾽ ὁ λόγος τοῦ Θεοῦ δὲν δένεται»[32]. Καὶ διατί ὁμιλῶ διὰ δεσμὰ καὶ ἁλυσίδα; Πρόσθεσε καὶ δεσμωτήριον καὶ κλεῖθρα, καὶ οὔτε ἔτσι γίνονται αὐτὰ ἐμπόδιον εἰς τὴν ἀρετήν. Ἔτσι λοιπὸν ὡδήγησεν εἰς τὰ μυστήρια ὁ Παῦλος˙ διότι δεσμὸς τῆς ψυχῆς δὲν εἶναι ὁ σίδηρος, ἀλλὰ ἡ δειλία, ἡ ἐπιθυμία τῶν χρημάτων καὶ τὰ ἄπειρα πάθη˙ αὐτὰ δένουν, καὶ ἂν ἀκόμη εἶναι λυμένον τὸ σῶμα. Ἀλλά, λέγει, αὐτὰ γεννῶνται ἀπὸ τὸ σῶμα. Αὐτὰ εἶναι δικαιολογία καὶ πρόφασις ψευδής˙ καθ᾽ ὅσον, ἐὰν ἐγεννῶντο ἀπὸ τὸ σῶμα, ὅλοι θὰ ὑπέμενον αὐτά˙ διότι, ὅπως ἀκριβῶς τὸν κόπον καὶ τὸν ὕπνον καὶ τὴν πεῖναν καὶ τὴν δίψαν δὲν εἶναι δυνατὸν νὰ διαφύγῃ κανείς, ἐπειδὴ ἐκ φύσεως ὑπάρχουν, ἔτσι καὶ αὐτά, ἐὰν ἦσαν τέτοια, κανένα δὲν θὰ ἦτο δυνατὸν νὰ ἀφήσουν μακρυὰ ἀπὸ τὴν ἐξουσίαν των. Ἐὰν δὲ πολλοὶ διαφεύγουν, εἶναι ὁλοφάνερον ὅτι αὐτὰ τὰ ἐλαττώματα εἶναι ἀποτέλεσμα ὀκνηρᾶς ψυχῆς.

Αὐτὴν λοιπὸν ἂς ἐκριζώσωμεν καὶ ἂς μὴ κατηγοροῦμεν τὸ σῶμα, ἀλλὰ ἂς τὸ ὑποτάξωμεν εἰς τὴν ψυχήν, ὥστε, ἔχοντες αὐτὸ εὐκολοχαλιναγώγητον, νὰ ἐπιτύχωμεν τῶν αἰωνίων ἀγαθῶν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΟΣΤ΄

Ἰω. 14, 31 - 15, 10

«Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν».

1. Δειλὴν καὶ ἄνανδρον τὴν ψυχὴν ἡ ἀμαθία ποιεῖ, ὥσπεροῦν μεγάλην καὶ ὑψηλὴν ἡ τῶν οὐρανίων δογμάτων παίδευσις· οὐδεμιᾶς γὰρ ἀπολαύουσα ἐπιμελείας, δειλή τίς ἐστιν οὐ κατὰ φύσιν ἀλλὰ κατὰ προαίρεσιν· ὅταν γὰρ ἴδω τὸν ἀνδρεῖον ποτὲ μὲν τολμητήν, νῦν δὲ δειλόν, οὐκ ἔτι φύσεως εἶναί φημι τὸ πάθος· τὰ γὰρ τῆς φύσεως ἀμετάθετα. Πάλιν, ὅταν ἴδω τοὺς νῦν δειλοὺς ἀθρόον τολμητὰς γινομένους, τὸ αὐτὸ πάλιν ψηφίζομαι, τῇ προαιρέσει τὸ πᾶν ἀνατιθείς. Ἐπεὶ καὶ οἱ μαθηταὶ σφόδρα ἦσαν δειλοὶ πρὶν ἢ μαθεῖν, ἅπερ ἐχρῆν, καὶ τῆς τοῦ Πνεύματος ἀξιωθῆναι δωρεᾶς, ὕστερον μέντοι λεόντων ἐγένοντο θρασύτεροι. Καὶ Πέτρος, κορασίου οὐκ ἐνεγκὼν ἀπειλήν, κατὰ κεφαλῆς ἐκρέματο καὶ ἐμαστιγοῦτο καί, μυρία κινδυνεύων, οὐκ ἐσίγα, ἀλλά, ὥσπερ ὄναρ πάσχων, ἃ ἔπασχεν, οὕτως ἐπαρρησιάζετο· ἀλλ' οὐ πρὸ τοῦ σταυροῦ. Διὰ τοῦτο ὁ Χριστὸς ἔλεγεν· «Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν».

Τίνος ἕνεκεν; εἰπέ μοι· οὐκ ᾔδει τὴν ὥραν, καθ' ἣν ἔμελλεν ἐπιστήσεσθαι ὁ Ἰούδας; ἀλλ' ἐδεδοίκει μὴ ἐκεῖ ἐλθὼν κατάσχῃ αὐτούς, καί, πρὶν ἢ πληρῶσαι τὴν ἀρίστην διδασκαλίαν, ἐπιστῶσιν οἱ ἐπιβουλεύοντες; Ἄπαγε! πόρρω ταῦτα αὐτοῦ τῆς ἀξίας. Εἰ τοίνυν μὴ ἐδεδοίκει, τί δήποτε ἀπανίστησιν αὐτούς, καὶ μετὰ τὸ πληρῶσαι, τότε

1. Ματθ. 26, 69 ἑ· Μάρκ. 14 66 ἑ· Λουκᾶ 22, 55 ἑ· Ἰω. 18, 17.

ΟΜΙΛΙΑ ΟΣΤ΄

Ἰω. 14, 31 - 15, 10

«Σηκωθῆτε, ἄς φύγωμεν ἀπό ἐδῶ».

1. Δειλήν καί ἄνανδρον τήν κάμνει τήν ψυχήν ἡ ἀμάθεια, ὅπως πάλιν βέβαια μεγάλην καί ὑψηλήν ἡ ἄσκησις διά τῶν οὐρανίων δογμάτων˙ διότι, ἐάν δέν τύχῃ καμμιᾶς φροντίδος, εἶναι δειλή ὄχι κατά φύσιν, ἀλλά κατά προαίρεσιν˙ ὅταν δηλαδή ἰδῶ τόν ἀνδρεῖον, ἄλλοτε μέν τολμηρόν, ἄλλοτε δέ δειλόν, λέγω τότε ὅτι τό πάθος δέν εἶναι ἐκ φύσεως˙ διότι τά τῆς φύσεως εἶναι ἀμετάβλητα. Πάλιν, ὅταν ἰδῶ τούς σήμερον δειλούς ἀμέσως νά γίνωνται τολμηροί, σχηματίζω πάλιν τήν ἰδίαν γνώμην, ἀποδίδων τό πᾶν εἰς τήν προαίρεσιν. Διότι καί οἱ μαθηταί ἦσαν πάρα πολύ δειλοί πρίν μάθουν ἐκεῖνα πού ἔπρεπε καί ἀξιωθοῦν τῆς δωρεᾶς τοῦ ἁγίου Πνεύματος, ὕστερα ὅμως ἔγιναν πιό θαρραλέοι καί ἀπό τά λεοντάρια. Καί ὁ Πέτρος πού δέν ἠμποροῦσε νά ὑπομείνῃ τήν ἀπειλήν κορασίου[1], ἀργότερα ἐκρεμᾶτο μέ τήν κεφαλήν κάτω καί ἐμαστιγώνετο καί, ἄν καί ὑφίστατο μυρίους κινδύνους, δέν ἐσιώπα, ἀλλά, ἐκεῖνα πού ἔπασχε τά ἔπασχεν ὡσάν ἀκριβῶς εἰς ὄνειρον, δεικνύων τόσον πολύ θάρρος˙ δέν συνέβαινεν ὅμως τό ἴδιο πρό τοῦ σταυροῦ. Διά τοῦτο ὁ Χριστός ἔλεγε˙ «Σηκωθῆτε, ἄς φύγωμεν ἀπό ἐδῶ».

Διά ποῖον λόγον; εἰπέ μου˙ δέν ἐγνώριζε τήν ὥραν κατά τήν ὁποίαν ἐπρόκειτο νά ἐμφανισθῇ ὁ Ἰούδας; ἀλλά ἐφοβεῖτο μήπως ἔλθῃ ἐκεῖ καί τούς συλλάβῃ, καί ἔλθουν ἐκεῖνοι πού ἐσκέπτοντο κακά ἐναντίον του πρίν ἀκόμη τούς ἀναπτύξῃ τήν ἀρίστην ἐκείνην διδασκαλίαν; Κάθε ἄλλο! διότι αὐτά εἶναι ἄσχετα μέ τήν ἀξίαν του. Ἐάν λοιπόν δέν ἐφοβεῖτο, διατί τέλος πάντων τούς σηκώνει ἀπό ἐκεῖ καί μετά τήν ἀνάπτυξιν τῆς διδασκαλίας, τότε τούς ὁδηγεῖ εἰς

εἰς τὸν κῆπον ἄγει τὸν τῷ Ἰούδᾳ γνώριμον; Εἰ δὲ καὶ παρεγένετο ὁ Ἰούδας, οὐκ ἠδύνατο αὐτῶν πηρῶσαι τὰς ὄψεις, ὃ καὶ μὴ παρόντος ἐποίησε; τίνος οὖν ἕνεκεν ἀφίσταται; Μικρὸν ἀναπνεῦσαι δίδωσι τοῖς μαθηταῖς· καὶ γὰρ εἰκὸς ἦν αὐτούς, ἅτε ἐν καταδήλῳ χωρίῳ ὄντας, τρέμειν καὶ δεδοικέναι ἀπό τε τοῦ καιροῦ, ἀπό τε τοῦ τόπου· καὶ γὰρ νὺξ ἦν βαθυτάτη, καὶ ἦν μηδὲ προσχεῖν τοῖς λεγομένοις, ἀλλ' ἀεὶ περιστρέφεσθαι καὶ φαντάζεσθαι τοὺς ἐπιστησομένους· καὶ μάλιστα, ὁπότε καὶ ὁ λόγος ὁ τοῦ Διδασκάλου προσδοκᾶν ἐποίει τὰ δεινά· «ἔτι γὰρ μικρόν», φησίν, καὶ οὐκ εἰμὶ μεθ' ὑμῶν, καὶ «ἔρχεται ὁ τοῦ κόσμου τούτου ἄρχων». Ἐπεὶ οὖν ταῦτα καὶ τὰ τοιαῦτα ἀκούοντες ἐθορυβοῦντο, ὡς αὐτίκα μάλα ἁλωσόμενοι, ἄγει εἰς τόπον αὐτοὺς ἕτερον, ἵνα, νομίσαντες ἐν ἀσφαλείᾳ εἶναι, μετὰ ἀδείας λοιπὸν ἀκούωσι· καὶ γὰρ ἔμελλον μεγάλων ἀκούσεσθαι δογμάτων. Διὰ τοῦτό φησιν· «Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν».

Εἶτα ἐπαγαγών φησιν· «Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα». Τί βούλεται διὰ τῆς παραβολῆς αἰνίττεσθαι; Ὅτι τὸν μὴ προσέχοντα τοῖς λεγομένοις ζῆν οὐκ ἔνι, καὶ ὅτι τὰ μέλλοντα σημεῖα ἀπὸ τῆς τοῦ Χριστοῦ γίνεται δυνάμεως. «Ὁ Πατήρ μου ὁ γεωργός ἐστι». Τί οὖν; ἐνεργείας δεῖται ὁ Υἱός; Ἄπαγε! τὸ γὰρ ὑπόδειγμα τοῦτο οὐ τοῦτο δηλοῖ. Ὅρα γοῦν μεθ' ὅσης ἀκριβείας ἐπέρχεται τὴν παραβολήν· οὐ γὰρ τὴν ῥίζαν ἀπολαύειν τῆς ἐπιμελείας τοῦ γεωργοῦ, ἀλλὰ τὰ κλήματά φησιν. Ἡ ῥίζα δὲ δι' οὐδὲν παρείληπται ἐνταῦθα, ἀλλ' ἵνα μάθωσιν ὅτι τῆς αὐτοῦ δυνάμεως χωρὶς οὐδὲν ἐργάζεται δύναται, καὶ ὅτι, οὕτως αὐτοὺς ἡνῶσθαι δεῖ τῇ πίστει, ὡς τὸ κλῆμα τῇ ἀμπέλῳ. «Πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπόν, αἴρει αὐτὸ ὁ Πατήρ». Ἐνταῦθα τὸν βίον

2. Ἰω. 14, 19.
3. Ἰω. 14, 30.

τὸν κῆπον ποὺ ἦτο γνωστὸς εἰς τὸν Ἰούδαν; Ἀλλὰ καὶ ἂν ἀκόμη ἤρχετο ὁ Ἰούδας, δὲν ἠμποροῦσε νὰ τυφλώσῃ τοὺς ὀφθαλμούς των, πρᾶγμα ποὺ ἔκαμε καὶ ὅταν ἐκεῖνος δὲν ἦτο παρών; διὰ ποῖον λοιπὸν λόγον φεύγει ἀπὸ ἐκεῖ; Δίδει ὀλίγον χρόνον διὰ νὰ ἀναπνεύσουν οἱ μαθηταί του˙ καθ' ὅσον φυσικὸν ἦτο αὐτοί, ἐπειδὴ ἦσαν εἰς φανερὸν μέρος, νὰ τρέμουν καὶ νὰ φοβοῦνται καὶ ἀπὸ τὸν καιρὸν καὶ ἀπὸ τὸν τόπον˙ καθ' ὅσον ἦτο νύκτα βαθυτάτη καὶ δὲν ἦτο δυνατὸν νὰ προσέχουν εἰς τὰ λόγια του, ἀλλὰ συνεχῶς νὰ περιστρέφεται ἡ σκέψις των καὶ νὰ φαντάζωνται ἐκείνους ποὺ θὰ ἤρχοντο, καὶ μάλιστα τὴν στιγμὴν ποὺ καὶ ὁ λόγος τοῦ Διδασκάλου τοὺς ἔκαμε νὰ περιμένουν τὰ δεινά˙ διότι λέγει, «ἀκόμη ὀλίγον»[2] καὶ δὲν θὰ εἶμαι μαζί σας πιά, καὶ «ἔρχεται ὁ ἄρχων αὐτοῦ τοῦ κόσμου»[3]. Ἐπειδὴ λοιπὸν ἀκούοντες αὐτὰ καὶ τὰ τέτοιου εἴδους λόγια ἐταράσσοντο, σκεπτόμενοι ὅτι ἐντὸς ὀλίγου θὰ συλληφθοῦν, τοὺς ὁδηγεῖ εἰς ἄλλον τόπον, ὥστε, νομίσαντες ὅτι εὑρίσκονται εἰς ἀσφάλειαν, νὰ ἀκούσουν πλέον τοὺς λόγους του χωρὶς φόβον˙ διότι ἐπρόκειτο νὰ ἀκούσουν μεγάλα δόγματα. Διὰ τοῦτο λέγει˙ «Σηκωθῆτε, ἂς φύγωμεν ἀπὸ ἐδῶ».

Ἔπειτα προσθέτει καὶ λέγει˙ «Ἐγὼ εἶμαι ἡ ἄμπελος, σεῖς δὲ τὰ κλήματα». Τί θέλει νὰ ὑπαινιχθῇ μὲ τὴν παραβολήν; Ὅτι δὲν εἶναι δυνατὸν νὰ ζήσῃ ἐκεῖνος ποὺ δὲν προσέχει τοὺς λόγους του, καὶ ὅτι τὰ μελλοντικὰ θαύματα γίνονται διὰ τῆς δυνάμεως τοῦ Χριστοῦ. «Ὁ Πατήρ μου εἶναι γεωργός». Τί λοιπόν; ἔχει ἀνάγκην δυνάμεως ὁ Υἱός; Μακρυὰ μία τέτοια σκέψις! διότι αὐτὸ τὸ παράδειγμα δὲν φανερώνει αὐτό. Πρόσεχε λοιπὸν μὲ πόσην ἀκρίβειαν διατυπώνει τὴν παραβολήν˙ διότι, λέγει, δὲν δέχεται τὴν φροντίδα τοῦ γεωργοῦ ἡ ρίζα, ἀλλὰ τὰ κλήματα. Ἡ ρίζα δὲ διὰ κανένα ἄλλον λόγον δὲν παραλείπεται ἐδῶ, ἀλλὰ διὰ νὰ μάθουν ὅτι δὲν ἠμποροῦν τίποτε νὰ ἐπιτελέσουν χωρὶς τὴν δύναμίν του, καὶ ὅτι, ἔτσι πρέπει νὰ εἶναι ἡνωμένοι μὲ τὴν πίστιν, ὅπως τὸ κλῆμα μὲ τὴν ἄμπελον. «Κάθε κλῆμα ποὺ ἀνήκει εἰς ἐμένα καὶ δὲν παράγει καρπόν, τὸ ἀποκόπτει ὁ Πατήρ μου». Ἐδῶ ὑπαινίσσεται τὴν ζωὴν τῶν

αἰνίττεται, δεικνὺς ὅτι χωρὶς ἔργων οὐκ ἔστιν εἶναι ἐν αὐτῷ. «Καὶ πᾶν τὸ καρπὸν φέρον καθαίρει αὐτό»· τουτέστι, ʽπολλῆς ἐπιμελείας ἀπολαύειν ποιεῖʼ. Καίτοι ἡ ῥίζα δεῖται ἐπιμελείας πρὸ τῶν κλημάτων, περισκαπτομένη, γυμνουμένη, ἀλλʼ οὐδὲν ἐνταῦθα περὶ ταύτης φησίν, ἀλλὰ τὸ πᾶν περὶ κλημάτων, δεικνὺς ὅτι αὐτὸς μὲν ἑαυτῷ ἀρκεῖ, οἱ δὲ μαθηταὶ δέονται πολλῆς παρὰ τοῦ γεωργοῦ βοηθείας, κἂν σφόδρα ἐνάρετοι ὦσι. Διὰ τοῦτό φησι· «Τὸ καρπὸν φέρον καθαίρει αὐτό», τὸ μὲν γάρ, ἐπειδὴ ἄκαρπόν ἐστιν, οὐδὲ ἐν τῇ ἀμπέλῳ εἶναι δύναται, τὸ δέ, ἐπειδὴ καρπὸν φέρει, γονιμώτερον αὐτὸ ἐργάζεται. Τοῦτο δὲ καὶ πρὸς τὰς θλίψεις αὐτῶν εἰρῆσθαι, τὰς τότε ἐπαγομένας, εἴποι τις ἄν· τὸ γὰρ «καθαίρει αὐτὸ» ʽπερικόπτειʼ ἐστίν, ὅπερ γονιμώτερον ποιεῖ τὸ κλῆμα. Ὅθεν δείκνυται ὅτι οἱ πειρασμοὶ μᾶλλον αὐτοὺς ἰσχυροτέρους ἐργάζονται.

Εἶτα, ἵνα μὴ λέγωσι· ʽΠερὶ τίνων ταῦτα λέγει;ʼ καὶ πάλιν εἰς φροντίδα αὐτοὺς ἐμβάλῃ, φησίν· «Ἤδη ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον ὃν λελάληκα ὑμῖν». Ὁρᾷς πῶς ἑαυτὸν εἰσάγει, ἐπιμελούμενον τῶν κλημάτων; Ἐγὼ γὰρ ὑμᾶς ἐκάθηρα, φησί· (καίτοι γε ἀνωτέρω δείκνυσι τὸν Πατέρα τοῦτο ποιοῦντα, ἀλλʼ οὐδὲν μέσον Πατρὸς καὶ Υἱοῦ)· δεῖ δὲ ὑπάρξαι λοιπὸν τὰ παρʼ ὑμῶν. Εἶτα, ἵνα δείξῃ ὅτι, οὐχὶ τῆς αὐτῶν δεόμενος διακονίας, τοῦτο ἐποίησεν, ἀλλʼ ἵνα προκόπτωσιν, ἐπάγει· «Ὥσπερ τὸ κλῆμα οὐ δύναται ἀφʼ ἑαυτοῦ φέρειν καρπόν, οὕτως οὐδὲ ὁ ἐν ἐμοὶ μὴ μένων». Ἵνα γὰρ μὴ ἀπὸ τῆς δειλίας ἀποσχισθῶσι, χαυνωθεῖσαν αὐτῶν τῷ φόβῳ τὴν ψυχὴν ἐπισφίγγει, καὶ ἑαυτῷ συγκολλᾷ, καὶ χρηστὰς ὑπο-

ἀνθρώπων, δεικνύων ὅτι δὲν εἶναι δυνατὸν κανεὶς νὰ ἀνήκῃ εἰς αὐτὸν χωρὶς ἔργα. «Καὶ κάθε κλῆμα ποὺ κάμνει καρπὸν τὸ καθαρίζει»· δηλαδή, ἐπιδεικνύει μεγάλην φροντίδα δι' αὐτό'. Μολονότι ἡ ρίζα ἔχει ἀνάγκην ἀπὸ φροντίδα πρὶν ἀπὸ τὰ κλήματα, νὰ σκαφθῇ γύρω - γύρω καὶ νὰ ἀνοιχθῇ τὸ χῶμα, ἀλλ' ὅμως τίποτε δὲν λέγει ἐδῶ περὶ αὐτῆς, ἀλλ' ὅλοι οἱ λόγοι του ἀναφέρονται εἰς τὰ κλήματα, δεικνύων, ὅτι αὐτὸς μὲν εἶναι αὐτάρκης, ἐνῷ οἱ μαθηταί του ἔχουν ἀνάγκην πολλῆς βοηθείας ἐκ μέρους τοῦ γεωργοῦ, καὶ ἂν ἀκόμη εἶναι πάρα πολὺ ἐνάρετοι. Διὰ τοῦτο λέγει· «Ἐκεῖνο ποὺ κάμνει καρπὸν τὸ καθαρίζει»· διότι, τὸ μὲν ἕνα ἐπειδὴ εἶναι ἄκαρπον, δὲν ἠμπορεῖ οὔτε εἰς τὴν ἄμπελον νὰ παραμείνῃ, τὸ δὲ ἄλλο, ἐπειδὴ παράγει καρπόν, μὲ τὴν φροντίδα του τὸ κάμνει γονιμώτερον. Αὐτὸ δέ, θὰ ἠμποροῦσε κάποιος νὰ εἰπῇ, ὅτι ἔχει λεχθῇ καὶ ἀναφορικὰ μὲ τὰς θλίψεις ποὺ τότε θὰ ἀκολουθοῦσαν· διότι τὸ «καθαρίζει αὐτὸ» σημαίνει 'περικόπτει', πρᾶγμα ποὺ κάμνει γονιμώτερον τὸ κλῆμα. Ἀπὸ αὐτὸ γίνεται φανερὸν ὅτι οἱ πειρασμοὶ κάμνουν αὐτοὺς ἀκόμη περισσότερον ἰσχυροτέρους.

Ἔπειτα, διὰ νὰ μὴ λέγουν· 'Διὰ ποίους τὰ λέγει αὐτά;' καὶ πάλιν διὰ νὰ τοὺς ἐμβάλῃ εἰς φροντίδα, λέγει· «Ἤδη σεῖς εἶσθε καθαροί, διότι σᾶς ἐκαθάρισεν ὁ λόγος ποὺ σᾶς εἶπα». Βλέπεις πῶς παρουσιάζει τὸν ἑαυτόν του νὰ φροντίζῃ διὰ τὰ κλήματα; Διότι, λέγει, ἐγὼ σᾶς ἐκαθάρισα (ἂν καὶ βέβαια προηγουμένως δείχνει ὅτι αὐτὸ τὸ κάμνει ὁ Πατήρ, ἀλλ' ὅμως δὲν ὑπάρχει καμμία διαφορὰ μεταξὺ Πατρὸς καὶ Υἱοῦ)· χρειάζεται δὲ εἰς τὴν συνέχειαν καὶ ἡ ἐκ μέρους σας προσπάθεια. Ἔπειτα, διὰ νὰ δείξῃ ὅτι αὐτὸ τὸ ἔκαμεν ὄχι ἐπειδὴ ἔχει ἀνάγκην ἀπὸ τὴν ἰδικήν των ὑπηρεσίαν, ἀλλὰ διὰ νὰ προκόπτουν πνευματικά, προσθέτει· «Ὅπως ἀκριβῶς τὸ κλῆμα δὲν ἠμπορεῖ ἀπὸ μόνον του νὰ παράγῃ καρπόν, ἔτσι οὔτε ἐκεῖνος ποὺ δὲν μένει ἑνωμένος μὲ ἐμένα». Διὰ νὰ μὴ ἀποχωρισθοῦν λοιπὸν ἐξ αἰτίας τῆς δειλίας των, ἐνισχύει τὴν ἀτονίσασαν ἀπὸ τὸν φόβον ψυχήν των καὶ τὴν συνενώνει μὲ τὸν ἑαυτόν του καὶ τοὺς

τείνει λοιπὸν ἐλπίδας· ἡ μὲν γὰρ ρίζα μένει, τὸ δὲ αἴρεσθαι καὶ ἀφίεσθαι τῶν κλημάτων ἐστίν.

Εἶτα, ἑκατέρωθεν παρορμήσας, καὶ ἀπὸ τῶν χρηστῶν καὶ ἀπὸ τῶν λυπηρῶν, τὰ παρ' ἡμῶν ἀπαιτεῖ πρῶτα. «Ὁ ἐν ἐμοὶ μένων, κἀγὼ ἐν αὐτῷ». Ὁρᾷς καὶ τὸν Υἱὸν οὐκ ἔλαττον συντελοῦντα τοῦ Πατρὸς πρὸς τὴν τῶν μαθητῶν ἐπιμέλειαν; ὁ μὲν γὰρ Πατὴρ καθαίρει, αὐτὸς δὲ ἐν ἑαυτῷ κατέχει. Τὸ δὲ ἐν τῇ ρίζῃ μένειν, τοῦτο ποιεῖ καρποφορεῖν τὰ κλήματα· τὸ μὲν γὰρ μὴ καθαιρόμενον, μένον δὲ ἐν τῇ ρίζῃ φέρει καρπόν, εἰ καὶ μὴ ὅσον προσῆκε, τὸ δὲ μὴ μένον, οὐδ' ὅλως. Ἀλλ' ὅμως καὶ τὸ καθαίρειν τοῦ Υἱοῦ ἐδείχθη ὄν, καὶ τὸ μένειν ἐν τῇ ρίζῃ τοῦ Πατρός, τοῦ καὶ τὴν ρίζαν γεγεννηκότος.

2. Εἶδες πῶς κοινὰ πάντα, καὶ τὸ καθᾶραι, καὶ τὸ τῆς δυνάμεως τῆς ἀπὸ τῆς ρίζης ἀπολαύειν; Μεγάλη μὲν οὖν ζημία καὶ τὸ μηδὲν δύνασθαι ποιεῖν· πλὴν οὐ μέχρι τούτου ἵστησι τὴν κόλασιν, ἀλλὰ περαιτέρω προάγει τὸν λόγον· «ἐβλήθη» γάρ, φησίν, «ἔξω», (οὐκ ἔτι τῆς γεωργικῆς ἀπολαῦον χειρός), «καὶ ξηραίνεται»· τουτέστιν εἴ τι εἶχε τῆς ρίζης, ἀποτίθεται· εἴ τινα χάριν, γυμνοῦται ταύτης, καὶ ἐρημοῦται τῆς ἐκεῖθεν βοηθείας καὶ ζωῆς. Καὶ τί τὸ τέλος; «Εἰς τὸ πῦρ βάλλεται». Ἀλλ' οὐ τοιοῦτος ὁ μένων παρ' αὐτῷ. Εἶτα δείκνυσιν τί ἐστι τὸ μεῖναι, καί φησιν· «Ἐὰν τὰ ρήματά μου ἐν ὑμῖν μείνῃ». Ὁρᾷς ὅτι καὶ πρὸ τούτου εἰκότως ἔλεγον ὅτι τὴν διὰ τῶν ἔργων ἀπόδειξιν ζητεῖ; Εἰπὼν γὰρ ὅτι «ὃ ἐὰν αἰτήσητε ποιήσω», ἐπήγαγεν· «Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσατε»· καὶ ἐνταῦθα· «Ἐὰν μένητε ἐν ἐμοί, καὶ τὰ ρήματά μου ἐν ὑμῖν μείνῃ, ὃ ἐὰν θελήσητε, αἰτήσεσθε, καὶ γενήσεται ὑμῖν». Ταῦ-

4. Ἰω. 14, 14.
5. Ἰω. 14, 15.

δίδει πλέον χρηστὰς ἐλπίδας· διότι ἡ μὲν ρίζα μένει, ἡ δὲ ἀφαίρεσις καὶ ἡ φροντὶς ἀνήκει εἰς τὰ κλήματα.

Ἔπειτα, ἀφοῦ τοὺς προέτρεψε καὶ μὲ τοὺς δύο τρόπους, καὶ μὲ τὰ εὐχάριστα καὶ μὲ τὰ δυσάρεστα, ζητεῖ πρῶτα ἐκεῖνα ποὺ ἠμποροῦν νὰ γίνουν ἀπὸ ἡμᾶς. «Ἐκεῖνος ποὺ μένει ἑνωμένος μαζί μου, μὲ ἐκεῖνον μένω καὶ ἐγώ». Βλέπεις καὶ τὸν Υἱὸν ποὺ φροντίζει ὄχι ὀλιγώτερον ἀπὸ τὸν Πατέρα διὰ τοὺς μαθητάς του; διότι ὁ μὲν Πατὴρ καθαρίζει ἀπὸ τὰ περιττά, ἐνῷ ὁ Υἱὸς τοὺς κρατεῖ ἑνωμένους μαζί του. Ἡ παραμονὴ εἰς τὴν ρίζαν εἶναι ἐκείνη ποὺ κάμνει τὰ κλήματα νὰ καρποφοροῦν· διότι, τὸ κλῆμα ποὺ δὲν καθαρίζεται, μένει δὲ ἑνωμένον μὲ τὴν ρίζαν, παράγει καρπόν, ἂν καὶ ὄχι ὅσον πρέπει, ἐνῷ ἐκεῖνο ποὺ δὲν μένει δὲν παράγει καθόλου καρπόν. Ἀλλ' ὅμως ἐδείχθη ὅτι καὶ ὁ καθαρισμὸς εἶναι ἔργον τοῦ Υἱοῦ, καὶ ἡ παραμονὴ εἰς τὴν ρίζαν τοῦ Πατρός, ὁ ὁποῖος ἐγέννησε καὶ τὴν ρίζαν.

2. Εἶδες πῶς ὅλα εἶναι κοινά, καὶ ὁ καθαρισμὸς καὶ ἡ ἀπόλαυσις τῆς δυνάμεως ποὺ προέρχεται ἀπὸ τὴν ρίζαν; Βέβαια εἶναι μεγάλη ζημία τὸ νὰ μὴ ἠμπορῇ κανεὶς νὰ πράξῃ τίποτε· πλὴν ὅμως δὲν σταματᾷ μέχρις ἐδῶ τὴν κόλασιν, ἀλλὰ προχωρεῖ ἀκόμη πιὸ πέρα τὸν λόγον· διότι λέγει· «ἐρρίφθη ἔξω» (δὲν δέχεται πλέον τὴν φροντίδα τῆς γεωργικῆς χειρός) «καὶ ξηρείνεται»· δηλαδὴ ἐὰν εἶχε κάτι ἀπὸ τὴν ρίζαν, ἀποβάλλεται· ἐὰν κάποιαν χάριν, τὴν χάνει, καὶ μένει γυμνὸς ἀπὸ τὴν βοήθειαν καὶ τὴν ζωὴν ἐκείνου. Καὶ ποῖο τὸ τέλος; «Ρίπτεται εἰς τὸ πῦρ»· Ἀλλὰ δὲν εἶναι τὸ ἴδιο ἀποτέλεσμα δι' ἐκεῖνον ποὺ μένει ἑνωμένος μὲ αὐτόν. Ἔπειτα δείχνει τί σημαίνει τὸ νὰ μένῃ κανεὶς ἑνωμένος μαζί του, καὶ λέγει· «Ἐὰν οἱ λόγοι μου ριζωθοῦν μέσα». Βλέπεις ὅτι καὶ πρὶν ἀπὸ αὐτὰ εἶχον δίκαιον ποὺ ἔλεγον ὅτι ὁ Κύριος ζητεῖ τὴν διὰ τῶν ἔργων ἐπίδειξιν; Διότι, εἰπὼν «Ὅ,τι καὶ ἂν ζητήσετε θὰ τὸ κάμω»[4], ἐπρόσθεσεν· «Ἐὰν μὲ ἀγαπᾶτε, τηρήσατε τὰς ἐντολάς μου»[5]· καὶ ἐδῶ· «Ἐὰν μένετε ἑνωμένοι μαζί μου καὶ τὰ λόγια μου ριζωθοῦν μέσα σας, ὅ,τι δήποτε θελήσετε, ζητήσατέ το καὶ θὰ σᾶς γίνῃ». Αὐτὰ δὲ τὰ ἔλεγε διὰ νὰ δείξῃ

τα δὲ ἔλεγε, δεικνὺς ὅτι οἱ μὲν ἐπιβουλεύοντες αὐτῷ κατακαήσονται, αὐτοὶ δὲ καρπὸν οἴσουσι. Τὸν φόβον τοίνυν τὸν ἐξ αὐτῶν εἰς ἐκείνους μεταθείς, καὶ δείξας ὅτι αὐτοὶ ἀκαταγώνιστοι ἔσονται, φησίν· «Ἐν τούτῳ ἐδοξάσθη ὁ Πατήρ μου, ἵνα ὑμεῖς μοι γένησθε μαθηταί, καὶ καρπὸν πολὺν φέρητε». Ἐντεῦθεν τὸν λόγον ἀξιόπιστον ποιεῖ· εἰ γὰρ εἰς δόξαν τοῦ Πατρὸς ἀνήκει τὸ καρποφορεῖν, οὐκ ἀμελήσει τῆς δόξης τῆς ἑαυτοῦ.

«Καὶ γενήσεσθε ἐμοὶ μαθηταί». Ὁρᾷς πῶς ὁ τὸν καρπὸν φέρων, ἐκεῖνός ἐστι μαθητής; Τί δέ ἐστιν, «Ἐν τούτῳ ἐδοξάσθη ὁ Πατήρ»; Τουτέστι, ʽχαίρει, ὅταν ἐν ἐμοὶ μένητε, ὅταν καρπὸν φέρητεʼ. «Καθὼς ἠγάπησέ με ὁ Πατήρ, κἀγὼ ἠγάπησα ὑμᾶς». Ἐνταῦθα λοιπὸν ἀνθρωπινώτερον διαλέγεται· τὸ γὰρ ὡς πρὸς ἀνθρώπους εἰρημένον τὴν οἰκείαν ἔχει ἰσχύν· ὁ γὰρ καὶ ἀποθανεῖν ἑλόμενος, καὶ δούλους ὄντας καὶ ἐχθροὺς καὶ πολεμίους τοσαύτης καταξιώσας τιμῆς, καὶ εἰς οὐρανοὺς ἀναγαγὼν πόσον ἐπεδείξατο μέτρον ἀγάπης; Εἰ τοίνυν ἀγαπῶ ὑμᾶς, θαρρεῖτε· εἰ τοῦ Πατρός ἐστι δόξα τὸ καρποφορεῖν, μηδὲ ὑποπτεύετε πονηρόν. Εἶτα, ἵνα μὴ ὑπτίους ἐργάσηται, ὅρα πῶς ἐπισφίγγει πάλιν. «Μείνατε ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ»· τούτου γὰρ ὑμεῖς κύριοι. Πῶς δὲ τοῦτο ἔσται; «Ἐὰν τὰς ἐντολάς μου τηρῆτε», φησί, «καθὼς ἐγὼ τοῦ Πατρός μου τὰς ἐντολὰς τετήρηκα». Πάλιν ἀνθρωπίνως ὁ λόγος πρόεισιν· οὐ γὰρ δήπου ὁ νομοθέτης ὑπὸ ἐντολὰς ἔμελλε κείσεσθαι. Ὁρᾷς ὅτι, ὅπερ ἀεὶ λέγω, τοῦτο καὶ ἐνταῦθα δείκνυται διὰ τὴν τῶν ἀκροωμένων ἀσθένειαν; Πρὸς γὰρ τὴν ὑπόνοιαν αὐτῶν τὰ πολλὰ λέγει, καὶ διὰ πάντων δείκνυσιν ἐν ἀσφαλείᾳ ὄντας, καὶ τοὺς ἐχθροὺς αὐτῶν ἀπολλυμένους, καὶ ὅτι πᾶν, ὅπερ ἔχουσιν, ἀπὸ τοῦ Υἱοῦ ἔχουσι, καὶ ὅτι, βίον ἂν ἐπιδείξωνται καθαρόν, οὐδεὶς αὐτῶν περιέσται ποτέ.

ὅτι αὐτοὶ ποὺ τὸν ἐπιβουλεύονται θὰ κατακαοῦν, ἐνῷ αὐτοὶ θὰ παράγουν καρπόν. Ἀφοῦ λοιπὸν μετέθεσε τὸν φόβον τῶν μαθητῶν του εἰς ἐκείνους καὶ ἔδειξεν ὅτι αὐτοὶ θὰ γίνουν ἀκατανίκητοι, λέγει· «Διὰ τοῦτο ἐδοξάσθη ὁ Πατήρ μου, διὰ νὰ γίνετε μαθηταί μου καὶ νὰ φέρετε πολὺν καρπόν». Μὲ αὐτὰ ποὺ λέγει κάμνει ἀξιόπιστον τὸν λόγον του· διότι, ἐὰν ἡ καρποφορία συντελῇ εἰς δόξαν τοῦ Πατρός, δὲν θ' ἀδιαφορήσῃ διὰ τὴν ἰδικήν του δόξαν.

«Καὶ διὰ νὰ γίνετε μαθηταί μου». Βλέπεις πῶς μαθητής του εἶναι ἐκεῖνος ποὺ παράγει καρπόν; Τί σημαίνει δέ, «Ἐν τούτῳ ἐδοξάσθη ὁ Πατήρ»; Δηλαδὴ 'χαίρεται ὅταν μένετε ἑνωμένοι μαζί μου, ὅταν παράγετε καρπόν'. "Ὅπως ἀκριβῶς ὁ Πατήρ μου μὲ ἠγάπησεν, ἔτσι καὶ ἐγὼ ἠγάπησα ἐσᾶς». Ἐδῶ πλέον ὁμιλεῖ ἀνθρωπινώτερα· διότι τὰ λόγια αὐτά, λεχθέντα πρὸς ἀνθρώπους, δεικνύουν τὴν φιλικὴν δύναμιν· καθ' ὅσον ἐκεῖνος ποὺ ἐδέχθη ν' ἀποθάνη καὶ ἠξίωσε μὲ τόσην τιμὴν τοὺς δούλους καὶ ἐχθροὺς καὶ πολεμίους του καὶ τοὺς ἀνεβίβασεν εἰς τοὺς οὐρανούς, πόσον μέγεθος ἀγάπης ἔδειξεν; Ἐφ' ὅσον λοιπὸν σᾶς ἀγαπῶ, ἔχετε θάρρος· ἐφ' ὅσον ἡ καρποφορία ἀποτελεῖ δόξαν τοῦ Πατρός, μὴ σκέπτεσθε τίποτε τὸ πονηρόν. Ἔπειτα, διὰ νὰ μὴ τοὺς ἀφήσῃ νὰ ἀτονήσουν, πρόσεχε πῶς καὶ πάλιν τοὺς τονώνει. «Μείνατε εἰς τὴν ἀγάπην σας πρὸς ἐμένα»· διότι αὐτὸ ἐξαρτᾶται ἀπὸ ἐσᾶς. Πῶς δὲ αὐτὸ θὰ συμβῇ; «Ἐὰν τηρῆτε τὰς ἐντολάς μου», λέγει, «καθὼς ἐγὼ ἔχω τηρήσει τὰς ἐντολάς μοῦ Πατρός μου». Πάλιν ὁ λόγος προχωρεῖ ἀνθρωπίνως· διότι δὲν ἦτο δυνατὸν βέβαια ὁ νομοθέτης νὰ ὑποταγῇ εἰς ἐντολάς. Βλέπεις ὅτι, αὐτὸ ποὺ πάντοτε λέγω, αὐτὸ καὶ ἐδῶ δεικνύεται ἐξ αἰτίας τῆς πνευματικῆς ἀδυναμίας τῶν ἀκροατῶν; Διότι οἱ περισσότεροι λόγοι του εἶναι προσηρμοσμένοι εἰς τὸν τρόπον σκέψεώς των καὶ δι' ὅλων δεικνύει ὅτι εὑρίσκονται εἰς ἀσφάλειαν καὶ ὅτι οἱ ἐχθροί των θὰ καταστραφοῦν, καὶ ὅτι τὸ κάθε τι ποὺ ἔχουν, τὸ ἔχουν ὑπὸ τοῦ Υἱοῦ, καὶ ὅτι, ἐὰν ἐπιδείξουν βίον καθαρόν, κανεὶς ποτὲ δὲν θὰ ὑπερισχύσῃ αὐτῶν.

Σκόπει δὲ αὐτὸν αὐθεντικώτερον αὐτοῖς διαλεγόμενον· οὐ γὰρ εἶπε, 'Μείνατε ἐν τῇ ἀγάπῃ τοῦ Πατρός', ἀλλ' «ἐν τῇ ἐμῇ». Εἶτα, ἵνα μὴ λέγωσιν· '"Οτε πᾶσιν ἡμᾶς ἐξεπολέμωσας τότε ἡμᾶς ἀφίης καὶ ἀναχωρεῖς', δείκνυσιν ὅτι οὐκ ἀφίησιν, ἀλλ' οὕτως αὐτοῖς κεκόλληται, ἐὰν θέλωσιν, ὡς τὸ κλῆμα ἐν τῇ ἀμπέλῳ. Καὶ πάλιν, ἵνα μὴ θαρρήσαντες ὕπτιοι γένωνται, οὔ φησιν ἀκίνητον εἶναι τὸ καλόν, ἐὰν ῥαθυμῶσιν. Εἶτα, ἵνα μὴ εἰς ἑαυτὸν περιστήσῃ τὸ πρᾶγμα, καὶ πεσεῖν παρασκευάσῃ μᾶλλον, φησίν· «Ἐν τούτῳ ἐδοξάσθη ὁ Πατήρ»· πανταχοῦ γὰρ τὴν ἑαυτοῦ καὶ τὴν τοῦ Πατρὸς δείκνυσιν ἀγάπην πρὸς αὐτούς. Οὐκ ἄρα τὰ Ἰουδαίων δόξα, ἀλλὰ ταῦτα, ἃ ἔμελλον λαμβάνειν. Εἶτα, ἵνα μὴ λέγωσιν· 'Ἐξεπέσομεν τῶν πατρῴων, ἐγκατελείφθημεν, γυμνοὶ καὶ ἔρημοι πάντων ἐγενόμεθα', 'εἰς ἐμέ', φησί, 'βλέπετε· ἠγάπημαι παρὰ τοῦ Πατρός, ἀλλ' ὅμως πάσχω ταῦτα τὰ προκείμενα· οὐ τοίνυν οὐδὲ ὑμᾶς διὰ τὸ μὴ ἀγαπᾶν ἐγκαταλιμπάνω νῦν· εἰ γὰρ ἐγὼ ἀναιροῦμαι, καὶ οὐ ποιοῦμαι τοῦτο τεκμήριον τοῦ μὴ ἀγαπᾶσθαι παρὰ τοῦ Πατρός, οὐδὲ ὑμᾶς θορυβεῖσθαι χρή· ἂν γὰρ ἐπὶ τῆς ἀγάπης μένητε τῆς ἐμῆς, οὐδὲν ὑμᾶς ταῦτα τὰ δεινὰ παραβλάψαι δυνήσεται εἰς τὸν τῆς ἀγάπης λόγον'.

3. Ἐπεὶ οὖν μέγα καὶ ἀκαταγώνιστον ἡ ἀγάπη, καὶ οὐκ ἔστι ῥῆμα ψιλόν, ἐπιδειξώμεθα διὰ τῶν ἔργων αὐτήν. Αὐτὸς ἐχθροὺς ὄντας κατήλλαξεν, ἡμεῖς, φίλοι γενόμενοι, μείνωμεν· αὐτὸς ἤρξατο, ἡμεῖς κἂν ἀκολουθήσωμεν· αὐτὸς οὐκ εἰς οἰκεῖον κέρδος ἀγαπᾷ (ἀνενδεὴς γάρ ἐστι), ἡμεῖς κἂν εἰς τὸ συμφέρον ἡμῖν· αὐτὸς ἐχθροὺς ὄντας ἐφίλησεν, ἡμεῖς κἂν φίλον ὄντα ἀγαπήσωμεν· ὡς νῦν γε τὰ ἐναντία ποιοῦμεν· καθ' ἑκάστην γὰρ ἡμέραν βλασφημεῖται δι' ἡμᾶς ὁ

Πρόσεχε δὲ τὸν αὐθεντικὸν τρόπον μὲ τὸν ὁποῖον ὁμιλεῖ πρὸς τοὺς μαθητάς του˙ διότι δὲν εἶπε, 'Μείνατε ριζωμένοι εἰς τὴν ἀγάπην τοῦ Πατρός μου', ἀλλὰ «εἰς τὴν ἰδικήν μου». Ἔπειτα, διὰ νὰ μὴ λέγουν, 'ὅταν μᾶς ἔκαμες πολεμίους μὲ ὅλους, τότε μᾶς ἀφήνεις καὶ φεύγεις', δείχνει, ὅτι δὲν τοὺς ἀφήνει, ἀλλὰ ἔτσι εἶναι ἑνωμένος μὲ αὐτούς, ἐὰν τὸ θέλουν, ὅπως τὸ κλῆμα μὲ τὴν ἄμπελον. Καὶ πάλιν, διὰ νὰ μὴ γίνουν ἀδιάφοροι λαβόντες θάρρος, δὲν εἶναι, λέγει, ἀμετάβλητον τὸ καλόν, ἐὰν δείξουν ραθυμίαν. Ἔπειτα, διὰ νὰ μὴ φανῇ, ὅτι τὸ ὅλον πρᾶγμα ἐξαρτᾶται ἀπὸ αὐτὸν καὶ γίνῃ αἰτία νὰ πέσουν περισσότερον, λέγει˙ «Μὲ αὐτὸ ἐδοξάσθη ὁ Πατήρ μου»˙ παντοῦ δηλαδὴ δείχνει τὴν ἰδικήν του καὶ τὴν ἀγάπην τοῦ Πατρός του πρὸς αὐτούς. Ἐπομένως δὲν ἦτο δόξα τοῦ Πατρὸς τὰ τῶν Ἰουδαίων, ἀλλὰ αὐτὰ ποὺ ἐπρόκειτο νὰ λάβουν. Εἰς τὴν συνέχειαν, διὰ νὰ μὴ λέγουν, 'Ἐξεπέσαμεν ἀπὸ τὴν πατρικὴν κληρονομίαν, ἐγκατελείφθημεν, ἐμείναμεν γυμνοὶ καὶ ἔρημοι πάντων', 'εἰς ἐμένα', λέγει, 'προσέχετε˙ μὲ ἀγαπᾷ ὁ Πατήρ μου, ἀλλ' ὅμως ὑπομένω αὐτὰ ποὺ πρόκειται νὰ συμβοῦν˙ οὔτε σᾶς λοιπὸν τώρα σᾶς ἐγκαταλείπω ἐπειδὴ δὲν σᾶς ἀγαπῶ˙ διότι, ἐὰν ἐγὼ θανατώνωμαι καὶ δὲν θεωρῶ αὐτὸ ὡς ἀπόδειξιν ὅτι δὲν ἀγαπῶμαι ἀπὸ τὸν Πατέρα, οὔτε σεῖς πρέπει ν' ἀνησυχῆτε˙ διότι, ἐὰν μένετε εἰς τὴν ἀγάπην μου, κανὲν ἀπὸ αὐτὰ τὰ δεινὰ δὲν θὰ ἠμπορέσῃ νὰ βλάψῃ τὴν ἀγάπην σας πρὸς ἐμένα'.

3. Ἀφοῦ λοιπὸν ἡ ἀγάπη εἶναι κάτι τὸ πολὺ μεγάλον καὶ ἀκατανίκητον, καὶ δὲν εἶναι κάποιος ἁπλοῦς λόγος, ἂς τὴν δείξωμεν μὲ τὰ ἔργα μας. Ὁ Κύριος, ἐνῷ ἤμεθα ἐχθροί, μᾶς ἐσυμφιλίωσεν, ἡμεῖς δέ, ἀφοῦ ἐγίναμεν φίλοι, ἂς παραμείνωμεν σταθεροὶ εἰς αὐτὴν τὴν φιλίαν˙ αὐτὸς ἔκαμεν ἀρχήν, ἡμεῖς ἂς τὸν ἀκολουθήσωμεν˙ αὐτὸς δὲν μᾶς ἀγαπᾷ δι' ἰδικόν του ὄφελος (διότι δὲν ἔχει ἀνάγκην ἀπὸ τίποτε), ἡμεῖς ἂς τὸν ἀγαπήσωμεν διὰ τὸ ἰδικόν μας συμφέρον˙ αὐτός, ἂν καὶ ἤμεθα ἐχθροί, μᾶς ἠγάπησεν, ἡμεῖς ἂς ἀγαπήσωμεν αὐτὸν ποὺ εἶναι φίλος μας˙ τώρα ὅμως κάμνομεν τὸ ἀντίθετον˙ διότι καθημερινῶς ὁ Θεὸς

Θεός, διὰ τὰς ἁρπαγάς, διὰ τὰς πλεονεξίας. Καὶ τάχα τις ὑμῶν ἴσως ἐρεῖ· 'Καθ' ἑκάστην ἡμέραν περὶ πλεονεξίας διαλέγῃ'. Εἴθε καὶ καθ' ἑκάστην νύκτα τοῦτο εἰπεῖν! εἴθε καὶ ἐν ἀγορᾷ παρακολουθοῦντα, καὶ ἐπὶ τῆς τραπέζης! εἴθε καὶ γυναῖκας, καὶ φίλους, καὶ παῖδας, καὶ οἰκέτας, καὶ γεωργούς, καὶ γείτονας, καὶ αὐτὸ τὸ ἔδαφος, καὶ τοὺς τοίχους ἦν δυνατὸν ταύτην ἀεὶ ῥηγνύναι τὴν φωνήν, ἵνα κἂν μικρὸν οὕτως ἐνεδώκαμεν! τὴν γὰρ οἰκουμένην κατέλαβαν ἅπασαν τουτὶ τὸ νόσημα, καὶ τὰς πάντων κατέχει ψυχὰς καὶ πολλὴ τοῦ μαμμωνᾶ ἡ τυραννίς.

Ὑπὸ Χριστοῦ ἐλυτρώθημεν, καὶ τῷ χρυσίῳ δουλεύομεν· ἑτέρου τὴν δεσποτείαν ἀνακηρύττομεν, καὶ ἑτέρῳ πειθόμεθα· καί, ὅπερ ἂν ἐπιτάξῃ, μετὰ προθυμίας ὑπακούομεν· καὶ γένος, καὶ φιλίαν, καὶ φύσιν, καὶ νόμους, καὶ πάντα ἠγνοήσαμεν δι' ἐκεῖνον. Οὐδεὶς ἀναβλέπει εἰς τὸν οὐρανόν, οὐδεὶς ἐννοεῖ τὰ μέλλοντα. 'Αλλ' ἔσται καιρός, ὅτε οὐδὲν τῶν λόγων τούτων ἔσται κέρδος· «ἐν γὰρ τῷ ᾅδῃ», φησί, «τίς ἐξομολογήσεταί σοι;». Ποθεινὸν τὸ χρυσίον, καὶ πολλὴν παρέχει τὴν τρυφὴν ἡμῖν, καὶ τιμίους εἶναι ποιεῖ, ἀλλ' οὐχ οὕτως, ὡς ὁ οὐρανός· τὸν γὰρ πλουτοῦντα καὶ ἀποστρέφονται πολλοὶ καὶ μισοῦσι, τὸν δὲ ἐν ἀρετῇ ζῶντα αἰδοῦνται καὶ τιμῶσιν. 'Αλλὰ καταγελᾶται ὁ πένης, κἂν ἐνάρετος ᾖ, φησίν. 'Αλλ' οὐ παρὰ τοῖς ἀνθρώποις, ἀλλὰ παρὰ τοῖς ἀλόγοις· διό περ οὐδὲ ἐπιστρέφεσθαι χρή· οὐδὲ γάρ, εἰ κατευηχῶντο μὲν ὄνοι, καὶ κατέκραγον κολοιοί, οἱ δὲ πάντες ἐπήνουν ἀφέντες τοῦτο τὸ θέατρον, πρὸς τὰς τῶν ἀλόγων κραυγὰς εἴδομεν ἄν· καὶ γὰρ ὅμοιοι κολοιῶν, καὶ ὄνων χείρους οἱ τὰ παρόντα θαυμάζοντες.

Εἶτα, ἂν μὲν βασιλεὺς ἐπίγειος θαυμάζῃ, οὐδένα τῶν

6. Ψαλμ. 6, 6.

βλασφημεῖται ἐξ αἰτίας μας, ἐξ αἰτίας τῶν ἁρπαγῶν καὶ τῆς πλεονεξίας μας. Καὶ ἐνδεχομένως κάποιος ἀπὸ σᾶς νὰ εἰπῇ· 'Κάθε ἡμέραν ὁμιλεῖς διὰ πλεονεξίαν'. Μακάρι νὰ ἦτο δυνατὸν καὶ κάθε νύκτα νὰ ὁμιλῶ δι' αὐτό, εἴθε καὶ εἰς τὴν ἀγορὰν ἀκολουθῶν τοὺς ἀνθρώπους καὶ εἰς τὴν τράπεζαν! εἴθε καὶ αἱ γυναῖκες καὶ οἱ φίλοι καὶ τὰ παιδιὰ καὶ οἱ δοῦλοι καὶ οἱ γείτονες καὶ αὐτὸ τὸ ἔδαφος καὶ οἱ τοῖχοι νὰ ἦτο δυνατὸν πάντοτε νὰ λέγουν αὐτὸν τὸν λόγον, ὥστε ἔστω καὶ ἔτσι νὰ ἐλαττώναμεν τοὺς λόγους περὶ αὐτῆς! διότι αὐτὸ τὸ νόσημα κατεκυρίευσεν ὅλην τὴν οἰκουμένην καὶ κατέχει τὰς ψυχὰς ὅλων καὶ εἶναι μεγάλη ἡ τυραννία τοῦ μαμμωνᾶ.

Ἐλυτρώθημεν ὑπὸ τοῦ Χριστοῦ καὶ εἴμεθα δοῦλοι τοῦ χρυσοῦ· ἀπορρίπτομεν τὴν ἐξουσίαν ἄλλου Κυρίου καὶ πειθόμεθα εἰς ἄλλον, καὶ μὲ προθυμίαν ὑπακούομεν ὅ,τι μᾶς διατάξῃ· χάριν ἐκείνου ἠγνοήσαμεν καὶ τὴν συγγένειαν καὶ τὴν φιλίαν καὶ τὴν φύσιν καὶ τοὺς νόμους καὶ ὅλα γενικῶς. Κανεὶς δὲν ἀτενίζει πρὸς τὸν οὐρανόν, κανεὶς δὲν ἐννοεῖ τὰ μέλλοντα. Ἀλλὰ θὰ ἔλθῃ καιρὸς ποὺ δὲν θὰ ὠφελοῦν οὔτε αὐτοὶ οἱ λόγοι· διότι λέγει· «Εἰς τὸν Ἅδην ποῖος θὰ ἐξομολογηθῇ εἰς ἐσένα;»[6]. Εἶναι ποθητὸς ὁ χρυσὸς καὶ μᾶς παρέχει πολλὴν ἀπόλαυσιν καὶ γίνεται αἰτία νὰ τιμώμεθα, ἀλλ' ὄχι τόσον, ὅσον ὁ οὐρανός· διότι τὸν πλούσιον καὶ τὸν ἀποστρέφονται οἱ πολλοὶ καὶ τὸν μισοῦν, ἐνῷ τὸν ἐνάρετον τὸν σέβονται καὶ τὸν τιμοῦν. Ἀλλά, λέγει, «περιφρονεῖται ὁ πτωχὸς ἔστω καὶ ἂν εἶναι ἐνάρετος». Ὄχι ὅμως ἀπὸ ἐκείνους ποὺ εἶναι πραγματικοὶ ἄνθρωποι, ἀλλὰ ἀπὸ τοὺς παραλόγους· διὰ τοῦτο πρέπει νὰ μὴ προσέχωμεν τὸ τί λέγουν αὐτοί· διότι οὔτε καὶ ἂν ἀκόμη ἐγκάριζον ὄνοι καὶ ἔκραζον κόρακες, οἱ δὲ σοφοὶ ὅλοι ἐπαινοῦσαν, θὰ ἀφήναμεν αὐτὸ τὸ θέατρον καὶ θὰ ἐστρέφομεν τὴν προσοχήν μας πρὸς τὰς κραυγὰς τῶν ἀλόγων ἀνθρώπων· διότι πράγματι εἶναι ὅμοιοι μὲ κόρακες καὶ χειρότεροι ἀπὸ ὄνους αὐτοὶ ποὺ θαυμάζουν τὰ πράγματα τῆς παρούσης ζωῆς.

Ἔπειτα, ἐὰν μὲν σὲ θαυμάζῃ ἐπίγειος βασιλεύς, δὲν

πολλῶν ποιῇ λόγον, κἂν πάντες καταγελῶσιν, ἂν δὲ ὁ τῶν ὅλων Δεσπότης σε ἐπαινῇ, κανθάρων καὶ κωνώπων εὐφημίας ἐπιζητεῖς; Τοῦτο γὰρ οὗτοι πρὸς τὸν Θεόν, μᾶλλον δὲ οὐδὲ τοῦτο, ἀλλ' εἴ τι τούτων εὐτελέστερον. Μέχρι τίνος ἐν βορβόρῳ στρεφόμεθα; μέχρι τίνος βλᾶκας καὶ γαστριμάργους καθίζομεν ἡμῖν θεατάς; Ἐκεῖνοι τοὺς κυβεύοντας δύνανται δοκιμάζειν καλῶς, τοὺς μεθύοντας, τοὺς τῇ γαστρὶ ζῶντας· ἀρετῆς δὲ καὶ κακίας οὐδὲ ὄναρ φαντάζεσθαι δύνανται. Εἶτα, ἐὰν μέν τίς σε σκώπτῃ, ὅτι τοὺς ὀχετοὺς τῶν ἀμαρῶν οὐκ ἐπίστασαι ἕλκειν, οὐδὲν ἡγήσῃ δεινόν, ἀλλὰ καὶ καταγελάσῃ τοῦ τὴν ἀπειρίαν ταύτην προβαλλομένου, ἀρετὴν δὲ ἀσκεῖν βουλόμενος, τοὺς οὐδὲν ταύτης εἰδότας, δοκιμαστὰς τούτων καθίζεις; Διὰ τοῦτο οὐδέποτε φθάνομεν εἰς τὴν τέχνην ἐκείνην· οὐ γὰρ τοῖς ἐμπείροις, ἀλλὰ τοῖς ἀμαθέσιν ἐπιτρέπομεν τὰ ἡμέτερα. Ἐκεῖνοι δὲ οὐ κατὰ τὸν τῆς τέχνης λόγον, ἀλλὰ κατὰ τὴν οἰκείαν ἀμαθίαν δοκιμάζουσι.

Διό περ, παρακαλῶ, καταφρονῶμεν τῶν πολλῶν, μᾶλλον δὲ μηδὲ ἐπαίνων ἐπιθυμῶμεν, μὴ χρημάτων, μὴ πλούτου, μηδὲ κακόν τι νομίζωμεν πενίαν· καὶ γὰρ φρονήσεως, καὶ καρτερίας, καὶ πάσης φιλοσοφίας διδάσκαλος ἡμῖν ἡ πενία· ἐπεὶ καὶ ὁ Λάζαρος πενίᾳ συνέζη, καὶ ἐστεφανοῦτο, καὶ ὁ Ἰακὼβ ἄρτου μόνου ἐπιτυχεῖν ἐπεθύμει, καὶ ὁ Ἰωσὴφ ἐν ἐσχάτῃ πενίᾳ ἐγεγόνει, καὶ οὐχὶ δοῦλος μόνον ἦν, ἀλλὰ καὶ δεσμώτης, καὶ διὰ τοῦτο μᾶλλον αὐτὸν θαυμάζομεν· καὶ οὐχ οὕτως ἐπαινοῦμεν, ὅτε τὸν σῖτον διένεμεν, ὡς, ὅτε τὸ δεσμωτήριον ᾤκει· οὐχ ὅτε τὸ διάδημα περιέκειτο, ἀλλ' ὅτε τὴν ἅλυσιν· οὐχ ὅτε ἐπὶ τοῦ θρόνου ἐκαθέζετο, ἀλλ' ὅτε ἐπεβουλεύετο, καὶ ἐπωλεῖτο.

---

7. Λουκᾶ 16, 19 - 31.
8. Γεν. κεφ. 37 ἑ.

δίδεις καμμίαν σημασίαν εἰς τὰ λόγια τῶν πολλῶν καὶ ἂν ἀκόμη ὅλοι σὲ περιγελοῦν, ἂν δὲ ὁ Κύριος τῶν ὅλων σὲ ἐπαινῇ, σὺ θὰ ἐπιζητῇς τοὺς ἐπαίνους τῶν σκαθαρίων καὶ τῶν κωνώπων; Διότι αὐτοὶ ἐν συγκρίσει μὲ τὸν Θεόν, εἶναι τέτοιοι, μᾶλλον δὲ οὔτε τέτοιοι, ἀλλ' εὐτελέστεροι ἀκόμη ἀπὸ αὐτά. Μέχρι πότε θὰ κυλιώμεθα μέσα εἰς τὸν βοῦρκον; μέχρι πότε θὰ κάμνωμεν θεατάς μας τοὺς μωροὺς καὶ τοὺς γαστριμάργους; Ἐκεῖνοι ἠμποροῦν νὰ ἐπιδοκιμάζουν ἐκείνους ποὺ παίζουν κύβους, ποὺ μεθοῦν, ποὺ εἶναι δοῦλοι τῆς κοιλίας, οὔτε εἰς τὸ ὄνειρόν των ὅμως ἠμποροῦν νὰ σκεφθοῦν τὴν ἀρετὴν καὶ τὴν κακίαν. Ἔπειτα, ἐὰν μὲν κάποιος σὲ χλευάζῃ, ἐπειδὴ δὲν ξεύρεις νὰ κατασκευάσῃς τοὺς ὀχετούς, δὲν θὰ τὸ θεωρήσῃς καθόλου κακόν, ἀλλὰ καὶ θὰ καταγελάσῃς ἐκεῖνον ποὺ σοῦ ἀποδίδει αὐτὴν τὴν ἀπειρίαν, θέλων ὅμως νὰ ἀσκήσῃς τὴν ἀρετὴν καθιστᾷς κριτὰς αὐτῆς ἐκείνους ποὺ δὲν γνωρίζουν τίποτε δι' αὐτήν; Διὰ τοῦτο ποτὲ δὲν φθάνομεν εἰς ἐκείνην τὴν τέχνην· διότι ἀναθέτομεν αὐτὰ ποὺ μᾶς ἀφοροῦν ὄχι εἰς τοὺς ἐμπείρους, ἀλλὰ εἰς τοὺς ἀμαθεῖς. Ἐκεῖνοι δὲ κρίνουν ὄχι ἀνάλογα πρὸς τοὺς κανόνας τῆς τέχνης, ἀλλὰ σύμφωνα μὲ τὴν ἀμάθειάν των.

Διὰ τοῦτο, παρακαλῶ, ἂς περιφρονοῦμεν τοὺς πολλοὺς μᾶλλον δὲ οὔτε ἐπαίνους νὰ ἐπιθυμῶμεν, οὔτε χρήματα, οὔτε πλοῦτον, οὔτε νὰ θεωροῦμεν τὴν πτωχείαν κακόν· καθ' ὅσον ἡ πτωχεία εἶναι δι' ἡμᾶς διδάσκαλος τῆς φρονήσεως, τῆς καρτερίας καὶ κάθε φιλοσοφίας· διότι καὶ ὁ Λάζαρος μὲ τὴν πτωχείαν συνέζη καὶ ἐστεφανώνετο[7], καὶ ὁ Ἰακὼβ ἐπεθυμοῦσε μόνον ἄρτον νὰ εὕρῃ καὶ ὁ Ἰωσὴφ εἶχε καταντήσει εἰς τὴν πιὸ φοβερὰν μορφὴν πτωχείας καὶ ὄχι μόνον δοῦλος ἦτο, ἀλλὰ καὶ φυλακισμένος, καὶ διὰ τοῦτο θαυμάζομεν αὐτὸν περισσότερον· καὶ δὲν τὸν ἐπαινοῦμεν τόσον, ὅταν διένεμε τὸν σῖτον, ὅσον, ὅταν ἦτο φυλακισμένος· ὄχι ὅταν ἐφοροῦσε τὸ βασιλικὸν στέμμα, ἀλλ' ὅταν τὴν ἀλυσίδα· ὄχι ὅταν ἐκάθετο ἐπάνω εἰς τὸν θρόνον, ἀλλ' ὅταν ἐπεβουλεύετο καὶ ἐπωλεῖτο[8].

Ταῦτα οὖν ἅπαντα ἐννοοῦντες, καὶ τοὺς ἀπὸ τῶν ἀγώνων τούτων πλεκομένους στεφάνους, μὴ πλοῦτον, καὶ τιμήν, καὶ τρυφάς, καὶ δυναστείαν, ἀλλὰ πενίαν, καὶ ἅλυσιν, καὶ δεσμά, καὶ καρτερίαν τὴν ὑπὲρ ἀρετῆς θαυμάζωμεν· τὸ μὲν γὰρ τέλος ἐκείνων, θορύβων γέμει καὶ ταραχῆς, καὶ τῷ παρόντι συγκεκλήρωται βίῳ, ὁ δὲ τούτων καρπός, οὐρανὸς καὶ τὰ ἐν τοῖς οὐρανοῖς ἀγαθά, ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσεν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Αὐτὰ λοιπὸν ὅλα σκεπτόμενοι καὶ τοὺς στεφάνους τοὺς πλεκομένους ἀπὸ αὐτοὺς τοὺς ἀγῶνας, νὰ μὴ θαυμάζωμεν τὸν πλοῦτον, τὴν τιμήν, τὰς ἀπολαύσεις καὶ τὴν ἐξουσίαν, ἀλλὰ τὴν πτωχείαν, τὴν ἀλυσίδα τῆς φυλακῆς, τὰ δεσμὰ καὶ τὴν ὑπομονὴν χάριν τῆς ἀρετῆς˙ διότι τὸ μὲν τέλος ἐκείνων εἶναι γεμᾶτον ἀπὸ θορύβους καὶ ταραχὴν καὶ εἶναι συνδεδεμένον μὲ τὴν παροῦσαν ζωήν, ἐνῷ ὁ καρπὸς αὐτῶν εἶναι ὁ οὐρανὸς καὶ τὰ οὐράνια ἀγαθά, ποὺ οὔτε ὀφθαλμὸς ἀνθρώπου εἶδεν, οὔτε αὐτὶ ἤκουσε[9], τὰ ὁποῖα εἴθε νὰ συμβῇ ὅλοι μας νὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

9. Α΄ Κορ. 2, 9.

ΟΜΙΛΙΑ ΟΖ'

Ἰω. 15, 11 - 16, 3

«*Ταῦτα λελάληκα ὑμῖν, ἵνα ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν μείνῃ, καὶ ἡ χαρὰ ὑμῶν πληρωθῇ. Αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμή, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς*».

1. Πάντα τὰ ἀγαθὰ τότε ἔχει τὸν μισθόν, ὅταν εἰς τέλος ἔλθῃ τὸ προσῆκον, ἐὰν δὲ ἐκκοπῇ μεταξύ, ναυάγιον γίνεται. Καὶ καθάπερ τὸ πλοῖον τὸ μυριαγωγόν, ἐὰν μὴ φθάσῃ καταντῆσαι πρὸς τοὺς λιμένας, ἀλλ' ἐν μέσῳ βαπτισθῇ τῷ πελάγει, οὐδὲν ἀπώνατο τοῦ πολλοῦ πλοῦ, ἀλλὰ καὶ μείζονα εἰργάσατο τὴν συμφοράν, ὅσῳ καὶ πλείους ὑπέμεινε πόνους, οὕτω καὶ αἱ πρὸς τὸ τέλος τῶν πόνων ἀναπεσοῦσαι ψυχαὶ ἐν μέσοις ἐκλυόμεναι τοῖς ἀγῶσι. Διὰ τοῦτο καὶ ὁ Παῦλος δόξαν καὶ τιμὴν καὶ εἰρήνην ἔλεγε συναντήσεσθαι τοῖς καθ' ὑπομονὴν ἔργων ἀγαθῶν τρέχουσιν· ὅπερ οὖν καὶ ἐπὶ τῶν μαθητῶν ὁ Χριστὸς κατασκευάζει νῦν. Ἐπειδὴ γὰρ ἀπεδέξατο αὐτούς, καὶ ἔχαιρον ἐπ' αὐτῷ, εἶτα τὸ πάθος παρεμπεσὸν καὶ τὰ σκυθρωπὰ ῥήματα διακόπτειν ἔμελλε τὴν ἡδονήν, μετὰ τὸ διαλεχθῆναι ἱκανὰ καὶ παραμυθήσασθαι αὐτούς, φησί· «Ταῦτα λελάληκα ὑμῖν, ἵνα ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν μείνῃ, καὶ ἡ χαρὰ ὑμῶν πληρωθῇ»· τουτέστιν, Ἵνα μὴ ἀποσχισθῆτέ μου, ἵνα μὴ διακόψητε τὸν δρόμον· ἐχαίρετε ἐν ἐμοί, καὶ σφόδρα ἐχαίρετε, ἀλλ' ἐνέπεσεν ἀθυμία· ταύτην οὖν ἐξαιρῶ, ἵνα πρὸς τὸ τέλος ἔλθῃ ἡ χαρά»,

1. Ρωμ. 2, 7.

ΟΜΙΛΙΑ ΟΖ΄

Ἰω. 15, 11 - 16, 3

«Αὐτὰ σᾶς τὰ εἶπα διὰ νὰ μεταδοθῇ καὶ νὰ μείνῃ μέσα σας ἡ ἰδική μου χαρὰ καὶ ἡ ἰδική σας χαρὰ νὰ γίνῃ πλήρης. Αὐτὴ εἶναι ἡ ἐντολή μου, νὰ ἀγαπᾶτε ὁ ἕνας τὸν ἄλλον, ὅπως ἐγὼ ἠγάπησα ἐσᾶς».

1. Ὅλα τὰ ἀγαθὰ τότε παρέχουν τὴν ἀμοιβήν, ὅταν φθάσουν εἰς τὸ κατάλληλον ἀποτέλεσμα, ἐὰν θὰ κοπῇ ἡ προσπάθεια εἰς τὸ μέσον, γίνεται ναυάγιον. Καὶ ὅπως ἀκριβῶς τὸ πλοῖον ποὺ μεταφέρει ἄπειρα ἀγαθά, ἐὰν δὲν προλάβῃ νὰ ἀγκυροβολήσῃ εἰς τοὺς λιμένας, ἀλλὰ βυθισθῇ εἰς τὸ μέσον τοῦ πελάγους, δὲν ἀπεκόμισε καμμίαν ὠφέλειαν ἀπὸ τὸ μακρὺ ταξείδι του, ἀλλὰ καὶ τόσον μεγαλυτέραν ζημίαν ἐπροξένησεν, ὅσον περισσοτέρους κόπους ὑπέμεινεν, ἔτσι καὶ αἱ ψυχαὶ ἐκεῖνοι ποὺ καταπίπτουν τὴν στιγμὴν ποὺ πλησιάζουν εἰς τὸ τέρμα καὶ διαλύονται ἐν μέσῳ τῶν ἀγώνων. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγεν ὅτι δόξα καὶ τιμὴ καὶ εἰρήνη θὰ συναντήσῃ ἐκείνους ποὺ τρέχουν μὲ ἐπιμονὴν διὰ νὰ ἐπιτελέσουν τὰ ἀγαθὰ ἔργα[1], πρᾶγμα λοιπὸν ποὺ τώρα καὶ ὁ Χριστὸς ἑτοιμάζει διὰ τοὺς μαθητάς του. Ἐπειδὴ δηλαδὴ ἀπεδέχθη αὐτοὺς καὶ ἐκεῖνοι ἐχαίροντο δι᾽ αὐτόν, εἰς τὴν συνέχειαν ἐπειδὴ τὸ πάθος θὰ παρεμβάλλετο καὶ ἐπρόκειτο οἱ δυσάρεστοι λόγοι νὰ διακόψουν τὴν ἡδονήν, ἀφοῦ εἶπε πολλὰ εἰς αὐτοὺς καὶ τοὺς παρηγόρησε, λέγει· «Αὐτὰ σᾶς τὰ εἶπα διὰ νὰ μεταδοθῇ καὶ νὰ μείνῃ ἡ ἰδική μου χαρὰ εἰς ἐσᾶς καὶ ἡ ἰδική σας χαρὰ νὰ γίνῃ πλήρης»· δηλαδή, ʼδιὰ νὰ μὴ φύγετε ἀπὸ κοντά μου, διὰ νὰ μὴ διακόψετε τὸν δρόμον· ἐχαίρετε δι᾽ ἐμένα καὶ πάρα πολὺ ἐχαίρετε, ἀλλὰ σᾶς ἐκυρίευσε θλῖψις· αὐτὴν λοιπὸν θὰ ἐκδιώξω, διὰ νὰ ἔλθῃ εἰς τὸ τέ-

δεικνὺς ὅτι οὐ λύπης ἄξια τὰ παρόντα, ἀλλ' ἡδονῆς. Εἶδον ὑμᾶς σκανδαλισθέντας· οὐ κατεφρόνησα, οὐκ εἶπον· Διὰ τί γὰρ μὴ μένετε γενναῖοι; ἀλλ' ἐλάλησα ὑμῖν τὰ παράκλησιν φέροντα. Οὕτω βούλομαι ὑμᾶς διὰ παντὸς ἐπὶ τῆς αὐτῆς ἀγάπης τηρεῖν. Ἠκούσατε περὶ βασιλείας ἐχάρητε. Ἵν' οὖν πληρωθῇ ἡ χαρὰ ὑμῶν, ταῦτα εἶπον ὑμῖν.

«Αὕτη δέ ἐστιν ἡ ἐντολή, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς». Ὁρᾶς τοῦ Θεοῦ τὴν ἀγάπην συμπεπλεγμένην τῇ ἡμετέρᾳ, καὶ ὥσπερ σειράν τινα συνημμένην; Διὰ τοῦτο ποτὲ μὲν δύο φησὶ τὰς ἐντολάς, ποτὲ δὲ μίαν· οὐ γὰρ ἔνι, τῆς προτέρας λαβόμενον, μὴ τὴν ἄλλην ἔχειν· ποτὲ μὲν γάρ φησιν· «Ἐν τούτῳ ὁ νόμος καὶ οἱ προφῆται κρέμανται», ποτὲ δέ· «Ὅσα θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, τὰ αὐτὰ καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς· οὗτος γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται»· ὃ καὶ ἐνταῦθα λέγει. Εἰ γὰρ τὸ «μεῖναι» ἀπὸ τῆς ἀγάπης γίνεται, ἡ δὲ ἀγάπη ἀπὸ τῆς τῶν ἐντολῶν τηρήσεως, ἡ δὲ ἐντολή ἐστιν, «Ἵνα ἀγαπῶμεν ἀλλήλους», τὸ μεῖναι ἐν τῷ Θεῷ ἀπὸ τῆς πρὸς ἀλλήλους ἀγάπης γίνεται. Καὶ οὐχ ἁπλῶς ἀγάπην φησίν, ἀλλὰ καὶ τὸν τρόπον δηλοῖ· «Καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς». Πάλιν δείκνυσιν ὅτι οὐχὶ μίσους ἐστὶν αὕτη ἡ ἀναχώρησις, ἀλλὰ ἀγάπης· ὥστε με μᾶλλον ἐχρῆν θαυμάζεσθαι ὑπὲρ τούτου· ὑπὲρ γὰρ ὑμῶν τὴν ψυχήν μου τίθημι. Ἀλλ' οὐδαμοῦ οὕτω φησὶν αὐτό, ἀλλὰ ἀνωτέρω μέν, τὸν ἄριστον ὑπογράφων ποιμένα ἐνταῦθα δέ, ἐν τῷ παραινεῖν αὐτοὺς καὶ δεικνύναι τῆς ἀγάπης τὸ μέγεθος, καὶ ἑαυτὸν ὅστις ἐστί.

Τίνος δὲ ἕνεκεν πανταχοῦ τὴν ἀγάπην ἐπαίρει; Ὅτι τοῦτό ἐστι τὸ δεῖγμα τῶν μαθητῶν, τοῦτο τὸ συγκροτοῦν

---

2. Ματθ. 22, 40.
3. Ματθ. 7, 12.
4. Ρωμ. 13, 10.
5. Ἰω. 10, 11 - 14.

λος ἡ χαρά΄, δεικνύων ὅτι τὰ παρόντα δὲν εἶναι ἄξια λύπης, ἀλλὰ ἡδονῆς. ΄Σᾶς εἶδα ποὺ ἐσκανδαλίσθητε καὶ δὲν σᾶς περιεφρόνησα΄ δὲν εἶπα΄ Διατί λοιπὸν δὲν μένετε γενναῖοι; ἀλλὰ σᾶς εἶπα λόγια παρηγορητικά. Ἔτσι θέλω νὰ σᾶς κρατήσω διὰ παντὸς σταθεροὺς εἰς τὴν ἰδίαν ἀγάπην. Ἠκούσατε περὶ βασιλείας΄ ἐχάρητε΄ Διὰ νὰ γίνῃ λοιπὸν πλήρης ἡ χαρά σας σᾶς τὰ εἶπα αὐτά΄.

«Αὐτὴ δὲ εἶναι ἡ ἐντολὴ ποὺ σᾶς δίδω, νὰ ἀγαπᾶτε ὁ ἕνας τὸν ἄλλον, ὅπως ἀκριβῶς ἐγὼ ἠγάπησα ἐσᾶς». Βλέπεις τὴν ἀγάπην τοῦ Θεοῦ ποὺ εἶναι συνηνωμένη μὲ τὴν ἰδικήν μας καὶ συνδεδεμένη ὡσὰν ἀκριβῶς ν' ἀποτελῇ κάποιαν σειράν; Διὰ τοῦτο ἄλλοτε μὲν λέγει ὅτι εἶναι δύο αἱ ἐντολαί, ἄλλοτε δὲ μία΄ διότι δὲν εἶναι δυνατὸν ὅταν κανεὶς λάβῃ τὴν πρώτην, νὰ μὴ ἔχῃ καὶ τὴν ἄλλην΄ διότι ἄλλοτε μὲν λέγει΄ «Εἰς αὐτὸ περιλαμβάνεται ὁ μωσαϊκὸς νόμος καὶ ἡ προφητικὴ διδασκαλία»[2], ἄλλοτε δέ΄ «Ὅσα θέλετε νὰ κάμνουν οἱ ἄνθρωποι εἰς ἐσᾶς, τὰ ἴδια καὶ σεῖς νὰ κάμνετε εἰς αὐτούς΄ διότι αὐτὸς εἶναι ὁ νόμος καὶ οἱ προφῆται»[3], καὶ «ἡ ἀγάπη εἶναι τελεία πλήρωσις τοῦ μωσαϊκοῦ νόμου»[4], πρᾶγμα ποὺ καὶ ἐδῶ λέγει. Διότι, ἐὰν τὸ «νὰ μείνουν εἰς τὸν Θεὸν» ἐξαρτᾶται ἀπὸ τὴν ἀγάπην, ἡ δὲ ἀγάπη ἀπὸ τὴν τήρησιν τῶν ἐντολῶν καὶ ἡ ἐντολὴ εἶναι, «Νὰ ἀγαπῶμεν ὁ ἕνας τὸν ἄλλον», τὸ νὰ μείνουν κοντὰ εἰς τὸν Θεὸν ἐξαρτᾶται ἀπὸ τὴν ἀγάπην τοῦ ἑνὸς πρὸς τὸν ἄλλον. Καὶ δὲν ὁμιλεῖ ἁπλῶς διὰ ἀγάπην, ἀλλὰ δείχνει καὶ τὸν τρόπον΄ «Καθὼς σᾶς ἠγάπησα ἐγώ». Πάλιν δείχνει, ὅτι αὐτὴ ἡ ἀναχώρησις δὲν εἶναι ἀποτέλεσμα μίσους, ἀλλὰ ἀγάπης΄ ὥστε ἔπρεπε δι' αὐτὸ νὰ μὲ θαυμάζετε ἀκόμη περισσότερον΄ διότι θυσιάζω τὴν ζωήν μου δι' ἐσᾶς. Ἀλλὰ εἰς καμμίαν περίπτωσιν δὲν ὁμιλεῖ δι' αὐτὸ μὲ αὐτὸν τὸν τρόπον, ἀλλὰ προηγουμένως μὲν περιγράφει τὸν ἄριστον ποιμένα[5], ἐνῷ εἰς τὴν περίπτωσιν αὐτὴν μὲ τὸ νὰ δίδῃ συμβουλὰς εἰς αὐτοὺς καὶ νὰ δείχνῃ τὸ μέγεθος τῆς ἀγάπης καὶ τὸν ἑαυτόν του ποῖος εἶναι.

Διὰ ποῖον λόγον ὅμως παντοῦ προβάλλει τὴν ἀγάπην, διότι αὐτὸ εἶναι τὸ γνώρισμα τῶν μαθητῶν, αὐτὸ εἶναι ἐ-

τὴν ἀρετήν. Διὰ τοῦτο καὶ ὁ Παῦλος τοσαῦτα περὶ αὐτῆς φησιν ἅτε μαθητὴς ὢν γνήσιος τοῦ Χριστοῦ, καὶ πεῖραν αὐτῆς λαβών. «Ὑμεῖς φίλοι μού ἐστε. Οὐκ ἔτι ὑμᾶς λέγω δούλους· ὁ γὰρ δοῦλος οὐκ οἶδε τί ποιεῖ ὁ κύριος αὐτοῦ. Ὑμεῖς φίλοι μού ἐστε· πάντα γάρ, ὅσα ἤκουσα παρὰ τοῦ Πατρός μου, ἐγνώρισα ὑμῖν». Πῶς οὖν λέγει, «Πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι». Οὐδὲν ἄλλο διὰ τοῦ «πάντα» καὶ τοῦ «ἀκοῦσαι» κατασκευάζει, ἢ ὅτι οὐδὲν ἀλλότριον φθέγγεται, ἀλλ' ἢ τὰ τοῦ Πατρός. Ἐπειδὴ δὲ τοῦτο μάλιστα δοκεῖ φιλίας εἶναι, τὸ τὰ ἀπόρρητα λέγειν καὶ ταύτης ἠξιώθητε, φησί, τῆς κοινωνίας. «Πάντα» δὲ ὅταν εἴπῃ, ὅσα αὐτοὺς ἀκοῦσαι ἐχρῆν λέγει. Εἶτα καὶ ἄλλο τεκμήριον, οὐ τὸ τυχόν, φιλίας τίθησι. Ποῖον δὴ τοῦτο; «Οὐχ ὑμεῖς με ἐξελέξασθε», φησίν, «ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς»· τουτέστιν 'ἐγὼ τῇ φιλίᾳ ἐπέδραμον τῇ ὑμετέρᾳ'. Καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ καί, «ἔθηκα», φησίν, «ὑμᾶς», τουτέστιν 'ἐφύτευσα', «ἵνα ὑμεῖς ὑπάγητε», (ἔτι τῇ μεταφορᾷ κέχρηται τῆς ἀμπέλου), τουτέστιν, 'ἵνα ἐκταθῆτε', «καὶ καρπὸν φέρητε, καὶ ὁ καρπὸς ὑμῶν μένῃ». Εἰ δὲ ὁ καρπὸς μένει, πολλῷ μᾶλλον ὑμεῖς· οὐ γὰρ ἐφίλησα μόνον ὑμᾶς, φησίν, ἀλλὰ καὶ τὰ μέγιστα εὐηργέτησα, πανταχοῦ τῆς οἰκουμένης ἐκτείνων ὑμῶν τὰ κλήματα.

2. *Ὁρᾷς δι' ὅσων δείκνυσι τὴν ἀγάπην; τῷ τὰ ἀπόρρητα εἰπεῖν, τῷ πρώτως ἐπιδραμεῖν τῇ φιλίᾳ, τῷ μεγάλα αὐτοῖς χαρίσασθαι τὰ ἀγαθά, τῷ παθεῖν ὑπὲρ αὐτῶν, ἅπερ ἔπασχε τότε. Ἀπὸ δὲ τούτου δείκνυσιν ὅτι καὶ παραμένει διηνεκῶς αὐτοῖς, μέλλουσι διδόναι καρπόν· ἀνάγκη γάρ, τῆς παρ' αὐτοῦ βοηθείας ἀπολαύοντας, οὕτω καὶ καρποφορῆσαι. «Ἵνα, ὃ ἐὰν αἰτήσητε τὸν Πατέρα ἐν τῷ ὀνόματί μου, δῷ ὑμῖν». Καίτοι τοῦ αἰτουμένου ἐστὶ τὸ ποιῆσαι· εἰ δὲ ὁ Πατὴρ αἰτεῖται, πῶς ὁ Υἱὸς ποιεῖ; Ἵνα μάθῃς ὅτι οὐκ ἐ-*

5α. Ἰω. 10, 11 - 14.

κεῖνο ποὺ συγκροτεῖ τὴν ἀρετήν. Διὰ τοῦτο καὶ ὁ Παῦλος τόσα πολλὰ λέγει δι' αὐτήν, καθ' ὅσον εἶναι γνήσιος μαθητὴς τοῦ Χριστοῦ καὶ ἐγνώρισεν αὐτὴν πάρα πολὺ καλά. «Σεῖς εἶσθε φίλοι μου. Δὲν σᾶς ὀνομάζω πλέον δούλους˙ διότι ὁ δοῦλος δὲν γνωρίζει τί κάμνει ὁ κύριός του. Σεῖς εἶσθε φίλοι μου˙ διότι σᾶς ἐγνώρισα ὅλα ὅσα ἤκουσα ἀπὸ τὸν Πατέρα μου». Πῶς λοιπόν λέγει, «Ἔχω πολλὰ νὰ σᾶς εἰπῶ, ἀλλὰ δέν ἠμπορεῖτε ἀκόμη νὰ τὰ ἐννοήσετε καὶ νὰ τὰ τηρήσετε»[5α]; Τίποτε ἄλλο δὲν ἐννοεῖ μὲ τό «πάντα» καὶ τό «ἀκοῦσαι», παρὰ ὅτι τίποτε ξένον δὲν λέγει, ἀλλὰ τὰς ἐντολὰς τοῦ Πατρός. Ἐπειδὴ δὲ αὐτὸ πρὸ πάντων θεωρεῖται ὡς δεῖγμα φιλίας, τὸ νὰ λέγῃ κανεὶς τὰ μυστικά του εἰς κάποιον, καὶ αὐτῆς, λέγει, ἠξιώθητε τῆς κοινωνίας. Ὅταν δὲ λέγῃ «πάντα» ἐννοεῖ ὅσα ἔπρεπεν αὐτοὶ ν' ἀκούσουν. Ἔπειτα ἀναφέρει καὶ ἄλλην ἀπόδειξιν φιλίας, ὄχι τυχαίαν. Ποία λοιπὸν εἶναι αὐτή; «Δὲν μὲ ἐξελέξατε ἐσεῖς, ἀλλ' ἐγὼ σᾶς ἐξέλεξα»˙ δηλαδή, 'ἐγὼ ἐπεδίωξα τὴν φιλίαν σας'. Καὶ δὲν ἐσταμάτησεν ἐδῶ, ἀλλά, λέγει, καὶ «σᾶς ἐτοποθέτησα», δηλαδὴ 'σᾶς ἐφύτευσα', «διὰ νὰ μεταβῆτε» (ἀκόμη χρησιμοποιεῖ τὴν μεταφορὰν τῆς ἀμπέλου), δηλαδὴ 'διὰ νὰ σκορπισθῆτε εἰς ὅλον τὸν κόσμον', «καὶ νὰ φέρετε καρπὸν καὶ ὁ καρπός αὐτὸς θὰ μένῃ αἰώνια». Ἐὰν δὲ ὁ καρπὸς μένῃ, πολὺ περισσότερον θὰ μείνετε ἐσεῖς˙ διότι, λέγει, δὲν σᾶς ἠγάπησα μόνον, ἀλλὰ καὶ σᾶς εὐηργέτησα εἰς πάρα πολὺ μεγάλον βαθμόν, ἐπεκτείνων εἰς κάθε μέρος τῆς οἰκουμένης τὰ κλήματα.

2. Βλέπεις μὲ πόσα δείχνει τὴν ἀγάπην του; μὲ τὸ νὰ εἰπῇ τὰ ἀπόρρητα, μὲ τὸ ὅτι πρῶτος ἐπεδίωξε τὴν φιλίαν των, μὲ τὸ ὅτι τοὺς ἐχάρισε μεγάλα ἀγαθά, μὲ τὸ ὅτι ἔπαθε χάριν αὐτῶν ἐκεῖνα ποὺ ἔπαθε τότε. Μὲ αὐτὸ δὲ δείχνει ὅτι καὶ παραμένει συνεχῶς πλησίον αὐτῶν, ποὺ πρόκειται νὰ φέρουν καρπόν˙ διότι εἶναι ἀνάγκη νὰ τύχουν τῆς ἐκ μέρους του βοηθείας, ὥστε νὰ καρποφορήσουν. «Ὥστε, ὅ,τι καὶ ἂν ζητήσετε ἀπὸ τὸν Πατέρα μου ἐν τῷ ὀνόματί μου, θὰ σᾶς τὸ δώσῃ». Καὶ βέβαια ἡ πραγματοποίησις ἀνήκει εἰς ἐκεῖνον εἰς τὸν ὁποῖον ἀπευθύνεται ἡ

λάττων ὁ Υἱός. «Ταῦτα λελάληκα ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους»· τουτέστιν, οὐκ ὀνειδίζων ταῦτα λέγω, ὅτι τὴν ψυχήν μου τίθημι, ὅτι πρῶτος ὑμῖν ἐπέδραμον, ἀλλ' εἰς φιλίαν ὑμᾶς ἐνάγων. Εἶτα ἐπειδὴ τὸ διώκεσθαι παρὰ τῶν πολλῶν καὶ ὀνειδίζεσθαι χαλεπὸν ἦν καὶ ἀνήκεστον, καὶ ἱκανὸν καὶ τὴν ὑψηλὴν ταπεινῶσαι ψυχήν, διὰ τοῦτο, μυρία προειπών, τότε εἰς τοῦτο καθῆκεν ὁ Χριστός· προλεάνας γὰρ αὐτῶν τὴν ψυχήν, οὕτως ἐπὶ ταῦτα ἔρχεται, καὶ αὐτὰ ἐκ περιουσίας δεικνὺς ὑπὲρ αὐτῶν ὄντα, ὥσπερ καὶ τὰ ἄλλα ἀπέδειξε· καθάπερ γὰρ εἶπεν ὅτι οὐ μᾶλλον οὐκ ἀλγεῖν, ἀλλὰ καὶ χαίρειν δεῖ, ὅτι ἀπέρχομαι πρὸς τὸν Πατέρα (οὐ γὰρ ἐγκαταλιμπάνων αὐτούς, ἀλλὰ καὶ σφόδρα φιλῶν, τοῦτο ποιεῖ), οὕτω καὶ ἐνταῦθα δείκνυσιν ὅτι χαίρειν, οὐκ ἀλγεῖν δεῖ.

Καὶ ὅρα πῶς αὐτὸ κατασκευάζει· οὐ γὰρ εἶπεν· Οἶδα λυπηρὸν ὂν τὸ πρᾶγμα, ἀλλὰ δι' ἐμὲ φέρετε, ἐπειδὴ καὶ δι' ἐμὲ πάσχετε'· οὐδέπω γὰρ αὕτη ἡ πρόφασις ἱκανὴ ἦν παραμυθήσασθαι. Διόπερ, αὐτὴν ἀφείς, ἑτέραν προτίθησι. Ποίαν δὴ ταύτην; Ὅτι τῆς προτέρας ἀρετῆς τοῦτο τεκμήριον. Καὶ τοὐναντίον ἀλγεῖν ἐχρῆν, οὐχ ὅτι μισεῖσθαι νῦν, ἀλλ' εἰ ἐμέλλετε φιλεῖσθαι· τοῦτο γὰρ αἰνίττεται ἐκ τοῦ λέγειν· «Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει». Ὥστε, εἰ ἐφιλεῖσθε, εὔδηλον ὅτι πονηρίας ἐξεφέρετε δεῖγμα. Εἶτα, ἐπειδὴ τοῦτο προειπὼν οὐκ ἐξειργάσατο αὐτό, ἐπεξέρχεσθαι πάλιν τῷ λόγῳ· «Οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ. Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν». Ἔδειξε ζηλωτὰς αὐτοὺς κατὰ τοῦτο μάλιστα γινομένους· ἕως μὲν γὰρ ἦν

αἴτησις· ἐὰν ὅμως τὸ αἴτημα ἀπευθύνεται πρὸς τὸν Πατέρα, πῶς ὁ Υἱὸς τὸ πραγματοποιεῖ; Διὰ νὰ μάθῃς ὅτι ὁ Υἱὸς δὲν εἶναι κατώτερος. «Αὐτὰ σᾶς τὰ εἶπα διὰ νὰ ἀγαπᾶτε ὁ ἕνας τὸν ἄλλον»· δηλαδὴ δὲν τὰ λέγω αὐτὰ διὰ νὰ σᾶς κατηγορήσω, ὅτι θυσιάζω δηλαδὴ τὴν ζωήν μου, ὅτι πρῶτα ἐπεδίωξα τὴν γνωριμίαν μου μὲ ἐσᾶς, ἀλλὰ διὰ νὰ σᾶς ὁδηγήσω εἰς τὴν φιλίαν. Ἔπειτα, ἐπειδὴ ὁ διωγμὸς ἐκ μέρους τῶν πολλῶν καὶ αἱ κατηγορίαι ἦσαν κάτι τὸ φοβερὸν καὶ ἀνυπόφορον καὶ ἱκανὸν νὰ ταπεινώσῃ καὶ τὴν ὑψηλόφρονα ψυχήν, διὰ τοῦτο, ἀφοῦ τοὺς προεῖπε πάρα πολλά, τότε πλέον ἀνέφερεν ὁ Χριστὸς αὐτό· ἀφοῦ δηλαδὴ προητοίμασε τὴν ψυχήν των, τότε ἔρχεται εἰς αὐτὰ καὶ δείχνει μὲ ἀφθονίαν ὅτι αὐτὰ λέγονται δι' αὐτούς, ὅπως ἀκριβῶς ἐπέδειξε καὶ τὰ ἄλλα· διότι ὅπως ἀκριβῶς εἶπεν ὅτι ὄχι δὲν πρέπει νὰ θλίβεσθε, ἀλλὰ καὶ νὰ χαίρεσθε ποὺ μεταβαίνω πρὸς τὸν Πατέρα μου (διότι αὐτὸ τὸ κάμνει ὄχι ἐγκαταλείπων αὐτούς, ἀλλὰ ἀπὸ ὑπερβολικὴν ἀγάπην), ἔτσι καὶ ἐδῶ δείχνει ὅτι πρέπει νὰ χαίρωνται καὶ ὄχι νὰ λυποῦνται.

Καὶ πρόσεχε πῶς τὸ κατορθώνει αὐτό· διότι δὲν εἶπε· Γνωρίζω ὅτι τὸ πρᾶγμα αὐτὸ εἶναι δυσάρεστον, ἀλλὰ ὑπομείνατέ το πρὸς χάριν μου, ἀφοῦ καὶ πρὸς χάριν μου πάσχετε·· διότι μὲ κανένα τρόπον αὐτὴ ἡ αἰτία δὲν ἦτο ἱκανὴ νὰ τοὺς παρηγορήσῃ. Διὰ τοῦτο ἀκριβῶς, ἀφήσας αὐτήν, ἀναφέρει ἄλλην. Ποία λοιπὸν εἶναι αὐτή; Ὅτι αὐτὸ εἶναι ἀπόδειξις τῆς προηγουμένης ἀρετῆς σας. Καὶ ἀπεναντίας ἔπρεπε νὰ λυπῆσθε, ὄχι ἐπειδὴ τώρα μισεῖσθε, ἀλλὰ ἐὰν ἐπρόκειτο νὰ ἀγαπᾶσθε ἀπὸ τὸν κόσμον· διότι αὐτὸ ὑπαινίσσεται μὲ τοὺς λόγους του· «Ἐὰν ἦσθε ἐκ τοῦ κόσμου, καὶ ὁ κόσμος θὰ σᾶς ἠγάπα ὡς ἰδικούς του». Ὥστε, ἐὰν ἠγαπᾶσθε, φανερὸν εἶναι ὅτι αὐτὸ θὰ ἦτο ἀπόδειξις πονηρίας. Ἔπειτα, ἐπειδὴ μὲ αὐτὰ ποὺ προεῖπε δὲν ἐπέτυχεν αὐτὸ ποὺ ἤθελεν, ἐπανέρχεται πάλιν εἰς τὸ θέμα αὐτὸ λέγων· «Δὲν ὑπάρχει δοῦλος ἀνώτερος ἀπὸ τὸν κύριόν του. Ἐὰν ἐξεδίωξαν ἐμένα καὶ ἐσᾶς θὰ ἐκδιώξουν». Ἔδειξεν ὅτι σχετικὰ μὲ αὐτὸ θὰ γίνουν μιμηταί του εἰς μεγάλον

ἐν σαρκὶ ὁ Χριστός, πρὸς ἐκεῖνον τὸν πόλεμον εἶχον, ἐπειδὴ δὲ μετέστη, πρὸς αὐτοὺς πάλιν ἦλθεν ἡ μάχη. Εἶτα, ἐπειδή, ὀλίγοι ὄντες, ἐθορυβοῦντο, δήμου τοσούτου μέλλοντες πόλεμον καταδέχεσθαι, ἀνίστησιν αὐτῶν τὴν ψυχήν, λέγων ὅτι 'τοῦτο μάλιστα χαρᾶς ἔργον ἐστὶ τὸ μισεῖσθαι παρ' αὐτῶν· οὕτω γάρ μοι κοινωνήσετε τῶν παθῶν. Οὐ τοίνυν ὑμᾶς θορυβεῖσθαι χρή· οὐ γὰρ ὑμεῖς ἐμοῦ κρείττους· ὥσπερ οὖν καὶ προλαβὼν εἶπον· «Οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ»'.

Εἶτα καὶ τρίτη παραμυθία, ὅτι καὶ ὁ Πατὴρ ὑβρίζεται μετ' αὐτῶν· «ταῦτα γὰρ ἅπαντα ποιήσουσι», φησί, «διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με»· τουτέστι 'κἀκεῖνον ὑβρίζουσι'. Πρὸς τούτοις, συγγνώμης αὐτοὺς ἀποστερῶν, καὶ τιθεὶς καὶ ἑτέραν παραμυθίαν, φησίν· «Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον», δεικνὺς ὅτι ἀδίκως καὶ τὰ εἰς αὐτὸν καὶ τὰ εἰς ἐκείνους ἐργάσονται. Τί οὖν ἐπὶ τοσαῦτα ἡμᾶς ἤγαγες κακά; οὐχ προῄδεις τοὺς πολέμους, καὶ τὸ μῖσος; Διὰ τοῦτο πάλιν φησίν· «Ὁ ἐμὲ μισῶν καὶ τὸν Πατέρα μου μισεῖ», οὐ μικρὰν καὶ ἐντεῦθεν αὐτοῖς προαναφωνῶν κόλασιν. Ἐπειδὴ γὰρ ἄνω καὶ κάτω προὐφασίζοντο, ὅτι διὰ τὸν Πατέρα αὐτὸν ἐδίωκον, ἀναιρῶν αὐτῶν τὴν ἀπολογίαν, ταῦτα εἴρηκεν (οὐ γὰρ ἔχουσι πρόφασιν»). Τὴν ἀπὸ τῶν λόγων διδασκαλίαν παρεσχόμην, τὴν ἀπὸ τῶν ἔργων προσέθηκε κατὰ τὸν Μωϋσέως νόμον, ὅς τῷ τὰ τοιαῦτα ποιοῦντι καὶ λέγοντι πείθεσθαι ἅπαντας ἐκέλευσεν, ὅταν καὶ πρὸς εὐσέβειαν ἄγῃ καὶ θαύματα παρέχῃ μέγιστα. Οὐχ ἁπλῶς δὲ εἶχε σημεῖα, ἀλλά, «ἃ

βαθμόν· διότι, ἐν ὅσῳ ὁ Χριστὸς ἔφερε τὴν ἀνθρωπίνην σάρκα, πρὸς ἐκεῖνον ἔκαμνον τὸν πόλεμον οἱ Ἰουδαῖοι, ὅταν ὅμως ἔφυγεν ἀπὸ τὸν κόσμον, ἡ μάχη ἐστράφη καὶ πάλιν πρὸς αὐτούς. Ἔπειτα, ἐπειδή, ὡσὰν ὀλίγοι ποὺ ἦσαν, ἐθορυβοῦντο, ἐφ' ὅσον ἐπρόκειτο νὰ δεχθοῦν τὸν πόλεμον ἑνὸς τόσον μεγάλου πλήθους, ἐνθαρρύνει τὴν ψυχήν των, λέγων ὅτι 'αὐτὸ πρὸ πάντων εἶναι ἔργον χαρᾶς, τὸ νὰ μισῆσθε ἀπὸ αὐτούς· διότι ἔτσι θὰ γίνετε μέτοχοι εἰς τὰ πάθη μου. Δὲν πρέπει λοιπὸν νὰ ἀνησυχῆτε· διότι σεῖς δὲν εἶσθε ἀνώτεροι ἀπὸ ἐμένα· ὅπως ἀκριβῶς βέβαια καὶ προηγουμένως ἔλεγον· «Δὲν ὑπάρχει δοῦλος ἀνώτερος ἀπὸ τὸν κύριόν του»'.

Εἰς τὴν συνέχειαν ἀκολουθεῖ καὶ ἄλλη παρηγορία, ὅτι δηλαδὴ καὶ ὁ Πατὴρ ὑβρίζεται μαζὶ μὲ αὐτούς· διότι λέγει· «Ὅλα αὐτὰ θὰ τὰ κάνουν εἰς σᾶς ἐπειδὴ θὰ φέρετε τὸ ὄνομά μου, διότι δὲν γνωρίζουν ἐκεῖνον ποὺ μὲ ἔστειλεν εἰς τὸν κόσμον»· δηλαδὴ 'καὶ ἐκεῖνον τὸν ὑβρίζουν'. Ἐπὶ πλέον, στερῶν τοὺς Ἰουδαίους τῆς συγνώμης καὶ προσθέτων καὶ ἄλλην παρηγορίαν, λέγει· «Ἐὰν δὲν εἶχον ἔλθει καὶ δὲν ἐκήρυσα τὸν λόγον μου εἰς αὐτούς, δὲν θὰ εἶχον αὐτοὶ ἁμαρτίαν διὰ τὴν ἀπιστίαν των», δεικνύων, ὅτι ἀδίκως θὰ διαπράξουν τὰ ὅσα θὰ διαπράξουν ἐναντίον του καὶ ἐναντίον αὐτῶν. Διατί λοιπὸν μᾶς ὡδήγησες εἰς τόσον μεγάλα κακά; δὲν προεγνώριζες τοὺς πολέμους καὶ τὸ μῖσος; Διὰ τοῦτο πάλιν λέγει· «Ἐκεῖνος ποὺ μισεῖ ἐμένα, μισεῖ καὶ τὸν Πατέρα», προλέγων καὶ μὲ τοὺς λόγους αὐτοὺς ὄχι μικρὰν τιμωρίαν δι' αὐτούς. Ἐπειδὴ δηλαδὴ συνεχῶς προέβαλλον ὡς δικαιολογίαν, ὅτι τὸν κατεδίωκον ἐξ αἰτίας τοῦ Πατρός, εἶπεν αὐτὰ ἀνατρέπων τὴν δικαιολογίαν των (διότι δὲν ἔχουν δικαιολογίαν)· Τοὺς ἐδίδαξα μὲ τοὺς λόγους μου, ἐπρόσθεσα τὴν διδασκαλίαν μὲ τὰ ἔργα μου σύμφωνα μὲ τὸν νόμον τοῦ Μωϋσέως, ὁ ὁποῖος διέταξε νὰ ὑπακούουν ὅλοι εἰς ἐκεῖνον ποὺ διδάσκει τέτοια πράγματα καὶ πράττει αὐτὰ καὶ ὁ ἴδιος καὶ μάλιστα ὅταν ὁδηγῇ πρὸς τὴν εὐσέβειαν καὶ ἐπιτελῇ θαύματα τόσον σπουδαῖα. Καὶ δὲν εἶπεν ἁπλῶς σημεῖα, ἀλλὰ «τέτοια

μηδεὶς ἄλλος ἐποίησε». Καὶ τούτων αὐτοὶ μάρτυρες, οὕτω λέγοντες· «Οὐδέποτε οὕτως ἐφάνη ἄνθρωπος ἐν τῷ Ἰσραήλ», καὶ «οὐκ ἠκούσθη ἐκ τοῦ αἰῶνος ὅτι ἤνοιξέ τις ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου», καὶ τὸ κατὰ τὸν Λάζαρον τοιοῦτον, καὶ τὰ ἄλλα πάντα τοιαῦτα, καὶ ὁ τῆς θαυματουργίας τρόπος· κανὰ καὶ παράδοξα ἅπαντα.

Τίνος οὖν ἕνεκεν, φησί, καὶ σὲ καὶ ἡμᾶς διώκουσιν; «Ὅτι ἐκ τοῦ κόσμου οὐκ ἐστέ. Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει». Προαναμιμνήσκει τῶν ῥημάτων αὐτούς, ὧν καὶ πρὸς τοὺς ἀδελφοὺς εἶπε τοὺς ἑαυτοῦ· ἀλλ' ἐκεῖ μὲν ἠθικώτερον, ἵνα μὴ πλήξῃ, ἐνταῦθα δὲ τοὐναντίον, τὸ πᾶν ἀπεκάλυψε. Καὶ πόθεν δῆλον ὅτι διὰ τοῦτο μισούμεθα; Ἀπὸ τῶν εἰς ἐμὲ γινομένων. Τίνος γάρ, εἰπέ μοι, τῶν λεχθέντων ἢ τῶν προαχθέντων ἐπιλαβέσθαι ἔχοντες οὐκ ἐδέξαντό με; Εἶτα, ἐπειδὴ τὸ πρᾶγμα ἔκπληκτον ἦν ἡμῖν, εἶπε καὶ τὴν αἰτίαν· τουτέστι, τὴν πονηρίαν τὴν αὐτῶν. Καὶ οὐδὲ ἐνταῦθα ἵσταται, ἀλλὰ καὶ τὸν Προφήτην ἐπάγεται δεικνὺς αὐτὸν ἄνωθεν προαναφωνοῦντα καὶ λέγοντα ὅτι «ἐμίσησάν με δωρεάν», ὃ καὶ ὁ Παῦλος ποιεῖ. Πολλῶν γὰρ θαυμαζόντων πῶς Ἰουδαῖοι οὐκ ἐπίστευσαν, προφήτας ἄγει, προλέγοντας ἄνωθεν, καὶ τὴν αἰτίαν δηλοῦντας, ὅτι ἡ πονηρία αὐτῶν καὶ ἡ ἀπόνοια τῆς ἀπιστίας αἰτία. Τί οὖν; Εἰ τὸν λόγον σου οὐκ ἐτήρησαν, διὰ τοῦτο οὐδὲ τὸν ἡμέτερον τηρήσουσιν· εἰ σὲ ἐδίωξαν, διὰ τοῦτο καὶ ἡμᾶς διώξουσιν· εἰ σημεῖα εἶδον, οἷα οὐδεὶς ἄλλος πεποίηκεν, εἰ ῥημάτων ἤκουσαν, οἵων οὐδείς, καὶ οὐδὲν ἀπώναντο, εἰ τὸν Πατέρα σου μισοῦσι, καὶ σὲ μετ' ἐκείνου, τίνος, φη-

6. Ματθ. 9, 33.
7. Ἰω. 9, 33.
8. Ἰω. 7, 3-9.
9. Ψαλμ. 68, 5.

πού κανείς ἄλλος δὲν ἔπραξεν». Καὶ ὅλων αὐτῶν εἶναι οἱ ἴδιοι μάρτυρες, λέγοντες τὰ ἑξῆς· «Ποτὲ ἕως τώρα δὲν παρουσιάσθη εἰς τὸν Ἰσραὴλ τέτοιος ἄνθρωπος»[6], καὶ «Οὐδέποτε, ἀφ' ὅτου ἐφάνη ἄνθρωπος εἰς τὴν γῆν, ἠκούσθη ὅτι ἤνοιξε κάποιος ὀφθαλμοὺς ἀνθρώπων ποὺ ἐγεννήθη τυφλός»[7], καὶ τὸ θαῦμα τὸ σχετικὸν μὲ τὸν Λάζαρον καὶ ὅλα τὰ ἄλλα παρόμοια καὶ ὁ τρόπος τῆς θαυματουργίας· ὅλα εἶναι πρωτοφανῆ καὶ παράδοξα.

Διὰ ποῖον λόγον λοιπόν, λέγει, καταδιώκουν καὶ ἐσένα καὶ ἡμᾶς; «Διότι δὲν εἶσθε ἀπὸ τὸν κόσμον. Ἐὰν ἦσθε ἀπὸ τὸν κόσμον, ὁ κόσμος θὰ σᾶς ἀγαποῦσεν ὡσὰν ἰδικούς του». Ὑπενθυμίζει εἰς αὐτοὺς τοὺς λόγους ποὺ εἶπε καὶ πρὸς τοὺς ἀδελφούς του[8]· ἀλλ' ἐκεῖ μὲν ὡμίλησε μὲ πιὸ ἤπιον τόνον, διὰ νὰ μὴ τοὺς ἐμβάλῃ εἰς ἀνησυχίαν, ἀπεναντίας ἐδῶ ἐφανέρωσε τὸ πᾶν. Καὶ ἀπὸ ποῦ εἶναι φανερὸν ὅτι μισούμεθα δι' αὐτό; Ἀπὸ αὐτὰ ποὺ συμβαίνουν εἰς ἐμένα. Διότι εἰπέ μου, τί, ἀπὸ τὰ ὅσα εἶπα καὶ ἔπραξα, ἔχοντες νὰ μὲ κατηγορήσουν, δὲν μὲ ἐδέχθησαν; Ἔπειτα, ἐπειδὴ τὸ πρᾶγμα ἠμποροῦσε νὰ μᾶς προκαλέσῃ ἔκπληξιν, εἶπε καὶ τὴν αἰτίαν· δηλαδή, τὴν πονηρίαν αὐτῶν. Καὶ δὲν σταματᾷ ἐδῶ, ἀλλὰ ἐπικαλεῖται καὶ τὸν προφήτην, δεικνύων ὅτι αὐτὰ εὐθὺς ἐξ ἀρχῆς προεῖπεν μὲ τοὺς λόγους «μὲ ἐμίσησαν χωρὶς λόγον»[9], πρᾶγμα ποὺ καὶ ὁ Παῦλος κάμνει. Ἐπειδὴ δηλαδὴ πολλοὶ ἐθαύμαζον πῶς οἱ Ἰουδαῖοι δὲν ἐπίστευσαν, ἐπικαλεῖται προφήτας, προλέγοντας ἀπὸ τὴν ἀρχὴν καὶ δεικνύοντας τὴν αἰτίαν, ὅτι δηλαδὴ αἰτία τῆς ἀπιστίας των ἦτο ἡ πονηρία καὶ ἡ παραφροσύνη των. Τί λοιπόν; Ἐὰν τὸν ἰδικόν σου λόγον δὲν ἐτήρησαν, διὰ τοῦτο οὔτε καὶ τὸν ἰδικόν μας θὰ τηρήσουν· ἐὰν σὲ κατεδίωξαν, διὰ τοῦτο καὶ ἡμᾶς θὰ καταδιώξουν· ἐὰν εἶδον θαύματα, τέτοια ποὺ κανεὶς ἄλλος δὲν ἔκαμεν, ἐὰν ἤκουσαν λόγους, τέτοιους ποὺ κανεὶς ἄλλος δὲν εἶπε, καὶ δὲν ὠφελήθησαν καθόλου, ἐὰν τὸν Πατέρα σου μισοῦν καὶ μαζὶ μὲ ἐκεῖνον καὶ ἐσένα, διὰ ποῖον λόγον, λέγει, μᾶς ἔστειλες μέσα εἰς αὐτούς; πῶς ἡμεῖς εἰς τὸ ἑξῆς θὰ εἴμε-

σίν, ἕνεκεν ἡμᾶς ἐνέβαλες; πῶς ἡμεῖς ἀξιόπιστοι λοιπὸν ἐσόμεθα; τίς δὲ προσέξει τῶν ὁμοφύλων ἡμῖν;

3. Ἵν' οὖν μὴ ταῦτα ἐννοοῦντες θορυβῶνται, ὅρα οἵαν ἐπάγει παράκλησιν. «Ὅταν ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. Καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι ἀπ' ἀρχῆς μετ' ἐμοῦ ἐστέ». Ἐκεῖνος ἀξιόπιστος ἔσται· Πνεῦμα γὰρ ἀληθείας ἐστί. Διὰ τοῦτο οὐ Πνεῦμα ἅγιον, ἀλλ' «ἀληθείας» αὐτὸ ἐκάλεσε. Τὸ δὲ «ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται» δηλοῖ ὅτι πάντα οἶδεν ἀκριβῶς, καθάπερ καὶ αὐτός φησι περὶ ἑαυτοῦ, ὅτι «οἶδα πόθεν ἔρχομαι, καὶ ποῦ ὑπάγω», καὶ ἐκεῖ περὶ ἀληθείας διαλεγόμενος. «Ὃν ἐγὼ πέμψω». Ἰδοὺ οὐκ ἔτι ὁ Πατὴρ μόνος, ἀλλὰ καὶ ὁ Υἱός ἐστιν ὁ πέμπων. Καὶ ὑμεῖς δὲ ἔχετε τὸ ἀξιόπιστον, οἱ σὺν ἐμοὶ γενόμενοι, οἱ μὴ παρ' ἑτέρων ἀκηκοότες. Καὶ οἱ Ἀπόστολοι ἐντεῦθεν διϊσχυρίζονται, λέγοντες· «Οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ». Ὅτι δὲ οὐ πρὸς χάριν εἴρηται, ἐπιμαρτυρεῖ τὸ Πνεῦμα τοῖς λεγομένοις.

«Ταῦτα λελάληκα ὑμῖν, ἵνα μὴ σκανδαλισθῆτε»· τουτέστιν, 'ὅταν ἴδητε πολλοὺς ἀπειθοῦντας, καὶ δεινὰ πάσχοντας ὑμᾶς'. «Ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς». Ἤδη γὰρ συνέθεντο, ἐάν τις ὁμολογήσῃ τὸν Χριστόν, ἵνα ἀποσυνάγωγος γένηται. «Ἀλλ' ἔρχεται ὥρα, ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ». Οὕτω τὸν ὑμέτερον διώξουσι φόνον, ὡς πρᾶγμα εὐσεβές, καὶ τῷ Θεῷ ἀρέσκον. Εἶτα τὴν παραμυθίαν ἐπάγει πάλιν· «Καὶ ταῦτα ποιήσουσιν, ὅτι οὐκ ἔγνωσαν τὸν Πατέρα, οὐδὲ ἐμέ». Ἀρκεῖ ὑμῖν εἰς παράκλησιν τὸ δι' ἐμὲ καὶ τὸν Πατέρα ταῦτα πάσχειν. Ἐνταῦθα ἀναμιμνήσκει πάλιν αὐτοὺς μακαρισμοῦ, ὃν ἀρχόμενος ἔλεγε· «Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ

10. Ἰω. 8, 14.
11. Πράξ. 10, 41.

θα ἀξιόπιστοι; ποῖος ἀπὸ τοὺς ὁμοφύλους μας θὰ μᾶς προσέξῃ;

3. Διὰ νὰ μὴ ἀνησυχοῦν λοιπὸν σκεπτόμενοι αὐτά, πρόσεχε ποίαν παρηγορίαν προσθέτει. «Ὅταν θὰ ἔλθῃ ὁ Παράκλητος, τὸν ὁποῖον θὰ στείλω ἐγώ, τὸ Πνεῦμα τῆς ἀληθείας, ποὺ ἐκπορεύεται ἀπὸ τὸν Πατέρα, ἐκεῖνος θὰ μαρτυρήσῃ περὶ ἐμοῦ. Καὶ σεῖς δὲ θὰ μαρτυρῆτε μαζὶ μὲ αὐτόν, ὅτι ἀπὸ τὴν ἀρχὴν τοῦ δημοσίου βίου μου εἶσθε μαζί μου». Ἐκεῖνος θὰ εἶναι ἀξιόπιστος˙ διότι εἶναι Πνεῦμα ἀληθείας. Διὰ τοῦτο δὲν τὸ ὠνόμασεν αὐτὸ Πνεῦμα ἅγιον, ἀλλὰ «ἀληθείας». Τὸ δὲ «ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται», φανερώνει ὅτι ὅλα τὰ γνωρίζει ἀκριβῶς, ὅπως ἀκριβῶς καὶ ὁ ἴδιος λέγει διὰ τὸν ἑαυτόν του, ὅτι «γνωρίζω ἀπὸ ποῦ ἔρχομαι καὶ ποῦ πηγαίνω»[10], ὁμιλῶν καὶ ἐκεῖ περὶ τῆς ἀληθείας. «Τὸν ὁποῖον ἐγὼ θὰ στείλω». Νά, δὲν εἶναι μόνος ὁ Πατὴρ ποὺ ἀποστέλει τὸν Παράκλητον, ἀλλὰ καὶ ὁ Υἱός. Καὶ σεῖς δὲ θὰ εἶσθε ἀξιόπιστοι ποὺ μὲ συναναστράφετε καὶ ποὺ δὲν τὰ ἠκούσατε αὐτὰ ἀπὸ ἄλλους. Καὶ οἱ Ἀπόστολοι ἐξ αἰτίας αὐτοῦ δίνουν ἐπιβεβαίωσιν περὶ αὐτοῦ, λέγοντες˙ «Οἱ ὁποῖοι ἐφάγομεν μαζί του καὶ ἐπίομεν»[11]. Τὸ ὅτι δὲ αὐτὰ δὲν ἐλέχθησαν κατὰ χάριν, τὸ ἐπιβεβαιώνει τὸ Πνεῦμα ποὺ ἦτο μάρτυς τῶν λόγων των.

«Αὐτὰ σᾶς τὰ εἶπα διὰ νὰ μὴ σκανδαλισθῆτε, δηλαδὴ ὅταν θὰ ἰδῆτε πολλοὺς νὰ μὴ πιστεύουν καὶ νὰ πάσχετε σεῖς πολλὰ κακά. «Θὰ σᾶς ἀφορίσουν οἱ Ἰουδαῖοι». Διότι ἤδη διεκήρυξαν, ἐὰν κάποιος ὁμολογήσῃ τὸν Χριστὸν νὰ ἀφορίζεται. «Ἀλλ᾽ ἔρχεται ἡ ὥρα ποὺ ἐκεῖνος ποὺ θὰ σᾶς φονεύσῃ θὰ νομίσῃ ὅτι προσφέρει λατρείαν εἰς τὸν Θεόν». Τόσον πολὺ θὰ ἐπιδιώξουν τὸν φόνον σας, ὡσὰν πρᾶγμα εὐσεβὲς καὶ ποὺ ἀρέσει εἰς τὸν Θεόν. Ἔπειτα προσθέτει πάλιν τὴν παρηγορίαν˙ «Καὶ αὐτὰ θὰ τὰ κάνουν, ἐπειδὴ δὲν ἐγνώρισαν τὸν Πατέρα, οὔτε ἐμένα». Σᾶς ἀρκεῖ νὰ παρηγορηθῆτε τὸ ὅτι τὰ πάσχετε αὐτὰ ἐξ αἰτίας μου καὶ ἐξ αἰτίας τοῦ Πατρός μου. Ἐδῶ τοὺς ὑπενθυμίζει πάλιν τὸν μακαρισμὸν ἐκεῖνον διὰ τοῦ ὁποίου ἔλεγε˙ «Μακάριοι θὰ εἶσθε ὅταν θὰ σᾶς ὑβρίσουν καὶ θὰ σᾶς καταδιώξουν

διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ. Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς».

«Ταῦτα λελάληκα ὑμῖν, ἵνα, ὅταν ἔλθῃ ἡ ὥρα, μνημονεύητε τούτων»· ὥστε ἀπὸ τούτων καὶ τὰ λοιπὰ πιστὰ ἡγεῖσθε· οὐ γὰρ ἕξετε εἰπεῖν ὅτι, κολακεύων ὑμᾶς, τὰ πρὸς χάριν ἔλεγον μόνον, οὐχ ὅτι ἀπάτης ἦν τὰ εἰρημένα· οὐ γὰρ ἂν ὁ μέλλων ἀπατᾶν καὶ ταῦτα προεῖπεν ὑμῖν τὰ ἀπωπρέποντα. Διὰ τοῦτο οὖν προεῖπον, ἵνα μὴ ἀπροσδόκητα προσπεσόντα ὑμᾶς διαταράξῃ, καὶ δι' ἑτέραν δὲ αἰτίαν, ἵνα μὴ λέγητε ὅτι οὐ προῄδειν ἐσόμενα ταῦτα. «Μνημονεύετε οὖν ὅτι ἐγὼ εἶπον ὑμῖν»· καὶ γὰρ ἀεὶ περιετίθησαν σχῆμα τῇ διώξει αὐτῶν πονηρόν, ὡς λυμεῶνας ἐλαύνοντες. Ἀλλ' οὐκ ἐθορύβει τοὺς μαθητὰς τοῦτο, προακούσαντας καὶ εἰδότας ὑπὲρ ὧν ἔπασχον· ἱκανὴ γὰρ αὐτοὺς ἡ αἰτία τῶν γινομένων ἀναστῆσαι. Διὰ τοῦτο αὐτὴν πανταχοῦ περιστρέφει, λέγων, «Οὐκ ἔγνωσάν με», καὶ ὅτι «δι' ἐμὲ ποιήσουσι, καὶ διὰ τὸ ὄνομά μου, καὶ διὰ τὸν Πατέρα», καὶ ὅτι «ἐγὼ πρῶτος ἔπαθον», καὶ ὅτι «οὐκ ἀπὸ δικαίας αἰτίας ταῦτα τολμῶσι».

4. Ταῦτα καὶ ἡμεῖς ἐν τοῖς πειρασμοῖς στρέφωμεν, ὅταν παρὰ πονηρῶν τι πάσχωμεν ἀνθρώπων εἰς τὸν ἀρχηγὸν ἡμῶν ὁρῶντες καὶ τελειωτὴν τῆς πίστεως, καὶ ὅτι παρὰ φαύλων ἀνθρώπων, καὶ ὅτι δι' ἀρετήν, καὶ ὅτι δι' αὐτόν· ἂν γὰρ ταῦτα ἐννοῶμεν, ἅπαντα ῥᾷστα ἔσται καὶ φορητά· εἰ γὰρ ὑπὲρ ἀγαπητῶν τις πάσχων, καὶ ἐναβρύνεται, διὰ τὸν Θεὸν ἐάν τις πάθῃ τι, ποίαν λήψεται αἴσθησιν τῶν δεινῶν; Εἰ γὰρ αὐτὸς πρᾶγμα ἐπονείδιστον, τὸν σταυρόν, δόξαν ἐκάλει δι' ἡμᾶς, πολλῷ μᾶλλον ἡμᾶς οὕτω

---

12. Ματθ. 5, 11 - 12.
13. Ἰω. 15, 21.

καὶ θὰ εἰποῦν ἐναντίον σας ψευδόμενοι κάθε κακὸν λόγον, ἐπειδὴ πιστεύετε εἰς ἐμένα. Χαίρετε καὶ ἀγαλλιᾶσθε, διότι ὁ μισθός σας θὰ εἶναι πολὺς εἰς τοὺς οὐρανούς»[12].

«Αὐτὰ σᾶς τὰ ἔχω εἰπεῖ, ὥστε, ὅταν θὰ ἔλθῃ ἡ ὥρα, νὰ ἐνθυμῆσθε αὐτά»˙ ὥστε ἀπὸ αὐτὰ νὰ θεωρῆτε καὶ τὰ ὑπόλοιπα ἀξιόπιστα˙ διότι δὲν θὰ ἠμπορῆτε νὰ εἰπῆτε ὅτι διὰ νὰ σᾶς κολακεύσω ἔλεγον μόνον τὰ εὐχάριστα, ὅτι τὰ λόγια μου ἦταν ἀπατηλά˙ διότι δὲν θὰ ἠμποροῦσεν, ἐκεῖνος ποὺ σκέπτεται νὰ ἐξαπατήσῃ, νὰ προείπῃ εἰς ἐσᾶς καὶ αὐτὰ ποὺ σᾶς ἀποτρέπουν νὰ μένετε μαζί μου. Διὰ τοῦτο λοιπὸν τὰ προεῖπα, διὰ νὰ μὴ σᾶς διαταράξουν ἐρχόμενα ἀπροσδόκητα, ἀλλὰ καὶ δι' ἄλλην αἰτίαν, διὰ νὰ μὴ λέγετε ὅτι δὲν προεγνώριζον ὅτι αὐτὰ θὰ συμβοῦν. «Νὰ ἐνθυμῆσθε ὅτι αὐτὰ σᾶς τὰ εἶπα ἐγώ»˙ καθ' ὅσον πάντοτε προέβαλον οἱ διῶκται αὐτῶν διὰ τὴν δίωξίν των πονηρὰν δικαιολογίαν, καταδιώκοντες αὐτοὺς ὡσὰν καταστροφεῖς. Ἀλλὰ δὲν τοὺς ἀνησυχοῦσε τοὺς μαθητὰς αὐτό, καθ' ὅσον ἤκουσαν ἐκ τῶν προτέρων καὶ ἐγνώριζον τὴν αἰτίαν διὰ τὴν ὁποίαν ἔπασχον˙ διότι ἦτο ἱκανὴ ἡ αἰτία τῶν ὅσων συνέβαινον νὰ τοὺς δώσῃ θάρρος. Διὰ τοῦτο αὐτὴν παντοῦ ἐπαναλαμβάνει, λέγων, «Δὲν μὲ ἐγνώρισαν», καὶ ὅτι «αὐτὰ θὰ τὰ κάνουν ἐξ αἰτίας μου καὶ διότι θὰ φέρετε τὸ ὄνομά μου καὶ θὰ ἔχετε πίστιν εἰς τὸν Πατέρα»[13], καὶ ὅτι «ἐγὼ πρῶτος ἔπαθον», καὶ ὅτι «δὲν ἐπιχειροῦν αὐτὰ ἀπὸ δικαιολογημένην αἰτίαν.

4. Αὐτὰ ἂς σκεπτώμεθα καὶ ἡμεῖς κατὰ τὰς δοκιμασίας, ὅταν πάσχωμεν κάτι ἐκ μέρους τῶν πονηρῶν ἀνθρώπων, ἔχοντες ἐστραμμένον τὸ βλέμμα μας πρὸς τὸν ἀρχηγόν μας καὶ τελειωτὴν τῆς πίστεως καὶ ὅτι τὰ πάσχομεν ἀπὸ ἀνηθίκους ἀνθρώπους καὶ χάριν τῆς ἀρετῆς καὶ χάριν αὐτοῦ˙ διότι, ἐὰν σκεπτώμεθα αὐτά, ὅλα θὰ εἶναι εὔκολα καὶ ὑποφερτά˙ καθ' ὅσον, ἐὰν κάποιος, πάσχων κάτι ὑπὲρ ἀγαπητῶν προσώπων, καυχᾶται δι' αὐτό, ἐὰν πάθῃ κάτι χάριν τοῦ Θεοῦ, ποίαν αἴσθησιν θὰ λάβῃ δι' αὐτὰ τὰ δεινά; Διότι ἐὰν αὐτὸς τὸν σταυρόν, ποὺ εἶναι πρᾶγμα ἐπονείδιστον, τὸν ὠνόμαζε πρὸς χάριν μας δόξαν, πολὺ περισσό-

διακεῖσθαι χρή· εἰ γὰρ παθῶν οὕτω δυνάμεθα καταφρονεῖν, πολλῷ μᾶλλον χρημάτων καὶ πλεονεξίας. Δεῖ τοίνυν, ὅταν τι μέλλωμεν πάσχειν ἀηδές, μὴ τοὺς πόνους, ἀλλὰ καὶ τοὺς στεφάνους ἐννοεῖν· ὥσπερ γὰρ οἱ ἔμποροι αὐτὰ πελάγη μόνον, ἀλλὰ καὶ τὰ κέρδη λογίζονται, οὕτω καὶ ἡμᾶς τὸν οὐρανόν, καὶ τὴν πρὸς τὸν Θεὸν παρρησίαν ἀναλογίζεσθαι χρή. Κἂν ἡδὺ φανῇ τὸ πλεονεκτεῖν, ἐννόησον ὅτι ὁ Χριστὸς οὐ βούλεται, καὶ ἀηδὲς εὐθέως φανεῖται· πάλιν, ἂν ἐπαχθὲς ᾖ τὸ πένησι διδόναι, μὴ μέχρι τῆς δαπάνης στήσῃς τὸν λογισμόν, ἀλλ' εὐθέως μετάγαγε τὴν διάνοιαν ἐπὶ τὸν ἀμητὸν ἀπὸ τοῦ σπόρου. Καὶ ὅταν φορτικὸν ᾖ τὸ καταφρονεῖν ἔρωτος γυναικὸς ἀλλοτρίας, λογίζου τὸν ἀπὸ τοῦ πόνου στέφανον, καὶ ῥᾳδίως οἴσεις τὸν πόνον· εἰ γὰρ ἀνθρώπων φόβος ἀποτρέπει τῶν ἀτόπων πραγμάτων, πολλῷ μᾶλλον ὁ τοῦ Χριστοῦ πόθος.

Σκληρὰ ἡ ἀρετή· ἀλλὰ περιθῶμεν αὐτῆς τῇ ὄψει τῆς τῶν μελλόντων ἐπαγγελίας τὸ μέγεθος· οἱ μὲν γὰρ ἐνάρεται καὶ χωρὶς τούτων αὐτὴν καθ' ἑαυτὴν ὡραίαν ὁρῶσι, καὶ διὰ τοῦτο αὐτὴν μετέρχονται, καὶ διὰ τὸ τῷ Θεῷ δοκοῦν, οὐκ ἐπὶ μισθῷ ἐργάζονται, καὶ μέγα ἡγοῦνται τὸ σωφρονεῖν διὰ τὸ μὴ κολάζεσθαι, ἀλλ' ἐπειδὴ ὁ Θεὸς ἐπέταξεν. Εἰ δέ τις ἀσθενέστερος, καὶ τὰ βραβεῖα ἐννοείτω. Οὕτω καὶ ἐπὶ τῆς ἐλεημοσύνης ποιῶμεν, καὶ ἐλεῶμεν τοὺς ὁμοφύλους, μὴ δὴ περιορῶμεν ὑπὸ τοῦ λιμοῦ φθειρομένους· πῶς γὰρ οὐκ ἄτοπον αὐτοὺς μὲν ἐπὶ τῆς τραπέζης καθέζεσθαι γελῶντας καὶ τρυφῶντας, ἑτέρων δὲ διὰ τοῦ ἀμφόδου παριόντων ἀκούοντας ὀλοφυρομένων, μηδὲ ἐπιστρέφεσθαι πρὸς τὴν ὀ-

τερον πρέπει ἡμεῖς νὰ δείχνωμεν τέτοιαν διάθεσιν· καθ' ὅσον, ἐὰν ἔχωμεν τὴν δύναμιν ἔτσι νὰ περιφρονοῦμεν τὰ πάθη, πολὺ περισσότερον πρέπει νὰ περιφρονοῦμεν τὰ χρήματα καὶ τὴν πλεονεξίαν. Πρέπει λοιπόν, ὅταν πρόκειται νὰ μᾶς συμβῇ κάτι τὸ δυσάρεστον, νὰ σκεπτώμεθα ὄχι μόνον τοὺς κόπους, ἀλλὰ καὶ τοὺς στεφάνους· διότι, ὅπως ἀκριβῶς οἱ ἔμποροι σκέπτονται ὄχι μόνον τὰ πελάγη, ἀλλὰ καὶ τὸ κέρδος, ἔτσι καὶ ἡμεῖς πρέπει νὰ σκεπτώμεθα τὸν οὐρανὸν καὶ τὴν πρὸς τὸν Θεὸν παρρησίαν. Καὶ ἂν ἀκόμη σοῦ φανῇ εὐχάριστος ἡ πλεονεξία, σκέψου ὅτι ὁ Χριστὸς δὲν τὴν θέλει, καὶ ἀμέσως θὰ σοῦ φανῇ δυσάρεστος· πάλιν, ἐὰν εἶναι ἐνοχλητικὸν τὸ νὰ δίδῃς εἰς τοὺς πτωχούς, μὴ σταματήσῃς τὴν σκέψιν σου μέχρι τὴν δαπάνην, ἀλλ' ἀμέσως μετάφερε τὴν σκέψιν σου εἰς τὴν συγκομιδὴν τῶν καρπῶν ἀπὸ τὸν σπόρον ποὺ ρίπτεις. Καὶ ὅταν εἶναι φορτικὸν τὸ νὰ περιφρονῇς τὸν ἔρωτα ξένης γυναικός, σκέψου τὸν στέφανον ἀπὸ αὐτὸν τὸν κόπον, καὶ εὔκολα θὰ ὑπομείνῃς τὸν κόπον· διότι, ἐὰν ὁ φόβος τῶν ἀνθρώπων ἀποτρέπῃ ἀπὸ τὰ ἄτοπα πράγματα, πολὺ περισσότερον ὁ πόθος τοῦ Χριστοῦ.

Εἶναι σκληρὰ ἡ ἀρετή· ἀλλὰ ἂς περιβάλωμεν τὴν ὄψιν αὐτῆς μὲ τὸ μέγεθος τῶν μελλοντικῶν ὑποσχέσεων· διότι οἱ μὲν ἐνάρετοι καὶ χωρὶς αὐτὰ τὰ ἀγαθὰ βλέπουν αὐτὴν καθ' ἑαυτὴν ὡραίαν, καὶ διὰ τοῦτο ἀσκοῦν αὐτήν, καὶ ἐπειδὴ εἶναι ἀρεστὰ εἰς τὸν Θεόν, δὲν τὴν ἀσκοῦν διὰ ν' ἀμειφθοῦν, καὶ θεωροῦν σπουδαῖον πρᾶγμα τὴν σωφροσύνην, ὄχι ἐπειδὴ δὲν τιμωροῦνται, ἀλλ' ἐπειδὴ ὁ Θεὸς ἔδωσεν αὐτὴν τὴν ἐντολήν. Ἐὰν δὲ κάποιος εἶναι πνευματικὰ ἀσθενέστερος, ἂς σκέπτεται καὶ τὰ βραβεῖα. Τὸ ἴδιο ἂς κάμνωμεν καὶ κατὰ τὴν ἐλεημοσύνην, ἂς ἐλεῶμεν τοὺς συνανθρώπους μας καὶ ἂς μὴ τοὺς περιφρονοῦμεν τὴν στιγμὴν ποὺ πεθαίνουν ἀπὸ τὴν πεῖναν· διότι πῶς δὲν εἶναι παράλογον οἱ ἴδιοι μὲν νὰ καθώμεθα γύρω ἀπὸ τὴν τράπεζαν γελῶντες καὶ ἀπολαμβάνοντες τὰ ἀγαθά, ἐνῷ ἀκούομεν ἄλλους νὰ περνοῦν ἀπὸ τὴν πάροδον θρηνοῦντες, καὶ νὰ μὴ στρέφωμεν τὸ βλέμμα μας πρὸς τὸ μέρος ποὺ

λολυγήν, ἀλλὰ καὶ δυσχεραίνειν, καὶ ἀπατεῶνα καλεῖν; Τί λέγεις, ἄνθρωπε; δι' ἄρτον ἕνα τις ἀπάτην πλέκει; Ναί, φησίν. Οὐκοῦν ταύτῃ μάλιστα ἐλεείσθω· ταύτῃ μάλιστα τῆς ἀνάγκης ἀπαλλαττέσθω. Εἰ δὲ μὴ βούλει δοῦναι, μηδὲ ὑβρίσῃς· εἰ δὲ μὴ βούλει λῦσαι τὸ ναυάγιον, μὴ ὤσῃς εἰς βάραθρον. Ἐννόησον γάρ, ὅταν προσελθόντα ἀπώσῃ τὸν πένητα, τίς ἔσῃ τὸν Θεὸν παρακαλῶν· «ᾧ γὰρ μέτρῳ μετρεῖτε», φησίν, «ἀντιμετρηθήσεται ὑμῖν». Ἐννόησον πῶς συντριβεὶς ἐκεῖνος ἄπεισι, κάτω κεκυφώς, ὀδυρόμενος, μετὰ τῆς πενίας καὶ τὴν ἀπὸ τῆς ὕβρεως πληγὴν λαβών· εἰ γὰρ τὸ ἐπαιτεῖν κατάραν ὑμεῖς τίθεσθε, τὸ αἰτοῦντα μὴ λαβεῖν, καὶ ὑβρισθέντα ἀπελθεῖν σκόπει πόσον χειμῶνα ἐργάζεται.

Μέχρι τίνος τοῖς θηρίοις ἐοίκαμεν, καὶ τὴν φύσιν αὐτὴν διὰ τὴν πλεονεξίαν ἀγνοοῦμεν; Πολλοὶ στενάζουσιν ἐπὶ τούτοις· ἀλλ' οὐ βούλομαι νῦν, ἀλλὰ διὰ παντὸς τοῦτον ἔχειν τὸν ἔλεον. Ἐννόησόν μοι τὴν ἡμέραν ἐκείνην, ὅταν παραστῶμεν τῷ βήματι τοῦ Χριστοῦ, ὅταν παρακαλῶμεν ἐλεηθῆναι, καὶ εἰς μέσον αὐτοὺς ἀγαγὼν ὁ Χριστὸς λέγῃ πρὸς ἡμᾶς ὅτι 'δι' ἄρτον ἕνα καὶ ὀβολὸν ἕνα τοσοῦτον ταῖς ψυχαῖς ταύταις ἐνειργάσασθε κλυδώνιον', τί ἐροῦμεν; τί δὲ ἀπολογησόμεθα; Ὅτι γὰρ καὶ εἰς μέσον αὐτοὺς ἄξει, ἄκουσον τί φησιν· «Ἐφ' ὅσον οὐκ ἐποιήσατε ἑνὶ τούτων, οὐδὲ ἐμοὶ ἐποιήσατε»· οὐδὲ γὰρ ἐκεῖνοι λοιπὸν ἐροῦσί τι πρὸς ἡμᾶς, ἀλλ' ὁ Θεὸς ὑπὲρ αὐτῶν ἡμῶν καθάψεται. Ἐπεὶ καὶ τὸν Λάζαρον ὁ πλούσιος εἶδε, καὶ ὁ μὲν Λάζαρος οὐδὲν πρὸς αὐτὸν εἶπεν, ὁ δὲ Ἀβραὰμ τὸν ὑπὲρ ἐκείνου λόγον ἐποιήσατο. Οὕτω καὶ ἐπὶ τῶν πενήτων ἔσται τῶν νῦν παρ' ἡμῶν καταφρονουμένων· οὐ γὰρ χεῖρας αὐτοὺς προτείνον-

14. Ματθ. 7, 2.
15. Ματθ. 25, 45.

ἀκούγεται ὁ θρῆνος, ἀλλὰ καὶ νὰ δυσανασχετοῦμεν καὶ νὰ τὸν ὀνομάζωμεν ἀπατεῶνα; Τί λέγεις, ἄνθρωπε; δι' ἕνα ἄρτον ἐπινοεῖ κανεὶς ἀπάτην; Ναί, λέγει. Λοιπὸν δι' αὐτὸν ἀκριβῶς τὸν λόγον κυρίως πρέπει νὰ ἐλεῆται· δι' αὐτὸν τὸν λόγον πρὸ πάντων πρέπει ν' ἀπαλλάσσεται ἀπὸ τὴν ἀνάγκην. Ἐὰν ὅμως δὲν θέλῃς νὰ δώσῃς, μὴ τὸν ὑβρίσῃς· ἐὰν δὲ δὲν θέλῃς νὰ τερματίσῃς τὸ ναυάγιον, μὴ τὸ σπρώξῃς εἰς τὸ βάραθρον. Διότι σκέψου ποία θὰ εἶναι ἡ θέσις σου παρακαλῶν τὸν Θεόν, ὅταν ἀπομακρύνῃς τὸν πτωχὸν ποὺ θὰ ἔλθῃ νὰ σοῦ ζητήσῃ βοήθειαν· διότι λέγει· «Μὲ τὸ μέτρον ποὺ κρίνετε τοὺς ἄλλους μὲ τὸ ἴδιο θὰ κριθῆτε καὶ σεῖς»[14]. Σκέψου πῶς φεύγει ἐκεῖνος συντετριμμένος, μὲ σκυμένην τὴν κεφαλήν, μὲ ὀδυρμούς, παίρνων μαζί του μαζὶ μὲ τὴν πτωχείαν του καὶ τὴν πληγὴν ἀπὸ τὴν ὕβριν σου· διότι, ἐὰν σεῖς θεωρῆτε τὴν ἐπαιτείαν κατάραν σκέψου πόσην συμφορὰν προκαλεῖ εἰς κάποιον ποὺ ζητεῖ καὶ δὲν λαμβάνει καὶ ἀναχωρεῖ ὑβριζόμενος.

Μέχρι πότε θὰ ὁμοιάζωμεν μὲ τὰ θηρία καὶ θὰ ἀγνοοῦμεν τὴν ἰδικήν μας φύσιν ἐξ αἰτίας τῆς πλεονεξίας; Πολλοὶ στενάζουν δι' αὐτά· ἀλλὰ δὲν θέλω τώρα μόνον, ἀλλὰ νὰ δείχνουν αὐτὴν τὴν εὐσπλαγχνικὴν διάθεσιν πάντοτε. Σκέψου σὲ παρακαλῶ, τὴν ἡμέραν ἐκείνην, ὅταν θὰ παρουσιασθῶμεν ἐμπρὸς εἰς τὸ βῆμα τοῦ Χριστοῦ, ὅταν θὰ παρακαλῶμεν νὰ ἐλεηθῶμεν καὶ θὰ λέγῃ πρὸς ἡμᾶς ὁδηγῶν ἔμπροσθέν μας ὁ Χριστὸς αὐτούς, 'δι' ἕνα ἄρτον καὶ ἕνα ὀβολὸν ἐπροξενήσατε εἰς τὰς ψυχὰς τόσην τρικυμίαν' τί θὰ εἴπουμεν; τί θὰ ἀπολογηθοῦμεν; Τὸ ὅτι βέβαια θὰ τοὺς ὁδηγήσῃ ἔμπροσθέν μας, ἄκουσε τί λέγει· «Ἐφ' ὅσον δὲν ἐβοηθήσατε ἕνα ἀπὸ αὐτούς, οὔτε εἰς ἐμένα τὸ ἐκάματε αὐτὸ»[15]· διότι τότε ἐκεῖνοι δὲν θὰ εἴπουν τίποτε πρὸς ἡμᾶς, ἀλλ' ὁ Θεὸς θὰ κατηγορήσῃ διὰ λογαριασμὸν αὐτῶν. Διότι καὶ ὁ πλούσιος εἶδε τὸν Λάζαρον, καὶ ὁ μὲν Λάζαρος δὲν εἶπε τίποτε πρὸς αὐτόν, ὁ δὲ Ἀβραὰμ ὡμίλησε διὰ λογαριασμὸν ἐκείνου. Τὸ ἴδιο θὰ συμβῇ καὶ μὲ τοὺς πτωχοὺς ποὺ περιφρονοῦνται σήμερα ἀπὸ ἡμᾶς· διότι δὲν θὰ ἰδοῦμεν αὐτοὺς ν' ἀπλώνουν τὰ χέρια των μὲ ἀξιολύπητον

τας ὀψόμεθα ἐλεεινῷ σχήματι, ἀλλ' ἐν ἀναπαύσει ὄντας· ἡμεῖς δὲ τὸ ἐκείνων ληψόμεθα σχῆμα· καὶ εἴθε τὸ σχῆμα μόνον, καὶ μὴ τὸ πολῷ χαλεπώτερον, τιμωρίαν! Οὐδὲ γὰρ ὁ πλούσιος ψιχίων ἐπεθύμει χορτασθῆναι ἐκεῖ, ἀλλ' ἀπειηγανίζετο καὶ ἐκολάζετο χαλεπῶς καὶ ἤκουσεν ὅτι «ἀπέλαβες τὰ ἀγαθὰ ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος τὰ κακά». Μὴ τοίνυν μέγα τι τὸν πλοῦτον νομίζωμεν· οὗτος γὰρ ἐφόδιον ἡμῖν ἔσται κολάσεως, ἐὰν μὴ προσέχωμεν· ὥσπερ οὖν, ἐὰν προσέχωμεν, καὶ ἡ πενία προσθήκη γίνεται καὶ τρυφῆς καὶ ἀναπαύσεως ἡμῖν· καὶ γὰρ καὶ ἁμαρτήματα ἀποτιθέμεθα, ἂν εὐχαρίστως ταύτην φέρωμεν, καὶ πολλὴν παρὰ Θεῷ κτώμεθα τὴν παρρησίαν.

5. *Μὴ τοίνυν ἀεὶ τὴν ἄδειαν ζητῶμεν, ἵνα ἀδείας ἀπολαύσωμεν ἐκεῖ, ἀλλὰ τοὺς ὑπὲρ ἀρετῆς δεξώμεθα πόνους, καὶ τὰ περιττὰ περικόπτωμεν, καὶ μηδὲν πλέον ἐπιζητῶμεν, ἀλλ' εἰς τοὺς δεομένους τὰ ὄντα πάντα ἀναλίσκωμεν· τίνα γὰρ ἕξομεν ἀπολογίαν, ὅταν αὐτὸς μὲν ἡμῖν τὸν οὐρανὸν ἐπαγγέλληται, ἡμεῖς δὲ μηδὲ ἄρτον αὐτῷ παρέχωμεν; ὅταν αὐτὸς μέν σοι τὸν ἥλιον ἀνατέλλῃ, καὶ πᾶσαν τῆς κτίσεως παρέχῃ τὴν διακονίαν, σὺ δὲ οὐδὲ ἱμάτιον αὐτῷ δίδως, οὐδὲ στέγης κοινωνεῖν ποιεῖς; Καὶ τί λέγω ἥλιον καὶ κτίσιν; Τὸ σῶμά σοι παρέθηκε, τὸ αἷμα τὸ τίμιον ἔδωκε, σὺ δὲ οὐδὲ ποτηρίου μεταδίδως; Ἀλλ' ἔδωκας ἅπαξ; Ἀλλ' οὐκ ἔστι τοῦτο ἔλεος· ἕως γὰρ ἂν ἔχων μὴ ἐπαρκῇς, οὐδέπω τὸ πᾶν ἐπλήρωσας· ἐπεὶ καὶ αἱ παρθένοι, τὰς λαμπάδας ἔχουσαι, εἶχον ἔλαιον, ἀλλ' οὐ δαψιλές. Ἐχρῆν μὲν οὖν, εἰ καὶ ἀπὸ τῶν σαυτοῦ παρεῖχες, μηδὲ οὕτως εἶναι φειδωλός, νῦν δέ, τὰ τοῦ Δεσπότου διδούς, τίνος ἕνεκεν μικρολογῇ; Εἴπω βούλεσθε τὴν αἰτίαν ταύτης τῆς ἀπανθρωπίας; Ἀπὸ πλεονεξίας συνάγουσι τὰ ὄντα, καὶ πρὸς τὴν ἐλεημοσύνην εἰσὶν ὀκνηροὶ οὗτοι· ὁ γὰρ οὕτω μαθὼν κερδαίνειν, ἀναλί-*

16. Λουκᾶ 16, 25.
17. Ματθ. 5, 45.

στάσιν, ἀλλὰ ν᾽ ἀναπαύωνται· ἡμεῖς θὰ λάβωμεν τὴν ὄψιν ἐκείνων· καὶ μακάρι μόνον τὴν ὄψιν, καὶ ὄχι τὸ πολὺ πιὸ φοβερώτερον, δηλαδὴ τὴν τιμωρίαν! Διότι οὔτε ὁ πλούσιος ἐπιθυμοῦσε νὰ χορτάσῃ ἐκεῖ μὲ τὰ ψιχία, ἀλλὰ κατεκαίετο καὶ ἐτιμωρεῖτο φοβερὰ καὶ ἤκουσεν· «Σὺ ἀπήλαυσες τὰ ἀγαθά σου ὅταν ἔζης καὶ ὁ Λάζαρος τὰ κακά»[16]. Ἂς μὴ θεωροῦμεν λοιπὸν τίποτε σπουδαῖον πρᾶγμα τὸν πλοῦτον· διότι αὐτὸς θὰ μᾶς εἶναι ἐφόδιον διὰ τὴν κόλασιν, ἐὰν δὲν προσέχωμεν· ὅπως πάλιν βέβαια, ἐὰν προσέχωμεν, καὶ ἡ πτωχεία γίνεται ἀφορμὴ ἀπολαύσεως καὶ ἀναπαύσεως δι᾽ ἡμᾶς· καθ᾽ ὅσον καὶ ἀπὸ τὰ ἁμαρτήματά μας ἀπαλλασσόμεθα, ἐὰν μὲ εὐχαρίστησιν δεχώμεθα αὐτὴν καὶ ἀποκτῶμεν πολλὴν παρρησίαν ἐνώπιον τοῦ Θεοῦ.

5. Ἂς μὴ ζητῶμεν λοιπὸν πάντοτε τὴν ἄνεσιν, διὰ ν᾽ ἀπολαύσωμεν ἐκεῖ ἄνεσιν, ἀλλὰ νὰ δεχθῶμεν τοὺς ὑπὲρ τῆς ἀρετῆς κόπους καὶ νὰ ἀποφεύγωμεν τὰ περιττὰ καὶ τίποτε ἐπὶ πλέον νὰ μὴ ἐπιζητῶμεν, ἀλλὰ νὰ ἐξοδεύωμεν ὅλα τὰ ὑπάρχοντά μας εἰς αὐτοὺς ποὺ ἔχουν ἀνάγκην· διότι ποίαν δικαιολογίαν θὰ ἔχωμεν, ὅταν ὁ μὲν Κύριος μᾶς ὑπόσχεται τὸν οὐρανὸν ἡμεῖς δὲ δὲν τοῦ δίδωμεν οὔτε ἄρτον; ὅταν αὐτὸς μὲν ἀνατέλλῃ εἰς ἐσένα τὸν ἥλιον[17] καὶ σοῦ παρέχῃ ὅλην τὴν ὑπηρεσίαν τῆς κτίσεως, σὺ δὲ οὔτε ἔνδυμα δίδεις εἰς αὐτόν, οὔτε τὸν καθιστᾷς μέτοχον τῆς στέγης σου; Καὶ διατί ἀναφέρω τὸν ἥλιον καὶ τὴν κτίσιν; Σοῦ ἔδωσε τὸ σῶμα του, σοῦ ἔδωσε τὸ τίμιον αἷμά του, σὺ δὲ οὔτε ἕνα ποτήρι νερὸ τοῦ δίδεις; Ἀλλ᾽ ἔδωσες μίαν φοράν; Δὲν εἶναι αὐτὸ ὅμως ἐλεημοσύνη· διότι ἐν ὅσῳ ἔχεις καὶ δὲν βοηθεῖς, δὲν ἐξεπλήρωσες ὅλον τὸ ἔργον σου· διότι καὶ αἱ παρθένοι ποὺ εἶχον τὰς λαμπάδας, εἶχον ἔλαιον, ἀλλ᾽ ὄχι ἄφθονον. Ἔπρεπε λοιπόν, καὶ ἂν ἀκόμη ἔδιδες ἀπὸ τὰ ἰδικά σου, οὔτε ἔτσι νὰ ἦσουν σφιχτοχέρης, τώρα ὅμως, δίδων ἀπὸ τὰ ἀγαθὰ τοῦ Κυρίου, διὰ ποῖον λόγον δείχνεις φιλαργυρίαν; Θέλετε νὰ σᾶς εἰπῶ τὴν αἰτίαν αὐτῆς τῆς ἀπανθρωπίας; Ἀπὸ πλεονεξίαν συγκεντρώνουν αὐτοὶ τὰ ὑπάρχοντά των καὶ εἶναι ὀκνηροὶ εἰς τὴν πραγματοποίησιν ἐλεημοσύνης· διότι ἐκεῖνος ποὺ

σκει οὐκ οἶδε. Πῶς γὰρ ἄν τις, παρεσκευασμένος εἰς ἁρπαγήν, πρὸς τὸ ἐναντίον ἑαυτὸν ῥυθμίσειεν; ὁ γὰρ τὰ παρ' ἑτέρων λαμβάνων πῶς δυνήσεται τὰ ἑαυτοῦ προέσθαι ἑτέρῳ; Καὶ γὰρ κύων, μελετήσας σαρκῶν ἀπογεύεσθαι, φυλάττειν οὐκ ἔτι δύναται τὴν ἀγέλην· διὰ τοῦτο τοὺς τοιούτους καὶ ἀναιροῦσιν οἱ ποιμένες. Ὅπερ ἵνα μὴ καὶ ἡμεῖς πάσχωμεν, ἀποσχώμεθα τῆς τοιαύτης θοίνης· καὶ γὰρ καὶ οὗτοι σαρκῶν ἀπο̣φεύγονται, οἱ τὸν διὰ λιμοῦ θάνατον ἐπεισάγοντες.

Οὐχ ὁρᾷς πῶς πάντα κοινὰ ἡμῖν ἀνῆκεν ὁ Θεός; Εἰ γὰρ ἐν χρήμασιν εἴασε πένεσθαι, καὶ αὐτὸ τῆς τῶν πλουτούντων ἕνεκα παραμυθίας, ἵνα ἔχωσι διὰ τῆς εἰς ἐκείνους ἐλεημοσύνης ἀπαδύεσθαι τὰ ἁμαρτήματα· σὺ δὲ καὶ ἐν τούτῳ ὠμὸς καὶ ἀπάνθρωπος γέγονας. Ὅθεν δῆλον ὅτι, εἰ καὶ ἐν τοῖς μείζοσι ταύτην ἔλαβες τὴν ἐξουσίαν, μυρίους ἂν εἰργάσω φόνους, καὶ τὸ φῶς καὶ τὴν ζωὴν ἅπασαν ἀπέκλεισας· ὅπερ ἵνα μὴ γένηται, ἀνάγκη τὴν ἐν ἐκείνοις ἀπληστίαν διέκοψεν. Εἰ δὲ ἀλγεῖτε, ταῦτα ἀκούοντες, πολλῷ μᾶλλον ἐγώ, ταῦτα γινόμενα ὁρῶν. Μέχρι πότε σὺ πλούσιος κἀκεῖνος πένης; Μέχρι τῆς ἑσπέρας, περαιτέρω δὲ οὐκ ἔτι· οὕτω γὰρ βραχὺς ὁ βίος, καὶ πάντα ἐπὶ θύραις ἕστηκε λοιπόν, ὡς ὥραν βραχεῖαν τὸ πᾶν εἶναι νομίζεσθαι. Τί σοι δεῖ ταμιείων ἐρευγομένων, καὶ πλήθους οἰκετῶν καὶ οἰκονόμων; διὰ τί μὴ μυρίους ἔχεις κήρυκας τῆς ἐλεημοσύνης; Τὸ μὲν γὰρ ταμιεῖον οὐδεμίαν ἀφίησι φωνήν, ἀλλὰ καὶ πολλοὺς ἐπισπάσεται λῃστάς· τὰ δὲ τῶν πενήτων ταμιεῖα πρὸς αὐτὸν ἀναβήσεται τὸν Θεόν· καὶ ἡδὺν τὸν παρόντα ἐργάσεται βίον, καὶ πάντα λύσει τὰ ἁμαρτήματα, καὶ δόξαν παρὰ

ἔμαθε νὰ κερδίζῃ μὲ αὐτὸν τὸν τρόπον, δὲν γνωρίζει ὅτι πρέπει καὶ νὰ δαπανᾷ τὰ χρήματά του. Διότι πῶς εἶναι δυνατόν, ἕνας, ποὺ εἶναι μαθημένος νὰ ἁρπάζῃ, νὰ ρυθμίσῃ τὸν ἑαυτόν του διὰ τὸ ἀντίθετον; ἐκεῖνος ποὺ ἁρπάζει τὰ ὑπάρχοντα τῶν ἄλλων, πῶς θὰ ἠμπορέσῃ νὰ δώσῃ τὰ ἰδικά του εἰς ἄλλον; Καθ' ὅσον σκύλος, ποὺ ἔμαθε νὰ τρώγῃ σάρκας, δὲν ἠμπορεῖ πλέον νὰ φυλάττῃ τὴν ἀγέλην· διὰ τοῦτο αὐτοὺς τοὺς σκύλους οἱ ποιμένες τοὺς σκοτώνουν. Διὰ νὰ μὴ πάθωμεν λοιπὸν καὶ ἡμεῖς τὸ ἴδιο, ἂς ἀπέχωμεν ἀπὸ αὐτὴν τὴν τροφήν· καθ' ὅσον σάρκας τρώγουν καὶ αὐτοὶ ποὺ συντελοῦν εἰς τὸν θάνατον διὰ τῆς πείνης.

Δὲν βλέπεις πῶς ὁ Θεὸς μᾶς τὰ παρεχώρησεν ὅλα κοινά; Ἐὰν βέβαια ἐπέτρεψε νὰ ὑπάρχουν καὶ πτωχοὶ ἀπὸ χρήματα, καὶ αὐτὸ τὸ ἔκαμε πρὸς παρηγορίαν τῶν πλουσίων, διὰ νὰ ἠμποροῦν μὲ τὴν ἐλεημοσύνην των πρὸς ἐκείνους νὰ ἀπαλλάσσωνται ἀπὸ τὰ ἁμαρτήματά των· σὺ ὅμως καὶ εἰς αὐτὸ ἔγινες σκληρὸς καὶ ἀπάνθρωπος. Ὅθεν εἶναι φανερὸν ὅτι, ἐὰν καὶ εἰς σπουδαιότερα πράγματα ἐλάμβανες αὐτὴν τὴν ἐξουσίαν, θὰ διέπραττες ἀπείρους φόνους, καὶ θὰ ἀπέκλειες τὸ φῶς καὶ ὅλην τὴν ζωήν, πρᾶγμα διὰ νὰ μὴ συμβῇ κατ' ἀνάγκην ἀπέκλεισε τὴν ἀπληστίαν δι' ἐκεῖνα. Ἐὰν δὲ λυπῆσθε, ἀκούοντες αὐτὰ τὰ λόγια, πολὺ περισσότερον ἐγώ, βλέπων αὐτὰ νὰ συμβαίνουν. Μέχρι πότε θὰ εἶσαι σὺ πλούσιος καὶ ἐκεῖνος πτωχός; Μέχρι τὴν ὥραν τοῦ θανάτου καὶ καθόλου παρὰ πέρα· διότι τόσον σύντομῃ εἶναι ἡ ζωὴ καὶ ὅλα πλέον εἶναι τόσον πλησίον, ὥστε τὸ πᾶν νὰ θεωρῆται ὡς σύντομος ὥρα. Τί σοῦ χρειάζονται τὰ γεμᾶτα θησαυροφυλάκια καὶ τὸ πλῆθος τῶν ὑπηρεσιῶν καὶ τῶν οἰκονόμων; διατί νὰ μὴ ἔχῃς ἀμετρήτους κήρυκας τῆς ἐλεημοσύνῃς σου; Διότι τὸ μὲν θησαυροφυλάκιον δὲν βγάζῃ καμμίαν φωνήν, ἀλλὰ καὶ πολλοὺς ληστὰς θὰ προσελκύσῃ, ἐνῷ ἡ φροντὶς τῶν πτωχῶν θὰ ἀνεβῇ πρὸς τὸν Θεὸν καὶ θὰ κάμῃ εὐχάριστον τὴν παροῦσαν ζωὴν καὶ θὰ σὲ ἀπαλλάξῃ ἀπὸ ὅλα τὰ ἁμαρτήματά σου καὶ θὰ σοῦ προσφέρῃ δόξαν ἐκ μέρους τοῦ Θεοῦ

Θεῷ, καὶ τιμὴν παρὰ ἀνθρώποις οἴσει. Τί τοίνυν φθονεῖς σεαυτῷ τοσούτων ἀγαθῶν; Οὐ γὰρ ἐκείνους, ἀλλὰ σαυτὸν εὐποιήσεις μειζόνως, ἐκείνους εὐεργετῶν· τοῖς μὲν γὰρ τὰ παρόντα ἐπανορθώσεις, σαυτῷ δὲ τὴν μέλλουσαν δόξαν καὶ παρρησίαν προαποθήσῃ· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

καὶ τιμὴν ἐκ μέρους τῶν ἀνθρώπων. Διατί λοιπόν ἀρνεῖσαι διὰ τόν ἑαυτόν σου τόσα ἀγαθά; Διότι δὲν θὰ ὠφελήσῃς ἐκείνους, ἀλλὰ τόν ἑαυτόν σου πολὺ περισσότερον, εὐεργετῶν ἐκείνους· διότι εἰς μὲν τοὺς πτωχοὺς θὰ ἐπανορθώσῃς τὴν παροῦσαν κατάστασιν, ἐνῷ διὰ τὸν ἑαυτόν σου θὰ συγκεντρώσῃς ἐκ τῶν προτέρων τὴν μέλλουσαν δόξαν καὶ παρρησίαν, τὴν ὁποίαν εὔχομαι ὅλοι μας νὰ ἐπιτύχωμεν, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΟΜΙΛΙΑ ΟΗ΄

Ἰω. 16, 4-15

«Ταῦτα δὲ ἐξ ἀρχῆς οὐκ εἶπον ὑμῖν, ὅτι μεθ' ὑμῶν ἤμην. Νῦν δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με, καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με· Ποῦ ὑπάγεις; Ἀλλ' ὅτι ταῦτα λελάληκα ὑμῖν, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν».

1. Μεγάλη τῆς ἀθυμίας ἡ τυραννίς, καὶ πολλῆς ἡμῖν τῆς ἀνδρείας δεῖ, ὥστε στῆναι πρὸς τουτὶ τὸ πάθος γενναίως, καί, τὸ χρήσιμον ἀπ' αὐτοῦ καρπουμένους, τὸ περισσὸν ἐᾶν· ἔχει γάρ τι καὶ χρήσιμον· ὅταν μὲν γὰρ ἁμαρτάνωμεν ἡμεῖς ἢ ἕτεροι, τότε μόνον λυπεῖσθαι καλόν, ὅταν δὲ ἀνθρωπίναις περιστάσεσιν ἐμπέσωμεν, ἄχρηστος λοιπὸν τῆς ἀθυμίας ἡ χρῆσις. Ἐπεὶ οὖν καὶ τοὺς μαθητάς, οὐδέπω τελείους ὄντας, αὕτη κατεπάλαισεν, ὅρα πῶς αὐτοὺς διορθοῦται διὰ τῆς ἐπιπλήξεως· οἱ γὰρ μυρία πρὸ τούτου αὐτὸν ἐρωτῶντες (καὶ γὰρ ὁ Πέτρος ἔλεγε· «Ποῦ ὑπάγεις;», καὶ ὁ Θωμᾶς δέ· «Οὐκ οἴδαμεν ποῦ ὑπάγεις, καὶ πῶς δυνάμεθα τὴν ὁδὸν εἰδέναι;», καὶ ὁ Φίλιππος· «Δεῖξον ἡμῖν τὸν Πατέρα σου»), οὗτοι νῦν, ἀκούσαντες ὅτι «ἀποσυναγώγους ποιήσουσι» καὶ ὅτι «μισήσουσιν ὑμᾶς», καὶ ὅτι, «ὁ ἀποκτείνας ὑμᾶς δόξει λατρείαν προσφέρειν τῷ Θεῷ», οὕτω κατέπεσον, ὡς ἀφασίᾳ κατασχεθῆναι λοιπόν, καὶ μηδὲν διαλέγεσθαι. Ὅπερ οὖν αὐτοῖς ὀνειδίζων ἔλεγε· «Ταῦτα ἐξ ἀρχῆς οὐκ εἶπον ὑμῖν, ὅτι μεθ' ὑμῶν ἤμην. Νῦν δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με, καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με· Ποῦ

---

1. Ἰω. 13, 36.
2. Ἰω. 14, 5.
3. Ἰω. 14, 8.
4. Ἰω. 16, 2.
5. Λουκᾶ 6, 22.
6. Ἰω. 16, 2.

ΟΜΙΛΙΑ ΟΗ΄

Ἰω. 16, 4-15

«Αὐτὰ δὲ δὲν σᾶς τὰ εἶπα ἀπὸ τὴν ἀρχήν, διότι ἤμουν μαζί σας. Τώρα ὅμως μεταβαίνω πρὸς ἐκεῖνον ποὺ μὲ ἀπέστειλε καὶ κανεὶς ἀπὸ σᾶς δὲν μὲ ἐρωτᾷ, ποῦ πηγαίνεις; Ἀλλ' ἐπειδὴ σᾶς εἶπα αὐτὰ ἡ λύπη ἐγέμισε τὴν καρδίαν σας».

1. Εἶναι μεγάλη ἡ τυραννία τῆς λύπης καὶ χρειαζόμεθα πολλὴν ἀνδρείαν, ὥστε νὰ σταθῶμεν ἀπέναντι ἀπὸ αὐτὸ τὸ πάθος μὲ γενναιότητα, καὶ καρπούμενοι τὴν χρησιμότητα ἀπὸ αὐτὸ νὰ ἀφήνωμεν κατὰ μέρος τὸ περιττόν˙ καθ' ὅσον ἔχει καὶ κάτι τὸ χρήσιμον˙ διότι, ὅταν ἁμαρτάνωμεν ἡμεῖς ἢ ἄλλοι, τότε μόνον εἶναι σωστὸν νὰ λυπούμεθα, ὅταν ὅμως περιπέσωμεν εἰς ἀνθρωπίνους καταστάσεις, τότε πλέον εἶναι ἄχρηστος ἡ χρῆσις τῆς λύπης. Ἐπειδὴ λοιπὸν καὶ τοὺς μαθητάς, ποὺ δὲν ἦσαν ἀκόμη πνευματικὰ τέλειοι, κατεκυρίευσεν αὐτή, πρόσεχε πῶς τοὺς διορθώνει μὲ τὴν ἐπίπληξιν˙ διότι ἐκεῖνοι ποὺ τοῦ ἔκαμαν ἀπείρους ἐρωτήσεις πρὶν ἀπὸ αὐτὸ (καθ' ὅσον ὁ Πέτρος ἔλεγε, «Ποῦ πηγαίνεις;»[1], καὶ ὁ Θωμᾶς, «Δέν γνωρίζομεν ποῦ πηγαίνεις καὶ πῶς ἠμποροῦμεν νὰ γνωρίζωμεν τὴν ὁδόν;»[2], καὶ ὁ Φίλιππος, «Δεῖξε μας τὸν Πατέρα σου»[3]), αὐτοὶ τώρα, ἀκούσαντες ὅτι οἱ Ἰουδαῖοι «θὰ τοὺς ἀφορίσουν»[4], καὶ ὅτι «Θὰ σᾶς μισήσουν»[5], καὶ ὅτι «ἐκεῖνος ποὺ θὰ σᾶς φονεύσῃ θὰ νομίσῃ ὅτι προσφέρει λατρείαν εἰς τὸν Θεόν»[6], τόσον πολὺ ἔχασαν τὸ θάρρος των, ὥστε νὰ μείνουν ἄλαλοι πλέον καὶ νὰ μὴ ἠμποροῦν τίποτε νὰ εἰποῦν εἰς αὐτόν. Ἀκριβῶς αὐτὸ λοιπὸν ἐπιτιμῶν ὁ Κύριος, ἔλεγεν˙ «Αὐτὰ δέν σᾶς τὰ εἶπα ἀπὸ τὴν ἀρχήν, διότι ἤμουν μαζί σας. Τώρα ὅμως μεταβαίνω πρὸς ἐκεῖνον ποὺ μέ ἀπέστειλε

ὑπάγεις; Ἀλλ' ὅτι ταῦτα λελάληκα ὑμῖν, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν.

Δεινὸν γὰρ ἡ τοιαύτη ἀμετρία, δεινόν, καὶ θανάτου κατασκευαστικόν. Διὰ τοῦτο ὁ Παῦλος ἔλεγε· «Μή πως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος». «Ταῦτα δὲ ἐξ ἀρχῆς οὐκ εἶπον ὑμῖν», φησί. Τίνος δὲ ἕνεκεν ἐξ ἀρχῆς οὐκ εἶπεν; Ἵνα μή τις λέγῃ ἀπὸ τῶν πολλάκις συμβάντων στοχαζόμενος ἔλεγε. Καὶ τί δήποτε πράγματι ἐπιχειρεῖ, τοσαύτην ἔχοντι δυσκολίαν; Ἤδειν μέν, φησίν, αὐτὰ καὶ ἐξ ἀρχῆς, καὶ οὐ διὰ τὸ μὴ εἰδέναι οὐκ ἔλεγον, ἀλλ' «ὅτι μεθ' ὑμῶν ἤμην». Καὶ τοῦτο ἀνθρωπίνως πάλιν· ὡσανεὶ ἔλεγεν· "Ὅτι ἐν ἀσφαλείᾳ ἦτε, καὶ ἐξὸν ἦν ἐρωτᾶν, ὅτε ἐβούλεσθε, καὶ ἐπ' ἐμὲ ὁ πόλεμος ἅπας ἀνεῤῥιπίζετο, καὶ περιττὸν ἦν εἰπεῖν ταῦτα ἐξ ἀρχῆς". Ἆρ' οὖν τοῦτο οὐκ εἶπεν; οὐχὶ τοὺς δώδεκα καλέσας ἔλεγεν, «Ἐπὶ ἡγεμόνας καὶ βασιλεῖς ἀχθήσεσθε, καὶ μαστιγώσουσιν ὑμᾶς ἐν ταῖς συναγωγαῖς»; πῶς οὖν φησιν ὅτι «ἀπ' ἀρχῆς οὐκ εἶπον»; Ὅτι μάστιγας καὶ ἀπαγωγὰς προανεφώνησεν, οὐ μὴν ὅτι οὕτω δόξει ὁ θάνατος αὐτῶν εἶναι περισπούδαστος, ὡς καὶ λατρείαν τὸ πρᾶγμα νομίζεσθαι· τοῦτο γὰρ πάντων μᾶλλον ἱκανὸν ἦν αὐτοὺς καταπλῆξαι, εἴ γε ἔμελλον ὡς ἀσεβεῖς καὶ λυμεῶνες κριθήσεσθαι. Πρὸς τούτοις δὲ κἀκεῖνό ἐστιν εἰπεῖν, ὅτι ἐκεῖ μέν, ἃ παρὰ τῶν ἐθνῶν ἔμελλον πάσχειν, εἶπεν, ἐνταῦθα δὲ καὶ τὰ Ἰουδαϊκὰ προσέθηκε μετὰ πλείονος τῆς ὑπερβολῆς, καὶ ὅτι ἐπὶ θύραις ἐστὶν ἐδίδαξε.

«Νῦν δὲ ὑπάγω; Ἀλλ' ὅτι ταῦτα λελάληκα ὑμῖν, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν». Οὐ μικρὰ καὶ αὕτη παραμυθία τὸ μαθεῖν αὐτοὺς ὅτι ᾔδει τῆς ἀθυμίας τὴν ὑπερβολήν·

---

7. Β' Κορ. 2, 7.
8. Ματθ. 10, 18· 17.

καὶ κανεὶς ἀπὸ σᾶς δὲν μὲ ἐρωτᾷ· Ποῦ πηγαίνεις; Ἀλλ' ἐπειδὴ σᾶς εἶπα αὐτά, ἡ λύπη ἐγέμισε τὴν καρδίαν σας».

Πράγματι εἶναι φοβερὸν πρᾶγμα ἡ ὑπερβολικὴ λύπη, εἶναι φοβερὸν καὶ γίνεται καὶ αἰτία θανάτου. Διὰ τοῦτο ὁ Παῦλος ἔλεγε· «Μὴ τυχὸν αὐτὸς καταποθῇ ἀπὸ τὴν ὑπερβολικὴν λύπην»[7]. «Αὐτὰ δὲ δὲν σᾶς τὰ εἶπα ἀπὸ τὴν ἀρχήν», λέγει. Διὰ ποῖον λόγον δὲν τὰ εἶπεν ἀπὸ τὴν ἀρχήν; Διὰ νὰ μὴ λέγῃ κανεὶς ὅτι τὰ ἔλεγε συμπεραίνων ἀπὸ αὐτὰ ποὺ πολλὲς φορὲς συμβαίνουν. Καὶ διατί τέλος πάντων ἐπιχειρεῖ ἕνα πρᾶγμα ποὺ ἔχει τόσην δυσκολίαν; Τὰ ἐγνώριζον μέν, λέγει, αὐτὰ ἀπὸ τὴν ἀρχὴν καὶ δὲν τὰ ἔλεγον ὄχι ἐπειδὴ δὲν τὰ ἐγνώριζον, ἀλλ' «ἐπειδὴ ἤμουν μαζί σας». Καὶ αὐτὸ τὸ λέγει ἀνθρωπίνως πάλιν· εἶναι ὡσὰν νὰ ἔλεγεν· Ἐπειδὴ ἦσθε ἀσφαλεῖς καὶ ἠμπορούσατε νὰ μὲ ἐρωτήσετε ὅταν ἠθέλατε, καὶ ὅλος ὁ πόλεμος ἐκσφενδονίζετο ἐναντίον μου, καὶ ἦτο περιττὸν νὰ σᾶς τὰ εἰπῶ αὐτὰ ἀπὸ τὴν ἀρχήν'. Ἄρά γε λοιπὸν δὲν τὸ εἶπεν αὐτό; δὲν ἔλεγε, καλέσας τοὺς δώδεκα, «Θὰ ὁδηγηθῆτε ἐνώπιον ἡγεμόνων καὶ βασιλέων καὶ θὰ σᾶς μαστιγώσουν μέσα εἰς τὰς συναγωγάς»[8]; Πῶς λοιπὸν λέγει ὅτι «δὲν σᾶς τὸ εἶπα ἀπὸ τὴν ἀρχήν; Διότι τότε προεῖπε τὰς μαστιγώσεις καὶ τὴν ὁδήγησίν των ἐνώπιον τῶν ἀρχῶν, δὲν εἶπεν ὅμως ὅτι ὁ θάνατός των θὰ θεωρηθῇ τόσον σημαντικός, ὥστε νὰ θεωρῆται τὸ πρᾶγμα αὐτὸ καὶ λατρεία· διότι αὐτὸ ἦτο περισσότερον ἱκανὸν ἀπὸ ὅλα νὰ καταπλήξῃ αὐτούς, τὸ ἐὰν δηλαδὴ ἐπρόκειτο νὰ δικασθοῦν ὡς ἀσεβεῖς καὶ καταστροφεῖς. Ἐπὶ πλέον δὲ καὶ ἐκεῖνο ἠμποροῦμεν νὰ εἰποῦμεν, ὅτι ἐκεῖ μὲν εἶπεν αὐτὰ ποὺ ἐπρόκειτο νὰ πάθουν ἀπὸ τοὺς Ἐθνικούς, ἐδῶ δὲ ἐπρόσθεσε μὲ ὑπερβολικὸν τόνον καὶ τὰ παθήματά των ἐκ μέρους τῶν Ἰουδαίων, καὶ τοὺς εἶπεν ὅτι αὐτὰ εὑρίσκονται πολὺ πλησίον.

«Τώρα δὲ μεταβαίνω πρὸς ἐκεῖνον ποὺ μὲ ἀπέστειλε καὶ κανεὶς ἀπὸ σᾶς δὲν λέγει· Ποῦ πηγαίνεις; Ἀλλ' ἐπειδὴ σᾶς τὰ εἶπα αὐτά, ἡ λύπη ἐκυρίευσε τὴν καρδίαν σας». Δὲν εἶναι καὶ αὐτὴ μικρὰ παρηγορία, τὸ νὰ μάθουν δηλαδὴ ὅτι ἐγνώριζε τὸ ὑπερβολικὸν μέγεθος τῆς λύπης των· διότι

ὑπὸ γὰρ τῆς ἀγωνίας τῆς διὰ τὴν ἐρημίαν τὴν αὐτοῦ, καὶ τοῦ τὰ μέλλοντα ἐκδέχεσθαι αὐτοὺς δεινὰ (οὐδὲ γὰρ ᾔδεσαν, εἰ δυνήσονται ἀνδρείως ἐνεγκεῖν), ἐξέστησαν. Τίνος οὖν ἕνεκεν οὐ μετὰ ταῦτα εἶπεν αὐτοῖς, ὅτε τοῦ Πνεύματος κατηξιώθησαν; Ἵνα μάθῃς ὅτι σφόδρα ἦσαν ἐνάρετοι· εἰ γάρ, μηδέπω Πνεύματος καταξιωθέντες, οὐκ ἀπεπήδησαν, τῇ λύπῃ καταχωσθέντες, ἐννόησον τίνες ἔμελλον ἔσεσθαι, τῆς χάριτος ἀπολαύσαντες· εἰ γὰρ τότε ἀκούσαντες ἤνεγκαν, τῷ Πνεύματι ἂν τὸ πᾶν ἐλογισάμεθα· νῦν δὲ ὁλόκληρος τῆς διανοίας αὐτῶν ἐστιν ὁ καρπός, καὶ σαφὴς τοῦ πόθου τοῦ περὶ τὸν Χριστὸν ἀπόδειξις, γυμνὴν ἔτι τὴν διάνοιαν βασανίζοντος. «Ἀλλ' ἐγὼ τὴν ἀλήθειαν ὑμῖν λέγω». Ὅρα πῶς παραμυθεῖται αὐτοὺς πάλιν· 'οὐ γὰρ τὰ πρὸς χάριν λέγω, φησίν, ἀλλά, κἂν μυριάκις λυπῆσθε, τὸ συμφέρον ἀκοῦσαι δεῖ· ὑμῖν μὲν γὰρ κατὰ γνώμην ἐστὶν ἐμὲ παρεῖναι, τὸ δὲ συμφέρον ἕτερον'. Κηδομένου δέ ἐστι τὸ μὴ ἐπὶ τοῖς συμφέρουσι τῶν γνωρίμων φείδεσθαι καὶ ἀπάγειν τοῦ λυσιτελοῦντος αὐτούς· «ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω», φησίν, «ὁ Παράκλητος οὐ μὴ ἔλθῃ».

Τί λέγουσιν ἐνταῦθα οἱ τὴν προσήκουσαν περὶ τοῦ Πνεύματος οὐκ ἔχοντες δόξαν; συμφέρει Δεσπότην ἀπελθεῖν, καὶ δοῦλον παραγενέσθαι; Ὁρᾷς πῶς πολλὴ τοῦ Πνεύματος ἡ ἀξία; «Ἐὰν δὲ ἀπέλθω, πέμψω αὐτὸν πρὸς ὑμᾶς». Καὶ τί τὸ κέρδος; Ἐκεῖνος ἐλθὼν ἐλέγξει τὸν κόσμον· τουτέστιν, οὐκ ἀτιμωρητὶ ταῦτα πράξουσιν, ἂν ἐκεῖνος ἔλθῃ· ἱκανὰ μὲν γὰρ καὶ τὰ ἤδη γεγενημένα ἐπιστομίσαι αὐτούς· ὅταν δὲ καὶ δι' ἐκείνου ταῦτα γίνηται, καὶ διδάγματα τελειότερα καὶ σημεῖα μείζονα, πολλῷ μᾶλλον κατακριθήσονται, ὁρῶντες

ἡ ἀγωνία διὰ τὴν ἔλλειψιν αὐτοῦ καὶ ἡ ἀναμονὴ τῶν μελλοντικῶν δεινῶν (διότι δὲν ἐγνώριζον ἐὰν θὰ ἠμπορέσουν νὰ τὰ ὑπομείνουν μὲ ἀνδρείαν) τοὺς ἄφησε καταπλήκτους. Διὰ ποῖον λόγον λοιπὸν δὲν τὰ εἶπεν αὐτὰ εἰς αὐτοὺς ὅταν ἠξιώθησαν νὰ λάβουν τὸ Πνεῦμα; Διὰ νὰ μάθῃς ὅτι ἦσαν πάρα πολὺ ἐνάρετοι· διότι, ἐάν, χωρὶς ἀκόμη νὰ ἀξιωθοῦν νὰ λάβουν τὸ Πνεῦμα, δὲν ἐγκατέλειψαν αὐτόν, κυριευθέντες ἀπὸ τὴν λύπην, σκέψου ποῖοι ἐπρόκειτο νὰ γίνουν ὅταν θ' ἀπελάμβανον τῆς χάριτος· καθ' ὅσον, ἐὰν τὰ ἤκουον τότε καὶ τὰ ὑπέμενον, τότε τὸ πᾶν θὰ τὸ ἀπεδίδομεν εἰς τὸ Πνεῦμα· τώρα ὅμως ὁλόκληρος ὁ καρπὸς εἶναι τῆς διανοίας των καὶ καθαρὰ ἀπόδειξις τοῦ πόθου των διὰ τὸν Χριστόν, ποὺ ἐβασάνιζε τὴν γυμνὴν ἀκόμη σκέψιν των. «Ἀλλ' ἐγὼ σᾶς λέγω τὴν ἀλήθειαν». Πρόσεχε πῶς τοὺς παρηγορεῖ καὶ πάλιν· διότι λέγει· Ἰδὲν σᾶς λέγω λόγια ποὺ προκαλοῦν εὐχαρίστησιν, ἀλλά, καὶ ἂν ἀκόμη εἶναι τόσον πολὺ δυσάρεστα αὐτά, πρέπει ν' ἀκούσετε αὐτὸ ποὺ σᾶς συμφέρει· διότι σεῖς μὲν ἐπιθυμεῖτε νὰ εἶμαι μαζί σας, τὸ συμφέρον σας ὅμως εἶναι ἄλλο'. Γνώρισμα δὲ ἐκείνου ποὺ φροντίζει διὰ φίλους εἶναι τὸ νὰ μὴ παρασύρεται, δι' ἐκεῖνα ποὺ συμφέρουν εἰς αὐτούς, ἀπὸ τὴν ἐπιθυμίαν των καὶ τοὺς ἀπομακρύνει ἔτσι ἀπὸ ἐκεῖνο ποὺ τοὺς ὠφελεῖ· διότι λέγει· «Ἐὰν ἐγὼ δὲν φύγω ἀπὸ κοντά σας ὁ Παράκλητος δὲν θὰ ἔλθῃ».

Τί λέγουν ἐδῶ ἐκεῖνοι ποὺ δὲν ἔχουν τὴν πρέπουσαν γνώμην περὶ τοῦ ἁγίου Πνεύματος; συμφέρει νὰ φύγῃ ὁ Κύριος καὶ νὰ ἔλθῃ ὁ δοῦλος; Βλέπεις πόσον μεγάλη εἶναι ἡ ἀξία τοῦ Πνεύματος; «Ἐὰν δὲ ἀπέλθω, θὰ στείλω αὐτὸν πρὸς ἐσᾶς». Καὶ ποῖο τὸ κέρδος; Ἐκεῖνος ὅταν θὰ ἔλθῃ θὰ ἐλέγξῃ τὸν κόσμον· δηλαδή, δὲν θὰ τὰ κάνουν αὐτὰ χωρὶς νὰ τιμωρηθοῦν, ἐὰν ἔλθῃ ὁ Παράκλητος· βέβαια εἶναι ἱκανὰ καὶ τὰ ὅσα ἤδη συνέβησαν νὰ ἀποστομώσουν αὐτούς, ὅταν ὅμως θὰ γίνουν αὐτὰ καὶ δι' ἐκείνου καὶ δοθοῦν διδάγματα τελειότερα καὶ γίνουν μεγαλύτερα θαύματα, πολὺ περισσότερον θὰ κατακριθοῦν, βλέποντες

τοσαῦτα ἐν τῷ ὀνόματί μου γινόμενα· ὅπερ σαφεστέραν ποιεῖ τῆς ἀναστάσεως τὴν ἀπόδειξιν· νῦν μὲν γὰρ δύνανται λέγειν ὅτι ὁ τοῦ τέκτονος υἱός, οὗ ἡμεῖς οἴδαμεν τὸν πατέρα καὶ τὴν μητέρα, ὅταν δὲ ἴδωσιν θάνατον λυόμενον, κακίαν ἐκβαλλομένην, χωλείαν φύσεως διορθουμένην, δαίμονας ἐλαυνομένους, Πνεύματος χορηγίαν ἄφατον, καὶ ταῦτα πάντα, ἐμοῦ καλουμένου, γινόμενα, τί ἐροῦσιν; Ἐμαρτύρησε γὰρ περὶ ἐμοῦ καὶ ὁ Πατήρ, μαρτυρήσει δὲ καὶ τὸ Πνεῦμα· καίτοι καὶ παρὰ τὴν ἀρχὴν ἐμαρτύρησεν, ἀλλὰ καὶ νῦν τοῦτο ποιήσει.

2. Τὸ δὲ «ἐλέγξει περὶ ἁμαρτίας» τοῦτ' ἔστι· «Πᾶσαν ἀπολογίαν αὐτῶν ἐκκόψει, καὶ δείξει πεπλημμεληκότας ἀσύγγνωστα'· «καὶ περὶ δικαιοσύνης, ὅτι ἐγὼ πρὸς τὸν Πατέρα πορεύομαι, καὶ οὐκ ἔτι θεωρεῖτέ με»· τουτέστιν, 'ὅτι ἄληπτον παρεσχόμην βίον'. Καὶ τοῦτο τεκμήριον, τὸ πρὸς τὸν Πατέρα πορεύεσθαι· ἐπειδὴ γὰρ αὐτῷ ἀεὶ τοῦτο ἐνεκάλουν, ὅτι οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, καὶ διὰ τοῦτο ἁμαρτωλὸν αὐτὸν ἔλεγον καὶ παράνομον, φησὶν ὅτι καὶ ταύτην ἀναιρήσει τὴν πρόφασιν· εἰ γὰρ τὸ νομίζεσθαι ἐμὲ μὴ εἶναι ἐκ τοῦ Θεοῦ, τοῦτο παράνομον δείκνυσιν, ὅταν δείξῃ τὸ Πνεῦμα ἐκεῖ με ἀπελθόντα, καὶ οὐ πρὸς ὥραν, ἀλλὰ μένοντα ἐκεῖ (τὸ γὰρ «οὐκ ἔτι θεωρεῖτέ με», τοῦτό ἐστι δηλοῦντος), τί ἐροῦσι λοιπόν; Ὅρα διὰ δύο τούτων ἀναιρουμένην τὴν πονηρὰν ὑποψίαν· οὔτε γὰρ τὸ σημεῖα ποιεῖν ἁμαρτωλοῦ (οὐ γὰρ δύναται ἁμαρτωλὸς σημεῖα ποιεῖν), οὔτε τὸ παρὰ Θεῷ εἶναι διὰ παντὸς ἁμαρτωλοῦ. Ὥστε οὐκ ἔτι δύνασθε λέγειν ὅτι «οὗτος ἁμαρτωλός ἐστιν, ὅτι οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ'.

«Περὶ δὲ κρίσεως, ὅτι ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται». Πάλιν ἐνταῦθα τὸν περὶ δικαιοσύνης ἀνακινεῖ λόγον, ὅτι κατεπάλαισε τὸν ἀντίδικον. Οὐκ ἂν δέ, ἁμαρτωλὸς

---

9. Πράξ. 2, 1 ἑ.
10. Ματθ. 3, 17. Μάρκ. 1, 11. Λουκᾶ 3, 22. Ἰω. 1, 32.

τόσα πολλά νά γίνωνται εἰς τό ὄνομά του, πρᾶγμα πού κάμνει σαφεστέραν τήν ἀπόδειξιν τῆς ἀναστάσεώς του· διότι τώρα μέν ἠμποροῦν νά λέγουν ὅτι ὁ υἱός τοῦ ξυλουργοῦ, τοῦ ὁποίου ἡμεῖς γνωρίζομεν τόν πατέρα καί τήν μητέρα, ὅταν ὅμως ἰδοῦν τόν θάνατον νά καταλύεται, τήν κακίαν νά ἐκδιώκεται, τήν ἀναπηρίαν τῆς ἀνθρωπίνης φύσεως νά θεραπεύεται, τούς δαίμονας νά ἐκδιώκωνται, τήν ἀπερίγραπτον χορηγίαν τοῦ Πνεύματος[9], καί ὅλα αὐτά νά συμβαίνουν διά τῆς ἐπικλήσεως τοῦ ὀνόματός μου, τί θά εἰποῦν; Διότι ἐμαρτύρησε δι' ἐμένα ὁ Πατήρ, θά μαρτυρήσῃ δέ καί τό Πνεῦμα· ἄν καί βέβαια καί εἰς τήν ἀρχήν ἐμαρτύρησεν[10], ὅμως θά τό κάνῃ αὐτό καί τώρα.

2. Τό δέ «ἐλέγξει περί ἁμαρτίας», σημαίνει ὅτι 'θ' ἀποκλείσῃ κάθε δικαιολογίαν των καί θά δείξῃ ὅτι διέπραξαν πράγματα ἀσυγχώρητα'· «καί περί δικαιοσύνης, διότι ἐγώ μεταβαίνω πρός τόν Πατέρα μου καί δέν θά μέ βλέπετε πλέον»· δηλαδή 'σᾶς ἐχάρισα ἀκατάληπτον βίον'. Καί αὐτό εἶναι ἀπόδειξις, ὅτι μεταβαίνω πρός τόν Πατέρα μου· διότι, ἐπειδή πάντοτε τόν ἐκατηγοροῦσαν δι' αὐτό, ὅτι δέν προέρχεται ἀπό τόν Θεόν, καί διά τοῦτο τόν ἀποκαλοῦσαν ἁμαρτωλόν καί παράνομον, λέγει ὅτι καί αὐτήν τήν δικαιολογίαν θά τήν ἐξαλείψῃ· διότι ἐάν τό νά θεωροῦμαι ὅτι δέν προέρχομαι ἀπό τόν Θεόν, αὐτό μέ δείχνει παράνομον, ὅταν τό Πνεῦμα δείξῃ ὅτι μετέβην ἐκεῖ, καί ὄχι πρός στιγμήν, ἀλλά νά παραμένω μονίμως ἐκεῖ (διότι τό «οὐκ ἔτι θεωρεῖτε με», αὐτό φανερώνει), τί θά εἰποῦν πλέον; Πρόσεχε πού μέ τά δύο αὐτά ἀναιρεῖται ἡ πονηρά γνώμη αὐτῶν· διότι οὔτε ἡ ἐπιτέλεσις θαυμάτων εἶναι γνώρισμα ἁμαρτωλοῦ (καθ' ὅσον δέν ἠμπορεῖ ὁ ἁμαρτωλός νά κάμνῃ θαύματα), οὔτε εἶναι γνώρισμα ἁμαρτωλοῦ τό νά εὑρίσκεται κανείς διαρκῶς πλησίον τοῦ Θεοῦ. Ὥστε δέν ἠμπορεῖτε πλέον νά λέγετε ὅτι 'αὐτός εἶναι ἁμαρτωλός, ὅτι δέν προέρχεται ἀπό τόν Θεόν'.

«Θά κρίνῃ δέ τόν κόσμον καί περί κρίσεως, διότι κατεκρίθη ὁ ἄρχων τοῦ κόσμου αὐτοῦ». Πάλιν ἐδῶ κάμνει λόγον περί δικαιοσύνης, διότι κατενίκησε τόν ἀντίδικόν του.

ὤν, κατεπάλαισεν· ὅπερ οὐδὲ δίκαιός τις ἀνθρώπων ποιῆσαι ἴσχυσεν. Ὅτι γὰρ κατακέκριται δι' ἐμέ, εἴσονται οἱ καταπατοῦντες αὐτὸν ὕστερον, καὶ τὴν ἀνάστασίν μου σαφῶς εἰδότες, ὅπερ κατακρίνοντός ἐστιν· οὐ γὰρ ἴσχυσέ με κατασχεῖν. Ἐπεὶ οὖν ἔλεγον ὅτι δαιμόνιον ἔχω, καὶ πλάνος εἰμί, καὶ ταῦτα μετὰ ταῦτα δειχθήσεται ἕωλα ὄντα· οὐ γὰρ ἂν αὐτὸν εἷλον, εἴ γε ἁμαρτίᾳ ὑπεύθυνος ἤμην· νυνὶ δὲ κατακέκριται καὶ ἐκβέβληται. «Ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι». Οὐκοῦν «συμφέρει ἐμὲ ἀπελθεῖν», εἴ γε τότε μέλλετε βαστάζειν, ὅταν ἀπέλθω. Καὶ τί γέγονε; Μεῖζόν σου τὸ Πνεῦμά ἐστιν, ὅτι νῦν μὲν οὐ βαστάζομεν, ἐκεῖνο δὲ ἡμᾶς βαστάζειν παρασκευάσει; μείζων ἡ ἐκείνου ἐνέργεια καὶ τελειοτέρα; Οὐ τοῦτο· καὶ γὰρ ἐκεῖνος τὰ ἐμὰ ἐρεῖ. Διὰ τοῦτό φησιν· «Ἀφ' ἑαυτοῦ λαλήσει οὐδέν, ἀλλ' ὅσα ἂν ἀκούσῃ λαλήσει, καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν. Ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν. Πάντα, ὅσα ἔχει ὁ Πατήρ, ἐμά ἐστιν».

Ἐπειδὴ γὰρ εἶπεν ὅτι «ἐκεῖνος ὑμᾶς διδάξει καὶ ἀναμνήσει, καὶ ἐν ταῖς θλίψεσιν ὑμᾶς παραμυθήσεται», ὅπερ αὐτὸς οὐκ ἐποίησε, καὶ ὅτι «συμφέρει ἐμὲ ἀπελθεῖν», «κἀκεῖνον ἐλθεῖν», καὶ «νῦν μὲν οὐ δύνασθε βαστάζειν, τότε δὲ δυνήσεσθε», καὶ ὅτι «ὁδηγήσει εἰς πᾶσαν τὴν ἀλήθειαν», ἵνα μή, ταῦτα ἀκούοντες, μεῖζον τὸ Πνεῦμα νομίσωσι, καὶ εἰς ἀσεβείας ὑπόθεσιν ἐσχάτην ἐμπέσωσι, διὰ τοῦτό φησιν· «Ἐκ τοῦ ἐμοῦ λήψεται», τουτέστιν, ἅπερ ἂν εἴπον ἐγώ, ταῦτα κἀκεῖνος ἐρεῖ. Ὅταν δὲ εἴπῃ, «Οὐδὲν ἀφ' ἑαυτοῦ λαλήσει», 'οὐδὲν ἐναντίον, οὐδὲν ἴδιον παρὰ τὰ ἐμά φησιν'.

Δέν θά ἠμποροῦσε δέ νά τόν κατανικήσῃ, ἐάν ἦτο ἁμαρτωλός· πρᾶγμα πού οὔτε κανείς δίκαιος ἀπό τούς ἀνθρώπους κατώρθωσε νά τό πράξῃ. Τό ὅτι βέβαια κατεκρίθη δι' ἐμέ, θά τό γνωρίσουν ἐκεῖνοι πού θά καταπατοῦν αὐτόν ἀργότερον, καί θά γνωρίσουν σαφῶς τήν ἀνάστασίν μου, πρᾶγμα πού εἶναι γνώρισμα κάποιου πού κατακρίνει· διότι δέν ἠμπόρεσε νά μέ καταβάλῃ. Ἐπειδή λοιπόν ἔλεγον ὅτι ἔχω δαιμόνιον καί ὅτι εἶμαι πλάνος καί αὐτά εἰς τήν συνέχειαν θ' ἀποδειχθοῦν ὡς ἀστήρικτα· διότι δέν θά ἠμποροῦσα νά τόν καταβάλω, ἐάν ἤμουν ἁμαρτωλός· τώρα ὅμως ἔχει κατακριθῆ καί ἔχει ἐκβληθῆ. «Ἔχω πολλά ἀκόμη νά σᾶς εἰπῶ, ἀλλά δέν ἠμπορεῖτε ἀκόμη νά τά κατανοήσετε». Λοιπόν «σᾶς συμφέρει ἐγώ νά ἀπέλθω», ἐφ' ὅσον τότε πρόκειται νά τά κατανοήσετε, ὅταν θά ἀπέλθω. Καί τί ἔχει συμβῆ; Εἶναι ἀνώτερον τό Πνεῦμα ἀπό σένα, ἀφοῦ τώρα μέν δέν τά κατανοοῦμεν, ἐνῷ ἐκεῖνο θά μᾶς προετοιμάσῃ νά τά κατανοήσωμεν; εἶναι ἀνωτέρα καί τελειοτέρα ἡ ἐνέργεια ἐκείνου; Δέν εἶναι αὐτό· καθ' ὅσον καί ὁ Παράκλητος θά εἰπῇ αὐτά πού σᾶς λέγω ἐγώ. Διά τοῦτο λέγει· «Δέν θά εἰπῇ τίποτε ἀπό τόν ἑαυτόν του, ἀλλ' ὅσα θ' ἀκούσῃ ἀπό τόν Πατέρα ἐκεῖνα θά σᾶς εἰπῇ καί θά προαναγγείλῃ εἰς ἐσᾶς τά μέλλοντα νά συμβοῦν. Ἐκεῖνος θά μέ δοξάσῃ, διότι θά λάβῃ ἀπό τήν ἰδικήν μου γνῶσιν καί θά σᾶς τήν ἀναγγείλῃ. Ὅλα, ὅσα ἔχει ὁ Πατήρ, εἶναι ἰδικά μου».

Ἐπειδή λοιπόν εἶπεν ὅτι «ἐκεῖνος θά σᾶς διδάξῃ καί θά σᾶς τά ὑπενθυμήσῃ καί θά σᾶς παρηγορήσῃ εἰς τάς θλίψεις σας» πρᾶγμα πού αὐτός δέν τό ἔκαμε, καί ὅτι «σᾶς συμφέρει ἐγώ νά ἀπέλθω», «καί ἐκεῖνος νά ἔλθῃ» καί «τώρα μέν δέν ἠμπορῆτε νά τά ἐννοήσετε, τότε δέ θά ἠμπορέσετε» καί ὅτι «θά σᾶς ὁδηγήσῃ εἰς πᾶσαν τήν ἀλήθειαν», διά νά μή θεωρήσουν, ἀκούοντες αὐτά, ἀνώτερον τό Πνεῦμα καί ὑποπέσουν εἰς τήν πιό φοβεράν μορφήν ἀσεβείας, διά τοῦτο λέγει· «Ἐκ τοῦ ἐμοῦ λήψεται»· δηλαδή ἐκεῖνα ἀκριβῶς πού εἶπα ἐγώ, αὐτά καί ἐκεῖνος θά εἰπῇ. Ὅταν δέ λέγῃ, «Τίποτε δέν θά εἰπῇ ἀπό τόν ἑαυτόν του», ἐννοεῖ ὅτι τίποτε τό ἀντίθετον, τίποτε τό ἰδικόν του

Ὥσπερ οὖν, περὶ ἑαυτοῦ λέγων, «Ἀπ' ἐμαυτοῦ οὐ λαλῶ», τοῦτό φησιν, ὅτι οὐδὲν ἐκτὸς τῶν τοῦ Πατρός, οὐδὲν ἴδιόν τι παρ' ἐκεῖνον καὶ ἀλλότριον, οὕτω καὶ ἐπὶ τοῦ Πνεύματος. Τὸ δὲ «ἐκ τοῦ ἐμοῦ», 'ἐξ ὧν ἐγὼ οἶδα, ἐκ τῆς ἐμῆς γνώσεως· μία γὰρ ἐμοῦ καὶ τοῦ Πνεύματος γνῶσις'. «Καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν». Ἐπῆρεν αὐτῶν τὴν διάνοιαν· πρὸς οὐδὲν γὰρ οὕτω λίχνον τὸ ἀνθρώπειον γένος, ὡς πρὸς τὸ μανθάνειν τὰ μέλλοντα. Τοῦτο γοῦν συνεχῶς ἠρώτων αὐτόν· «Ποῦ ὑπάγεις;» τίς ἐστιν ἡ ὁδός; Καὶ ταύτης οὖν ἀπαλλάττων αὐτοὺς τῆς φροντίδος, λέγει ὅτι 'πάντα ὑμῖν προερεῖ, ὥστε μὴ ἐμπεσεῖν ἀφυλάκτως'.

«Ἐκεῖνος ἐμὲ δοξάσει». Πῶς; 'Ἐν τῷ ὀνόματι τῷ ἐμῷ δώσει τὰς ἐνεργείας'. Ἐπειδὴ γὰρ μείζονα ἔμελλον ποιεῖν σημεῖα, παραγινομένου τοῦ Πνεύματος, διὰ τοῦτο, πάλιν τὴν ἰσοτιμίαν εἰσάγων, φησίν· «Ἐκεῖνος ἐμὲ δοξάσει». Ποίαν λέγει «πᾶσαν ἀλήθειαν»; Καὶ γὰρ καὶ τοῦτο αὐτῷ μαρτυρεῖ, ὅτι αὐτὸς ἡμᾶς «ὁδηγήσει εἰς πᾶσαν τὴν ἀλήθειαν»· αὐτὸς μὲν γὰρ καὶ διὰ τὸ σάρκα περικεῖσθαι, καὶ διὰ τὸ μὴ δόξαι περὶ ἑαυτοῦ λέγειν, καὶ διὰ τὸ μηδέπω αὐτοὺς τὴν ἀνάστασιν εἰδέναι σαφῶς, καὶ ἀτελεστέρους εἶναι, καὶ διὰ τοὺς Ἰουδαίους, ἵνα μὴ ὡς παρανομοῦντα δόξωσι κολάζειν, οὐδὲν μέγα ἐφθέγγετο συνεχῶς, οὔτε τοῦ νόμου σαφῶς ἀπέστησεν· ἐπειδὴ δὲ αὐτῶν ἀπεσχίσθησαν οἱ μαθηταί, καὶ ἔξω λοιπὸν ἦσαν ἐκεῖνοι, καὶ πολλοὶ πιστεύειν ἔμελλον, καὶ τῶν ἁμαρτημάτων ἀφίεσθαι, καὶ ἄλλοι ἦσαν οἱ περὶ αὐτοῦ λέγοντες, οὐκ ἔτι αὐτὸς περὶ ἑαυτοῦ μεγά-

---

11. Ἰω. 14, 10.
12. Ἰω. 14, 5 καὶ 13, 36.

δὲν θὰ εἰπῇ, παρὰ αὐτὰ ποὺ εἶπα ἐγώ'. Ὅπως ἀκριβῶς λοιπὸν ὅταν λέγῃ διὰ τὸν ἑαυτόν του, «Δὲν τὰ λέγω ἀπὸ τὸν ἑαυτόν μου»[11], αὐτὸ ἐννοεῖ, ὅτι τίποτε ἀπὸ αὐτὰ ποὺ λέγει δὲν εἶναι ἐκτὸς τῶν λόγων τοῦ Πατρός, τίποτε δὲν ἔχει ἰδιαίτερον ποὺ νὰ εἶναι ἀντίθετον πρὸς ἐκεῖνον καὶ ξένον, ἔτσι καὶ ὅταν ὁμιλῇ περὶ τοῦ Πνεύματος. Τὸ δὲ «ἐκ τοῦ ἐμοῦ», σημαίνει, 'ἀπὸ ὅσα ἐγὼ γνωρίζω, ἀπὸ τὴν ἰδικήν μου γνῶσιν' διότι μία εἶναι ἡ γνῶσις ἡ ἰδική μου καὶ τοῦ Πνεύματος'. «Καὶ θὰ σᾶς ἀναγγείλῃ τὰ μέλλοντα νὰ συμβοῦν». Ἀνεπτέρωσε τὸ φρόνημά των' διότι τίποτε δὲν λαχταρᾷ τόσον πολὺ τὸ ἀνθρώπινον γένος, ὅσον τὸ νὰ μαθαίνῃ τὰ μέλλοντα νὰ συμβοῦν. Διὰ τοῦτο λοιπὸν συνεχῶς τὸν ἐρωτοῦσαν' «Ποῦ πηγαίνεις;», ποία εἶναι ἡ ὁδός;[12] Ἀπαλλάσσων λοιπὸν αὐτοὺς ἀπὸ αὐτὴν τὴν φροντίδα, λέγει ὅτι 'ὅλα θὰ σᾶς τὰ προείπῃ, ὥστε νὰ μὴ εὑρεθῆτε ἀπροφύλακτοι'.

«Ἐκεῖνος θὰ μὲ δοξάσῃ». Πῶς; 'Μὲ τὴν ἐπίκλησιν τοῦ ὀνόματός μου θὰ συντελέσῃ εἰς τὴν πραγματοποίησιν τῶν ἔργων'. Ἐπειδὴ δηλαδὴ ἐπρόκειτο νὰ πραγματοποιήσουν μεγαλύτερα θαύματα, ὅταν θὰ ἤρχετο τὸ Πνεῦμα, διὰ τοῦτο, ἀναφέρων καὶ πάλιν τὴν ἰσοτιμίαν, λέγει' «Ἐκεῖνος θὰ μὲ δοξάσῃ». Τί ἐννοεῖ λέγων «πᾶσαν ἀλήθειαν»; Καὶ αὐτὸ δηλαδὴ μαρτυρεῖ διὰ τὸν Παράκλητον, ὅτι αὐτὸς θὰ μᾶς «ὁδηγήσῃ εἰς πᾶσαν τὴν ἀλήθειαν»' ὁ ἴδιος δηλαδὴ ὁ Κύριος καὶ ἐπειδὴ ἔλαβε σάρκα ἀνθρωπίνην καὶ διὰ νὰ μὴ φανῇ ὅτι ὁμιλεῖ διὰ τὸν ἑαυτόν του, καὶ ἐπειδὴ ἀκόμη δὲν ἐγνώριζον σαφῶς οἱ μαθηταὶ περὶ τῆς ἀναστάσεως καὶ ἦσαν ἀτελέστεροι πνευματικά, καὶ διὰ τοὺς Ἰουδαίους, διὰ νὰ μὴ φανοῦν ὅτι τὸν τιμωροῦν ὡς παρανομοῦντα, συνεχῶς δὲν ἔλεγε τίποτε μὲ ὑψηλὸν νόημα, οὔτε ἀπεμακρύνθη σαφῶς ἀπὸ τὸν μωσαϊκὸν νόμον' ὅταν ὅμως ἀπεκόπησαν οἱ μαθηταὶ ἀπὸ αὐτοὺς καὶ αὐτοὶ ἦσαν πλέον ἔξω τοῦ ἀμπελῶνος τοῦ Ἰησοῦ καὶ ἐπρόκειτο πολλοὶ νὰ πιστεύσουν καὶ νὰ συγχωροῦνται τὰ ἁμαρτήματα καὶ ἄλλοι ἦσαν ἐκεῖνοι ποὺ ὡμιλοῦσαν περὶ αὐτοῦ, κατὰ φυσικὸν λόγον δὲν ἔλεγεν αὐτὸς μεγάλους λόγους διὰ τὸν ἑαυτόν

λα εἰκότως ἐφθέγγετο. Ὥστε οὐ τῆς ἀγνοίας τῆς ἐμῆς, φησί, τὸ μὴ εἰπεῖν ἅπερ εἰπεῖν ἐχρῆν, ἀλλὰ τῆς τῶν ἀκουόντων ἀσθενείας. Διὰ τοῦτο, εἰπών· «Ὁδηγήσει εἰς πᾶσαν τὴν ἀλήθειαν», ἐπήγαγεν· «Ἀφ' ἑαυτοῦ οὐκ ἐρεῖ». Ὅτι γὰρ οὐ διδασκαλίας τὸ Πνεῦμα δεῖται, ἄκουσον τοῦ Παύλου λέγοντος· «Οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ». Ὥσπερ οὖν τὸ πνεῦμα τοῦ ἀνθρώπου, οὐ μανθάνον παρ' ἑτέρου, οἶδεν, οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον «ἐκ τοῦ ἐμοῦ λήψεται»· τουτέστι συνῳδὰ τοῖς ἐμοῖς ἐρεῖ. «Πάντα, ὅσα ἔχει ὁ Πατήρ, ἐμά ἐστιν». Ἐπεὶ οὖν ἐμά ἐστιν ἐκεῖνα, ἐκεῖνος δὲ ἐκ τῶν τοῦ Πατρὸς ἐρεῖ, ἐκ τῶν ἐμῶν ἐρεῖ.

3. Διὰ τί δὲ οὐκ ἤρχετο τὸ Πνεῦμα, πρὶν ἢ αὐτὸν ἀπελθεῖν; Ὅτι, οὔπω τῆς κατάρας ἀρθείσης, οὔπω τῆς ἁμαρτίας λυθείσης, ἀλλ' ἔτι πάντων ὑπευθύνων ὄντων τῇ τιμωρίᾳ, οὐκ ἂν παρεγένετο. Δεῖ οὖν, φησί, τὴν ἔχθραν λυθῆναι, καὶ καταλλαγῆναι ὑμᾶς τῷ Θεῷ, καὶ τότε δέξασθαι τὸ δῶρον ἐκεῖνο. Διὰ τί δέ φησι, «Πέμψω αὐτόν»; Τουτέστι, προπαρασκευάσω ὑμᾶς πρὸς τὴν ὑποδοχήν· πῶς γὰρ τὸ πανταχοῦ ὂν πέμπεται; Ἄλλως δὲ καὶ τῶν ὑποστάσεων τὸ διάφορον δείκνυσι. Διὰ δύο δὲ ταῦτα οὕτω φθέγγεται, καὶ ἐπειδὴ οὗτοι δυσαποσπάστως εἶχον, πείθων τοῦ Πνεύματος ἔχεσθαι, καὶ ἵνα αὐτὸ θεραπεύσωσιν· ἠδύνατο μὲν γὰρ καὶ αὐτὸς ταῦτα ἐργάζεσθαι, ἀλλὰ διὰ τοῦτο ἐκεῖνο συγχωρεῖ θαυματουργεῖν, ἵνα μάθωσιν αὐτοῦ τὴν ἀξίαν· ὥσπερ γὰρ ὁ Πατὴρ ἠδύνατο τὰ ὄντα παραγαγεῖν, ὁ δὲ Υἱὸς αὐτὸ ποιεῖ, ἵνα μάθωμεν αὐτοῦ τὴν δύναμιν, οὕτω καὶ τοῦτο. Διὰ τοῦτο καὶ αὐτὸς ἐσαρκώθη, τῷ Πνεύματι τηρῶν τὴν ἐνέργειαν, καὶ ἐμφράττων τὰ στόματα τῶν τὴν ὑπόθεσιν

13. Α' Κορ. 2, 11.

του. Ὥστε, λέγει, δὲν ὀφείλεται εἰς ἰδικήν μου ἄγνοιαν τὸ νὰ μὴ εἰπῶ ἐκεῖνα ποὺ ἔπρεπε νὰ εἰπῶ, ἀλλ' αὐτὸ συνέβη ἐξ αἰτίας τῆς πνευματικῆς ἀδυναμίας τῶν ἀκροατῶν. Διὰ τοῦτο, ἀφοῦ εἶπεν, «Θὰ σᾶς ὁδηγήσῃ εἰς πᾶσαν τὴν ἀλήθειαν», ἐπρόσθεσεν· «Δὲν θὰ εἰπῇ τίποτε ἀπὸ τὸν ἑαυτόν του. Τὸ ὅτι λοιπὸν δὲν ἔχει ἀνάγκην τὸ Πνεῦμα ἀπὸ διδασκαλίαν, ἄκουσε τὸν Παῦλον ποὺ λέγει· «Ἔτσι καὶ τὰ τοῦ Θεοῦ κανεὶς δὲν ἐγνώρισε, παρὰ μόνον τὸ Πνεῦμα τοῦ Θεοῦ»[13]. Ὅπως ἀκριβῶς λοιπὸν τὸν πνεῦμα τοῦ ἀνθρώπου γνωρίζει χωρὶς νὰ μαθαίνῃ ἀπὸ ἄλλον, ἔτσι καὶ τὸ ἅγιον Πνεῦμα «θὰ λάβῃ ἀπὸ τὴν ἰδικήν μου γνῶσιν»· δηλαδή, θὰ εἰπῇ λόγους ποὺ θὰ εἶναι σύμφωνοι μὲ τοὺς ἰδικούς μου. «Ὅλα, ὅσα ἔχει ὁ Πατήρ, εἶναι ἰδικά μου». Ἐπειδὴ λοιπὸν ἐκεῖνα εἶναι ἰδικά μου, ὁ δὲ Παράκλητος θὰ εἰπῇ τοὺς λόγους τοῦ Πατρός, ἄρα θὰ εἰπῇ τοὺς ἰδικούς μου λόγους.

3. Διατί δὲ δὲν ἤρχετο τὸ Πνεῦμα πρὶν ὁ Χριστὸς φύγῃ ἀπὸ τὸν κόσμον; Διότι, ἐπειδὴ δὲν εἶχεν ἀκόμη καταργηθῇ ἡ κατάρα, καὶ δὲν εἶχεν καταλυθῇ ἡ ἁμαρτία, ἀλλ' ἀκόμη ὅλοι ἦσαν ὑπόλογοι διὰ τιμωρίαν, δὲν ἦτο δυνατὸν νὰ ἔλθῃ. Πρέπει λοιπόν, λέγει, νὰ καταλυθῇ ἡ ἔχθρα καὶ νὰ συμφιλιωθῆτε σεῖς μὲ τὸν Θεὸν καὶ τότε νὰ δεχθῆτε τὸ δῶρον ἐκεῖνο. Διατί ὅμως λέγει, «Θὰ στείλω αὐτόν»; Δηλαδὴ θὰ προετοιμάσω ἐσᾶς διὰ νὰ τὸν ὑποδεχθῆτε· διότι πῶς ἀποστέλλεται ἐκεῖνο ποὺ εἶναι πανταχοῦ παρόν; Ἄλλως τε δὲ δείχνει καὶ τὴν διαφορὰν τῶν ὑποστάσεων. Διὰ δύο λόγους δὲ τὰ λέγει αὐτὰ ἔτσι, καί, ἐπειδὴ αὐτοὶ ἦσαν στενὰ συνδεδεμένοι μαζί του, νὰ τοὺς πείσῃ νὰ προσκολληθοῦν εἰς τὸ Πνεῦμα, καὶ διὰ νὰ ὑπηρετήσουν αὐτό· διότι ἠμποροῦσε μὲν καὶ ὁ ἴδιος αὐτὰ νὰ τὰ κάνῃ, ἀλλὰ διὰ τοῦτο ἐπιτρέπει ἐκεῖνο νὰ θαυματουργῇ, διὰ νὰ μάθουν τὴν ἀξίαν του· ὅπως ἀκριβῶς δηλαδὴ ὁ Πατὴρ ἠμποροῦσε νὰ φέρῃ εἰς τὴν ὕπαρξιν τὰ ὄντα, καὶ ὁ Υἱὸς δὲ κάμνει τὸ ἴδιο, διὰ νὰ μάθουν τὴν δύναμίν του, ἔτσι καὶ αὐτό. Διὰ τοῦτο καὶ αὐτὸς ἐσαρκώθη, τηρῶν τὴν ἐνέργειαν διὰ τὸ Πνεῦμα, καὶ κλείων τὰ στόματα ἐκείνων,

τῆς ἀφάτου φιλανθρωπίας εἰς ἀφορμὴν ἀσεβείας λαμβανόντων· ὅταν γὰρ λέγωσιν ὅτι διὰ τοῦτο ἐσαρκώθη ὁ Υἱός, ἐπειδὴ καταδεέστερος ἦν τοῦ Πατρός, ἐροῦμεν πρὸς αὐτούς· Τί οὖν ἂν εἴποιτε περὶ τοῦ Πνεύματος; Οὐ γὰρ ἔλαβε σάρκα, καὶ οὐ δήπου διὰ τοῦτο μεῖζον τοῦ Υἱοῦ αὐτὸ ἐρεῖτε, οὐδὲ τὸν Υἱὸν αὐτοῦ καταδεέστερον. Διὰ τοῦτο καὶ ἐπὶ τοῦ Βαπτίσματος ἡ Τριὰς παραλαμβάνεται· καὶ γὰρ ὁ Πατὴρ τὸ πᾶν ἐργάζεσθαι δύναται, καὶ ὁ Υἱός, καὶ τὸ Πνεῦμα τὸ ἅγιον· ἀλλά, ἐπειδὴ περὶ τοῦ Πατρὸς οὐδεὶς ἀμφιβάλλει, τὸ δὲ ἀμφίβολον ἦν περὶ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος τοῦ ἁγίου, παρείληπται ἐν τῇ μυσταγωγίᾳ, ἵνα ἐν τῇ κινωνίᾳ τῆς χορηγίας τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν καὶ τὴν κοινωνίαν τῆς ἀξίας καταμανθάνωμεν.

Ἐπεί, ὅτι δύναται ὁ Υἱὸς καθ' ἑαυτοῦ ταῦτα, ἅπερ ἐπὶ τοῦ βαπτίσματος μετὰ τοῦ Πατρὸς δύναται, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ἄκουσον ταῦτα σαφῶς· τοῖς γὰρ Ἰουδαίοις ἔλεγεν· «Ἵνα γὰρ ἴδητε ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας», καὶ πάλιν· «Ἵνα υἱοὶ φωτὸς γένησθε», καὶ «ἐγὼ ζωὴν αἰώνιον δίδωμι αὐτοῖς»· εἶτα μετὰ ταῦτα, «ἵνα ζωήν», φησίν, «ἔχωσι, καὶ περισσὸν ἔχωσιν». Ἴδωμεν δὲ καὶ τὸ Πνεῦμα τὸ αὐτὸ τοῦτο ποιοῦν. Ποῦ ἔστιν ἰδεῖν; «Ἑκάστῳ δὲ ἡ φανέρωσις τοῦ Πνεύματος», φησί, «δίδοται πρὸς τὸ συμφέρον»· (ὁ τοίνυν ταῦτα παρέχων καὶ ἁμαρτήματα πολλῷ μᾶλλον ἀφίησιν)· καὶ πάλιν· «Τὸ Πνεῦμά ἐστι τὸ ζωοποιοῦν», καὶ «ζωοποιήσει διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ Πνεύματος ἐν ὑμῖν», καὶ «τὸ Πνεῦμα ζωὴ διὰ δικαιοσύνην», καὶ πάλιν· «Εἰ δὲ Πνεύματι ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον»· «οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε Πνεῦμα υἱοθεσίας»· καὶ τότε

---

14. Μάρκ. 2, 10.
15. Ἰω. 12, 36.
16. Ἰω. 10, 28.
17. Ἰω. 10, 10.
18. Α΄ Κορ. 12, 7.
19. Ἰω. 6, 63.
20. Ρωμ. 8, 11.
21. Ρωμ. 8, 10.
22. Γαλ. 5, 18.
23. Ρωμ. 8, 15.

πού λαμβάνουν τὴν ὑπόθεσιν τῆς ἀπεριγράπτου φιλανθρωπίας ὡς ἀφορμὴν ἀσεβείας· διότι ὅταν λέγουν ὅτι διὰ τοῦτο ἐσαρκώθη ὁ Υἱός, ἐπειδὴ ἦτο κατώτερος τοῦ Πατρός, θὰ εἰποῦμεν πρὸς αὐτούς· Τί θὰ ἠμπορούσατε λοιπὸν νὰ εἰπῆτε περὶ τοῦ Πνεύματος; Διότι δὲν ἔλαβε σάρκα καὶ δὲν θὰ εἰπῆτε βέβαια διὰ τὸν λόγον αὐτὸν ὅτι αὐτὸ εἶναι ἀνώτερον ἀπὸ αὐτόν, οὔτε τὸν Υἱὸν κατώτερον αὐτοῦ. Διὰ τοῦτο καὶ κατὰ τὸ βάπτισμα παραλαμβάνεται ἡ Τριάς· καθ' ὅσον ὁ Πατὴρ ἠμπορεῖ νὰ πράξῃ τό πᾶν, καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα· ἀλλά, ἐπειδὴ περὶ τοῦ Πατρὸς κανεὶς δὲν ἀμφιβάλλει, ἡ δὲ ἀμφιβολία ἦτο περὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, παρελήφθη εἰς τὴν μυσταγωγίαν, ὥστε κατὰ τὴν κοινωνίαν τῆς χορηγίας τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν νὰ μαθαίνωμεν καὶ τὴν κοινωνίαν τῆς ἀξίας των.

Πράγματι, τὸ ὅτι ἠμπορεῖ ὁ Υἱὸς νὰ κάμῃ μόνος του αὐτά, πού μαζὶ μὲ τὸν Πατέρα ἠμπορεῖ νὰ κάμῃ κατὰ τὸ βάπτισμα καὶ τό Πνεῦμα τὸ ἅγιον, ἄκουσε αὐτὰ μὲ σαφήνειαν· διότι εἰς τοὺς Ἰουδαίους ἔλεγεν· «Διὰ νὰ γνωρίσετε λοιπὸν ὅτι ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔχει ἐξουσίαν ἐπάνω εἰς τὴν γῆν νὰ συγχωρῇ ἁμαρτίας»[14]· καὶ πάλιν· «Διὰ νὰ γίνετε υἱοὶ φωτός»[15], καὶ «ἐγὼ δίδω εἰς ἐσᾶς ζωὴν αἰώνιον»[16]· εἰς τὴν συνέχειαν μετὰ ἀπὸ αὐτὰ λέγει· «Διὰ νὰ ἔχουν ζωὴν καὶ ἀφθονίαν πνευματικῆς τροφῆς»[17]. Ἂς ἰδοῦμεν δὲ καὶ τὸ Πνεῦμα πού κάμνει τὸ ἴδιο πρᾶγμα. Ποῦ ἠμποροῦμεν νὰ τὸ ἰδοῦμεν; «Εἰς τὸν καθένα δὲ ἡ φανέρωσις τοῦ Πνεύματος», λέγει, «γίνεται πρὸς τὸ συμφέρον του»[18]· (Ἐκεῖνος δηλαδὴ πού παρέχει αὐτά, πολὺ περισσότερον συγχωρεῖ καὶ ἁμαρτήματα)· καὶ πάλιν· «Τὸ Πνεῦμα εἶναι ἐκεῖνο πού ζωοποιεῖ»[19], καὶ «Θὰ μᾶς ζωοποιήσῃ διὰ τοῦ Πνεύματός του πού κατοικεῖ μέσα σας»[20], καὶ «Τὸ πνεῦμα θὰ δίδῃ ζωὴν αἰώνιον δικαιωθεῖσαν διὰ τοῦ Χριστοῦ»[21]· καὶ πάλιν· «Ἐὰν δὲ ὁδηγῆσθε ὑπὸ τοῦ Πνεύματος, δὲν εἶσθε ὑπὸ τὴν δουλείαν τοῦ νόμου»[22]· «Διότι δὲν ἐλάβετε Πνεῦμα δουλείας πού θὰ σᾶς ἐμπνέῃ φόβον, ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας»[23]· καὶ τότε δὲ ὅλα ὅσα ἔπραττον, τὰ

δὲ πάντα, ἅπερ ἐποίουν, παραγενομένου τοῦ Πνεύματος ἐθαυματούργουν· καὶ Κορινθίοις δὲ γράφων ἔλεγε Παῦλος· «Ἀλλ' ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν».

Ἐπεὶ οὖν περὶ μὲν Πατρὸς πολλὰ ἤκουσαν, καὶ τὸν Υἱὸν δὲ εἶδον πολλὰ ἐργασάμενον, περὶ δὲ τοῦ Πνεύματος οὐδὲν οὐδέπω σαφῶς ᾔδεσαν, θαυματουργεῖ καὶ τὴν τελείαν εἰσάγει γνῶσιν. Ἀλλ' ἵνα μὴ μεῖζον ἐντεῦθεν ὑποπτεύηται, (ὅπερ ἔφθην εἰπών), διὰ τοῦτό φησιν· «Ὅσα ἂν ἀκούσῃ λαλήσει, καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ». Ἐπεί, εἰ μὴ τοῦτό ἐστι, πῶς οὐκ ἄτοπον, εἰ τότε ἔμελλεν ἀκούειν, καὶ διὰ τοὺς μαθητευομένους; οὐδὲ γὰρ τότε ἔμελλε καθ' ὑμᾶς εἰδέναι, εἰ μὴ διὰ τοὺς ἀκουσομένους. Καὶ τί τούτου παρανομώτερον τοῦ ῥήματος γένοιτ' ἄν; Ἄλλως δέ· τί καὶ ἔμελλεν ἀκούσεσθαι; οὐ ταῦτα πάντα εἶπε διὰ τῶν προφητῶν; Εἴτε γὰρ περὶ τῆς τοῦ νόμου λύσεως ἔμελλε διδάσκειν, εἴρητο, εἴτε περὶ τοῦ Χριστοῦ καὶ τῆς θεότητος αὐτοῦ, καὶ τῆς οἰκονομίας, καὶ ταῦτα εἴρητο· τί γὰρ καὶ τρανότερον ἔμελλε μετὰ ταῦτα ἐρεῖν; «Καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ». Ἐνταῦθα μάλιστα δείκνυσιν αὐτοῦ τὸ ἀξίωμα, ἐπειδὴ Θεοῦ τοῦτο μάλιστα ἴδιον, τὸ λέγειν τὰ μέλλοντα. Εἰ δὲ καὶ αὐτὸ μανθάνοι παρ' ἑτέρων, οὐδὲν πλέον ἕξει τῶν προφητῶν· ἀλλ' ἐνταῦθα τὴν ἀπηκριβωμένην πρὸς τὸν Θεὸν γνῶσιν δηλοῖ, ὅτι ἀδύνατον, ἄλλο τι φθέγξασθαι αὐτόν.

Τὸ δὲ «ἐκ τοῦ ἐμοῦ λήψεται», ἤτοι 'ἐκ τοῦ χαρίσματος τοῦ εἰς τὴν σάρκα τὴν ἐμὴν ἐλθόντος, ἢ ὅτι ἀπὸ τῆς γνώσεως, ἧς καὶ ἐγὼ ἔχω, οὐχ ὡς δεόμενος, οὐδὲ ὡς παρ' ἑτέρου μαθών, ἀλλ' ὡς μιᾶς οὔσης καὶ τῆς αὐτῆς'. Καὶ διὰ τί οὕτως εἶπε, καὶ μὴ ἑτέρως; Ὅτι οὐδέπω τὸν περὶ

24. Α' Κορ. 6, 11.

ἔπραττον μὲ τὴν παρουσίαν τοῦ Πνεύματος· καὶ ὁ Παῦλος δὲ γράφων πρὸς τοὺς Κορινθίους, ἔλεγεν· «,Ἀλλ' ἐλούσθητε καὶ ἡγιάσθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τοῦ Πνεύματος τοῦ Θεοῦ μας»[24].

Ἐπειδὴ λοιπὸν περὶ μὲν τοῦ Πατρὸς ἤκουσαν πολλά, καὶ εἶδον τὸν Υἱὸν νὰ ἐπιτελῇ πολλά, ἐνῷ περὶ τοῦ Πνεύματος δὲν ἐγνώριζον ἀκόμη τίποτε σαφῶς, θαυματουργεῖ καὶ παρέχει τὴν τελείαν γνῶσιν. Ἀλλ' ὅμως διὰ νὰ θεωρηθῇ ἐξ αἰτίας αὐτοῦ ἀνώτερον (ὅπως εἶπα προηγουμένως), διὰ τοῦτο λέγει· «Θὰ σᾶς εἰπῇ ὅσα θ' ἀκούσῃ παρὰ τοῦ Πατρὸς καὶ θὰ σᾶς ἀναγγείλῃ τὰ μέλλοντα νὰ συμβοῦν». Διότι, ἐὰν δὲν συμβαίνῃ αὐτό, πῶς δὲν εἶναι παράλογον, ἐὰν ἐπρόκειτο τότε ν' ἀκούσῃ τὸ Πνεῦμα τοὺς λόγους τοῦ Πατρὸς καὶ πρὸς χάριν τῶν μαθητῶν; Διότι οὔτε τότε ἐπρόκειτο, σύμφωνα μὲ σᾶς, νὰ ἔχῃ πλήρη γνῶσιν, παρὰ μόνον δι' ἐκείνους ποὺ θὰ ἤκουον. Καὶ τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ παρανομώτερον ἀπὸ αὐτὰ τὰ λόγια; Ἐξ ἄλλου δέ, καὶ τί ἐπρόκειτο ν' ἀκούσῃ; δὲν τὰ εἶπεν ὅλα αὐτὰ διὰ τῶν προφητῶν; Διότι, ἐὰν ἐπρόκειτο νὰ διδάξῃ περὶ τῆς καταργήσεως τοῦ νόμου, αὐτὸ εἶχε λεχθῆ, ἐὰν περὶ τοῦ Χριστοῦ, τῆς θεότητός του καὶ τῆς οἰκονομίας, καὶ αὐτὰ εἶχον λεχθῆ· τί λοιπὸν τρανότερον ἐπρόκειτο νὰ εἰπῇ μετὰ ἀπὸ αὐτά; «Καὶ θὰ ἀναγγείλῃ τὰ μέλλοντα νὰ συμβοῦν». Ἐδῶ δεικνύει κατ' ἐξοχὴν τὸ ἀξίωμα αὐτοῦ, ἐπειδὴ γνώρισμα τοῦ Θεοῦ αὐτὸ εἶναι πρὸ πάντων, τὸ νὰ προλέγῃ τὰ μέλλοντα νὰ συμβοῦν. Ἐὰν δὲ καὶ αὐτὸ τὸ ἐμάθαινεν ἀπὸ ἄλλους, τίποτε ἐπὶ πλέον δὲν θὰ εἶχεν ἀπὸ τοὺς προφήτας· ἀλλ' ἐδῶ δηλώνει τὴν ἀκριβῆ περὶ Θεοῦ γνῶσιν, ὅτι δηλαδὴ αὐτὸ εἶναι ἀδύνατον νὰ εἰπῇ κάτι τὸ διαφορετικόν.

Τὸ δὲ «ἐκ τοῦ ἐμοῦ λήψεται» σημαίνει «ἀπὸ τὸ χάρισμα ποὺ ἦλθεν εἰς τὴν σάρκα μου, ἤ, ἀπὸ τὴν γνῶσιν ποὺ ἔχω καὶ ἐγώ, ὄχι ὡς νὰ ἔχῃ ἀνάγκην αὐτῆς, οὔτε ὡς ἐὰν ἔμαθεν αὐτὴν ἀπὸ ἄλλον, ἀλλ' ὅτι εἶναι ἡ γνῶσις μία καὶ ἡ αὐτή'. Καὶ διατί ὡμίλησε κατ' αὐτὸν τὸν τρόπον καὶ ὄχι κατ' ἄλλον; Διότι δὲν ἐγνώριζον ἀκόμη τὸν λόγον περὶ

τοῦ Πνεύματος ᾔδεσαν λόγον. Διόπερ ἓν κατασκευάζει μόνον, ὥστε πιστευθῆναι αὐτὸν καὶ δεχθῆναι παρ' αὐτῶν, καὶ μὴ σκανδαλισθῆναι· ἐπειδὴ γὰρ ἔλεγεν· «Εἷς ἐστιν ὑμῶν ὁ διδάσκαλος, ὁ Χριστός», ἵνα μὴ νομίσωσι παρακούειν, ἐκείνῳ πειθόμενοι, 'μία', φησίν, 'ἡ ἐμὴ καὶ ἐκείνου διδασκαλία ἐστίν· ἐξ ὧν ἔμελλον ἐγὼ διδάσκειν, ἐκ τῶν αὐτῶν καὶ αὐτὸς ἐρεῖ. Μὴ δὴ νομίσητε ἕτερα εἶναι τὰ ἐκείνου· καὶ γὰρ καὶ ἐκεῖνα ἐμά ἐστι, καὶ τὴν ἐμὴν συγκροτεῖ δόξαν'· ἓν γὰρ θέλημα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος. Οὕτω καὶ ἡμᾶς εἶναι βούλεται, λέγων· «Ἵνα ὦσιν ἕν, καθὼς καὶ ἐγὼ καὶ σὺ ἕν ἐσμεν».

4. Οὐδὲν γὰρ ὁμονοίας ἴσον οὐδὲ συμφωνίας· ὁ γὰρ εἷς, πολοστός ἐστιν οὕτως· ἂν γὰρ ὁμόψυχοι ὦσι δύο ἢ δέκα, οὐκ ἔτι εἷς ἐστιν ὁ εἷς, ἀλλὰ δεκαπλασίων ἕκαστος αὐτῶν γίνεται, καὶ εὑρήσεις ἐν τοῖς δέκα τὸν ἕνα, καὶ ἐν τῷ ἑνὶ τοὺς δέκα. Κἂν ἐχθρὸν ἔχωσιν, οὐ τῷ ἑνὶ προσβαλών, ὡς τοῖς δέκα προσβαλὼν, οὕτως ἁλίσκεται· οὐ γὰρ ὑφ' ἑνὸς βάλλεται μόνον, ἀλλ' ὑπὸ τῶν δέκα στομάτων. Ἠπόρησεν ὁ εἷς; Ἀλλ' οὐκ ἔστιν ἐν ἀπορίᾳ· τῷ γὰρ μείζονι μέρει (τουτέστι τοῖς ἐννέα) εὐπορεῖ, καὶ τὸ ἀποροῦν συσκιάζεται μέρος, τὸ ἔλαττον, διὰ τοῦ πλείονος τοῦ εὐποροῦντος. Ἕκαστος τούτων εἴκοσι χεῖρας ἔχει, καὶ εἴκοσιν ὀφθαλμούς, καὶ πόδας τοσούτους· οὐ γὰρ τοῖς ἑαυτοῦ μόνον ὀφθαλμοῖς ὁρᾷ, ἀλλὰ καὶ τοῖς ἑτέρων, οὐ τοῖς ἑαυτοῦ βαστάζει ποσίν, ἀλλὰ καὶ τοῖς ἑτέρων, οὐ ταῖς ἑαυτοῦ χερσὶν ἐργάζεται, ἀλλὰ καὶ ταῖς ἐκείνῳ. Ψυχὰς ἔχει δέκα· οὐ γὰρ αὐτὸς ὑπὲρ ἑαυτοῦ μόνον, ἀλλὰ καὶ ἐκεῖναι ὑπὲρ αὐτοῦ μεριμνῶσιν. Εἰ δὲ καὶ ἑκατὸν γένοιντο, τὸ αὐτὸ ἔσται πάλιν, καὶ ἐκταθήσεται τὰ τῆς δυνάμεως.

---

25. Ματθ. 23, 8.
26. Ἰω. 17, 11.

τοῦ Πνεύματος. Διὰ τοῦτο ἀκριβῶς ἓν μόνον ἐπιδιώκει, ὥστε νὰ γίνῃ αὐτὸς πιστευτὸς καὶ ἀποδεκτὸς ἀπὸ αὐτοὺς καὶ νὰ μὴ σκανδαλισθοῦν· ἐπειδὴ δηλαδὴ ἔλεγεν, «Ἕνας εἶναι ὁ διδάσκαλός σας, ὁ Χριστός»[25], διὰ νὰ μὴ τὸ νομίσουν παρακοήν, ἐὰν ὑπακούουν εἰς τὸ Πνεῦμα, 'μία', λέγει, 'εἶναι ἡ διδασκαλία ἡ ἰδική μου καὶ ἐκείνου· ἀπὸ ἐκεῖνα ποὺ ἐπρόκειτο ἐγὼ νὰ διδάξω, ἀπὸ τὰ ἴδια καὶ ὁ Παράκλητος θὰ ὁμιλήσῃ. Μὴ νομίσετε λοιπὸν ὅτι διαφορετικὰ εἶναι τὰ διδάγματα τοῦ Παρακλήτου· καθ' ὅσον καὶ ἐκεῖνα ἰδικά μου εἶναι καὶ ἀπαρτίζουν τὴν ἰδικήν μου δόξαν'· διότι ἓν εἶναι τὸ θέλημα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Ἔτσι θέλει νὰ εἴμεθα καὶ ἡμεῖς, λέγων· «Διὰ νὰ εἶναι ἡνωμένοι εἰς ἕν, καθὼς καὶ ἐγὼ καὶ σὺ εἴμεθα ἕν»[26].

4. Τίποτε πράγματι δὲν εἶναι ἴσον μὲ τὴν ὁμόνοιαν καὶ τὴν συμφωνίαν· διότι ὁ ἕνας κατ' αὐτὸν τὸν τρόπον γίνεται ὁ ἕνας ἐκ τῶν πολλῶν· διότι ἐὰν ὑπάρχουν δύο ἢ δέκα ὁμογνώμονες, δὲν εἶναι ὁ ἕνας πλέον ἕνας, ἀλλὰ ὁ καθένας ἀπὸ αὐτοὺς γίνεται δεκαπλάσιος καὶ θὰ εὕρῃς εἰς τοὺς δέκα τὸν ἕνα καὶ εἰς τὸν ἕνα τοὺς δέκα. Καὶ ἂν ἔχουν ἐχθρόν, δὲν κατανικᾶται τόσον εὔκολα ὅταν προσβάλῃ τὸν ἕνα, ὅσον ὅταν προσβάλῃ τοὺς δέκα· διότι δὲν βάλλεται μόνον ἀπὸ τὸν ἕνα, ἀλλὰ ἀπὸ τὰ δέκα στόματα. Ἐπτώχαινεν ὁ ἕνας; Ἀλλὰ δὲν εἶναι ἄπορος· διότι εἶναι εὔπορος ὡς πρὸς τὸ μεγαλύτερον μέρος (δηλαδὴ ὡς πρὸς τοὺς ἐννέα), καὶ τὸ ἄπορον μέρος, δηλαδὴ τὸ μικρότερον, ἐπισκιάζεται διὰ τοῦ μεγαλυτέρου ποὺ εὐπορεῖ. Ὁ καθένας ἀπὸ αὐτοὺς ἔχει εἴκοσι χέρια καὶ εἴκοσιν ὀφθαλμοὺς καὶ πόδια ἄλλα τόσα· ἄρα δὲν βλέπει μόνον μὲ τοὺς ἰδικούς του ὀφθαλμούς, ἀλλὰ καὶ μὲ τοὺς ὀφθαλμοὺς τῶν ἄλλων, δὲν στηρίζεται μόνον εἰς τὰ ἰδικά του πόδια, ἀλλὰ καὶ εἰς τὰ τῶν ἄλλων, δὲν ἐργάζεται μόνον μὲ τὰ ἰδικά του χέρια, ἀλλὰ καὶ μὲ τὰ χέρια ἐκείνων. Ψυχὰς ἔχει δέκα· ἐπομένως δὲν μεριμνᾷ ὁ ἴδιος μόνον διὰ τὸν ἑαυτόν του, ἀλλὰ καὶ αἱ ψυχαὶ ἐκείνων μεριμνοῦν δι' αὐτόν. Ἐὰν δὲ ἤθελε συμβῇ νὰ γίνουν ἑκατόν, τὸ ἴδιο πάλιν θὰ συμβῇ καὶ θὰ ἐπεκταθῇ ἡ δύναμίς των.

Εἶδες ἀγάπης ὑπερβολήν, πῶς ἀκαταγώνιστον ποιεῖ τὸν ἕνα καὶ πολλαπλασίω; πῶς ὁ εἷς καὶ πανταχοῦ δύναται εἶναι; ὁ αὐτὸς καὶ ἐν Περσίδι καὶ ἐν Ρώμῃ; καὶ ὅπερ φύσις οὐ δύναται, ἡ ἀγάπη δύναται; Τὸ μὲν γὰρ αὐτοῦ ἐνταῦθα ἔσται τὸ δὲ ἐκεῖ· μᾶλλον δὲ ὁλόκληρος ἐνταῦθα καὶ ὁλόκληρος ἐκεῖ. Ἐὰν οὖν χιλίους ἔχῃ φίλους ἢ δισχιλίους, ἐννόησον ποῦ πάλιν ὑπερβήσεται τὰ τῆς δυνάμεως. Ὁρᾷς πῶς αὐξητικὸν ἡ ἀγάπη; Τὸ γὰρ θαυμαστὸν τοῦτό ἐστι, τὸ χιλιοστὸν ποιῆσαι τὸν ἕνα. Τνος οὖν ἕνεκεν οὐ κτώμεθα τὴν δύναμιν ταύτην, καὶ ἐν ἀσφαλείᾳ καθιστῶμεν ἑαυτούς; Τοῦτο δυναστείας καὶ πλούτου κρεῖττον παντός, τοῦτο ὑγείας, τοῦτο αὐτοῦ τοῦ φωτὸς πλεῖον, τοῦτο εὐθυμίας ὑπόθεσις. Μέχρι τίνος εἰς ἕνα καὶ δύο περιΐστῶμεν τὴν ἀγάπην;

Μάθε καὶ ἐξ ἐναντίας τὸ πρᾶγμα. Ἔστω τις μηδένα φίλον ἔχων, ὅπερ ἀνοίας ἐστὶν ἐσχάτης, (μωρὸς γὰρ ἐρεῖ· 'Οὐχ ὑπάρχει μοι φίλος')· ὁ τοιοῦτος ποίαν ζήσεται ζωήν; Κἂν γὰρ μυριάκις ᾖ πλούσιος ἐν ἀφθονίᾳ καὶ τρυφῇ, κἂν μυρία ἀγαθὰ κεκτημένος, πάντων ἔρημος καὶ γυμνὸς καθίσταται. Ἐπὶ δὲ τῶν φίλων οὐχ οὕτως, ἀλλά, κἂν πένητες ὦσι, τῶν πλουσίων εὐπορώτεροι τυγχάνουσι· καί, ἅπερ αὐτὸς ὑπὲρ αὐτοῦ οὐκ εἰπεῖν ἐπιχειρεῖ, ταῦτα ὁ φίλος ἐρεῖ· καὶ ὅσα οὐ δύναται ἑαυτῷ χαρίσασθαι, δι' ἑτέρου δυνήσεται, καὶ πολλῷ πλείονα, καὶ πάσης ἡμῖν ἔσται ἀπολαύσεως καὶ ἀσφαλείας ὑπόθεσις· οὐ γὰρ ἔστι παθεῖν κακῶς, ὑπὸ τοσούτοις δορυφόροις φυλαττόμενον· οὐ γὰρ τοιοῦτοι τοῦ βασιλέως οἱ σωματοφύλακες ἀκριβεῖς, ὡς οὗτοι· οἱ μὲν γὰρ ἀνάγκῃ καὶ φόβῳ τὴν φυλακὴν ἐπιδείκνυν-

Εἶδες ἀγάπην ὑπερβολικήν, πῶς κάμνει τὸν ἕνα ἀκατανίκητον καὶ πολλαπλάσιον; πῶς ὁ ἕνας ἠμπορεῖ νὰ εὑρίσκεται καὶ παντοῦ; ὁ ἴδιος δηλαδὴ καὶ εἰς τὴν Περσίαν καὶ εἰς τὴν Ρώμην; καὶ ἐκεῖνο ποὺ δὲν ἠμπορεῖ νὰ τὸ ἐπιτύχῃ ἡ φύσις, ὅτι τὸ ἐπιτυγχάνει ἡ ἀγάπη; διότι ἡ μὲν φύσις του εὑρίσκεται ἐδῶ, ἡ δὲ ἀγάπη του ἐκεῖ· μᾶλλον δὲ ὁλόκληρος εὑρίσκεται ἐδῶ καὶ ὁλόκληρος ἐκεῖ. Ἐὰν λοιπὸν ἔχῃ χιλίους φίλους ἢ δύο χιλιάδας, σκέψου πάλιν πόσον αὐξάνεται ἡ δύναμίς του. Βλέπεις πόσον αὐξητικὴ εἶναι ἡ ἀγάπη; Διότι αὐτὸ εἶναι τὸ ἀξιοθαύμαστον, τὸ ὅτι καθιστᾷ τὸν ἕνα ὡσὰν νὰ εἶναι χίλιοι. Διατί λοιπὸν δὲν ἀποκτῶμεν αὐτὴν τὴν δύναμιν καὶ δὲν ἀσφαλίζομεν τοὺς ἑαυτούς μας; Αὐτὸ εἶναι ἀνώτερον ἀπὸ κάθε ἐξουσίαν καὶ πλοῦτον, αὐτὸ εἶναι σπουδαιότερον ἀπὸ τὴν ἠγεσίαν καὶ ἀπὸ τὸ ἴδιον τὸ φῶς, αὐτὸ εἶναι αἰτία χαρᾶς. Μέχρι πότε θὰ περιορίζωμεν τὴν ἀγάπην μας εἰς ἕνα ἢ δύο;

Μάθε δὲ τὸ πρᾶγμα καὶ ἀπὸ τὴν ἀντίθετον σκοπιάν του. Ἔστω ὅτι κάποιος δὲν ἔχει κανένα φίλον, πρᾶγμα ποὺ εἶναι δεῖγμα τῆς πιὸ φοβερῆς ἀνοησίας (διότι ὁ μωρὸς θὰ εἰπῇ· 'Δὲν ὑπάρχει δι' ἐμένα φίλος')· αὐτὸς ὁ ἄνθρωπος τί ζωὴν θὰ κάμῃ; Διότι καὶ ἂν ἀκόμη εἶναι εἰς ὑπερβολικὸν βαθμὸν βαθύπλουτος, καὶ ἂν ἀκόμη ζῇ εἰς τὴν ἀφθονίαν καὶ τὴν ἀπόλαυσιν, καὶ ἂν ἀκόμη ἀπέκτησεν ἄπειρα ἀγαθά, καταντᾷ ἔρημος καὶ γυμνὸς ἀπὸ ὅλα. Εἰς τὴν περίπτωσιν τῶν φίλων ὅμως δὲν συμβαίνει τὸ ἴδιο, ἀλλά, καὶ ἂν ἀκόμη εἶναι πτωχοί, γίνονται πιὸ πλούσιοι καὶ ἀπὸ τοὺς πλουσίους· καί, ἐκεῖνα ἀκριβῶς ποὺ ὁ ἴδιος δὲν ἐπιχειρεῖ νὰ εἰπῇ διὰ τὸν ἑαυτόν του, αὐτὰ θὰ τὰ εἰπῇ ὁ φίλος· καὶ ὅσα δὲν ἠμπορεῖ ὁ ἴδιος νὰ χαρίσῃ εἰς τὸν ἑαυτόν του, θὰ ἠμπορέσῃ δι' ἄλλου φίλου, καὶ πολὺ περισσότερα, καὶ θὰ γίνῃ δι' ἡμᾶς αἰτία κάθε ἀπολαύσεως καὶ ἀσφαλείας· διότι δὲν εἶναι δυνατὸν νὰ πάθῃ κάποιο κακόν, τὴν στιγμὴν ποὺ φυλάσσεται ἀπὸ τόσους δορυφόρους· διότι δὲν ἐπιδεικνύουν τόσην φροντίδα οἱ σωματοφύλακες τοῦ βασιλέως, ὅσην αὐτοί· διότι ἐκεῖνοι μὲν ἀπὸ ἀνάγκην καὶ φόβον ἀσκοῦν τὴν φρούρησιν, ἐνῷ αὐτοὶ ἀπὸ εὔνοιαν καὶ ἀγάπην, ποὺ

ται, οἱ δὲ εὐνοίᾳ καὶ ἀγάπῃ, πολλῷ δὲ φόβῳ τυραννικωτέρα αὕτη· κἀκεῖνος μὲν τοὺς φύλακας αὐτοῦ δέδοικεν, οὗτος δὲ τούτοις μᾶλλον ἢ ἑαυτῷ θαρρεῖ, καὶ διὰ τούτους οὐδένα τῶν ἐπιβουλευόντων δέδοικεν.

Ἐμπορευσώμεθα τοίνυν τὴν ἐμπορίαν ταύτην, ὁ πένης, ἵνα τῆς πενίας ἔχῃ παραμυθίαν ὁ πλούσιος, ἵνα τὸν πλοῦτον ἐν ἀσφαλείᾳ κεκτημένος ᾖ, ὁ ἄρχων, ἵνα μετὰ ἀσφαλείας ἄρχῃ, ὁ ἀρχόμενος, ἵνα εὐμενεῖς ἔχῃ τοὺς ἄρχοντας. Τοῦτο ἡμερότητος ἀφορμή, τοῦτο πραότητος ὑπόθεσις. Ἐπεὶ καὶ ἐν τοῖς θηρίοις ἐκεῖνα μάλιστά ἐστι χαλεπὰ καὶ ἀτίθασα, τὰ μὴ συναγελαζόμενα. Διὰ τοῦτο πόλεις οἰκοῦμεν, καὶ ἀγορὰς ἔχομεν, ἵνα ἀλλήλοις συγγινώμεθα. Τοῦτο καὶ Παῦλος ἐκέλευσε, λέγων· «Μὴ ἐγκαταλειπάνοντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν»· οὐδὲν γὰρ οὕτως, ὡς μόνωσις, καὶ τὸ ἄσπονδον, καὶ ἀπρόσιτον. Τί οὖν οἱ μοναχοί, φησί, καὶ οἱ τὰς κορυφὰς τῶν ὀρέων κατειληφότες; Οὐδὲ ἐκεῖνοι φίλων εἰσὶ χωρίς, ἀλλὰ τοὺς μὲν ἐπὶ τῆς ἀγορᾶς ἔφυγον θορύβους, πολλοὺς δὲ ἔχουσιν ὁμοψύχους, καὶ ἀκριβῶς ἀλλήλοις συνδεδεμένους· καί, ἵνα τοῦτο κατορθώσωσιν, ἀνεχώρησαν. Ἐπειδὴ γὰρ ἡ τῶν πραγμάτων φιλονεικία πολλὰς ποιεῖ τὰς ἔριδας, διὰ τοῦτο, ἐκ μέσου γενόμενοι, τὴν ἀγάπην γεωργοῦσι μετὰ ἀκριβείας πολλῆς.

Τί οὖν, εἴ τις μόνος εἴη, φησί, κἀκεῖνος μυρίους ἔχει φίλους; Ἐγὼ μὲν γὰρ βούλομαι, εἰ δυνατόν, καὶ συνδιατρίβειν ἀλλήλοις εἰδέναι, τέως δὲ μενέτω τὰ τῆς φιλίας ἀκίνητα· οὐ γὰρ ὁ τόπος ποιεῖ τοὺς φίλους. Πολλοὺς γοῦν ἔχουσι τοὺς θαυμάζοντας· οὐκ ἂν δὲ ἐθαύμασαν, εἰ μὴ ἐφίλουν. Καὶ αὐτοὶ πάλιν ὑπὲρ ἁπάσης εὔχονται τῆς οἰκουμένης, ὅπερ μέγιστον φιλίας ἐστὶ τεκμήριον. Διὰ τοῦτο καὶ

---

27. Ἑβρ. 10, 25.

εἶναι αὐτὴ πολὺ πιὸ ἰσχυροτέρα ἀπὸ τὸν φόβον· καὶ ἐκεῖνος μὲν φοβεῖται τοὺς φύλακάς του, ἐνῷ αὐτὸς ἔχει περισσοτέραν πεποίθησιν εἰς αὐτοὺς μᾶλλον παρὰ εἰς τὸν ἑαυτόν του, καὶ ἐξ αἰτίας αὐτῶν δὲν φοβεῖται κανένα ἀπὸ ἐκείνους ποὺ τὸν ἐπιβουλεύονται.

Ἂς ἐκμεταλλευθῶμεν λοιπὸν αὐτὸ τὸ ἀγαθόν, ὁ μὲν πτωχὸς διὰ νὰ ἔχῃ παρηγορίαν εἰς τὴν πτωχείαν του, ὁ πλούσιος διὰ νὰ ἔχῃ εἰς ἀσφάλειαν τὸν πλοῦτον του, ὁ ἄρχων διὰ νὰ ἀσκῇ τὴν ἐξουσίαν του μὲ ἀσφάλειαν, ὁ ἀρχόμενος διὰ νὰ ἔχῃ τὴν εὐμένειαν τῶν ἀρχόντων. Αὐτὸ εἶναι ἀφορμὴ ἡμερότητος, αὐτὸ πηγὴ πραότητος. Διότι καὶ μεταξὺ τῶν θηρίων, ἐκεῖνα πρὸ πάντων εἶναι φοβερὰ καὶ ἀτίθασσα, ποὺ δὲν ζοῦν κατὰ ἀγέλας. Διὰ τοῦτο κατοικοῦμεν εἰς τὰς πόλεις καὶ ἔχομεν ἀγοράς, διὰ νὰ συναναστρεφώμεθα ὁ ἕνας τὸν ἄλλον. Αὐτὴν τὴν ἐντολὴν ἔδωσε καὶ ὁ Παῦλος, λέγων· «Χωρὶς νὰ παραμελῆτε καὶ νὰ ἐγκαταλείπετε τὴν ἀπὸ κοινοῦ συνάθροισίν σας»[27]· διότι τίποτε δὲν εἶναι τόσον κακόν, ὅσον ἡ μόνωσις, ἡ ἀδιαλλαξία καὶ ἡ ἀποφυγὴ συνάψεως σχέσεως μετὰ συνανθρώπων. Τί συμβαίνει λοιπόν, λέγει, μὲ τοὺς μοναχούς, ποὺ κατέλαβον τὰς κορυφὰς τῶν βουνῶν; Οὔτε ἐκεῖνοι εἶναι χωρὶς φίλους, ἀλλ᾽ ἀπέφυγον μὲν τοὺς θορύβους τῆς ἀγορᾶς, ἔχουν ὅμως πολλοὺς ὁμοψύχους καὶ στενὰ συνδεδεμένους μεταξύ των· καὶ διὰ νὰ κατορθώσουν αὐτό, ἀνεχώρησαν εἰς τὰ ὄρη. Διότι, ἐπειδὴ ἡ φιλονεικία διὰ τὰ κοσμικὰ πράγματα δημιουργεῖ πολλὰς ἔριδας, διὰ τοῦτο, ἀναχωρήσαντες ἀπὸ τὸν κόσμον, ἀσκοῦν τὴν ἀγάπην μὲ πολλὴν φροντίδα.

Τί λοιπόν; ἐὰν κάποιος, λέγει, εἶναι μόνος καὶ ἐκεῖνος ἔχει ἀπείρους φίλους; Ἐγὼ βέβαια θέλω, ἐὰν εἶναι δυνατόν, καὶ νὰ γνωρίζουν νὰ συναναστρέφωνται ὁ ἕνας τὸν ἄλλον, πρῶτα ἀπὸ ὅλα ὅμως νὰ εἶναι σταθερὰ ἡ φιλία· διότι δὲ κάμνει τοὺς φίλους ὁ τόπος. Βέβαια οἱ μοναχοὶ ἔχουν πολλοὺς ποὺ τοὺς θαυμάζουν· δὲν θὰ τοὺς ἐθαύμαζον, ἐὰν δὲν τοὺς ἀγαποῦσαν. Καὶ αὐτοὶ πάλιν προσεύχονται δι᾽ ὅλην τὴν οἰκουμένην, πρᾶγμα ποὺ εἶναι μεγίστη ἀπό-

ἐν τοῖς μυστηρίοις ἀσπαζόμεθα ἀλλήλους, ἵνα οἱ πολλοὶ γενώμεθα ἕν· καὶ ἐπὶ τῶν ἀμυήτων κοινὰς ποιούμεθα τὰς εὐχάς, λιτανεύοντες ὑπὲρ νοσούντων, καὶ τῶν καρπῶν τῆς οἰκουμένης, καὶ γῆς καὶ θαλάττης. Ὁρᾷς πᾶσαν τῆς ἀγάπης τὴν δύναμιν; ἐν ταῖς εὐχαῖς; ἐν τοῖς μυστηρίοις; ἐν ταῖς παραινέσεσι; Τοῦτο πάντων αἴτιον τῶν ἀγαθῶν. Ἂν ταύτης ἐχώμεθα μετὰ ἀκριβείας, καὶ τὰ παρόντα καλῶς οἰκονομήσομεν, καὶ τῆς βασιλείας ἐπιτευξόμεθα· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

δειξις φιλίας. Διά τοῦτο καὶ κατὰ τὰ μυστήρια ἀσπαζόμεθα ὁ ἕνας τὸν ἄλλον, διὰ νὰ γευώμεθα οἱ πολλοὶ ἕν· καὶ διὰ τοὺς ἀμυήτους κάμνομεν κοινὰς προσευχάς, κάμνομεν δεήσεις ὑπὲρ τῶν ἀσθενῶν, ὑπὲρ τῶν καρπῶν τῆς οἰκουμένης καὶ ὑπὲρ τῆς γῆς καὶ τῆς θαλάσσης. Βλέπεις ὅλην τὴν δύναμιν τῆς ἀγάπης; εἰς τὰς προσευχάς; εἰς τὰ μυστήρια; εἰς τὰς παραινέσεις; Αὐτὴ εἶναι ἡ αἰτία ὅλων τῶν ἀγαθῶν. Ἂν ἀσκοῦμεν αὐτὴν μὲ τὸν πρέποντα τρόπον καὶ τὰ τῆς παρούσης ζωῆς θὰ ρυθμίσωμεν καλῶς καὶ θὰ ἐπιτύχωμεν τὴν οὐράνιον βασιλείαν, τὴν ὁποίαν εὔχομαι ὅλοι μας νὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου ἀνήκει ἡ δόξα εἰς τὸν Πατέρα, συγχρόνως δὲ καὶ εἰς τὸ ἅγιον Πνεῦμα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΟΘ΄

Ἰω. 16, 16-33

«Μικρὸν καὶ οὐ θεωρεῖτέ με· καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με, ὅτι ὑπάγω πρὸς τὸν Πατέρα. Εἶπον οὖν ἐκ τῶν μαθητῶν αὐτοῦ πρὸς ἀλλήλους· Τί ἐστιν, ὃ λέγει· Μικρόν;»· καὶ τὰ ἑξῆς.

1. Τὴν ὀδυνωμένην ψυχὴν καὶ ἀπὸ ἀθυμίας κατεχομένην πολλῆς οὐδὲν οὕτως εἴωθε καταβάλλειν, ὡς τὰ τὴν λύπην τίκτοντα ῥήματα, στρεφόμενα συνεχῶς. Τί δήποτε οὖν ὁ Χριστός, εἰπών· «Ὑπάγω», καὶ «οὐκ ἔτι λαλήσω μεθ' ὑμῶν», συνεχῶς τὰ αὐτὰ στρέφει, λέγων· «Μικρὸν καὶ οὐκ ἔτι θεωρεῖτέ με», καὶ «ὅτι ὑπάγω πρὸς τὸν πέμψαντά με»; Ὅτε γὰρ αὐτοὺς ἀνεκτήσατο διὰ τῶν περὶ τοῦ Πνεύματος λόγων, τότε πάλιν αὐτῶν καταβάλλει τὰ φρονήματα. Τίνος οὖν ἕνεκεν τοῦτο ποιεῖ; Βασανίζει τὴν διάνοιαν, καὶ δοκιμωτέραν ἐργάζεται, καὶ συνεθίζει καλῶς αὐτοὺς ἐν τῇ τῶν λυπηρῶν ἀκροάσει γενναίως ἐνεγκεῖν αὐτοῦ τὸν χωρισμόν· οἱ γὰρ ἐν τοῖς ῥήμασι τοῦτο μελετήσαντες ἔμελλον καὶ ἐν τοῖς πράγμασιν αὐτὸ ῥᾳδίως οἴσειν λοιπόν. Εἰ δέ τις ἀκριβῶς ἐξετάσειε, καὶ αὐτὸ τοῦτο παραμυθία ἐστί, τὸ εἰπεῖν ὅτι πρὸς τὸν Πατέρα ἀπέρχομαι»· τοῦτο γὰρ δηλοῦντος ἦν ὅτι οὐκ ἀπολεῖται, ἀλλὰ μετάστασίς τίς ἐστιν αὐτοῦ ἡ τελευτή. Καὶ ἑτέραν παραμυθίαν αὐτοῖς ἐνέθηκεν· οὐ γὰρ εἶπε, «Μικρὸν καὶ οὐκ ἔτι θεωρεῖτέ με» μόνον, ἀλλὰ καὶ προσέθηκε, «Μικρὸν καὶ ὄψεσθέ με», δηλῶν ὅτι

---

1. Ἰω. 14, 30.

ΟΜΙΛΙΑ ΟΘ΄

Ἰω. 16, 16-33

«Ὀλίγον ἀκόμη καὶ δὲν θά μὲ βλέπετε, μετὰ ἀπὸ ὀλίγον πάλιν θὰ μὲ ἰδῆτε, διότι πηγαίνω πρὸς τὸν Πατέρα μου. Εἶπον λοιπὸν μερικοὶ ἀπὸ τοὺς μαθητάς του μεταξὺ των· Τί σημαίνει αὐτὸ ποὺ λέγει, Μικρόν;» καὶ τά ἑξῆς.

1. Τὴν ψυχὴν ποὺ ὑποφέρει καὶ εἶναι κυριευμένη ἀπὸ λύπην μεγάλην τίποτε συνήθως δὲν τὴν καταβάλλει τόσον, ὅσον τὰ λόγια ποὺ γεννοῦν τὴν λύπην, καὶ ποὺ ἐπαναλαμβάνονται συνεχῶς. Διότι τί τέλος πάντων ἐννοεῖ ὁ Χριστός, εἰπών, «πηγαίνω», καὶ «δὲν θὰ ὁμιλῶ πλέον μαζί σας»[1], συνεχῶς τά ἴδια ἐπαναλαμβάνει, λέγων, «Ὀλίγον ἀκόμη καὶ δὲν θὰ μὲ βλέπετε», καὶ «διότι πηγαίνω πρὸς τὸν Πατέρα μου»; Διότι, ὅταν ἐνεθάρρυνεν αὐτοὺς μὲ τὰ λόγια του περὶ τοῦ ἁγίου Πνεύματος, τότε πάλιν καταβάλλει τὸ φρόνημα αὐτῶν. Διὰ ποῖον λόγον λοιπὸν τὸ κάμνει αὐτό; Ἀσκεῖ τὴν σκέψιν των καὶ τὴν κάμνει σταθερωτέραν καὶ συνηθίζει αὐτοὺς καλῶς μὲ τὴν ἀκρόασιν τῶν λυπηρῶν νὰ ὑπομείνουν μὲ γενναιότητα τὸν χωρισμὸν αὐτοῦ· διότι, ἐκεῖνοι ποὺ μὲ τὰ λόγια ἐμελέτησαν τὸν χωρισμόν, ἐπρόκειτο πλέον καὶ εἰς τὴν πρᾶξιν νά ὑπομείνουν αὐτὸν εὐκόλως. Ἐὰν δὲ κανεὶς ἤθελεν ἐξετάσει ἀκριβῶς καὶ τὰ ἴδια τά λόγια του «Πρὸς τὸν Πατέρα ἀπέρχομαι», ἀποτελοῦν παρηγορίαν· διότι μὲ τὰ λόγια αὐτὰ ἤθελε νὰ δηλώσῃ ὅτι δὲν θὰ ἀπολεσθῇ, ἀλλ' ὁ θάνατός του εἶναι μία κάποια μετάθεσις ἀπὸ ἐδῶ εἰς τὸν οὐρανόν. Ἀνέφερε δὲ καὶ ἄλλον παρηγορητικὸν λόγον· διότι δὲν εἶπε μόνον, «Ὀλίγον ἀκόμη καὶ δὲν θὰ μὲ βλέπετε», ἀλλὰ καὶ ἐπρόσθεσεν, «Ὀλίγον ἀκόμη καὶ θὰ μὲ ἰδῆτε» μὲ σκοπὸν νά δηλώσῃ ὅτι καὶ θὰ

καὶ ἐπανήξει, καὶ πρὸς ὀλίγον ἔσται ὁ χωρισμός, καὶ διηνεκὴς ἡ μετ' αὐτῶν συνουσία. Τοῦτο μέντοι οὐ συνεῖδον. Ὅθεν καὶ εἰκότως ἄν τις θαυμάσειε πῶς, πολλάκις ταῦτα ἀκούοντες, ὡς μηδὲν ἀκηκοότες, οὕτως ἀμφιβάλλουσι.

Πόθεν οὖν οὐ συνίεσαν; Ἢ διὰ τὴν λύπην, ὥς ἔγωγε οἶμαι (αὕτη γὰρ ἐξέβαλλε τῆς διανοίας αὐτῶν τὰ λεγόμενα), ἢ διὰ τὴν ἀσάφειαν τῶν λεγομένων. Διὸ καὶ ἔδοξεν αὐτοῖς δύο ἐναντία τιθέναι οὐκ ὄντα ἐναντία· εἰ γὰρ ὀψόμεθά σε, φησί, ποῦ ὑπάγεις; εἰ δὲ ὑπάγεις, πῶς ὀψόμεθά σε; Διὰ τοῦτο λέγουσιν· «Οὐκ οἴδαμεν τί λαλεῖ». Ὅτι μὲν γὰρ ἀπιέναι ἔμελλεν ᾔδεσαν, ἠγνόουν δὲ ὅτι μετὰ μικρὸν ἥξει πρὸς αὐτούς. Διὰ δὴ τοῦτο καὶ ἐπιτιμᾷ αὐτοῖς, ὅτι οὐ συνεῖδον τὸ λεγόμενον. Βουλόμενος γὰρ αὐτοῖς ἐμπῆξαι τὸ περὶ τοῦ θανάτου δόγμα, τί φησιν; «Ἀμήν, ἀμὴν λέγω ὑμῖν, ὅτι κλαύσετε καὶ θρηνήσετε ὑμεῖς (ὅπερ ἦν τοῦ θανάτου καὶ τοῦ σταυροῦ), ὁ δὲ κόσμος χαρήσεται». Ἐπειδὴ γὰρ διὰ τὸ μὴ βούλεσθαι ταχέως ἐπέτρεχον τῷ πιστεύειν ὅτι οὐκ ἀποθανεῖται, εἶτα, ἀκούσαντες ὅτι ἀποθανεῖται, ἀμφέβαλλον, οὐκ εἰδότες τί ποτέ ἐστι τὸ «μικρόν», φησί· «Κλαύσετε καὶ θρηνήσετε· ἀλλ' ἡ λύπη ὑμῶν εἰς χαρὰν γενήσεται». Εἶτα, δεικνὺς ὅτι μετὰ τὴν λύπην χαρὰ γίνεται, καὶ ὅτι ἡ λύπη τίκτει τὴν χαράν καὶ ὅτι αὕτη μὲν βραχεῖα, ἡ δὲ ἡδονὴ ἀπέραντος, ἐπὶ παράδειγμα ἦλθε κοσμικόν· καὶ τί φησιν; «Ἡ γυνή, ὅταν τίκτῃ, λύπην ἔχει». Καὶ κέχρηται παραβολῇ, ᾗ καὶ οἱ προφῆται συνεχῶς τῇ ὑπερβολῇ τῶν ὠδίνων τὰς ἀθυμίας παραβάλλοντες. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· 'Ὠδῖνες λήψονται ὑμᾶς· ἀλλ' ἡ ὠδὶν τοῦ τόκου γίνεται χαρᾶς αἰτία', ἅμα καὶ τὸν περὶ ἀναστάσεως πιστούμε-

ἐπανέλθη καὶ ὅτι ὁ χωρισμὸς θὰ εἶναι πολὺ σύντομος, καὶ διαρκὴς ἡ συναναστροφή του μὲ αὐτούς. Ἀλλ' αὐτὸ δὲν τὸ ἀντελήφθησαν. Ὅθεν πολὺ εὔλογα θὰ ἠμποροῦσε κανεὶς νὰ θαυμάσῃ, πῶς, ἐνῷ πολλὲς φορὲς ἤκουον αὐτὰ τὰ λόγια, εἶναι τέτοια ἡ ἀμφιβολία των, ὡσὰν νὰ μὴ ἤκουσαν τίποτε.

Διατί λοιπὸν δὲν τὸ ἀντελήφθησαν; Ἢ ἐξ αἰτίας τῆς λύπης, ὅπως ἐγὼ νομίζω (διότι ἡ λύπη ἀπεμάκρυνε τὰ λεγόμενά του ἀπὸ τὴν σκέψιν των), ἢ ἐξ αἰτίας τῆς ἀσαφείας τῶν λεγομένων. Διὰ τοῦτο καὶ ἐνόμισαν ὅτι τοὺς εἶπε δύο ἀντίθετα πράγματα, ποὺ ὅμως δὲν εἶναι ἀντίθετα· διότι, λέγει, ἐὰν θὰ σὲ ἰδοῦμεν, ποῦ θὰ ὑπάγῃς; ἐὰν δὲ θὰ ὑπάγῃς, πῶς θὰ σὲ ἰδοῦμεν; Διὰ τοῦτο λέγουν· «Δὲν καταλαβαίνομεν τί λέγει». Διότι, τὸ ὅτι ἐπρόκειτο ν' ἀπέλθῃ τὸ ἐγνώριζον, δὲν ἐγνώριζον ὅμως ὅτι μετὰ ἀπὸ ὀλίγον θὰ ἔλθῃ πρὸς αὐτούς. Διὰ τοῦτο βέβαια καὶ τοὺς ἐπιτιμᾷ, διότι δὲν ἀντελείφθησαν τὸ λεγόμενον. Θέλων δηλαδὴ νὰ βάλῃ μέσα των τὴν ἰδέαν περὶ τοῦ θανάτου του, τί λέγει; «Ἀλήθεια, ἀλήθεια σᾶς λέγω, ὅτι θὰ κλαύσετε καὶ θὰ θρηνήσετε (πρᾶγμα ποὺ ἐδήλωνε τὸν θάνατον καὶ τὸν σταυρόν), ὁ κόσμος ὅμως θὰ χαρῇ». Διότι, ἐπειδὴ αὐτοὶ δὲν ἤθελον τὸν θάνατόν του, ἔφθανον εἰς τὸ σημεῖον νὰ πιστεύουν ἀμέσως ὅτι δὲν θ' ἀποθάνῃ, εἰς τὴν συνέχειαν ὅμως, ὅταν ἤκουσαν ὅτι θ' ἀποθάνῃ, ἀμφέβαλλον, μὴ γνωρίζοντες δὲ τί τέλος πάντων σημαίνει τὸ «μικρόν», λέγει· «Θὰ κλαύσετε καὶ θὰ θρηνήσετε, ἀλλ' ἡ λύπη σας θὰ μεταβληθῇ εἰς χαράν». Ἔπειτα, διὰ νὰ δείξῃ ὅτι μετὰ τὴν λύπην ἀκολουθεῖ χαρά, καὶ ὅτι ἡ λύπη γεννᾷ τὴν χαράν, καὶ ὅτι ἡ μὲν λύπη εἶναι σύντομος, ἡ δὲ ἡδονὴ ἀπέραντος, ἀνέφερε παράδειγμα ἀπὸ τὰ συμβαίνοντα εἰς τὸν κόσμον· καὶ τί λέγει; «Ἡ γυναῖκα ὅταν γεννᾷ ἔχει λύπην». Καὶ χρησιμοποιεῖ παραβολήν, ποὺ καὶ οἱ προφῆται ἐχρησιμοποίουν, παραβάλλοντες συνεχῶς τὰς θλίψεις μὲ τὸν ὑπερβολικὸν βαθμὸν τῶν ὠδίνων. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· 'Θὰ σᾶς κυριεύσουν ὠδῖνες, ἀλλ' ἡ ὠδίνη τοῦ τοκετοῦ γίνεται αἰτία χαρᾶς', ἐπιβεβαιώνων συγχρόνως καὶ τὸν λό-

νος λόγον, καὶ δεικνὺς ὅτι τὸ ἐντεῦθεν ἀπελθεῖν ὅμοιόν ἐστι τῷ ἀπὸ μήτρας ἀπελθεῖν εἰς λαμπρὸν φῶς· ὡσανεὶ ἔλεγε· 'Μὴ θαυμάσητε ὅτι διὰ λύπης τοιαύτης ἐπὶ τὰ συμφέροντα ὑμᾶς ἄγω· ἐπεὶ καὶ ἡ μήτηρ ἐπὶ τὸ γενέσθαι μήτηρ οὕτως ἔρχεται διὰ λύπης'.

Αἰνίττεται δὲ ἐνταῦθα καί τι μυστικόν, ὅτι ἔλυσεν αὐτὸς τοῦ θανάτου τὰς ὠδῖνας, καὶ νέον ἄνθρωπον ἀπογεννηθῆναι πεποίηκε. Καὶ οὐκ εἶπεν ὅτι παρελεύσεται ἡ θλῖψις μόνον, ἀλλ' οὐδὲ μέμνηται αὐτῆς· τοσαύτη ἡ διαδεχομένη χαρά. Οὕτω καὶ τοῖς ἁγίοις ἔσται. Καὶ μὴν οὐ διὰ τοῦτο χαίρει ἡ γυνή, ὅτι ἦλθεν ἄνθρωπος εἰς τὸν κόσμον, ἀλλ' ὅτι αὐτῇ παιδίον ἐτέχθη· ἐπεί, εἰ διὰ τοῦτο ἔχαιρεν, οὐδὲν ἐκώλυε καὶ ἐφ' ἑτέρα γυναικὶ τικτούσῃ τὰς μὴ τικτούσας χαίρειν. Τίνος οὖν ἕνεκεν οὕτως εἶπεν; Ὅτι εἰς τοῦτο μόνον παρέλαβε τὸ ὑπόδειγμα, εἰς τὸ δεῖξαι πρόσκαιρον μὲν τὴν λύπην, διηνεκῆ δὲ τὴν χαράν, καὶ εἰς τὸ μετάστασιν εἶναι πρὸς ζωήν, καὶ εἰς τὸ μέγα τῶν ὠδίνων τὸ κέρδος. Καὶ οὐκ εἶπεν, 'Ετέχθη παιδίον', ἀλλ' ὅτι «ἄνθρωπος». Ἐνταῦθα γάρ μοι τὴν ἀνάστασιν αἰνίττεται τὴν αὐτοῦ, καὶ ὅτι οὐκ ἐκείνῳ τῷ ὠδίναντι θανάτῳ, ἀλλὰ τῇ βασιλείᾳ τίκτεσθαι ἔμελλε. Διὰ τοῦτο οὐκ εἶπεν, 'Εγεννήθη αὐτῇ παιδίον', ἀλλ' «ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον. Καὶ ὑμεῖς οὖν νῦν μὲν λυπήσεσθε· πάλιν δὲ ὄψομαι ὑμᾶς, καὶ ἡ λύπη ὑμῶν εἰς χαρὰν γενήσεται». Εἶτα ὅτι οὐκ ἔτι ἀ-ἀποθανεῖται δηλῶν, φησί· «Καὶ οὐδεὶς αὐτὴν αἴρει ἀφ' ὑμῶν. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐμὲ οὐκ ἐρωτήσετε οὐδέν». Πάλιν οὐδὲν ἄλλο κατασκευάζει διὰ τούτων, ἢ ὅτι ἀπὸ Θεοῦ ἐστι. Τότε γὰρ εἴσεσθε πάντα λοιπόν.

Τί δέ ἐστιν «Ἐμὲ οὐκ ἐρωτήσετε»; Οὐ δεήσεσθε μεσίτου, ἀλλ' ἀρκεῖ, τὸ ὄνομα μόνον εἰπόντας, πάντα λαβεῖν.

γον περὶ τῆς ἀναστάσεώς του, καὶ δεικνύων, ὅτι ἡ ἀναχώρησίς του ἀπὸ ἐδῶ ὁμοιάζει μὲ τὴν ἔξοδον ἀπὸ τὴν μήτραν εἰς λαμπρὸν φῶς· εἶναι ὡσὰν νὰ τοὺς ἔλεγε· 'Μὴ θαυμάσετε ποὺ μὲ τέτοιου εἴδους λύπης σᾶς ὁδηγῶ πρὸς αὐτὰ ποὺ σᾶς συμφέρουν· διότι καὶ ἡ μητέρα διὰ νὰ γίνῃ μητέρα, κατὰ τὸν ἴδιον τρόπον διέρχεται διὰ μέσου τῆς λύπης.

Ὑπαινίσσεται ἐδῶ καὶ κάποιο μυστικόν, ὅτι δηλαδὴ αὐτὸς κατέλυσε τὰς ὠδῖνας τοῦ θανάτου καὶ συνετέλεσε νὰ γεννηθῇ νέος ἄνθρωπος. Καὶ δὲν εἶπεν ὅτι θὰ παρέλθῃ ἡ θλῖψις μόνον, ἀλλ' ὅτι οὔτε κἂν ἐνθυμεῖται αὐτήν· τόσον μεγάλη εἶναι ἡ χαρὰ ποὺ διαδέχεται αὐτήν. Τὸ ἴδιο θὰ συμβῇ καὶ μὲ τοὺς ἁγίους. Καὶ βέβαια ἡ γυναῖκα δὲν χαίρεται δι' αὐτό, ἐπειδὴ δηλαδὴ ἦλθεν ἄνθρωπος εἰς τὸν κόσμον, ἀλλὰ διότι ἐγεννήθη παιδίον δι' αὐτήν· διότι, ἐὰν ἐχαίρετο δι' αὐτό, τίποτε δὲν ἠμπόδιζε καὶ δι' ἄλλην γυναῖκα ποὺ γεννᾷ νὰ χαίρωνται ἐκεῖναι ποὺ δὲν γεννοῦν. Διὰ ποῖον λόγον λοιπὸν ὡμίλησε κατ' αὐτὸν τὸν τρόπον; Διότι δι' αὐτὸν καὶ μόνον τὸν λόγον ἔλαβε τὸ παράδειγμα, διὰ νὰ δείξῃ ὅτι ἡ μὲν λύπη εἶναι προσωρινή, ἡ δὲ χαρὰ διαρκής, καὶ ὅτι ἀποτελεῖ μετάβασιν πρὸς τὴν ζωὴν καὶ ὅτι εἶναι μέγα τὸ κέρδος ἀπὸ τὰς ὠδῖνας. Καὶ δὲν εἶπεν, 'ἐγεννήθη παιδίον', ἀλλ' «ἄνθρωπος». Ἐδῶ νομίζω ὅτι ὑπαινίσσεται τὴν ἀνάστασίν του, καὶ ὅτι ἐπρόκειτο νὰ γεννηθῇ ὄχι δι' ἐκεῖνον τὸν θάνατον ποὺ ἐγέννησε τὰς ὠδῖνας, ἀλλὰ διὰ τὴν βασιλείαν. Διὰ τοῦτο δὲν εἶπεν, 'ἐγεννήθη παιδίον δι' αὐτήν', ἀλλ' «ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον. Καὶ σεῖς λοιπὸν τώρα μὲν θὰ λυπηθῆτε· πάλιν ὅμως θὰ σᾶς ἰδῶ καὶ ἡ λύπη σας θὰ μεταβληθῇ εἰς χαράν». Ἔπειτα, διὰ νὰ δείξῃ ὅτι δὲν θ' ἀποθάνῃ πλέον, λέγει· «Καὶ κανεὶς δὲν θ' ἀφαιρέσῃ τὴν χαρὰν ἀπὸ σᾶς. Τὴν ἡμέραν ἐκείνην δὲν θὰ μὲ παρακαλέσετε διὰ τίποτε». Πάλιν τίποτε ἄλλο δὲν θέλει νὰ δείξῃ μὲ αὐτά, παρὰ ὅτι προέρχεται ἀπὸ τὸν Θεόν. Διότι τότε θὰ τὰ γνωρίσετε ὅλα πλέον.

Τί σημαίνει δέ, «Ἐμὲ οὐκ ἐρωτήσετε»; Δὲν θὰ χρειασθῆτε μεσίτην, ἀλλ' εἶναι ἀρκετὸν καὶ μόνον νὰ εἰπῆτε

«Ἀμήν, ἀμὴν λέγω ὑμῖν ὅτι, ὅσα ἐὰν αἰτήσητε τὸν Πατέρα ἐν τῷ ὀνόματί μου». Δείκνυσι τοῦ ὀνόματος τὴν δύναμιν, εἴ γε, μὴ ὁρώμενος, μηδὲ παρακαλούμενος, ἀλλ' ὀνομαζόμενος μόνον, καὶ παρὰ τῷ Πατρὶ ποιεῖ θαυμαστούς. Ποῦ δὴ τοῦτο γέγονεν; Ἔνθα λέγουσιν· «Ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν, καὶ δὸς τοῖς δούλοις σου μετὰ παρρησίας λαλεῖν τὸν λόγον σου, καὶ ποιεῖν ἐν τῷ ὀνόματί σου σημεῖα. Καὶ ἐσείσθη ὁ τόπος, ἔνθα ἦσαν». «Ἕως ἄρτι οὐκ ᾐτήσατε οὐδέν». Ἐντεῦθεν δείκνυσιν ὅτι συμφέρει πάλιν αὐτὸν ἀπελθεῖν, εἴ γε ἕως τότε οὐδὲν ᾔτησαν, τότε δὲ λήψονται πάντα, ὅσα ἂν αἰτήσωσι. Μὴ γάρ, ἐπειδὴ λοιπὸν οὐ συνέσομαι ὑμῖν, νομίσητε ἐγκαταλελεῖφθαι· τὸ ὄνομά μου μείζονα ὑμῖν δώσει παρρησίαν.

2. Ἐπεὶ οὖν συνεσκιασμένα ἦν τὰ εἰρημένα, φησί· «Ταῦτα ἐν παροιμίαις λελάληκα ὑμῖν, καὶ ἔρχεται ὥρα, ὅτε οὐκ ἔτι ἐν παροιμίαις λαλήσω ὑμῖν». Ἔσται καιρός, ὅτε πάντες εἴσεσθε σαφῶς (λέγει δὲ τὸν τῆς ἀναστάσεως χρόνον)· τότε παρρησίᾳ περὶ τοῦ Πατρὸς ἀναγγελῶ ὑμῖν (καὶ γὰρ ἐπὶ τεσσαράκοντα ἡμέρας συνῆν, καὶ διελέχθη αὐτοῖς, συναλιζόμενος, καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ)· νῦν μὲν γάρ, ἐν φόβῳ ὄντες, οὐ προσέχετε τοῖς λεγομένοις, τότε δέ, ἀναστάντα ἰδόντες καὶ συνόντες, δυνήσεσθε παρρησίᾳ πάντα μανθάνειν, ὅτι αὐτὸς ὁ Πατὴρ ὑμᾶς φιλήσει, τῆς εἰς ἐμὲ πίστεως βεβαίας γεγενημένης. «Καὶ οὐκ ἐρωτήσω τὸν Πατέρα». Ἀρκεῖ ἡ εἰς ἐμὲ ἀγάπη προστῆναι ὑμῶν. «Ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε καὶ πεπιστεύκατε ὅτι ἀπὸ τοῦ Θεοῦ ἐξῆλθον. Ἀπὸ τοῦ Πατρὸς ἐξῆλθον, καὶ ἐλήλυθα εἰς τὸν κόσμον. Πάλιν ἀφίημι τὸν κόσμον, καὶ πορεύομαι πρὸς τὸν Πατέρα». Ἐπειδὴ γὰρ ὁ τῆς ἀναστά-

2. Πράξ. 4, 29· 30· 31.
3. Πράξ. 1, 3· 4.

τὸ ὄνομά μου καὶ ὅλα θὰ τὰ λάβετε. «Ἀλήθεια, ἀλήθεια σᾶς λέγω, ὅτι ὅσα ζητήσετε ἀπὸ τὸν Πατέρα μου εἰς τὸ ὄνομά μου». Δείχνει τὴν δύναμιν τοῦ ὀνόματός του, ἐφ' ὅσον βέβαια, χωρὶς νὰ εἶναι ὁρατὸς καὶ χωρὶς νὰ παρακαλῆται, ἀλλὰ ἀναφερόμενον μόνον τὸ ὄνομά του, καθιστᾷ τοὺς ἀνθρώπους θαυμαστοὺς ἐνώπιον τοῦ Πατρός. Ποῦ λοιπὸν συνέβη αὐτό; Ἐκεῖ ποὺ λέγουν· «Ρίψε τὸ βλέμμα σου πρὸς τὰς ἀπειλὰς αὐτῶν καὶ δῶσε εἰς τοὺς δούλους σου νὰ κηρύσσουν μὲ παρρησίαν τὸν λόγον σου, καὶ νὰ κάμνουν εἰς τὸ ὄνομά σου θαύματα. Καὶ ἐσείσθη ὁ τόπος ὅπου ἦσαν συγκεντρωμένοι»[2]. «Μέχρι τώρα δὲν ἐζητήσατε τίποτε». Ἐδῶ δείχνει ὅτι συμφέρει πάλιν αὐτὸς ν' ἀπέλθῃ, ἐφ' ὅσον βέβαια μέχρι τότε δὲν ἐζήτησαν τίποτε, τότε δὲ θὰ τὰ λάβουν ὅλα, ὅσα θὰ ζητήσουν. Μὴ νομίσετε δηλαδή, ἐπειδὴ πλέον δὲν θὰ εὑρίσκωμαι κοντά σας, ὅτι ἔχετε ἐγκαταλειφθῆ· τὸ ὄνομά μου θὰ σᾶς δώσῃ μεγαλυτέραν παρρησίαν.

2. Ἐπειδὴ λοιπὸν ἦσαν συγκαλυμμένα τὰ λεχθέντα, λέγει· «Σᾶς τὰ εἶπα αὐτὰ μὲ παραβολικὸν τρόπον, καὶ ἔρχεται ἡ ὥρα ποὺ δὲν θὰ σᾶς ὁμιλήσω μὲ παραβολάς». Θὰ ἔλθῃ καιρὸς ποὺ ὅλα θὰ τὰ γνωρίσετε μὲ σαφήνειαν (ἐννοεῖ δὲ τὸν χρόνον τῆς ἀναστάσεως)· τότε μὲ σαφήνειαν θὰ σᾶς ὁμιλήσω περὶ τοῦ Πατρὸς (καθ' ὅσον ἐπὶ σαράντα ἡμέρας συνανεστράφη αὐτοὺς καὶ συνωμίλησε μὲ αὐτούς, συντρώγων μὲ αὐτοὺς καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ)[3]· διότι τώρα μέν, κυριευμένοι ἀπὸ τὸν φόβον, δὲν προσέχετε εἰς τὰ λεγόμενα, τότε ὅμως, ὅταν μὲ ἰδῆτε ἀναστημένον καὶ μὲ συναναστραφῆτε, θὰ ἠμπορέσετε μὲ σαφήνειαν ὅλα νὰ τὰ μάθετε, διότι ὁ ἴδιος ὁ Πατὴρ θὰ σᾶς ἀγαπήσῃ, ἐφ' ὅσον θὰ ἔχῃ σταθεροποιηθῆ ἡ πίστις σας εἰς ἐμένα'. «Καὶ δὲν θὰ παρακαλέσω τὸν Πατέρα». Ἀρκεῖ ἡ ἀγάπη σας πρὸς ἐμένα νὰ σᾶς συμπαρασταθῆ. «Διότι σεῖς μὲ ἠγαπήσατε καὶ ἐπιστεύσατε ὅτι ἐξῆλθον ἀπὸ τὸν Θεόν. Ἀπὸ τὸν Πατέρα ἐξῆλθον καὶ ἦλθα εἰς τὸν κόσμον. Πάλιν ἀφήνω τὸν κόσμον καὶ πηγαίνω πρὸς τὸν Πατέρα μου». Ἐπειδὴ δηλαδὴ δὲν ἦτο τυχαία ἡ παρηγορία ποὺ

σεως λόγος οὐχ ὡς ἔτυχεν αὐτοὺς παρεμυθεῖτο, καὶ μετὰ τούτων τὸ ἀκούειν ὅτι «παρὰ Θεοῦ ἐξῆλθον, καὶ ἐκεῖ ὑπάγω», συνεχῶς αὐτὰ περιστρέφει· τὸ μὲν γὰρ ἠγγυᾶτο ὅτι ὀρθῶς πιστεύουσιν εἰς αὐτόν, τὸ δὲ ὅτι μέλλουσιν ἐν ἀσφαλείᾳ εἶναι. Ὅτε μὲν οὖν ἔλεγε, «Μικρὸν καὶ οὐ θεωρεῖτέ με· καὶ μικρὸν καὶ ὄψεσθέ με», εἰκότως ἠγνόουν, νῦν δὲ οὐκ ἔτι.

Τί δέ ἐστιν, «Ἐμὲ οὐκ ἐρωτήσετε»; Οὐκ ἐρεῖτε, «Δεῖξον ἡμῖν τὸν Πατέρα σου», καὶ «ποῦ ὑπάγεις;»· ὅτι πᾶσαν εἴσεσθε τὴν γνῶσιν, καὶ διακείσεται πρὸς ὑμᾶς ὁ Πατὴρ, ὥσπερ καὶ ἐγώ. Τοῦτο μάλιστα αὐτοὺς ἀναπνεῦσαι ἐποίησε, τὸ μαθεῖν ὅτι τῷ Πατρὶ ἔσονται φίλοι. Διὸ λέγουσι· «Νῦν οἴδαμεν ὅτι οἶδας πάντα». Ὁρᾷς ὅτι πρὸς τὸ ὑφορμοῦν τῇ διανοίᾳ ἀπεκρίνατο; «Καὶ οὐ χρείαν ἔχεις, ἵνα τίς σε ἐρωτᾷ»· τουτέστι, πρὶν ἢ ἀκοῦσαι, οἶδας τὰ σκανδαλίζοντα ἡμᾶς, καὶ ἀνέπαυσας, ἐπειδὴ εἶπες· «Ὁ Πατὴρ ὑμᾶς φιλεῖ, ὅτι ἐμὲ πεφιλήκατε». Μετὰ τοσαῦτα καὶ τηλικαῦτα, τότε λέγουσι· «Νῦν οἴδαμεν». Ὁρᾷς πῶς ἀτελῶς εἶχον; Εἶτα, ἐπειδὴ ὥσπερ τινὰ χάριν αὐτῷ παρέχοντες λέγουσι, «Νῦν οἴδαμεν», λέγει· Πολλῶν δεῖσθε ἑτέρων, ὥστε ἐπὶ τὸ τέλειον ἐλθεῖν· οὐδὲν οὐδέπω ὑμῖν κατώρθωται. Νῦν οὖν προδώσετέ με τοῖς ἐχθροῖς, καὶ τοσοῦτος ὑμῶν κρατήσει φόβος, ὥστε μηδὲ μετ' ἀλλήλων δυνηθῆναι ἀναχωρῆσαι. Ἀλλ' οὐδὲν ἀπὸ τούτων πείσομαι δεινόν.

Ὁρᾷς πῶς πάλιν συγκαταβατικὸς ὁ λόγος; Τοῦτο γοῦν αὐτοῖς καὶ ἐγκαλεῖ, ὅτι συγκαταβάσεως δέονται διηνεκῶς. Ἐπειδὴ γὰρ ἔλεγον, «Ἴδε νῦν παρρησίᾳ λαλεῖς, καὶ παροιμίαν οὐδεμίαν λέγεις, καὶ διὰ τοῦτο πιστεύομέν σοι», δείκνυσιν ὅτι νῦν, ὅτε πιστεύουσιν, οὔπω πιστεύουσιν, οὐδὲ προσίεται αὐτῶν τὰ ῥήματα. Ταῦτα λέγει, εἰς ἕτερον αὐτοὺς

4. Ἰω. 14, 8.
5. Ἰω. 14, 15.

ἐλάμβανον ἀπὸ τὸν λόγον περὶ τῆς ἀναστάσεώς του, καὶ μαζὶ μὲ αὐτὰ καὶ τὸ ὅτι ἤκουον ὅτι «ἀπὸ τὸν Θεὸν ἐξῆλθον καὶ ἐκεῖ πηγαίνω», συνεχῶς αὐτὴν ἐπαναλαμβάνει· διότι τὸ μὲν ἕνα ἐπεβεβαίωνεν ὅτι ὀρθῶς πιστεύουν εἰς αὐτόν, τὸ δὲ ἄλλο ὅτι πρόκειται νὰ εἶναι εἰς ἀσφάλειαν. Ὅταν λοιπὸν ἔλεγεν, «Ὀλίγον ἀκόμη καὶ δὲν θὰ μὲ βλέπετε καὶ μετὰ ἀπὸ ὀλίγον θὰ μὲ ἰδῆτε», πολὺ εὔλογα ἀγνοοῦσαν τὸ νόημα τῶν λόγων αὐτῶν, τώρα ὅμως ὄχι πλέον.

Τί σημαίνει δέ, «Ἐμὲ οὐκ ἐρωτήσετε»; Δὲν θὰ εἰπῆτε, «Δεῖξε μας τὸν Πατέρα σου»[4], καὶ «ποῦ πηγαίνεις;»[5]· διότι θὰ τὰ γνωρίσετε ὅλα καὶ αἱ διαθέσεις τοῦ Πατρὸς πρὸς ἐσᾶς θὰ εἶναι ὅπως καὶ αἱ ἰδικαί μου. Αὐτὸ πρὸ πάντων ἔκαμεν αὐτοὺς νὰ ἀναπνεύσουν, τὸ νὰ μάθουν ὅτι θὰ γίνουν ἀγαπητοὶ εἰς τὸν Πατέρα. Διὰ τοῦτο λέγουν· «Τώρα γνωρίζομεν ὅτι τὰ γνωρίζεις ὅλα». Βλέπεις ὅτι ἡ ἀπάντησίς του ἦτο σύμφωνος πρὸς αὐτὸ ποὺ ἦτο πίσω ἀπὸ τὴν σκέψιν των; «Καὶ δὲν χρειάζεται νὰ σὲ ἐρωτᾷ κανείς»· δηλαδή, πρὶν ἀκόμη ἀκούσῃς, γνωρίζεις ἐκεῖνα ποὺ μᾶς σκανδαλίζουν καὶ μᾶς καθησύχασες μὲ αὐτὰ ποὺ εἶπες· «Ὁ Πατήρ μου σᾶς ἀγαπᾷ ἐπειδὴ ἠγαπήσατε ἐμένα». Μετὰ ἀπὸ τόσα πολλὰ καὶ τόσα ὑψηλὰ λόγια του, τότε λέγουν· «Τώρα γνωρίζομεν». Βλέπεις πῶς ἦσαν πνευματικὰ ἀτελεῖς; Ἔπειτα, ἐπειδή, ὡσὰν νὰ τὸν εὐχαριστοῦν κατὰ κάποιον τρόπον, λέγουν, «τώρα γνωρίζομεν», λέγει· 'Ἔχετε ἀνάγκην ἀπὸ πολλὰ ἄλλα, ὥστε νὰ φθάσετε εἰς τὸ τέλειον· τίποτε ἀκόμη δὲν κατωρθώσατε. Τώρα λοιπὸν θὰ μὲ παραδώσετε εἰς τοὺς ἐχθροὺς καὶ τόσος φόβος θὰ σᾶς κυριεύσῃ, ὥστε οὔτε ὅλοι μαζὶ θὰ ἠμπορέσετε νὰ ἀναχωρήσετε. Ἀλλὰ δὲν θὰ πάθω ἀπὸ αὐτὰ κανὲν κακόν'.

Βλέπεις πῶς πάλιν ὁ λόγος εἶναι συγκαταβατικός; Αὐτὸ βέβαια εἶναι διὰ τὸ ὁποῖο τοὺς κατηγορεῖ, ὅτι δηλαδὴ ἔχουν συνεχῶς ἀνάγκην τῆς συγκαταβάσεώς του. Ἐπειδὴ δηλαδὴ ἔλεγον, «Νά, τώρα ὁμιλεῖς καθαρὰ καὶ δὲν λέγεις τίποτε παραβολικά, καὶ διὰ τοῦτο σὲ πιστεύομεν», δείχνει ὅτι τώρα, ποὺ πιστεύουν, δὲν πιστεύουν ἀκόμη, οὔτε δέχεται τὰ λόγια των. Αὐτὰ τὰ λέγει μεταφέρων τὴν

παραπέμπων καιρόν. Τὸ δὲ «ὁ Πατὴρ μετ' ἐμοῦ ἐστι» δι' αὐτοὺς πάλιν τέθεικε· τοῦτο γὰρ ἄνω καὶ κάτω ἐβούλετο μαθεῖν. Εἶτα, δεικνὺς ὅτι οὐ τὴν τελείαν γνῶσιν παρεδίδου αὐτοῖς ταῦτα λέγων, ἀλλ' ὥστε τὸν λογισμὸν αὐτοῖς μὴ στασιάζειν (εἰκὸς γὰρ αὐτοὺς λογίζεσθαι ἀνθρώπινά τινα, καὶ ὅτι οὐδεμιᾶς ἀπολαύσουσι παρ' αὐτοῦ βοηθείας), φησί· «Ταῦτα λελάληκα ὑμῖν, ἵνα ἐν ἐμοὶ εἰρήνην ἔχητε»· τουτέστιν, ἵνα μὴ ἐκβάλητέ με τῆς διανοίας ὑμῶν, ἀλλὰ παραδέξησθε. Μὴ τοίνυν εἰς δόγμα τις ἑλκέτω τὰ λεγόμενα· εἰς γὰρ ἡμετέραν εἴρηται παράκλησιν καὶ ἀγάπην. Οὐδὲ γὰρ μέχρι τούτου, φησί, τοιαῦτα πάσχουσι· στήσεται ὑμῖν τὰ τῶν δεινῶν· ἀλλά, ἕως ἂν ἦτε ἐν τῷ κόσμῳ, θλῖψιν ἕξετε, οὐ νῦν, ὅτε παραδίδομαι, ἀλλὰ καὶ μετὰ ταῦτα. Ἀλλὰ ἀνάστητε τῷ λογισμῷ· οὐδὲν γὰρ πείσεσθε δεινόν· τοῦ γὰρ Διδασκάλου περιγενομένου τῶν ἐχθρῶν, οὐ χρὴ τοὺς μαθητὰς ἀλύειν. Καὶ πῶς νενίκηκας, εἰπέ μοι, τὸν κόσμον; Εἶπον μὲν ἤδη ὅτι τὸν ἄρχοντα αὐτοῦ κατέβαλον κάτω, εἴσεσθε δὲ καὶ ὕστερον, πάντων εἰκόντων ὑμῖν καὶ παραχωρούντων.

3. Ἔξεστι δὲ καὶ ἡμᾶς νικᾶν, ἐὰν βουλώμεθα, εἰς τὸν ἀρχηγὸν τῆς πίστεως ἡμῶν ἀφορῶντας, καὶ ταύτην βαδίζοντας τὴν ὁδόν, ἣν αὐτὸς ἡμῖν ἔτεμεν· οὕτως οὐδὲ θάνατος ἡμῶν περιέσται. Τί οὖν; οὐ τεθνήξομεν; φησίν· ἀπὸ γὰρ τούτου δῆλον ὅτι οὐ περιέσται. Καὶ μὴν τότε ὁ ἀνταγωνιστὴς ἔσται λαμπρός, οὐχ ὅταν μὴ συμπλακῇ τῷ ἐχθρῷ, ἀλλ' ὅταν συμπλακεὶς μὴ κατέχηται. Οὐ τοίνυν διὰ τὴν συμπλοκὴν θνητοί, ἀλλὰ διὰ τὴν νίκην ἀθάνατοι· τότε γὰρ ἂν ἦμεν θνητοί, εἰ ἐμένομεν παρ' αὐτῷ διηνεκῶς. Ὥσπερ οὖν οὐκ ἂν εἴποιμι τὰ μακροβιώτατα τῶν ζώων ἀθάνατα,

σκέψιν των εἰς ἄλλον καιρόν. Τὸ δὲ «Ὁ Πατήρ μου εἶναι μαζί μου» τὸ ἀνέφερε πάλιν δι᾽ αὐτούς· διότι αὐτὸ ἤθελε μὲ κάθε τρόπον νὰ μάθουν. Ἔπειτα, διὰ νὰ δείξῃ ὅτι μὲ τὰ λόγια του αὐτὰ δὲν τοὺς παρέδιδε τὴν τελείαν γνῶσιν, ἀλλ᾽ ἁπλῶς διὰ νὰ μὴ ἐπαναστατῇ ἡ σκέψις των (διότι φυσικὸν ἦτο νὰ ἤρχοντο εἰς τὴν σκέψιν των ἀνθρώπιναι σκέψεις, καὶ ὅτι δὲν θὰ τύχουν ἀπὸ αὐτὸν καμμίας βοηθείας), λέγει· «Αὐτὰ σᾶς τὰ εἶπα διὰ νὰ ἔχετε εἰρήνην μένοντες ἑνωμένοι μαζί μου»· δηλαδή, διὰ νὰ μὴ μὲ βγάλετε ἀπὸ τὴν σκέψιν σας, ἀλλὰ νὰ μὲ παραδεχθῆτε. Νὰ μὴ θεωρήσῃ κανεὶς τὰ λεγόμενα ὡσὰν κάποιο δόγμα, διότι ἔχουν λεχθῆ πρὸς παρηγορίαν σας καὶ εἰς ἔνδειξιν ἀγάπης. Διότι, λέγει, δὲν θὰ εἶναι τὰ παθήματά σας τόσον ὑπερβολικά· θὰ σταματήσουν διὰ σᾶς τὰ δεινά· ἀλλ᾽ ὅσον χρόνον θὰ εἶσθε εἰς τὸν κόσμον, θὰ ἔχετε θλῖψιν, ὄχι τώρα ποὺ παραδίδομαι, ἀλλὰ καὶ μετὰ ταῦτα. Ἀλλὰ κρατήσατε ὑψηλὰ τὸ φρόνημά σας· καθ᾽ ὅσον τίποτε τὸ φοβερὸν δὲν θὰ πάθετε· διότι ἀπὸ τὴν στιγμὴν ποὺ ὁ διδάσκαλος καταβάλλει τοὺς ἐχθρούς, δὲν πρέπει οἱ μαθηταὶ νὰ λυποῦνται. Καὶ πῶς ἐνίκησες, εἰπέ μου, τὸν κόσμον; Σᾶς εἶπα ἤδη ὅτι κατενίκησα τὸν ἄρχοντα τοῦ κόσμου, θὰ τὸ γνωρίσετε δὲ καὶ ἀργότερον, ὅταν ὅλοι θὰ ὑποχωροῦν ἐμπρός σας καὶ θὰ ὑπακούουν εἰς σᾶς.

3. Εἶναι δυνατὸν καὶ ἡμεῖς νὰ νικῶμεν, ἐὰν θέλωμεν, ἔχοντες ἐστραμμένα τὰ βλέμματά μας πρὸς τὸν ἀρχηγὸν τῆς πίστεώς μας καὶ βαδίζοντες αὐτὴν τὴν ὁδὸν ποὺ μᾶς ἐχάραξεν αὐτός· ἔτσι οὔτε ὁ θάνατος θὰ ἠμπορέσῃ νὰ μᾶς νικήσῃ. Τί λοιπόν; δὲν θὰ πεθάνωμεν; λέγει· διότι ἀπὸ αὐτὸ γίνεται φανερὸν ὅτι δὲν θὰ μᾶς νικήσῃ. Καὶ ὅμως τότε ὁ ἀνταγωνιστὴς θὰ εἶναι λαμπρός, ὄχι ὅταν δὲν συμπλακῇ μὲ τὸν ἐχθρόν, ἀλλ᾽ ὅταν συμπλακῇ καὶ δὲν καταβληθῇ. Δὲν εἴμεθα δηλαδὴ θνητοὶ ἐξ αἰτίας τῆς συμπλοκῆς, ἀλλ᾽ ἀθάνατοι ἐξ αἰτίας τῆς νίκης μας πρὸς αὐτόν· διότι τότε θὰ συνέβαινε νὰ εἴμεθα θνητοί, ἐὰν ἐμένομεν ὑπὸ τὴν κατοχήν του διαρκῶς. Ὅπως ἀκριβῶς δηλαδὴ δὲν θὰ ἠμποροῦσα νὰ ὀνομάσω ἀθάνατα τὰ ζῶα ποὺ ζοῦν

καίτοι γε πολὺν γέμοντα χρόνον ἔξω θανάτου, οὕτως οὐδὲ θνητὸν διὰ τὸ λύεσθαι θανάτῳ, τὸν μέλλοντα μετὰ τὸν θάνατον ἀνίστασθαι· εἰπὲ γάρ μοι, εἴ τις πρὸς ὀλίγον ἐρυθριάσειε, τοῦτον οὕτω καλέσομεν διηνεκῶς ἐρυθρόν; Οὐδαμῶς· οὐ γάρ ἐστι τὸ πρᾶγμα ἕξις. Εἴ τις ὠχρὸς γένοιτο, τοῦτον ἰκτεριῶντα προσεροῦμεν; Οὐδαμῶς· πρόσκαιρον γὰρ τὸ πάθος. Οὐκοῦν οὐδὲ θνητὸν καλέσει τὸν ἐν λόγῳ χρόνῳ γενόμενον ἐν θανάτῳ· ἐπεὶ καὶ τοὺς καθεύδοντας οὕτως ἐροῦμεν· τεθνήκασι γάρ, ὡς εἰπεῖν, καὶ εἰσὶν ἀνενέργητοι. Ἀλλὰ φθείρει τὰ σώματα; Καὶ τί τοῦτο; οὐ γὰρ ἵνα φθορᾷ μείνῃ, ἀλλ' ἵνα βελτίω γένηται.

Νικήσωμεν τοίνυν τὸν κόσμον· πρὸς ἀθανασίαν δράμωμεν· ἀκολουθήσωμεν τῷ βασιλεῖ· στήσωμεν αὐτῷ τρόπαιον· καταφρονήσωμεν αὐτοῦ τῶν ἡδονῶν. Καὶ οὐ δεῖ πόνων· μεταθῶμεν τὴν ψυχὴν πρὸς τὸν οὐρανόν, καὶ νενίκηται ὁ κόσμος ἅπας. Ἂν μὴ ἐπιθυμήσῃς αὐτοῦ, νενίκηται· ἂν καταγελάσῃς αὐτόν, ἥττηται. Ξένοι ἐσμὲν καὶ παρεπίδημοι· μηδενὶ τοίνυν τῶν λυπηρῶν ἀλγῶμεν· οὐδὲ γάρ, εἰ πατρίδος γενόμενος λαμπρᾶς καὶ προγόνων περιφανῶν εἰς μακράν τινα γῆν ἀπῆλθες, μηδενὶ γνώριμος ὤν, μηδὲ παῖδας ἔχων, μηδὲ πλοῦτον, εἶτά τις ὕβρισεν, ἤλγησας ἄν, ὡς οἴκοι ταῦτα παθών· τὸ γὰρ εἰδέναι σαφῶς ὅτι ἐν ξένῃ καὶ ἀλλοτρίᾳ εἶ πάντα φέρειν εὐκόλως ἔπειθε, καὶ τὸ καταφρονεῖσθαι, καὶ τὸ πεινῆν καὶ διψῆν, καὶ τὸ ὁτιοῦν παθεῖν. Τοῦτο λόγισαι καὶ νῦν, ὅτι ξένος εἶ καὶ παρεπίδημος, καὶ μηδέν σε τῶν ἐν τῇ ξένῃ ταύτῃ θορυβείτω· καὶ γὰρ πόλιν ἔχεις, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός· ἡ δὲ παροί-

πάρα πολλά χρόνια, ἂν καὶ βέβαια μένουν ἐκτὸς τοῦ θανάτου πολὺν χρόνον, ἔτσι οὔτε θνητὸν ἐκεῖνον ποὺ διαλύεται μὲ τὸν θάνατον σωματικῶς, ἀλλὰ πρόκειται νὰ ἀναστηθῇ μετὰ τὸν θάνατον· διότι εἰπέ μου· ἐὰν κάποιος συνέβη νὰ ἔγινεν ἐρυθρὸς δι' ὀλίγον, αὐτὸν θὰ τὸν ὀνομάσωμεν συνεχῶς ἐρυθρόν; Κάθε ἄλλο· διότι αὐτὸ τὸ πρᾶγμα δὲν εἶναι μόνιμον. Ἐὰν κάποιος συνέβαινε νὰ γίνῃ ὠχρός, αὐτὸν θὰ τὸν ὀνομάσωμεν ἰκτερικόν; Καθόλου· διότι τὸ πάθος του εἶναι προσωρινόν. Συνεπῶς οὔτε θνητὸν θὰ ὀνομάσῃς ἐκεῖνον ποὺ δι' ὀλίγον χρόνον θὰ εὑρεθῇ ὑπὸ τὴν κατοχὴν τοῦ θανάτου· διότι καὶ ἐκείνους ποὺ κοιμῶνται ἔτσι θὰ τοὺς ὀνομάσωμεν· καθ' ὅσον ἀπέθανον, τρόπος τοῦ λέγειν, καὶ εἶναι ἀνενέργητοι. Ἀλλὰ φθείρει τὰ σώματα; Καὶ τί σημασίαν ἔχει αὐτό; ὄχι διὰ νὰ μείνῃ εἰς τὴν φθοράν, ἀλλὰ διὰ νὰ γίνῃ ἀνώτερον.

Ἂς νικήσωμεν λοιπὸν τὸν κόσμον· ἂς τρέξωμεν πρὸς τὴν ἀθανασίαν· ἂς ἀκολουθήσωμεν τὸν βασιλέα· ἂς στήσωμεν εἰς αὐτὸν τρόπαιον· ἂς περιφρονήσωμεν τὰς ἡδονὰς τοῦ κόσμου. Καὶ δὲν χρειάζονται κόποι· ἂς μεταθέσωμεν τὴν ψυχήν μας πρὸς τὸν οὐρανὸν καὶ ἐνικήθη ὅλος ὁ κόσμος. Ἂν δὲν ἐπιθυμήσῃς τὸν κόσμον, ἐνικήθη· ἂν τὸν καταγελάσῃς, ἐνικήθη. Εἴμεθα ξένοι καὶ περεπίδημοι· ἂς μὴ θλιβώμεθα λοιπὸν διὰ κανὲν ἀπὸ τὰ δυσάρεστα· διότι οὔτε, ἐάν, καταγόμενος ἀπὸ λαμπρὰν πατρίδα καὶ ἐνδόξους προγόνους, συνέβαινε ν' ἀπέλθῃς εἰς κάποιαν μακρινὴν χώραν, χωρὶς νὰ εἶσαι γνωστὸς εἰς κανένα καὶ χωρὶς νὰ ἔχῃς τέκνα, οὔτε πλούτη, καὶ ἐν συνεχείᾳ, ἐὰν κάποιος σὲ ὕβριζε, θὰ ἐλυπεῖσο, ὡσὰν αὐτὰ νὰ τὰ ἔπαθες εἰς τὴν πατρίδα σου· διότι τὸ νὰ γνωρίζῃς σαφῶς ὅτι εὑρίσκεσαι εἰς ξένην καὶ χώραν ἄλλων, θὰ σὲ ἔπειθεν ὅλα νὰ τὰ ὑπομένῃς μὲ εὐκολίαν, καὶ τὴν περιφρόνησιν καὶ τὴν πεῖναν καὶ τὴν δίψαν καὶ ὁποιοδήποτε ἄλλο πάθημα. Αὐτὸ σκέψου καὶ τώρα, ὅτι εἶσαι ξένος καὶ παρεπίδημος καὶ τίποτε νὰ μὴ σὲ ἀνησυχῇ ἀπὸ τὰ ὅσα συμβαίνουν εἰς τὴν ξένην αὐτὴν χώραν· καθ' ὅσον ἔχεις πόλιν τῆς ὁποίας τεχνίτης καὶ δημιουργὸς εἶναι ὁ Θεός· αὐτὴ δὲ ἡ διαμονὴ εἶναι σύντομος καὶ πολὺ μικρά.

κησις αὕτη πρὸς βραχὺ γίνεται καὶ ὀλίγον. Ὁ βουλόμενος τυπτέτω, ὑβριζέτω, λοιδορείτω· ἐν ξένῃ ἐσμὲν καὶ εὐτελῶς ζῶμεν· τὸ γὰρ δεινὸν ἐπὶ τῆς πατρίδος τοῦτο παθεῖν, ἐπὶ τῶν πολιτῶν, τότε ἡ μεγίστη ἀσχημοσύνη καὶ ζημία. Ἐὰν δὲ ᾖ τις, ἔνθα μηδένα γνώριμον ἔχῃ, πάντα εὐκόλως ὑφίσταται· ἡ γὰρ ὕβρις ἀπὸ τῆς γνώμης τῶν ὑβριζόντων χαλεπωτέρα γίνεται· οἷον, ἐάν τις, εἰδὼς τὸν ὕπαρχον ὄντα ὕπαρχον, ὑβρίσῃ, τότε ἡ ὕβρις πικρά· ἐὰν δὲ ἰδιώτην νομίσας ὑβρίσῃ, οὐδὲ ἅψασθαι δύναται τοῦ ταῦτα πάσχοντος.

Οὕτω δὴ καὶ ἡμεῖς λογισώμεθα· οὐδὲ γὰρ ἴσασιν ὅπερ ἐσμὲν οἱ ὑβρισταί, οἷον, ὅτι πολῖται τῶν οὐρανῶν καὶ εἰς τὴν ἄνω ἀπογεγραμμένοι πατρίδα, καὶ τῶν Χερουβίμ ἐσμεν συγχορευταί. Μὴ τοίνυν ἀλγῶμεν μηδὲ ὕβριν ἡγώμεθα τὴν ὕβριν. Εἰ ἐγνώριζον, οὐκ ἂν ὕβρισαν. Ἀλλὰ πτωχοὺς καὶ εὐτελεῖς νομίζουσι; Μὴ τοίνυν μηδὲ ἡμεῖς ταύτην ὕβριν νομίζωμεν· εἰπὲ γάρ μοι, εἴ τις ὁδοιπορῶν, παῖδας τοὺς αὐτοῦ φθάσας, ὀλίγον διάστημα ἐν πανδοχείῳ ἐκαθέζετο, περιμένων αὐτούς, εἶτα ὁ πανδοχεύς, ἢ τῶν ὁδοιπόρων τις, ἀγνοῶν ὅστις ἂν εἴη, δυσχεράνειε πρὸς ἐκεῖνον καὶ λοιδορηθείη, ἆρα οὐ γελάσεται τὴν ἄγνοιαν ἐκείνου; οὐ τέρψει μᾶλλον αὐτὸν ἡ πλάνη; οὐκ ἐντρυφήσει, ὡς ἄλλου τινὸς ὑβριζομένου; Οὕτω καὶ ἡμεῖς πράττωμεν· καὶ γὰρ ἐν πανδοχείῳ καθήμεθα περιμένοντες τοὺς ἡμετέρους, τοὺς ὁδεύοντας τὴν ὁδὸν ταύτην. Ὅταν ὁμοῦ πάντες γενώμεθα, τότε εἴσονται τίνας ὑβρίζουσιν. Οὗτοι τότε κάτω νεύουσι, τότε ἐροῦσιν· «Οὗτός ἐστιν, ὃν ἔσχομεν ἡμεῖς οἱ ἄφρονες εἰς γέλωτα».

4. Δύο τοίνυν τούτοις παραμυθησώμεθα ἑαυτούς, ὅτι τε ἡμεῖς οὐχ ὑβριζόμεθα (οὐ γὰρ ἴσασιν οἵτινές ἐσμεν) καὶ ὅτι, κἂν βουλώμεθα δίκην λαβεῖν, δώσουσιν ὕστερον χαλε-

---

6. Σοφ. Σολ. 5, 3.

Αὐτὸς ποὺ θέλει ἄς μᾶς δέρῃ, ἄς μᾶς ὑβρίζῃ, ἄς μᾶς περιφρονῇ· εὑρισκόμεθα εἰς ξένην χώραν καὶ ζῶμεν τελείως ἄσημα· διότι τὸ κακὸν εἶναι νὰ τὸ πάθωμεν αὐτὸ εἰς τὴν πατρίδα μας, μεταξὺ τῶν συμπολιτῶν μας· τότε εἶναι ἡ μεγίστη προσβολὴ καὶ ζημία. Ἐὰν ὅμως κανεὶς ζῇ ἐκεῖ ὅπου δὲν ἔχει κανένα γνωστόν, ὅλα εὔκολα τὰ ὑπομένει· διότι ἡ ὕβρις γίνεται βαρυτέρα ἀπὸ τὴν γνώμην τῶν ὑβριζόντων· ἐπὶ παραδείγματι, ἐὰν κάποιος ὑβρίσῃ τὸν ὕπαρχον, γνωρίζων ὅτι εἶναι ὕπαρχος, τότε ἡ ὕβρις εἶναι βαρεῖα· ἐὰν ὅμως ὑβρίσῃ κάποιον θεωρῶν αὐτὸν ἰδιώτην, δὲν ἠμπορεῖ οὔτε κἂν νὰ θίξῃ ἐκεῖνον ποὺ δέχεται τὴν ὕβριν.

Ἔτσι λοιπὸν καὶ ἡμεῖς ἄς σκεφθῶμεν· διότι δὲν γνωρίζουν οἱ ὑβρισταὶ αὐτὸ ποὺ εἴμεθα, ὅτι δηλαδὴ εἴμεθα πολῖται τῶν οὐρανῶν καὶ ὅτι εἴμεθα γραμμένοι εἰς τὴν οὐράνιον πατρίδα καὶ ὅτι ἀνήκομεν εἰς τὸν χορὸν τῶν Χερουβίμ. Ἄς μὴ λυπούμεθα λοιπόν, οὔτε νὰ θεωροῦμεν ὕβριν τὴν ὕβριν. Ἐὰν τὸ ἐγνώριζον αὐτό, δὲν θὰ μᾶς ὕβριζον. Ἀλλὰ μᾶς θεωροῦν πτωχοὺς καὶ ἀσήμους; Οὔτε αὐτὴν λοιπὸν ἄς μὴ τὴν θεωροῦμεν ὕβριν· διότι εἰπέ μου, ἐὰν κάποιος ὁδοιπόρος, προσπεράσας τοὺς δούλους του, ἐκάθετο δι' ὀλίγον διάστημα εἰς τὸ πανδοχεῖον, περιμένων αὐτούς, ἐν τῷ μεταξὺ ὁ πανδοχεὺς ἢ κάποιος ἀπὸ τοὺς ὁδοιπόρους, μὴ γνωρίζων ποῖος εἶναι, τὸν ἐφέρετο ἄπρεπα καὶ τὸν ὕβριζεν, ἆρά γε δὲν θὰ γελάσῃ μὲ τὴν ἄγνοιαν ἐκείνου; δὲν θὰ προκαλέσῃ μᾶλλον εὐχαρίστησιν εἰς αὐτὸν ἡ πλάνη ἐκείνου; δὲν θὰ διασκεδάσῃ ὡσὰν νὰ ὑβρίζεται κάποιος ἄλλος; Ἔτσι καὶ ἡμεῖς ἄς πράττωμεν· καθ' ὅσον εἰς πανδοχεῖον καθήμεθα, περιμένοντες τοὺς ἰδικούς μας, ποὺ βαδίζουν αὐτὴν τὴν ὁδόν. Ὅταν θὰ εὑρεθῶμεν ὅλα μαζί, τότε θὰ γνωρίσουν ποίους ὑβρίζουν. Αὐτοὶ τότε θὰ σκύψουν τὸ κεφάλι των κάτω, τότε θὰ εἰποῦν· «Αὐτὸς εἶναι ἐκεῖνος ποὺ ἡμεῖς οἱ ἄφρονες ἐγελούσαμεν τότε»*.

4. Ἄς παρηγορήσωμεν λοιπὸν τοὺς ἑαυτούς μας μὲ αὐτὰ τὰ δύο, καὶ μὲ τὸ ὅτι ἡμεῖς δὲν ὑβριζόμεθα (διότι δὲν γνωρίζουν ποῖοι εἴμεθα), καὶ μὲ τὸ ὅτι, καὶ ἂν ἀκόμη θέλωμεν νὰ τοὺς τιμωρήσωμεν, θὰ τιμωρηθοῦν ἀργότερα

πωτάτην. Ἀλλὰ μὴ γένοιτό τινα οὕτως ὠμὴν καὶ ἀπάνθρωπον ἔχειν ψυχήν! Τί οὖν, ἂν παρὰ τῶν ὁμοφύλων ὑβριζώμεθα; τοῦτο γάρ ἐστι τὸ φορτικόν. Τοῦτο μὲν οὖν ἐστι τὸ κοῦφον. Τί δήποτε; Ὅτι οὐχ ὁμοίως τοὺς ἀγαπωμένους ὑβρίζοντας φέρομεν, καὶ οὓς οὐκ ἴσμεν. Ταῦτα γοῦν, παρακαλοῦντες τοὺς ὑβρισμένους, λέγομεν τὰ ῥήματα πολλάκις· "Ἀδελφός ἐστιν ὁ ὑβρικώς, φέρε γενναίως· πατήρ ἐστι, θεῖός ἐστιν". Εἰ δὲ τοῦ ἀδελφοῦ καὶ πατρὸς τὸ ὄνομα δυσωπεῖ, πολλῷ μᾶλλον ἂν εἴπω τούτων γνησιώτερον· οὐ γὰρ ἀδελφοὶ μόνον ἀλλήλοις ἐσμέν, ἀλλὰ καὶ μέλη καὶ σῶμα ἕν. Εἰ δὲ τοῦ ἀδελφοῦ ὄνομα δυσωπεῖ, πολλῷ μᾶλλον τὸ τοῦ μέλους. Οὐκ ἤκουσας τῆς ἔξω παροιμίας λεγούσης ὅτι δεῖ τοὺς φίλους μετὰ τῶν ἐλαττωμάτων ἔχειν; οὐκ ἤκουσας Παύλου λέγοντος ὅτι «ἀλλήλων τὰ βάρη βαστάζετε»; οὐχ ὁρᾷς τοὺς ἐρῶντας; (Ἀναγκάζομαι γάρ, ἐπειδὴ ἀφ' ὑμῶν τὸ παράδειγμα σχεῖν οὐκ ἔχομεν, ἐπ' ἐκείνην τὴν ὑπόθεσιν τὸν λόγον ἀγαγεῖν. Ποιεῖ δὲ αὐτὸ καὶ ὁ Παῦλος, οὕτω λέγων· «Εἶτα τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν παιδευτάς, καὶ ἐνετρεπόμεθα». Μᾶλλον δὲ ἐκεῖνο εὐκαιρότερον εἰπεῖν, φησίν, ὅπερ Ρωμαίοις· «Ὥσπερ», φησί, «παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν, οὕτω παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ». Διὰ τοῦτο καὶ ἡμεῖς θαρροῦντες ἑπόμεθα τοῦ παραδείγματος).

Οὐχ ὁρᾷς τοίνυν τοὺς ἐρῶντας, πόσα οὗτοι, πορνῶν γυναικῶν περικαιόμενοι, πάσχουσι δεινά, ῥαπιζόμενοι, τυπτόμενοι, γελώμενοι, θρυπτομένης ἀνεχόμενοι πόρνης, ἀποστρεφομένης, μυρία ὑβριζούσης; Ἀλλ' ὅμως, κἂν ἅπαξ ἡδύ τι καὶ ἥμερον ἴδωσι, πάντα αὐτοῖς ἐν εὐπραγίᾳ, καὶ πάντα

7. Γαλ. 6, 2.
8. Ἑβρ. 12, 9.
9. Ρωμ. 6, 19.

φοβερώτατα. Ἀλλ' εἴθε νὰ μὴ συμβῇ νὰ μὴ ἔχῃ κανεὶς τόσον σκληρὰν καὶ ἀπάνθρωπον ψυχήν! Τί λοιπόν, ἂν ὑβριζώμεθα ἀπὸ τοὺς συγγενεῖς; διότι αὐτὸ εἶναι τὸ φορτικόν. Αὐτὸ λοιπὸν εἶναι τὸ ἐλαφρόν. Διατί τέλος πάντων; Διότι δὲν ἀνεχόμεθα κατὰ τὸν ἴδιον τρόπον νὰ μᾶς ὑβρίζουν αὐτοὶ ποὺ μᾶς εἶναι ἀγαπητοὶ καὶ αὐτοὺς ποὺ δὲν γνωρίζομεν. Αὐτὰ λοιπὸν τὰ λόγια λέγομεν πολλὲς φορὲς παρηγοροῦντες τοὺς ὑβρισμένους· Ἀδελφός σου εἶναι αὐτὸς ποὺ σὲ ὕβρισεν, ὑπόμενέ το μὲ γενναιότητα· πατέρας εἶναι, θεῖος εἶναι'. Ἐὰν δὲ τὸ ὄνομα τοῦ ἀδελφοῦ καὶ πατρὸς προκαλῇ ἐντροπήν, πολὺ περισσότερον ἂν ἀναφέρω κάτι πιὸ οἰκειότερον· διότι δὲν εἴμεθα μεταξύ μας μόνον ἀδελφοί, ἀλλὰ καὶ μέλη καὶ ἕνα σῶμα. Ἐὰν δὲ τὸ ὄνομα τοῦ ἀδελφοῦ εἶναι ἄξιον σεβασμοῦ, πολὺ περισσότερον τὸ ὄνομα τοῦ μέλους. Δὲν ἤκουσες τὴν παροιμίαν τῶν ἐθνικῶν ποὺ λέγει, ὅτι πρέπει τοὺς φίλους νὰ τοὺς ἀνεχώμεθα μὲ τὰ ἐλαττώματά των; δὲν ἤκουσες τὸν Παῦλον ποὺ λέγει «βαστάζετε ὁ ἕνας τὰ βάρη τοῦ ἄλλου»[7]; δὲν βλέπεις τοὺς ἐρωτευμένους; (Διότι ἀναγκάζομαι, ἐπειδὴ δὲν ἠμποροῦμεν νὰ ἔχωμεν παράδειγμα ἀπὸ σᾶς, νὰ μεταφέρω τὸν λόγον εἰς ἐκείνην τὴν ὑπόθεσιν. Τὸ κάμνει δὲ αὐτὸ καὶ ὁ Παῦλος, λέγων τὰ ἑξῆς· «Ἄλλωστε εἴχομεν παιδαγωγοὺς τοὺς σαρκικοὺς πατέρας καὶ τοὺς ἐσεβόμεθα»[8]. Μᾶλλον δὲ ἐκεῖνο εἶναι πιὸ κατάλληλον νὰ εἰποῦμεν, λέγει, ποὺ λέγει εἰς τοὺς Ρωμαίους· «Ὅπως ἀκριβῶς», λέγει, «παρεδώσατε τὰ μέλη σας ὑπόδουλα εἰς τὴν ἀκαθαρσίαν καὶ τὴν ἀνομίαν ποὺ συνετέλεσεν εἰς τὴν ἀνομίαν σας, ἔτσι παραδώσατε τώρα τὰ μέλη σας ὑπόδουλα εἰς τὴν δικαιοσύνην»[9]. Διὰ τοῦτο καὶ ἡμεῖς ἀκολουθοῦμεν τὸ παράδειγμα μὲ θάρρος).

Δὲν βλέπεις λοιπὸν τοὺς ἐρωτευμένους, πόσα δηλαδὴ κακὰ ὑπομένουν, καταφλεγόμενοι ὑπὸ πορνῶν γυναικῶν, ραπιζόμενοι, δεχόμενοι κτυπήματα, χλευαζόμενοι, ἀνεχόμενοι τὴν ἀκολασίαν τῆς πόρνης, τὴν ἀποστροφήν της καὶ τὰς ἀμετρήτους ὕβρεις της; Ἀλλ' ὅμως, καὶ ἂν ἀκόμη μία φορὰ ἰδοῦν κάτι τὸ εὐχάριστον καὶ γλυκύ, νοιώθουν εὐτυ-

οἴχεται τὰ πρότερα, καὶ πάντα ἐξ οὐρίων φέρεται, κἂν πενία, κἂν νόσος, κἂν ὁτιοῦν τούτοις ἕτερον· τὸν γὰρ βίον τὸν ἑαυτῶν τίθενται ἄθλιόν τε καὶ μακάριον, ὡς ἂν τὴν ἐρωμένην ἔχωσι πρὸς αὐτοὺς διακειμένην. Καὶ οὐ δόξαν ἴσασιν ἀνθρωπίνην, οὐκ ἀτιμίαν, ἀλλά, κἂν ὑβρίζῃ τις, ὑπὸ τῆς πολλῆς ἡδονῆς καὶ τῆς παρ' ἐκείνης εὐημερίας ἅπαντα φέρουσι ῥᾳδίως· ἐκείνη δὲ κἂν λοιδορήσηται, κἂν εἰς τὸ πρόσωπον πτύσῃ, ῥόδοις βάλλεσθαι νομίζουσι, ταῦτα πάσχοντες. Καὶ τί θαυμαστόν, εἰ περὶ αὐτὴν οὕτω διάκεινται; καὶ γὰρ τὴν οἰκίαν τὴν ἐκείνης πασῶν εἶναι λαμπροτέραν νομίζουσι, ἂν πηλίνη ᾖ, κἂν καταπίπτουσα. Καὶ τί λέγω τοὺς τοίχους; Καὶ γάρ, τοὺς τόπους αὐτούς, ἔνθα διατρίβουσιν ἐν ἑσπέρᾳ, ὁρῶντες, διανίστανται. Ἐνταῦθα δέ μοι δότε λοιπὸν τὸ ἀποστολικὸν εἰπεῖν. Καθάπερ ἐκεῖνός φησιν· «Ὥσπερ παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ, οὕτω παραστήσατε τὰ μέλη ὑμῶν τῇ δικαιοσύνῃ», τὸν αὐτὸν τρόπον κἀγὼ λέγω· ''Ὡς ἠγαπήσαμεν ταύτας, ἀγαπήσωμεν ἀλλήλους, καὶ οὐδὲν δεινὸν ἡγησόμεθα πάσχειν'. Καὶ τί λέγω ἀλλήλους· οὕτως ἀγαπήσωμεν τὸν Θεόν.

Ἐφρίξατε, ἀκούσαντες ὅτι τοσοῦτον ἀπαιτῶ μέτρον ἀγάπης ἐπὶ Θεοῦ, ὅσον περὶ τὴν πόρνην ἐπεδειξάμεθα; Ἀλλ' ἐγὼ φρίττω, ὅτι οὐδὲ τοσοῦτον ἐπιδεικνύμεθα. Καί, εἰ βούλεσθε, ἐπεξέλθωμεν τῷ λόγῳ, εἰ καὶ σφόδρα φορτικὸν τὸ λεγόμενον. Ἡ ἐρωμένη τοῖς ἐρῶσιν οὐδὲν ὑπισχνεῖται χρηστόν, ἀλλ' ἀτιμίαν καὶ αἰσχύνην καὶ ὕβριν· τοῦτο γὰρ εἶναι ποιεῖ τὸ προδεσρεύειν πόρνῃ γυναικί, καταγέλαστον, αἰσχρόν, ἄτιμον. Ὁ δὲ Θεὸς οὐρανόν, καὶ τὰ ἐν οὐρανοῖς ἐπαγγέλλεται ἀγαθά, καὶ υἱοὺς ἡμᾶς ἐποίησε, καὶ ἀδελφοὺς τοῦ Μονογενοῦς, καὶ ζῶντί σοι μυρία παρέσχε, καὶ τελευτῶντι ἀνάστασιν, καὶ τοσαῦτα ἐπαγγέλλεται δώσειν ἀγαθά, ὅσα μηδὲ

10. Αὐτόθι.

χισμένοι καὶ ὅλα τὰ προηγούμενα ἐξαφανίζονται καὶ ὅλα τὰ θεωροῦν εὐνοϊκά, εἴτε τοὺς εὕρει πτωχεία, εἴτε νόσος, εἴτε ὁ,τιδήποτε ἄλλο· θεωροῦν δηλαδὴ τὴν ζωήν των ἀθλίαν ἢ εὐτυχισμένην ἀνάλογα μὲ τὰς διαθέσεις τῆς ἐρωμένης των πρὸς αὐτούς. Καὶ δὲν γνωρίζουν οὔτε ἀνθρωπίνην δόξαν οὔτε ἀτιμίαν, ἀλλά, καὶ ἂν ἀκόμη τοὺς ὑβρίζῃ κάποιος τὰ ὑπομένουν ὅλα μὲ εὐκολίαν ἐξ αἰτίας τῆς μεγάλης ἡδονῆς καὶ τῆς εὐτυχίας ἐκ μέρους ἐκείνης· ἐκείνη δὲ καὶ ἂν ἀκόμη τοὺς ὑβρίσῃ καὶ ἂν ἀκόμη τοὺς πτύσῃ εἰς τὸ πρόσωπον, πάσχοντες αὐτά, νομίζουν ὅτι ραντίζονται μὲ ρόδα. Καὶ τί τὸ ἀξιοθαύμαστον, ἐὰν εἶναι τέτοιαι αἱ διαθέσεις των πρὸς αὐτήν; καθ' ὅσον θεωροῦν τὴν οἰκίαν της λαμπροτέραν ἀπὸ ὅλας τὰς οἰκίας, εἴτε αὐτὴ εἶναι πηλίνη, εἴτε εἶναι ἑτοιμόρροπος. Καὶ διατί λέγω τοὺς τοίχους; Καθ' ὅσον βλέποντες τοὺς ἰδίους τοὺς τόπους, εἰς τοὺς ὁποίους συχνάζουν αὐταὶ τὴν ἑσπέραν, ἐρεθίζονται. Ἐδῶ ἐπιτρέψατέ μου πλέον νὰ εἰπῶ τὸ ἀποστολικόν. Ὅπως ἀκριβῶς ἐκεῖνος λέγει, «Ὅπως ἀκριβῶς παρεδώσατε τὰ μέλη σας ὑπόδουλα εἰς τὴν ἀκαθαρσίαν, ἔτσι τώρα παραδώσατε τὰ μέλη σας εἰς τὴν δικαιοσύνην»[10], κατὰ τὸν ἴδιον τρόπον καὶ ἐγὼ λέγω· 'Ὅπως ἠγαπήσαμεν αὐτάς, ἂς ἀγαπήσωμεν ὁ ἕνας τὸν ἄλλον καὶ ἂς θεωρήσωμεν ὅτι δὲν πάσχομεν κανένα κακόν'. Καὶ διατί λέγω ὁ ἕνας τὸν ἄλλον; ἔτσι ἂς ἀγαπήσωμεν τὸν Θεόν.

Ἐφρίξατε, ἀκούσαντες ὅτι τόσον μέτρον ἀγάπης ζητῶ διὰ τὸν Θεόν, ὅσον ἐπεδείξαμεν διὰ τὴν πόρνην; Ἀλλ' ἐγὼ φρίττω, διότι οὔτε τόσον ἐπιδεικνύομεν. Καί, ἐὰν θέλετε, ἂς ἐξετάσωμεν τὸ πρᾶγμα μὲ τὸν λόγον, ἂν καὶ εἶναι πάρα πολὺ βαρὺ τὸ λεγόμενον. Ἡ ἐρωμένη δὲν ὑπόσχεται εἰς τοὺς ἐραστάς της τίποτε τὸ καλόν, παρὰ ἀτιμίαν, αἰσχύνην καὶ περιφρόνησιν· διότι κάμνει ἐκεῖνον, ποὺ συχνάζει εἰς τὴν πόρνην γυναῖκα, καταγέλαστον, αἰσχρὸν καὶ ἄτιμον. Ὁ Θεὸς ὅμως ὑπόσχεται οὐρανὸν καὶ τὰ οὐράνια ἀγαθά, καὶ μᾶς ἔκαμεν υἱούς του καὶ ἀδελφοὺς τοῦ Μονογενοῦς Υἱοῦ του, καὶ ἐν ὅσῳ ζῇς σοῦ ἐχάρισεν ἀμέτρητα ἀγαθά, καὶ ὅταν θ' ἀποθάνῃς ἀνάστασιν, καὶ τόσα πολλὰ ἀγαθὰ

ἐννοῆσαι δυνατόν, καὶ τιμίους καὶ αἰδεσίμους ἡμᾶς ποιεῖ. Καὶ πάλιν, ἐκείνη δαπανᾶν ἀναγκάζει πάντα τὰ αὐτῶν εἰς βάραθρον καὶ ἀπώλειαν, ὁ δὲ Θεὸς σπείρειν κελεύει τὸν οὐρανόν, καὶ ἑκατονταπλασίονα δίδωσι καὶ ζωὴν αἰώνιον· πάλιν ἐκείνη ὡς ἀνδραπόδῳ κέχρηται τῷ φιλοῦντι, τυράννου παντὸς χαλεπώτερον ἐπιτάττουσα, ὁ δὲ Θεός φησιν· «Οὐκ ἔτι λέγω ὑμᾶς δούλους, ἀλλὰ φίλους».

5. Εἴδετε τὴν ὑπερβολὴν καὶ τῶν ἐνταῦθα κακῶν καὶ τῶν ἀγαθῶν τῶν ἐκεῖθεν; Τί οὖν τὰ μετὰ ταῦτα; Ταύτης μὲν ἕνεκεν καὶ ἀγρυπνοῦσι πολλοί, καί, ἅπερ ἂν ἐπιτάξῃ, μετὰ προθυμίας ὑπακούουσι, καὶ οἰκίαν ἀφιᾶσι, καὶ πατέρα, καὶ μητέρα, καὶ φίλους, καὶ χρήματα, καὶ προστασίαν, καὶ πάντα ἐν ἀπορίᾳ καὶ ἐρημίᾳ τὰ αὐτῶν, τοῦ δὲ Θεοῦ πολλάκις ἕνεκεν, μᾶλλον δὲ ἡμῶν αὐτῶν ἕνεκεν οὐδὲ τρίτην μοῖραν ἀναλῶσαι αἱρούμεθα τῶν ὄντων, ἀλλὰ πεινῶντα ὁρῶντες περιορῶμεν, καὶ παρατρέχομεν γυμνόν, καὶ οὐδὲ λόγου μεταδίδομεν. Ἐπίσης δὲ κἂν θεραπαινίδα ἴδωσιν οἱ ἐρασταί, καὶ βάρβαρον, ἐν μέσῃ τῇ ἀγορᾷ ἑστῶτες, ὥσπερ ἐγκαλλωπιζόμενοι, καὶ ἀγαλλόμενοι διαλέγονται, μακρῶν λόγων ἀνελίττοντες διαύλους, καὶ οὐδὲν εἶναι τὸν βίον πάντα νομίζουσι δι' αὐτήν, οὐκ ἄρχοντας, οὐ βασιλείαν (καὶ ἴσασιν ὅσοι τοῦ νοσήματος εἰλήφασι πεῖραν), καὶ χάριν ἔχουσι πλείονα ἐπιταττούσῃ, ἢ δουλεύουσιν ἑτέροις. Ἆρ' οὐκ εἰκότως μυρίαι κολάσεις;

Ἀνανήψωμεν τοίνυν καὶ παράσχωμεν τῇ τοῦ Θεοῦ διακονίᾳ κἂν τοσοῦτον κἂν τὸ ἥμισυ μέρος, οὗ τῇ πόρνῃ παρέχουσιν ἕτεροι, κἂν τὸ τρίτον. Τάχα φρίττετε πάλιν; καὶ γὰρ καὶ αὐτός. Ἀλλ' οὐκ ἠβουλόμην ἐπὶ τῶν λόγων μόνον,

---

11. Ἰω. 15, 15.

ὑπόσχεται νὰ σοῦ δώσῃ, ὅσα δὲν εἶναι δυνατὸν οὔτε νὰ τὰ σκεφθῶμεν, καὶ μᾶς καθιστᾷ τιμίους καὶ σεβαστούς. Καὶ πάλιν, ἐκείνη τοὺς ἀναγκάζει νὰ δαπανοῦν ὅλα τὰ ἰδικά των εἰς τὸ βάραθρον καὶ εἰς τὴν ἀπώλειαν, ἐνῷ ὁ Θεὸς σὲ προτρέπει νὰ σπείρῃς εἰς τὸν οὐρανὸν καὶ σοῦ δίδει ἑκατονταπλάσια καὶ ζωὴν αἰώνιον· πάλιν ἐκείνη μεταχειρίζεται σὰν δοῦλον αὐτὸν ποὺ τὴν ἀγαπᾷ, δίδουσα εἰς αὐτὸν ἐντολὰς σκληροτέρας ἀπὸ ὁποιονδήποτε τύραννον, ἐνῷ ὁ Θεὸς λέγει· «Δὲν σᾶς ὀνομάζω πλέον δούλους, ἀλλὰ φίλους»[11].

5. Εἴδετε τὸ ὑπερβολικὸν μέγεθος καὶ τῶν ἐδῶ κακῶν καὶ τῶν ἐκεῖ ἀγαθῶν. Διατί λοιπὸν νὰ εἴπουμεν τὰ ἐν συνεχείᾳ; Ἐξ αἰτίας μὲν αὐτῆς καὶ ἀγρυπνοῦν πολλοὶ καὶ μὲ προθυμίαν ὑπακούουν εἰς ὅσα θὰ διατάξῃ, καὶ ἐγκαταλείπουν τὴν οἰκίαν των καὶ τὸν πατέρα καὶ τὴν μητέρα καὶ τοὺς φίλους καὶ τὰ χρήματα καὶ τὴν προστασίαν καὶ ὅλα τὰ ἰδικά των γεμᾶτα ἀπὸ ἀνέχειαν καὶ ἔρημα, ἐνῷ διὰ τὸν Θεὸν πολλὲς φορές, μᾶλλον δὲ διὰ τοὺς ἰδίους τοὺς ἑαυτούς μας δὲν θέλομεν οὔτε τὸ ἓν τρίτον ἀπὸ τᾶ ὑπάρχοντά μας νὰ ἐξοδεύσωμεν, ἀλλὰ βλέποντας τὸν πεινασμένον τὸν παραβλέπομεν καὶ γυμνὸν τὸν προσπερνοῦμεν ἀδιάφοροι καὶ οὔτε λέξιν τοῦ λέγομεν. Ἐκείνης ὅμως καὶ ἂν ἀκόμη ἰδοῦν οἱ ἐρασταὶ ὑπηρέτριαν καὶ βάρβαρον, ἱστάμενοι εἰς τὸ μέσον τῆς ἀγορᾶς, συζητοῦν γεμᾶτοι ἀπὸ κομπασμὸν καὶ καύχησιν, ἐπιδιδόμενοι εἰς μακρὰς συζητήσεις, καὶ νομίζουν ἐξ αἰτίας αὐτῆς ὅτι τίποτε δὲν ἀξίζει ὅλη ἡ ζωή, οὔτε οἱ ἄρχοντες, οὔτε οἱ βασιλεῖς (καὶ τὸ γνωρίζουν ὅσοι ἐγνώρισαν αὐτὴν τὴν ἀσθένειαν), καὶ νοιώθουν πολὺ μεγάλην εὐχαρίστησιν λαμβάνοντες διαταγάς της, παρὰ νὰ ὑπηρετοῦν ἄλλους. Ἆρά γε δὲν εἶναι αὐτὰ δικαίως ἄξια γεέννης; δὲν εἶναι ἆρά γε δικαίως ἄξια μυρίων κολάσεων;

Ἂς συνέλθωμεν λοιπὸν καὶ ἂς προσφέρωμεν τὴν ὑπηρεσίαν μας εἰς τὸν Θεὸν εἴτε ἐξ ὁλοκλήρου, εἴτε κατὰ τὸ ἥμισυ μέρος ἀπὸ ἐκεῖνο ποὺ παρέχουν ἄλλοι εἰς τὴν πόρνην, εἴτε κατὰ τὸ τρίτον. Μήπως φρίττετε πάλιν; καθ' ὅσον καὶ ἐγὼ ὁ ἴδιος φρίττω. Ἀλλὰ δὲν θὰ ἤθελον νὰ φρίτ-

ἀλλὰ καὶ ἐπὶ τῶν πραγμάτων φοίτειν ὑμᾶς. Νῦν δὲ ἐνταῦθα μὲν ἡμῖν ἡ καρδία συστέλλεται, ἐξελθόντες δὲ πάντα ῥίπτομεν. Τί οὖν τὸ κέρδος; Ἂν μὲν γὰρ ἐκεῖ δέῃ χρήματα ἀναλίσκειν, οὐδεὶς πενίαν ὀδύρεται, ἀλλὰ καὶ δανεισάμενος ἔδωκε πολλάκις ἀλούς, ἐνταῦθα δέ, ἐὰν ἐλεημοσύνης μνησθῶμεν, παῖδας, καὶ γυναῖκας, καὶ οἰκίαν, καὶ προστασίαν, καὶ μυρίας προφάσεις ἡμῖν προβάλλονται. Ἀλλ' ἡδονὴ πολλή, φησίν, ἐκεῖ· τοῦτο γάρ ἐστιν, ὃ θρηνῶ καὶ ὀδύρομαι. Τί οὖν, ἐὰν δείξω μείζονα ἐνταῦθα τὴν ἡδονήν; Ἐκεῖ μὲν γὰρ οὐ μικρὸν ὑποτέμνεται τῆς ἡδονῆς ἡ αἰσχύνη, καὶ ἡ ὕβρις, καὶ ἡ δαπάνη, δεύτερον ὁ πόλεμος καὶ ἡ ἀπέχθεια, ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον· τί γὰρ τῆς ἡδονῆς ταύτης ἴσον, εἰπέ μοι, καθῆσθαι, προσδοκῶντα τὸν οὐρανόν, καὶ τὴν ἐκεῖ βασιλείαν, καὶ τὴν λαμπρότητα τῶν ἁγίων, καὶ τὴν ζωὴν τὴν ἀτελεύτητον;

Ἀλλὰ ταῦτα ἐν προσδοκίαις, φησίν, ἐκεῖνα δὲ ἐν πείρᾳ. Ποίᾳ πείρᾳ; Βούλει καὶ ἐνταῦθα τὰ ἐν πείρᾳ εἴπω; Ἐννόησον πόσης ἐλευθερίας ἀπολαύεις, καὶ πῶς οὐδένα δέδοικας, οὐδὲ τρέμεις, ἀρετῇ συζῶν, οὐκ ἐχθρόν, οὐκ ἐπίβουλον, οὐ συκοφάντην, οὐ τὴν παραδοκιμοῦντα, οὐκ ἀντεραστήν, οὐ ζηλότυπον, οὐ πενίαν, οὐ νόσον, οὐκ ἄλλο τῶν ἀνθρωπίνων οὐδέν· ἐκεῖ δέ, κἂν μυρία κατὰ γνώμην γένηται, καὶ ὥσπερ ἐκ πηγῶν ὁ πλοῦτος ἐπιρρέῃ, ὁ τῶν ἀντεραστῶν πόλεμος, καὶ αἱ ἐπιβουλαί, καὶ οἱ λόχοι πάντων ἀθλιώτερον ποιήσουσι τοῦ μετ' ἐκείνων πλυνομένου τὸν βίον· τῆς γὰρ καταπτύστου θρυπτομένης ἐκείνης καὶ τρυφώσης, ἀνάγκη τὸν πόλεμον ἀναρριπίζεσθαι εἰς τὴν ἐκείνης ἀρέσκειαν. Τοῦτο οὖν μυρίων θανάτων χαλεπώτερον καὶ πάσης ἀφορητότερον τιμωρίας. Ἀλλ' οὐκ ἐνταῦθα τοιοῦτον οὐδέν· «ὁ γὰρ καρπός»,

τετε μόνον ἀπὸ τὰ λόγια, ἀλλὰ καὶ ἀπὸ τὰ ἴδια τὰ πράγματα. Τώρα ὅμως ἐδῶ μὲν ἡ καρδία μας συγκινεῖται, ὅταν ἐξέλθωμεν ὅμως ὅλα τὰ ξεχνοῦμεν. Ποῖο λοιπὸν τὸ κέρδος; Διότι, ἂν μὲν ἐκεῖ χρειάζεται νὰ δαπανήσωμεν χρήματα, κανεὶς δὲν ὀδύρεται διὰ τὴν πτωχείαν του, ἀλλὰ πολλὲς φορὲς συνέβη καὶ νὰ ἔδωσε δανεισθείς, ἐνῷ ἐδῶ, ἐὰν κάμωμεν λόγον διὰ ἐλεημοσύνην, μᾶς προβάλλονται τὰ παιδιά, αἱ γυναῖκες, ἡ οἰκία, ἡ προστασία αὐτῶν καὶ μύριαι προφάσεις. Ἀλλά, λέγει, ἐκεῖ ὑπάρχει πολλὴ ἡδονή· αὐτὸ πράγματι εἶναι ἐκεῖνο διὰ τὸ ὁποῖο θρηνῶ καὶ ὀδύρομαι. Τί θὰ εἰπῆτε λοιπόν, ἐὰν δείξω ὅτι ἐδῶ εἶναι μεγαλυτέρα ἡ ἡδονή. Διότι ἐκεῖ μὲν ἀποκόπτει μέγα μέρος τῆς ἡδονῆς ἡ αἰσχύνη, ἡ περιφρόνησις, ἡ δαπάνη καὶ κατὰ δεύτερον λόγον ὁ πόλεμος καὶ ἡ ἀπέχθεια, ἐνῶ ἐδῶ δὲν ὑπάρχει τίποτε παρόμοιον· διότι, εἰπέ μου, τί ὑπάρχει ἴσον μὲ αὐτὴν τὴν ἡδονήν, τὸ νὰ κάθεται κανεὶς καὶ νὰ περιμένῃ τὸν οὐρανὸν καὶ τὴν ἐκεῖ βασιλείαν, τὴν λαμπρότητα τῶν ἁγίων καὶ τὴν χωρὶς τέλος ζωήν;

Ἀλλά, λέγει, αὐτὰ εἶναι ἀγαθὰ ποὺ τὰ ἀναμένει κανείς, ἐνῷ ἐκεῖνα τὰ γεύεται τώρα. Ποίαν γεῦσιν ἐννοεῖς; Θέλεις καὶ ἐδῶ νὰ σοῦ εἰπῶ τὰ ἀγαθὰ ποὺ ἠμπορεῖς ν' ἀπολαύσῃς; Σκέψου πόσης ἐλευθερίας ἀπολαύεις καὶ πῶς κανένα δὲν φοβεῖσαι, οὔτε τρέμεις, συζῶν μὲ τὴν ἀρετήν, μὴ ἔχων οὔτε ἐχθρόν, οὔτε ἐπίβουλον, οὔτε συκοφάντην, οὔτε ἀνταγωνιστήν, οὔτε ἀντεραστήν, οὔτε ζηλότυπον, οὔτε πτωχείαν, οὔτε νόσον, οὔτε τίποτε ἄλλο ἀπὸ τὰ ἀνθρώπινα· ἐνῷ ἐκεῖ, καὶ ἂν ἀκόμη συμβοῦν ἄπειρα ὅπως ἀκριβῶς τὰ θέλεις καὶ τρέχει ὁ πλοῦτος ὡσὰν ἀκριβῶς ἀπὸ πηγάς, ὁ πόλεμος τῶν ἀντεραστῶν, αἱ ἐπιβουλαὶ καὶ αἱ ἐνέδραι θὰ κάμουν τὸν βίον ἐκείνου ποὺ ἀσχολεῖται μὲ αὐτὰ ἀθλιώτερον ἀπὸ ὅλους· διότι, ἐφ' ὅσον ἐκείνη ἡ ἀδιάντροπος ἀρέσκεται μὲ αὐτὰς τὰς ἀδιαντροπίας καὶ τὰς ἀπολαύσεις, κατ' ἀνάγκην ἀναζωπυρώνεται ὁ πόλεμος πρὸς ἀρέσκειαν ἐκείνης. Αὐτὸ λοιπὸν εἶναι χειρότερον ἀπὸ μυρίους θανάτους καὶ τὸ πιὸ ἀνυπόφορον ἀπὸ κάθε τιμωρίαν. Ἀλλ' ἐδῶ δὲν συμβαίνει τίποτε τὸ παρόμοιον· διότι λέγει· «Ὁ καρ-

φησί, «τοῦ Πνεύματος ἀγάπη, χαρά, εἰρήνη». Οὐδαμοῦ πόλεμος, οὐδὲ χρημάτων ἄκαιρος δαπάνη, οὐδὲ ὀνείδη μετὰ δαπάνης· κἂν ὀβολὸν δῷς, κἂν ἄρτον, κἂν ποτήριον ψυχρόν, πολλήν σοι τὴν χάριν εἴσεται, καὶ οὐδὲν ἐπὶ τό σε δακεῖν, καὶ λυπῆσαι ποιεῖ, ἀλλὰ πάντα ὥστε ποιῆσαί σε ἔνδοξον, καὶ πάσης ἀπαλλάξαι αἰσχύνης. Τίνα οὖν ἕξομεν ἀπολογίαν, ποίαν συγγνώμην, ταῦτα μὲν ἀφιέντες, τοῖς δὲ ἐναντίοις ἑαυτοὺς ἐκδιδόντες, καὶ εἰς τὴν τοῦ πυρὸς κάμινον τὴν καιομένην ἑκόντες ἑαυτοὺς ἐκβάλλοντες;

Διὸ παρακαλῶ τοὺς τὰ τοιαῦτα νοσοῦντας ἀνακτήσασθαι ἑαυτούς, καὶ πρὸς τὴν ὑγείαν ἐπαναγαγεῖν, μηδὲ ἀφιέναι εἰς ἀπόγνωσιν ἐμπεσεῖν. Ἐπεὶ καὶ ὁ υἱὸς ἐκεῖνος πολλῷ χαλεπώτερα τούτων ἔπαθεν, ἀλλά, ἐπειδὴ πρὸς τὸν οἶκον ἐπανῆλθε τὸν πατρῷον, καὶ ἐπὶ τῆς προτέρας ἐγένετο τιμῆς, καὶ τοῦ διὰ παντὸς εὐδοκιμήσαντος ἐφάνη λαμπρότερος. Τοῦτον γὰρ ἡμεῖς ζηλώσωμεν, καί, πρὸς τὸν Πατέρα ἐπανελθόντες, ὀψὲ γοῦν ποτε τῆς αἰχμαλωσίας ἀποστῶμεν ἐκείνης, καὶ πρὸς τὴν ἐλευθερίαν ἑαυτοὺς μεταγάγωμεν, ἵνα καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἀπολαύσωμεν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

πὸς τοῦ Πνεύματος εἶναι ἀγάπη, χαρά, εἰρήνη»[12]. Πουθενὰ δὲν ὑπάρχει πόλεμος, οὔτε ἀνώφελος δαπάνη χρημάτων, οὔτε ἐξευτελισμοὶ μαζὶ μὲ τὴν δαπάνην· καὶ εἴτε δώσῃς ἕνα ὀβολόν, εἴτε ἕνα ἄρτον, εἴτε ἕνα ποτήρι κρύο νερό, θὰ σοῦ ἀποδώση πολλὴν εὐγνωμοσύνην, καὶ δὲν κάμνει τίποτε ποὺ νὰ σὲ δαγκώση καὶ νὰ σὲ λυπήση, ἀλλὰ θὰ κάμῃ τὸ πᾶν, ὥστε νὰ σὲ κάνη ἔνδοξον, καὶ θὰ σ' ἀπαλλάξῃ ἀπὸ κάθε ἐντροπήν. Ποίαν λοιπὸν ἀπολογίαν θὰ ἔχωμεν, ποίαν συγχώρησιν, αὐτὰ μὲν νὰ τὰ ἀφήνωμεν, νὰ ἐπιδιδώμεθα δὲ εἰς τὰ ἀντίθετα καὶ νὰ ρίπτωμεν τοὺς ἑαυτούς μας μὲ τὴν θέλησίν μας εἰς τὴν καιομένην κάμινον τοῦ πυρός;

Διὰ τοῦτο παρακαλῶ νὰ συνέλθουν ἐκεῖνοι ποὺ πάσχουν ἀπὸ τέτοιαν ἀσθένειαν καὶ νὰ ἐπαναφέρουν τὸν ἑαυτόν των εἰς τὴν ὑγείαν, καὶ νὰ μὴ τὸν ἀφήσουν νὰ περιέλθῃ εἰς ἀπόγνωσιν. Διότι καὶ ὁ υἱὸς ἐκεῖνος ἔπαθε πολὺ πιὸ φοβερώτερα ἀπὸ αὐτά, ἀλλ' ὅταν ἐπέστρεψεν εἰς τὴν πατρικὴν οἰκίαν καὶ ἐπανηῦρε τὴν προηγουμένην τιμήν, ἔγινε λαμπρότερος ἀπὸ ἐκεῖνον ποὺ ἔζη πάντοτε εὐτυχισμένος[13]. Αὐτοῦ λοιπὸν καὶ ἡμεῖς, ἂς γίνωμεν μιμηταί, καί, ἀφοῦ ἐπιστρέψωμεν πρὸς τὸν Πατέρα, ἔστω λοιπὸν καὶ ἀργὰ ἂς ἀπαλλαγῶμεν ἀπὸ ἐκείνην τὴν αἰχμαλωσίαν καὶ ἂς ὁδηγήσωμεν τοὺς ἑαυτούς μας πρὸς τὴν ἐλευθερίαν, ὥστε ν' ἀπολαύσωμεν καὶ τὴν οὐράνιον βασιλείαν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα ἀνήκει ἡ δόξα, συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

12. Γαλ. 5, 22.
13. Λουκᾶ 15, 11 - 12.

ΟΜΙΛΙΑ Π΄

Ἰω. 17, 1-5

«Ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς καὶ ἐπῆρε τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανὸν καὶ εἶπε· Πάτερ, ἐλήλυθεν ἡ ὥρα, δόξασόν σου τὸν Υἱόν, ἵνα καὶ ὁ Υἱός σου δοξάσῃ σε».

1. «Ὁ ποιήσας καὶ διδάξας», φησίν «οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν». Καὶ μάλα εἰκότως· τὸ μὲν γὰρ διὰ ῥημάτων φιλοσοφεῖν, εὔκολον, ἡ δὲ διὰ τῶν ἔργων ἐπίδειξις, γενναίου τινὸς καὶ μεγάλου. Διὸ καὶ ὁ Χριστός, περὶ ἀνεξικακίας διαλεγόμενος, μέσον ἑαυτὸν προτίθησι, κελεύων ἐκεῖθεν λαμβάνειν τὰ ὑποδείγματα. Διὰ τοῦτο καὶ μετὰ τὴν παραίνεσιν ταύτην ἐπὶ εὐχὴν τρέπεται, παιδεύων ἡμᾶς ἐν τοῖς πειρασμοῖς, πάντα ἀφέντας, ἐπὶ τὸν Θεὸν καταφεύγειν. Ἐπειδὴ γὰρ εἶπεν, «Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε», καὶ κατέσειεν αὐτῶν τὰς ψυχάς, διὰ τῆς εὐχῆς ἀνίστησι πάλιν· ὡς γὰρ ἀνθρώπῳ τέως προσεῖχον. Καὶ δι' ἐκείνους ταῦτα ποιεῖ, ὥσπερ οὖν καὶ ἐπὶ Λαζάρου, καὶ λέγει τὴν αἰτίαν, ὅτι «διὰ τὸν ὄχλον τὸν παρεστῶτα εἶπον, ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας».

Ναί, φησίν· ἀλλ' ἐπὶ μὲν τῶν Ἰουδαίων εἰκότως ταῦτα ἐγίνετο, ἐπὶ δὲ τῶν μαθητῶν τίνος ἕνεκεν; Καὶ ἐπὶ τῶν μαθητῶν εἰκότως· οἱ γὰρ μετὰ τοσαῦτα λέγοντες· «Νῦν οἴδαμεν ὅτι πάντα οἶδας», μάλιστα πάντων βεβαιωθῆναι ἐδέοντο. Ἄλλως δὲ οὐδὲ εὐχὴν ὁ Εὐαγγελιστὴς τὸ πρᾶγμα

---

1. Ματθ. 5, 19.
2. Ἰω. 16, 33.
3. Ἰω. 11, 42.
4. Ἰω. 16, 30.

ΟΜΙΛΙΑ Π´

Ἰω. 17, 1 - 5

«Αὐτὰ εἶπεν ὁ Ἰησοῦς καὶ ἐσήκωσε τοὺς ὀφθαλμούς του εἰς τὸν οὐρανὸν καὶ εἶπε· Πάτερ, ἦλθεν ἡ ὥρα, δόξασε τὸν Υἱόν σου, διὰ νὰ σὲ δοξάσῃ καὶ ὁ Υἱός σου».

1. «Αὐτὸς ποὺ ἐφαρμόζει τὰς ἐντολάς σου καὶ τὰς διδάσκει», λέγει, «αὐτὸς θὰ ὀνομασθῇ μέγας εἰς τὴν βασιλείαν τῶν οὐρανῶν»[1]. Καὶ πολὺ εὔλογα· διότι τὸ νὰ φιλοσοφῇ κανεὶς μὲ λόγια εἶναι εὔκολον, ἐνῷ τὸ νὰ παρουσιάζῃ μὲ ἔργα αὐτὰ ποὺ λέγει, εἶναι γνώρισμα ἀνθρώπου γενναίου καὶ μεγάλου. Διὰ τοῦτο καὶ ὁ Χριστός, ὁμιλῶν περὶ ἀνεξικακίας, ἀναφέρει τὸν ἑαυτόν του, προτρέπων ἀπὸ αὐτὸν νὰ λαμβάνωμεν τὰ παραδείγματα. Διὰ τοῦτο καὶ μετὰ ἀπὸ αὐτὴν τὴν παραίνεσιν, ἔρχεται εἰς τὴν προσευχήν, διδάσκων ἡμᾶς κατὰ τὰς δοκιμασίας, ἀφήνοντες κατὰ μέρος ὅλα, νὰ καταφεύγωμεν εἰς τὸν Θεόν. Ἐπειδὴ δηλαδὴ εἶπεν, «Εἰς τὸν κόσμον θὰ ἔχετε θλῖψιν»[2], καὶ ἐνέβαλεν ἀνησυχίαν εἰς τὰς ψυχάς των, μὲ τὴν προσευχὴν ἀνιστᾷ πάλιν τὸ φρόνημά των· διότι μέχρι τότε τὸν ἐπρόσεχαν ὡσὰν ἄνθρωπον. Καὶ δι᾽ ἐκείνους κάμνει τὰ ἴδια, ὅπως ἀκριβῶς καὶ εἰς τὴν περίπτωσιν τοῦ Λαζάρου, καὶ λέγει τὴν αἰτίαν, ὅτι δηλαδὴ «Τὸ εἶπα διὰ τὸ παρευρισκόμενον πλῆθος, διὰ νὰ πιστεύσουν ὅτι σὺ μὲ ἀπέστειλες»[3].

Ναί, λέγει· ἀλλὰ διὰ μὲν τοὺς Ἰουδαίους ἐγίνοντο αὐτὰ πολὺ εὔλογα, διὰ ποῖον λόγον ὅμως ἐγίνοντο καὶ διὰ τοὺς μαθητάς; Καὶ διὰ τοὺς μαθητὰς ἐγίνοντο κατὰ πολὺ φυσικὸν λόγον· διότι αὐτοί, ποὺ μετὰ ἀπὸ τόσα ἔλεγον, «Τώρα γνωρίζομεν ὅτι ὅλα τὰ γνωρίζεις»[4], ἐχρειάζοντο περισσότερον ἀπὸ ὅλους τὴν ἐπιβεβαίωσιν. Ἄλλωστε δὲ οὔτε προσευχὴν ὀνομάζει ὁ εὐαγγελιστὴς τὸ πρᾶγμα, ἀλλὰ τί

καλεῖ, ἀλλὰ τί φησιν; «Ἦρε τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανόν», καὶ διάλεξιν αὐτὸ πρὸς τὸν Πατέρα μᾶλλον εἶναί φησιν. Εἰ δὲ ἀλλαχοῦ λέγει εὐχήν, καὶ δείκνυσιν αὐτὸν ποτὲ μὲν ἐπὶ γόνατα καμπτόμενον, ποτὲ δὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν αἴροντα, μὴ θορυβηθῇς· διὰ γὰρ τούτων παιδευόμεθα τὸ ἐκτενές, τὸ ἐν ταῖς δεήσεσιν, ἵνα καὶ ἑστῶτες ἀναβλέπωμεν μὴ τοῖς ὀφθαλμοῖς τῆς σαρκὸς μόνον, ἀλλὰ καὶ τῆς διανοίας, καὶ ἵνα κάμπτωμεν τὰ γόνατα, τὴν ἑαυτῶν καρδίαν συντρίβοντες· ἦλθε γὰρ ὁ Χριστός, οὐχ ἑαυτὸν δεῖξαι μόνον, ἀλλὰ καὶ ἀρετὴν παιδεύων ἄφατον. Τὸν δὲ παιδεύοντα οὐ διὰ ῥημάτων μόνον, ἀλλὰ καὶ διὰ πραγμάτων παιδεύειν χρή. Ἀκούσωμεν τοίνυν τί φησιν ἐνταῦθα· «Πάτερ, ἐλήλυθεν ἡ ὥρα, δόξασόν σου τὸν Υἱόν, ἵνα καὶ ὁ Υἱός σου δοξάσῃ σε».

Πάλιν δείκνυσιν ἡμῖν ὅτι οὐκ ἄκων ἐπὶ τὸν σταυρὸν ἔρχεται. Πῶς γάρ, ὁ καὶ εὐχόμενος τοῦτο γενέσθαι, καὶ δόξαν τὸ πρᾶγμα καλῶν, οὐκ αὐτοῦ μόνου τοῦ σταυρουμένου, ἀλλὰ καὶ τοῦ Πατρός; Ἐπεὶ καὶ οὕτως ἐγένετο· οὐ γὰρ ὁ Υἱὸς μόνον, ἀλλὰ καὶ ὁ Πατὴρ ἐδοξάσθη· πρὸ μὲν γὰρ τοῦ σταυροῦ οὐδὲ Ἰουδαῖοι αὐτὸν ᾔδεσαν («Ἰσραὴλ γάρ με», φησίν, «οὐκ ἔγνω»), μετὰ δὲ τὸν σταυρὸν ἡ οἰκουμένη ἅπασα προσέδραμεν. Εἶτα λέγει καὶ τὸν τρόπον τῆς δόξης, καὶ πῶς αὐτὸν δοξάσει. «Καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκός, ἵνα πᾶν, ὃ δέδωκας αὐτῷ, μὴ ἀπόληται». Τὸ γὰρ εὐεργετεῖν ἀεί, τῷ Θεῷ δόξα. Τί δέ ἐστι, «Καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκός»; Τέως δείκνυσιν ὅτι οὐκ εἰς Ἰουδαίους μόνους τὰ τοῦ κηρύγματός ἐστι συνεσταλμένα, ἀλλὰ καὶ εἰς τὴν οἰκουμένην ἐκτείνεται πᾶσαν, καὶ προκαταβάλλεται προοίμια τῶν ἐθνῶν. Ἐπειδὴ γὰρ εἶπεν, «Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε», μέλλει δὲ μετὰ ταῦτα λέγειν, «Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη»,

5. Ἠσ. 1, 3.
6. Ματθ. 10, 5.
7. Ματθ. 28, 19.

λέγει; «Ἐσήκωσε τοὺς ὀφθαλμούς του εἰς τὸν οὐρανόν», καὶ ἀποκαλεῖ αὐτὸ μᾶλλον συνομιλίαν μὲ τὸν Πατέρα. Ἐὰν δὲ εἰς ἄλλην περίπτωσιν τὴν ὀνομάζῃ προσευχήν, καὶ δείχνει αὐτὸν ἄλλοτε μὲν νὰ γονατίζῃ, ἄλλοτε δὲ νὰ ὑψώνῃ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανόν, μὴ θορυβηθῇς˙ μὲ αὐτὰ διδασκόμεθα τὸ ἀκατάπαυστον τῆς προσευχῆς, ὥστε καὶ ὅταν ἱστάμεθα νὰ βλέπωμεν ὄχι μόνον μὲ τοὺς ὀφθαλμοὺς τῆς σαρκός, ἀλλὰ καὶ τῆς διανοίας, καὶ διὰ νὰ γονατίζωμεν συντρίβοντες ἔτσι τὴν καρδίαν μας˙ διότι ἦλθεν ὁ Χριστός, ὄχι μόνον διὰ νὰ μᾶς δείξῃ τὸν ἑαυτόν του, ἀλλὰ καὶ διὰ νὰ μᾶς διδάξῃ τὴν ἀνεκδιήγητον ἀρετήν. Αὐτὸς δὲ ποὺ διδάσκει πρέπει νὰ διδάσκῃ ὄχι μόνον μὲ λόγια, ἀλλὰ καὶ μὲ τὰ ἔργα. Ἂς ἀκούσωμεν λοιπὸν τί λέγει ἐδῶ˙ «Πάτερ, ἦλθεν ἡ ὥρα, δόξασε τὸν Υἱόν σου, διὰ νὰ σὲ δοξάσῃ καὶ ὁ Υἱός σου».

Πάλιν μᾶς δείχνει ὅτι δὲν ἔρχεται εἰς τὸν σταυρὸν χωρὶς τὴν θέλησίν του. Διότι πῶς δὲν θὰ ἤρχετο μὲ τὴν θέλησίν του αὐτὸς ποὺ καὶ εὔχεται αὐτὸ νὰ συμβῇ καὶ δόξαν ὀνομάζει τὸ πρᾶγμα, ὄχι μόνον αὐτοῦ ποὺ θὰ ἐσταυρώνετο, ἀλλὰ καὶ τοῦ Πατρός; Καὶ πράγματι ἔτσι ἔγινε˙ καθ' ὅσον δὲν ἐδοξάσθη μόνον ὁ Υἱός, ἀλλὰ καὶ ὁ Πατήρ˙ διότι πρὶν ἀπὸ τὸν σταυρὸν οὔτε οἱ Ἰουδαῖοι τὸν ἐγνώριζον (διότι λέγει˙ «Ὁ Ἰσραὴλ δὲν μὲ ἐγνώρισεν»[5]), μετὰ ὅμως τὸν σταυρὸν ὅλη ἡ οἰκουμένη ἔτρεξε κοντά του. Ἔπειτα λέγει καὶ τὸν τρόπον τῆς δόξης, καὶ πῶς θὰ τὸν δοξάσῃ. «Σύμφωνα μὲ τὴν ἐξουσίαν ποὺ τοῦ ἔδωσες ἐπὶ ὅλων τῶν ἀνθρώπων, ὥστε νὰ μὴ χαθῇ κανεὶς ἀπὸ αὐτοὺς ποὺ τοῦ ἔδωσες». Διότι τὸ νὰ εὐεργετῇ πάντοτε, ἀποτελεῖ δόξαν διὰ τὸν Θεόν. Τί σημαίνει δὲ «Καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκός»; Κατ' ἀρχὴν δείχνει ὅτι τὸ κήρυγμά του δὲν περιορίζεται μόνον μεταξὺ τῶν Ἰουδαίων, ἀλλ' ἐπεκτείνεται καὶ εἰς ὅλην τὴν οἰκουμένην καὶ προετοιμάζει τὴν κλῆσιν τῶν ἐθνικῶν. Ἐπειδὴ δηλαδὴ εἶπεν, «Μὴ πηγαίνετε πρὸς τοὺς ἐθνικούς»[6], πρόκειται δὲ εἰς τὴν συνέχειαν νὰ εἰπῇ, «Πηγαίνετε καὶ κάμετε μαθητάς μου ὅλα τὰ ἔθνη»[7], δείχνει, ὅτι καὶ ὁ Πατὴρ τὸ θέλει αὐτό˙ καθ' ὅσον

δείκνυσι καὶ τὸν Πατέρα τοῦτο βουλόμενον· σφόδρα γὰρ τοῦτο ἐσκανδάλιζεν Ἰουδαίους, καὶ τοὺς μαθητὰς δέ· οὐδὲ γὰρ μετὰ ταῦτα εὐκόλως ἠνείχοντο τῶν ἐθνῶν ἅπτεσθαι, ἕως τὴν τοῦ Πνεύματος ἔλαβον διδασκαλαν· καὶ γὰρ οὐ μικρὸν σκάνδαλον ἐντεῦθεν Ἰουδαίοις ἐγίνετο. Μετὰ οὖν τὴν τοσαύτην τοῦ Πνεύματος ἐπίδειξιν, εἰς τὰ Ἱεροσόλυμα παραγενόμενος ὁ Πέτρος, μόλις ἴσχυσε τὰ ἐγκλήματα διαφυγεῖν εἰπὼν τὰ κατὰ τὴν σινδόνα. Τί δέ ἐστιν· «Ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκός»; Πότε ἄρα τὴν ἐξουσίαν ταύτην ἔλαβεν, ἐρήσομαι τοὺς αἱρετικούς; πρὸ τοῦ πλάσαι αὐτούς, ἢ μετὰ τὸ πλάσαι; Αὐτὸς μὲν γάρ φησι μετὰ τὸ σταυρωθῆναι καὶ ἀναστῆναι. Τότε γοῦν λέγει· «ἐδόθη μοι πᾶσα ἐξουσία»· «πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη».

Τί οὖν; οὐκ εἶχεν ἐξουσίαν τῶν ἔργων τῶν ἑαυτοῦ, ἀλλ' ἐποίησε μὲν αὐτούς, ἐξουσίαν δὲ αὐτῶν οὐκ εἶχε μετὰ τὸ ποιῆσαι; (καὶ μὴν φαίνεται πάντα αὐτὸς ποιῶν καὶ ἐν τοῖς ἄνω χρόνοις, καὶ τοὺς μὲν κολάζων ὡς ἁμαρτάνοντας, τοὺς δὲ διορθούμενος ἐπιστρέφοντας, «οὐ μὴ κρύψω» γάρ, φησίν, «ἀπὸ τοῦ παιδός μου Ἀβραάμ, ὃ ἐγὼ μέλλω ποιεῖν», τοὺς δὲ καὶ τιμῶν ὡς κατορθοῦντας)· εἶτα τότε μὲν εἶχε, νῦν δὲ ἀπώλεσε, καὶ πάλιν ἔλαβε; Καὶ ποῖος ἂν ταῦτα δαίμων ἐφθέγξατο; Εἰ δὲ ἡ αὐτὴ ἐξουσία καὶ τότε καὶ νῦν («ὥσπερ ὁ Πατὴρ ἐγείρει», φησί, «τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ»), τί ἐστι τὸ εἰρημένον; Ἔμελλεν αὐτοὺς πέμπειν εἰς τὰ ἔθνη· ἵν' οὖν μὴ νομίσωσι καινοτομίαν εἶναι διὰ τὸ λέγειν, «Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ», δείκνυσι καὶ τῷ Πατρὶ τοῦτο δοκοῦν. Εἰ δὲ μετὰ πολλῆς αὐτὸ τῆς εὐτελείας φθέγγεται, θαυμαστὸν οὐδέν· οὕτω γὰρ κἀκείνους ᾠκοδόμει τότε, καὶ τοὺς μετὰ ταῦτα, καί, ὅπερ

---

8. Πράξ. κεφ. 11.
9. Ματθ. 28, 18.
10. Ματθ. 28, 19.
11. Γεν. 18, 17.
12. Ἰω. 5, 21.
13. Ματθ. 15, 24.

αὐτὸ ἐσκανδάλιζε πάρα πολὺ τοὺς Ἰουδαίους, ἀλλὰ καὶ τοὺς μαθητάς· διότι οὔτε μετὰ ἀπὸ αὐτὰ ἠνείχοντο εὔκολα νὰ ἐπικοινωνοῦν μὲ τοὺς Ἰουδαίους, μέχρι ὅτου ἔλαβον τὴν διδασκαλίαν τοῦ Πνεύματος· καθ' ὅσον δὲν ἐγίνετο αὐτὸ μικρὸν σκάνδαλον εἰς τοὺς Ἰουδαίους. Μετὰ λοιπὸν τὴν τόσον μεγάλην ἐπίδειξιν τοῦ ἁγίου Πνεύματος, ἐλθὼν ὁ Πέτρος εἰς τὰ Ἱεροσόλυμα, μόλις κατώρθωσε νὰ διαφύγῃ τὰς κατηγορίας, ὅταν ἀνέφερε τὰ σχετικὰ μὲ τὴν σινδόνα[8]. Τί σημαίνει δέ, «Ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκός»; Πότε λοιπόν, θὰ ἐρωτήσωμεν τοὺς αἱρετικούς, ἔλαβεν αὐτὴν τὴν ἐξουσίαν; πρὶν πλάσῃ αὐτοὺς ἢ ἀφοῦ τοὺς ἔπλασεν; Διότι ὁ ἴδιος ὁ Κύριος λέγει μετὰ τὴν σταύρωσιν καὶ τὴν ἀνάστασιν. Τότε δηλαδὴ λέγει· «Μοῦ ἐδόθη κάθε ἐξουσία»[9]· «πηγαίνετε καὶ κάμετε μαθητάς μου ὅλα τὰ ἔθνη»[10].

Τί λοιπόν; δὲν εἶχεν ἐξουσίαν ἐπὶ τῶν ἰδικῶν του ἔργων, ἀλλ' ἔδωσε μὲν ἐξουσίαν εἰς αὐτούς, ὁ ἴδιος δὲ μετὰ τὸ γεγονὸς αὐτὸ δὲν εἶχεν ἐξουσίαν ἐπ' αὐτῶν; (Καὶ ὅμως φαίνεται ὅλα αὐτὸς νὰ τὰ κάμνῃ καὶ κατὰ τὴν παλαιὰν ἐποχήν, ἄλλους μὲν τιμωρῶν ἐπειδὴ ἡμάρτανον, ἄλλους δὲ ἐπιστρέφοντας νὰ τοὺς διορθώνῃ· διότι λέγει· «δὲν θὰ κρύψω ἀπὸ τὸν υἱόν μου Ἀβραάμ, αὐτὸ ποὺ πρόκειται νὰ κάμω»[11], ἄλλους δὲ ἐκτελοῦντας τὰς ἐντολάς του νὰ τοὺς τιμᾷ)· ἔπειτα, τότε μὲν εἶχεν ἐξουσίαν, μετὰ δὲ τὴν ἔχασε καὶ πάλιν τὴν ξαναέλαβεν; Καὶ ποῖος δαίμων θὰ ἦτο δυνατὸν νὰ τὰ εἴπῃ αὐτά; Ἐὰν δὲ εἶναι ἡ ἰδία ἐξουσία καὶ τότε καὶ τώρα (διότι λέγει· «Ὅπως ἀκριβῶς ὁ Πατὴρ ἀνιστᾷ τοὺς νεκροὺς καὶ τοὺς ζωοποιεῖ, ἔτσι καὶ ὁ Υἱός του ζωοποιεῖ ὅποιους θέλει»[12], τί σημαίνει αὐτὸ ποὺ ἐλέχθη; Ἐπρόκειτο νὰ στείλῃ αὐτοὺς εἰς τὰ ἔθνη· διὰ νὰ μὴ νομίσουν λοιπὸν αὐτὸ ὡς καινοτομίαν ἐπειδὴ ἔλεγε. «Δὲν ἀπεστάλην δι' ἄλλο τίποτε, παρὰ διὰ τὰ χαμένα πρόβατα τοῦ οἴκου Ἰσραήλ»[13], δείχνει ὅτι αὐτὸ εἶναι ἐπιθυμητὸν καὶ εἰς τὸν Πατέρα. Ἐὰν δὲ τὸ λέγῃ αὐτὸ μὲ πολὺ ταπεινὰ λόγια, δὲν εἶναι καθόλου ἀξιοθαύμαστον· διότι ἔτσι καὶ ἐκείνους ἐπαίδευε τότε καὶ τοὺς μετὰ ταῦτα, καί, ὅπως προανέφερα, πάντοτε μὲ τὴν ὑπερβολικὴν χρῆσιν ταπει-

εἶπον, ἀεὶ τῇ τῆς εὐτελείας ὑπερβολῇ σφόδρα ἔπειθεν ὅτι συγκαταβάσεως ἦν τὰ εἰρημένα.

2. Τί δέ ἐστι, «Πάσης σαρκός;». Οὐ γὰρ δὴ πάντες ἐπίστευσαν. Καὶ μήν, τὸ αὐτοῦ μέρος, πάντες ἐπίστευσαν· εἰ δὲ μὴ προσεῖχον τοῖς λεγομένοις, οὐ τοῦ διδάσκοντος τὸ ἔγκλημα, ἀλλὰ τῶν μὴ δεχομένων. «Ἵνα πᾶν, ὃ δέδωκας αὐτῷ, δῷ αὐτοῖς ζωὴν αἰώνιον». Εἰ δὲ καὶ ἐνταῦθα ἀνθρωπινώτερον φθέγγεται, μὴ θαυμάσῃς· τῶν τε γὰρ εἰρημένων αἰτιῶν ἕνεκεν τοῦτο ποιεῖ, καὶ φυλαττόμενος ἀεὶ τὸ αὐτός τι περὶ ἑαυτοῦ λέγειν μέγα, ἐπειδὴ τοῦτο προσίστατο τοῖς ἀκροωμένοις διὰ τὸ μηδὲν μέγα περὶ αὐτοῦ φαντάζεσθαι τέως. Ὁ γοῦν Ἰωάννης, ὅταν ἐξ οἰκείου φθέγγηται προσώπου, οὐχ οὕτω ποιεῖ, ἀλλ' ἐπὶ τὸ ὑψηλότερον ἀνάγει τὸν λόγον, οὕτω λέγων· «Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν», καὶ ὅτι «ζωὴ ἦν», καὶ ὅτι «φῶς ἦν», καὶ ὅτι «εἰς τὰ ἴδια ἦλθεν»· οὐχ ὅτι οὐκ εἶχεν ἐξουσίαν, εἰ μὴ ἔλαβεν, ἀλλ' ὅτι καὶ ἑτέροις ἔδωκεν «ἐξουσίαν τοῦ γενέσθαι τέκνα Θεοῦ». Καὶ ὁ Παῦλος ὁμοίως ἴσον αὐτὸν λέγει τῷ Θεῷ. Αὐτὸς δὲ ἀνθρωπινώτερον αἰτεῖ, οὕτω λέγων· «Ἵνα πᾶν, ὃ δέδωκας αὐτῷ, δῷ αὐτοῖς ζωὴν αἰώνιον. Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν». «Μόνον ἀληθινὸν Θεὸν» πρὸς ἀντιδιαστολὴν τῶν οὐκ ὄντων θεῶν φησι· καὶ γὰρ εἰς τὰ ἔθνη αὐτοὺς πέμπειν ἔμελλεν. Εἰ δὲ οὐκ ἀνέξονται, ἀλλὰ διὰ τοῦτο μόνον ἐκβάλλουσι τοῦ εἶναι ἀληθινὸν Θεὸν τὸν Υἱόν, οὕτω προϊόντες καὶ τὸ Θεὸν εἶναι ἐκβάλλουσι· καὶ γάρ φησι· «Τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητεῖτε».

Τί οὖν; οὐκ ἔσται Θεὸς ὁ Υἱός; Εἰ δὲ Θεὸς ὁ Υἱός, καὶ μόνου τοῦ Πατρὸς λεγομένου, εὔδηλον ὅτι καὶ ἀληθινός, καὶ μόνου ἀληθινοῦ καλουμένου. Τί δέ; ὅταν λέγῃ Παῦ-

14. Ἰω. 1, 3.
15. Ἰω. 1, 4.
16. Ἰω. 1, 9.
17. Ἰω. 1, 11.
18. Ἰω. 1, 12.
19. Φιλιπ. 2, 6.
20. Ἰω. 5, 44.

νῶν ἐκφράσεων ἔπειθε πάρα πολὺ ὅτι τὰ λόγια του αὐτὰ ἐλέγοντο ἀπὸ συγκατάβασιν.

2. Τί σημαίνει δὲ «πάσης σαρκός»; Διότι, βέβαια, δὲν ἐπίστευσαν ὅλοι. Καὶ ὅμως, ὅσον ἐξηρτᾶτο ἀπὸ αὐτόν, ὅλοι ἐπίστευσαν· ἂν δὲ δὲν ἐπρόσεχαν εἰς τὰ λεγόμενά του, ἡ κατηγορία δὲν ἀνήκει εἰς τὸν διδάσκαλον, ἀλλ' εἰς ἐκείνους ποὺ δὲν ἐδέχθησαν τὰ λόγια του. «Ὥστε νὰ δώσῃ ζωὴν αἰώνιον εἰς τὸν καθένα ἀπὸ ἐκείνους ποὺ τοῦ ἔδωσες». Ἐὰν δὲ καὶ ἐδῶ ὁμιλῇ ἀνθρωπινώτερα, μὴ θαυμάσῃς· διότι τὸ κάμνει αὐτὸ καὶ διὰ τοὺς λόγους ποὺ ἔχομεν εἰπεῖ, καὶ διότι ἀποφεύγει πάντοτε ὁ ἴδιος νὰ λέγῃ κάτι τὸ σπουδαῖον διὰ τὸν ἑαυτόν του, ἐπειδὴ αὐτὸ θὰ προσέκρουεν εἰς τὴν σκέψιν τῶν ἀκροατῶν του, ἀφοῦ εἰς τὴν ἀρχὴν δὲν ἐφαντάζοντο τίποτε τὸ ὑψηλὸν περὶ αὐτοῦ. Ὁ Ἰωάννης λοιπόν, ὅταν ὁμιλῇ ἀπὸ μόνος του, δὲν κάμνει τὸ ἴδιον, ἀλλὰ ἐκφράζεται κατὰ ὑψηλότερον τρόπον, λέγων τὰ ἑξῆς· «Ὅλα δι' αὐτοῦ ἔγιναν, καὶ τίποτε δὲν ἔγινε χωρὶς αὐτόν»[14], καὶ ὅτι «ἦτο ζωή»[15], καὶ ὅτι «ἦτο φῶς»[16], καὶ ὅτι «ἦλθεν εἰς τοὺς ἰδικούς του»[17]· ὄχι ὅτι δὲν θὰ εἶχεν ἐξουσίαν, ἐὰν δὲν ἐλάμβανεν, ἀλλ' ὅτι καὶ εἰς ἄλλους ἔδωσεν «ἐξουσίαν νὰ γίνουν τέκνα τοῦ Θεοῦ». Καὶ ὁ Παῦλος ὁμοίως τὸν ὀνομάζει ἴσον μὲ τὸν Θεόν[19]. Αὐτὸς ὅμως παρακαλεῖ τὸν Πατέρα ἀνθρωπινώτερον, λέγων τὰ ἑξῆς· «Διὰ νὰ δώσω ζωὴν αἰώνιον εἰς τὸν καθένα ποὺ μοῦ ἔδωσες. Αὐτὴ δὲ εἶναι ἡ αἰώνιος ζωή, τὸ νὰ γνωρίσουν ἐσένα ὡς τὸν μόνον ἀληθινὸν Θεὸν καθὼς καὶ τὸν Ἰησοῦν Χριστὸν ποὺ ἔστειλες εἰς τὸν κόσμον». Τὸ «Μόνον ἀληθινὸν Θεόν» τὸ λέγει πρὸς διάκρισιν ἀπὸ τοὺς μὴ πραγματικοὺς θεούς· καθ' ὅσον ἐπρόκειτο νὰ στείλῃ αὐτοὺς εἰς τὰ ἔθνη. Ἐὰν ὅμως δὲν τὸ δεχθοῦν μὲ αὐτὸ καὶ μόνον ἀρνοῦνται τὸν Υἱὸν ὡς ἀληθινὸν Θεόν, προχωροῦντες δὲ ἔτσι θ' ἀρνηθοῦν καὶ ὅτι εἶναι Θεός· καθ' ὅσον λέγει· «Δὲν ζητεῖτε τὴν τιμὴν ποὺ προέρχεται ἀπὸ τὸν μόνον Θεόν»[20].

Τί λοιπόν; Δὲν εἶναι ὁ Υἱὸς Θεός; Ἐὰν δὲ ὁ Υἱὸς εἶναι Θεὸς καὶ ὀνομάζεται μόνος τοῦ Πατρός, εἶναι φανερὸν ὅτι εἶναι καὶ ἀληθινὸς καὶ ὀνομάζεται μόνος ἀληθινός.

λος· «Ἢ μόνος ἐγὼ καὶ Βαρνάβας;», ἄρα ἐκβάλλει τὸν Βαρνάβαν; Οὐδαμῶς· τὸ γὰρ «μόνος» πρὸς ἀντιδιαστολὴν ἑτέρων κεῖται. Εἰ δὲ οὐκ ἀληθινὸς Θεός, πῶς ἀλήθεια; ἐπὶ πολὺ γὰρ τοῦ ἀληθινοῦ ἡ ἀλήθεια οὐ διαφέρει. Τὸν μὴ ἀληθινὸν ἄνθρωπον εἶναι τί ἐροῦμεν; εἰπέ μοι· οὐχὶ οὐδὲ ἄνθρωπον; Οὕτως, εἰ ἀληθινὸς Θεὸς οὐκ ἔστιν ὁ Υἱός, πῶς δὲ ἡμᾶς θεοὺς ποιεῖ καὶ υἱούς, μὴ ὢν ἀληθής; Ἀλλ' ὑπὲρ τούτων ἀκριβέστερον ἡμῖν ἐν ἑτέροις εἴρηται, διὸ τῶν ἑξῆς ἐχώμεθα. «Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς». Καλῶς εἶπεν, «Ἐπὶ τῆς γῆς»· ἐν γὰρ τῷ οὐρανῷ δεδόξαστο, ἔν τε τῇ φύσει τὴν δόξαν ἔχων, καὶ παρὰ τῶν ἀγγέλων προσκυνούμενος. Οὐ τοίνυν περὶ ἐκείνης τῆς δόξης φησί, τῆς τῇ οὐσίᾳ αὐτοῦ συγκεκληρωμένης (ἐκείνην γὰρ τὴν δόξαν, κἂν μηδεὶς αὐτὸν δοξάσῃ, μένει πεπληρωμένην ἔχων), ἀλλὰ ταύτην φησί, τὴν ἀπὸ τῆς τῶν ἀνθρώπων λατρείας γινομένην. Οὐκοῦν καὶ τὸ «δόξασόν σε» τοιοῦτόν ἐστι.

Καὶ ἵνα μάθῃς ὅτι τοῦτον τὸν τρόπον τῆς δόξης φησίν, ἄκουσον τῶν ἑξῆς· «Τὸ ἔργον ἐτελείωσα, ὃ δέδωκάς μοι, ἵνα ποιήσω αὐτό»· καίτοι γε ἀρχὴν ἔτι τὸ πρᾶγμα εἶχε, μᾶλλον δὲ οὐδὲ ἀρχήν. Πῶς οὖν λέγει, «Ἐτελείωσα»; Ἢ ὅτι τὸ ἐμαυτοῦ πᾶν ἐποίησα, ἢ ὅτι τὸ ἐσόμενον ὡς ἤδη γεγενημένον λέγει, ἤ, ὃ μάλιστα πάντων ἐστὶν εἰπεῖν, ὅτι τὸ πᾶν ἦν ἤδη γεγενημένον τῷ τὴν ῥίζαν τῶν ἀγαθῶν καταβεβλῆσθαι, ἣ πάντως ἐξ ἀνάγκης ἔμελλον ἕψεσθαι οἱ καρποί, καὶ τὸ τοῖς μέλλουσι μετὰ ταῦτα γίνεσθαι αὐτὸν παρεῖναι καὶ συνεφάπτεσθαι. Διὰ τοῦτο πάλιν συγκαταβατικῶς φησιν· «Ὃ δέδωκάς μοι». Εἰ γὰρ δὴ περιέμενεν ἀκοῦσαι καὶ μαθεῖν, πολὺ ταῦτα τῆς δόξης αὐτοῦ ἀποδέοντα ἂν εἴη· ὅτι γὰρ ἐξ οἰκείας ἐπὶ τοῦτο γνώμης ἦλθε, πολλαχόθεν δῆλον. Ὡς, ὅταν λέγῃ Παῦλος ὅτι «οὕτως ἠγάπη-

21. Α' Κορ. 9, 6
22. Ἰω. 14, 6.

Τί δέ; ὅταν ὁ Παῦλος λέγῃ, «Ἢ μόνος ἐγὼ καὶ ὁ Βαρνάβας;»[21], ἆρά γε ἀρνεῖται τὸν Βαρνάβαν; Καθόλου˙ διότι τὸ «μόνος» χρησιμοποιεῖται πρὸς διάκρισιν ἀπὸ ἄλλους. Ἐὰν δὲ δὲν εἶναι ἀληθινὸς Θεός, πῶς εἶναι ἀλήθεια;[22] διότι ἡ ἀλήθεια δὲν διαφέρει τοῦ ἀληθινοῦ. Τί θὰ εἰποῦμεν ὅτι δὲν εἶναι οὔτε κἂν ἄνθρωπος; Κατὰ τὸν ἴδιον τρόπον, ἐὰν ὁ Υἱὸς δὲν εἶναι ἀληθινὸς Θεός, πῶς εἶναι Θεός; πῶς ἐμᾶς μᾶς κάμνει θεοὺς καὶ υἱούς, χωρὶς νὰ εἶναι ἀληθής; Ἀλλὰ δι᾽ αὐτὰ ἐλέχθησαν εἰς ἐσᾶς λεπτομερέστερον εἰς ἄλλους λόγους, διὰ τοῦτο ἂς προχωρήσωμεν εἰς τὴν συνέχειαν. «Ἐγὼ σὲ ἐδόξασα ἐπάνω εἰς τὴν γῆν». Καλῶς εἶπεν, «Ἐπὶ τῆς γῆς»˙ διότι εἰς τὸν οὐρανὸν εἶχε δοξασθῇ, ἔχων καὶ εἰς τὴν φύσιν του τὴν δόξαν καὶ προσκυνούμενος ὑπὸ τῶν ἀγγέλων. Δὲν ὁμιλεῖ λοιπὸν δι᾽ ἐκείνην τὴν δόξαν, ποὺ εἶναι συνηνωμένη μὲ τὴν οὐσίαν του (διότι ἐκείνην τὴν δόξαν, καὶ ἂν ἀκόμη κανεὶς δὲν τὸν δοξάσῃ, ἐξακολουθεῖ νὰ τὴν ἔχῃ πλήρη), ἀλλ᾽ ὁμιλεῖ δι᾽ αὐτὴν ποὺ προέρχεται ἀπὸ τὴν λατρείαν τῶν ἀνθρώπων. Ὥστε λοιπὸν τὸ «δόξασόν με» ἔχει αὐτὴν τὴν σημασίαν.

Καὶ διὰ νὰ μάθῃς ὅτι αὐτὸν τὸν τρόπον τῆς δόξης ἐννοεῖ, ἄκουσε τὰ ἐν συνεχείᾳ˙ «Τὸ ἔργον τὸ ἐτελείωσα ποὺ μοῦ ἔδωσες νὰ κάνω»˙ μολονότι βέβαια ἀκόμη τὸ ἔργον του εὑρίσκετο εἰς τὴν ἀρχήν, μᾶλλον δὲ οὔτε εἰς τὴν ἀρχήν. Πῶς λοιπὸν λέγει, «ἐτελείωσα»; Ἢ ἐννοεῖ ὅτι ἔκαμα ὅ,τι ἐξηρτᾶτο ἀπὸ ἐμένα, ἢ ὀνομάζει ὡς νὰ ἔγινεν ἐκεῖνο ποὺ ἐπρόκειτο νὰ γίνῃ, ἤ, αὐτὸ ποὺ κυρίως ἠμποροῦμεν νὰ εἰποῦμεν, ὅτι τὸ πᾶν ἦτο πλέον τετελεσμένον, ἐφ᾽ ὅσον εἶχε τοποθετηθῇ ἡ ρίζα τῶν ἀγαθῶν, ἀπὸ τὴν ὁποίαν ὁπωσδήποτε κατ᾽ ἀνάγκην ἐπρόκειτο νὰ προέλθουν οἱ καρποὶ καὶ ὅτι θὰ ἦτο παρὼν καὶ συνηνωμένος μὲ ἐκείνους ποὺ θὰ ἤρχοντο εἰς τὸ μέλλον. Διὰ τοῦτο πάλιν λέγει μὲ τρόπον συγκαταβατικόν˙ «Αὐτὸ ποὺ μοῦ ἔδωσες». Διότι, ἐὰν βέβαια ἐπερίμενε ν᾽ ἀκούσῃ καὶ νὰ μάθῃ, θ᾽ ἀπεῖχον αὐτὰ πολὺ ἀπὸ τὴν δόξαν του˙ τὸ ὅτι λοιπὸν αὐτὸ τὸ ἔκαμε μὲ τὴν θέλησίν του εἶναι φανερὸν ἀπὸ πολλά. Ὅπως, ὅταν λέγῃ ὁ Παῦλος ὅτι «τόσον πολὺ μᾶς ἠγάπη-

σεν ἡμᾶς, ὥστε παραδοῦναι ἑαυτὸν ὑπὲρ ἡμῶν», καὶ «ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών», καὶ πάλιν· «Καθὼς ἠγάπησέ με ὁ Πατήρ, κἀγὼ ἠγάπησα ὑμᾶς». «Δόξασόν με σύ, Πάτερ, παρὰ σεαυτῷ τῇ δόξῃ, ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί». Καὶ ποῦ ἡ δόξα ἐκείνη; ἔστω μὲν γάρ, παρὰ ἀνθρώποις εἰκότως ἄδοξος ἦν διὰ τὸ περικείμενον ἔνδυμα, πῶς καὶ παρὰ Θεῷ δοξασθῆναι ζητεῖ; Τί οὖν ἐνταῦθά φησι; Περὶ τῆς οἰκονομίας ὁ λόγος· ἐπεὶ οὔπω δεδόξαστο τῆς σαρκὸς ἡ φύσις, οὐδὲ ἀφθαρσίας ἀπολαύσασα, οὔτε τοῦ θρόνου κοινωνήσασα τοῦ βασιλικοῦ. Διὰ τοῦτο οὐκ εἶπεν, ''Επὶ τῆς γῆς', ἀλλὰ «παρὰ σοί».

3. Ταύτης καὶ ἡμεῖς ἀπολαυσόμεθα τῆς δόξης κατὰ τὸ ἡμέτερον μέτρον, ἐὰν νήφωμεν. Διὰ τοῦτο καὶ Παῦλός φησιν· «Εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν». Μυρίων ἄρα ἄξιοι δακρύων οἱ, τοσαύτης προκειμένης δόξης, διὰ νωθείαν καὶ ὕπνον ἐπιβουλεύοντες ἑαυτοῖς, καί, εἰ γέεννα μὴ ἦν, ἀθλιώτεροι πάντων, οἷς βασιλεῦσαι παρὸν καὶ συνδοξασθῆναι τῷ Υἱῷ τοῦ Θεοῦ, τοσούτων ἑαυτοὺς ἀποστεροῦντες ἀγαθῶν· εἰ γὰρ κατακοπῆναι ἔδει, εἰ γὰρ μυρίους ἀποθανεῖν θανάτους, εἰ μυρίας ἐπιδοῦναι ψυχάς, καὶ τοσαῦτα σώματα καθ' ἑκάστην ἡμέραν, οὐκ ἔδει τοσαῦτα ὑποστῆναι ὑπὲρ τοσαύτης δόξης; Νῦν δὲ οὐδὲ χρημάτων καταφρονοῦμεν, ὧνπερ ὕστερον καὶ ἄκοντες ἀποστησόμεθα· οὐ καταφρονοῦμεν χρημάτων, τῶν μυρίοις ἡμᾶς περιβαλλόντων κακοῖς, τῶν ἐνταῦθα μενόντων, τῶν οὐχ ἡμῶν (τὰ γὰρ οὐχ ἡμῶν διοικοῦμεν, κἂν πατρῷα ἔχωμεν)· ὅταν δὲ καὶ γέεννα προσῇ, καὶ σκώληξ ἀτελεύτητος, καὶ ἄσβεστον πῦρ, καὶ βρυγμὸς ὀδόντων, πῶς οἴσομεν ταῦτα; εἰπέ μοι;

23. 'Εφ. 5, 2.
24. Φιλιπ. 2, 7.
25. 'Ιω. 15, 9.
26. Ρωμ. 8, 17.

σεν, ὥστε νὰ παραδώση τὸν ἑαυτόν του πρὸς χάριν μας»[23]. καὶ «ἐταπείνωσε τὸν ἑαυτόν του, λαβὼν μορφὴν δούλου»[24]. καὶ πάλιν· «Ὅπως ἀκριβῶς μὲ ἠγάπησεν ὁ Πατήρ μου καὶ ἐγὼ ἠγάπησα ἐσᾶς»[25]. «Δόξασέ με, Πάτερ, μὲ τὴν δόξαν ἐκείνην ποὺ εἶχα πρὶν ἀκόμη ὁ κόσμος ἔλθῃ εἰς τὴν ὕπαρξιν». Καὶ ποῦ εἶναι ἐκείνη ἡ δόξα; Ἔστω λοιπὸν ὅτι πλησίον τῶν ἀνθρώπων πολὺ εὔλογα ἦτο χωρὶς δόξαν ἐξ αἰτίας τῆς ἐνδυμασίας του, πῶς ζητεῖ νὰ δοξασθῇ πλησίον τοῦ Θεοῦ; Τί λοιπὸν ἐννοεῖ ἐδῶ; Ἐδῶ ὁ λόγος γίνεται περὶ τοῦ ἔργου τῆς θείας οἰκονομίας· διότι ἀκόμη δὲν εἶχε δοξασθῆ ἡ ἀνθρωπίνη φύσις του οὔτε εἶχεν ἀπολαύσει ἀφθαρσίας, οὔτε εἶχε λάβει μέρος εἰς τὸν βασιλικὸν θρόνον. Διὰ τοῦτον δὲν εἶπεν, Ἐπὶ τῆς γῆς, ἀλλὰ «πλησίον σου».

3. Αὐτὴν τὴν δόξαν θὰ ἀπολαύσωμεν καὶ ἡμεῖς κατὰ τὸ ἰδικόν μας μέτρον, ἐὰν εἴμεθα προσεκτικοί. Διὰ τοῦτο καὶ ὁ Παῦλος λέγει· «Ἐὰν βέβαια πάσχωμεν μαζί του, διὰ νὰ δοξασθῶμεν μαζί του»[26]. Ἑπομένως εἶναι ἄξιοι μυρίων δακρύων ἐκεῖνοι πού, ἂν καὶ ὑπάρχει ἔμπροσθέν των τόση δόξα, ἐξ αἰτίας τῆς ὀκνηρίας των καὶ τῆς ἀδιαφορίας των προκαλοῦν κακὰ εἰς τὸν ἑαυτόν των, καί, ἐὰν δὲν ὑπῆρχε γέεννα, θὰ ἦσαν ἀθλιώτεροι ἀπὸ ὅλους, καθ' ὅσον, ἐνῷ ἠμποροῦν νὰ βασιλεύσουν καὶ νὰ δοξασθοῦν μαζὶ μὲ τὸν Υἱὸν τοῦ Θεοῦ, ἀποστεροῦν τὸν ἑαυτόν των ἀπὸ τόσα ἀγαθά· διότι, ἐὰν ἐχρειάζετο νὰ κατασφαγοῦν, ἐὰν ἐχρειάζετο νὰ ὑποστοῦν μυρίους θανάτους, ἐὰν ἐχρειάζετο νὰ παραδώσουν ἀπείρους ψυχὰς καὶ τόσα ἄλλα σώματα καθημερινῶς, δὲν ἔπρεπε νὰ ὑποστοῦν ὅλα αὐτὰ χάριν τῆς τόσον μεγάλης δόξης; Τώρα ὅμως οὔτε τὰ χρήματα περιφρονοῦμεν, τὰ ὁποῖα ἀργότερον θὰ τὰ ἀποχωρισθοῦμεν καὶ χωρὶς νὰ τὸ θέλωμεν· δὲν περιφρονοῦμεν τὰ χρήματα, ποὺ μᾶς περιβάλλουν μὲ ἀμέτρητα κακά, καὶ ποὺ μένουν ἐδῶ καὶ δὲν εἶναι ἰδικά μας (διότι διαχειριζόμεθα ἐκεῖνα ποὺ δὲν εἶναι ἰδική μας καὶ ἂν ἀκόμη τὰ ἔχωμεν ἀπὸ πατρικὴν κληρονομίαν)· ὅταν ὅμως καὶ γέεννα ὑπάρχῃ καὶ σκώληξ αἰώνιος καὶ ἄσβεστον πῦρ καὶ τρυγμὸς τῶν ὀδόντων, εἰπέ μου, πῶς θὰ τὰ ὑποφέρωμεν αὐτά;

Μέχρι τίνος οὐ διαβλέπομεν, ἀλλ' εἰς μάχας καθημερινάς, καὶ φιλονεικίας, καὶ λόγους ἀνοήτους τὸ πᾶν δαπανῶμεν, τὴν γῆν τρέφοντες, τὸ σῶμα πιαίνοντες, καὶ τῆς ψυχῆς ἀμελοῦντες, τῶν μὲν ἀναγκαίων οὐδένα ποιούμενοι λόγον, τῶν δὲ περιττῶν καὶ ἀνονήτων πολλὴν τὴν φροντίδα; Καὶ λαμπροὺς μὲν οἰκοδομοῦμεν τάφους, καὶ ὠνούμεθα πολυτελεῖς οἰκίας, καὶ παντοδαπῶν οἰκετῶν ἀγέλας περισύρομεν, καὶ οἰκονόμους διαφόρους ἐπινοοῦμεν, ἀγρῶν, οἰκιῶν, χρημάτων ἄρχοντας, καὶ ἄρχοντας ἀρχόντων καθιστῶντες, τῆς δὲ ψυχῆς ἠρημωμένης οὐδεὶς ἡμῖν λόγος. Καὶ τί τούτων ἔσται τὸ πέρας; οὐχὶ μίαν γαστέρα πληροῦμεν; οὐχὶ ἓν σῶμα περιβάλλομεν; τίς ὁ πολὺς τῶν πραγμάτων θόρυβος; τί δήποτε καὶ διὰ τί τὴν ψυχήν, ἣν ἐλάβομεν, κατακόπτομεν, σπαράττομεν εἰς τὴν τῶν τοιούτων λειτουργίαν, χαλεπὴν ἑαυτοῖς ἐπινοοῦντες δουλείαν; Ὁ γὰρ πολλῶν δεόμενος, πολλῶν δοῦλός ἐστι, κἂν δοκῇ κρατεῖν τούτων. Ἐπεὶ καὶ τῶν οἰκετῶν δοῦλός ἐστιν ὁ δεσπότης, καὶ θεραπείας ἕτερον εἰσφέρει τρόπον μείζονα· καὶ ἄλλως δὲ δοῦλος, χωρὶς ἐκείνων οὐκ εἰς ἀγορὰν ἐμβαλεῖν τολμῶν, οὐκ εἰς βαλανεῖον, οὐκ εἰς ἀγρόν, οὗτοι δὲ πολλάκις χωρὶς ἐκείνου πανταχοῦ περίασιν. Ἀλλ' ὁ δοκῶν εἶναι κύριος, ἂν μὴ παρῶσιν οἱ δοῦλοι, οὐ τολμᾷ προελθεῖν οἴκοθεν, ἀλλά, κἂν προκύψῃ τῆς οἰκίας μόνος, καταγέλαστον ἑαυτὸν εἶναι νομίζει.

Τάχα τινὲς γελῶσιν ἡμᾶς, ταῦτα λέγοντας, ἀλλὰ δι' αὐτὸ μὲν τοῦτο μυρίων δακρύων ἄξιοι ἂν εἶεν· ὅτι γὰρ δουλεία τοῦτο ἡδέως ἄν σε ἐροίμην· ἐβούλου δεῖσθαι τοῦ τὸν ψωμὸν τὸ στόματί σου προστιθέντος ἢ τὴν κύλικα τοῖς χείλεσι προσάγοντος; οὐχὶ δακρύων ἐνόμιζες ἀξίαν εἶναι τὴν διακονίαν ταύτην; Τί δέ, εἰ βασταζόντων τινῶν ἐδέου πρὸς

Μέχρι πότε θὰ εἴμεθα ἀπρόσεκτοι καὶ θὰ δαπανῶμεν τὸ πᾶν εἰς καθημερινὰς διαμάχας καὶ φιλονεικίας καὶ λόγους ἀνωφελεῖς, τρέφοντες τὴν γῆν, παχαίνοντες τὸ σῶμα, καὶ ἀδιαφοροῦντες διὰ τὴν ψυχήν, διὰ μὲν τὰ ἀναγκαῖα μὴ κάμνοντες κανένα λόγον, διὰ δὲ τὰ περιττὰ καὶ ἀνώφελα δεικνύοντες πολλὴν φροντίδα; Καὶ οἰκοδομοῦμεν μὲν λαμπροὺς τάφους καὶ ἀγοράζομεν πολυτελεῖς οἰκίας καὶ ἀκολουθούμεθα ἀπὸ ἀγέλας παντὸς εἴδους ὑπηρετῶν καὶ ἐπινοοῦμεν διαφόρους οἰκονόμους, ἀγρῶν, οἰκιῶν, διαχειριστὰς χρημάτων καὶ καθιστῶντες ἄρχοντες ἀρχόντων, διὰ δὲ τὴν ψυχήν μας ποὺ ἔχει μείνει τελείως ἔρημη δὲν δείχνομεν καμμίαν φροντίδα. Καὶ ποῖο θὰ εἶναι τὸ τέλος αὐτῶν; δὲν γεμίζομεν μίαν γαστέρα; δὲν ἐνδύομεν ἕνα σῶμα, διατί τόσος πολὺς θόρυβος δι' αὐτὰ τὰ πράγματα; διατί τέλος πάντων ὅλα αὐτὰ καὶ διατί τὴν ψυχὴν ποὺ ἐλάβομεν τὴν κατασφαγιάζομεν, τὴν κατασπαράσσομεν μὲ αὐτοῦ τοῦ εἴδους τὰς φροντίδας, ἐπινοοῦντες φοβερὰν δουλείαν διὰ τοὺς ἑαυτούς μας; Διότι ἐκεῖνος ποὺ ἔχει ἀνάγκην ἀπὸ πολλά, εἶναι δοῦλος πολλῶν, καὶ ἂν ἀκόμη φαίνεται ὅτι εἶναι κυρίαρχος αὐτῶν. Διότι καὶ τῶν ὑπηρετῶν δοῦλος εἶναι ὁ κύριος καὶ δημιουργεῖ ἄλλον μεγαλύτερον τρόπον ὑπηρεσίας˙ καὶ κατ' ἄλλον τρόπον δέ εἶναι δοῦλος, διότι δὲν τολμᾷ χωρὶς ἐκείνους νὰ μεταβῇ εἰς τὴν ἀγορὰν οὔτε εἰς τὸ λουτρόν, οὔτε εἰς τὸν ἀγρόν, ἐνῷ αὐτοὶ πολλὲς φορὲς παντοῦ πηγαίνουν χωρὶς τὸν κύριόν των. Ἀλλ' ὁ θεωρούμενος ὅτι εἶναι κύριος, ἂν δὲν εἶναι παρόντες οἱ δοῦλοι, δὲν τολμᾷ νὰ βγῇ ἀπὸ τὴν οἰκίαν, ἀλλά, καὶ ἂν ἀκόμη συμβῇ νὰ βγῇ μόνος ἀπὸ τὴν οἰκίαν, θεωρεῖ τὸν ἑαυτόν του ὅτι εἶναι διὰ γέλια.

Ἴσως μερικοὶ μᾶς γελοῦν ποὺ λέγομεν αὐτά, ἀλλ' ὅμως ἀκριβῶς δι' αὐτὸ θὰ ἦσαν ἄξιοι μυρίων δακρύων˙ διότι διὰ νὰ διαπιστώσῃς ὅτι αὐτὸ εἶναι δουλεία, θὰ σὲ ἐρωτοῦσα εὐχαρίστως˙ ἤθελες νὰ εἶχες τὴν ἀνάγκην ἐκείνην ποὺ θὰ ἔθετε τὴν τροφὴν εἰς τὸ στόμα σου ἢ θὰ προσέφερε τὸ ποτήρι εἰς τὰ χείλη σου; δὲν θὰ ἐθεωροῦσες αὐτὴν τὴν ὑπηρεσίαν ἀξίαν δακρύων; Τί δέ, ἐὰν ἐχρειάζεσο μερικοὺς

τὸ βαδίζειν διηνεκῶς, οὐκ ἂν σεαυτὸν ἐλεεινὸν καὶ ἀθλιώτερον ταύτῃ πάντων ἐνόμισας; Οὐκοῦν καὶ νῦν οὕτω διακεῖσθαι ἔδει· οὐδὲν γὰρ διαφέρει, εἴτε ὑπὸ ἀλόγων, εἴτε ὑπὸ ἀνθρώπων ταῦτά τις πάσχει. Τί δέ, εἰπέ μοι, οὐχὶ καὶ ταύτῃ διεστήκασιν ἡμῶν οἱ ἄγγελοι, ὅτι οὐ δέονται ὅσων ἡμεῖς; Οὐκοῦν, ὅσῳ μὲν ἂν ἐλαττόνων δεόμεθα, τοσούτῳ πρὸς ἐκείνους ὁδεύομεν, ὅσῳ δὲ ἂν πλειόνων, τοσούτῳ πρὸς τὸν ἐπίκηρον τοῦτον καταπίπτομεν βίον. Καὶ ἵνα μάθῃς ὅτι ταῦτα οὕτως ἔχει, ἐρώτησον τοὺς γεγηρακότας ποῖον μακαρίζουσι βίον, τὸν ὅτε ἐκρατοῦντο μάτην, ἢ τὸν ὅτε αὐτῶν κρατοῦσι νῦν; Διὰ γὰρ τοῦτο αὐτοὺς ἐκείνους ἐκαλέσαμεν, ἐπειδὴ οἱ ἐν νεότητι μεθύοντες οὐδὲ ἴσασι τῆς δουλείας τὴν ὑπερβολήν. Τί δὲ οἱ πυρέττοντες, ὅταν, πολλὰ διψῶντες, πολλὰ πίνωσι, καὶ πολλῶν δέωνται, ἢ ὅταν ὑγιάναντες ἀπαλλαγῶσι τῆς ἐπιθυμίας, ἑαυτοὺς μακαρίζουσιν; Ὁρᾷς ὅτι πανταχοῦ τὸ πολλῶν δεῖσθαι ἐλεεινόν, καὶ πόρρω φιλοσοφίας, καὶ δουλείας καὶ ἐπιθυμίας ἐπίτασις;

Τί τοίνυν ἑκόντες ἐπιτείνομεν ἑαυτοῖς ἀθλιότητα; Εἰπὲ γάρ μοι, εἴ γε ἦν χωρὶς στέγης καὶ τοίχων μηδὲν βλαπτόμενον οἰκεῖν, οὐκ ἂν εἵλου τοῦτο μᾶλλον; τίνος οὖν ἕνεκεν τὰ σύμβολα τῆς ἀσθενείας ἐπιτείνεις; Οὐ διὰ τοῦτο τὸν Ἀδὰμ μακαρίζομεν, ὅτι οὐδενὸς ἐδεῖτο, οὐκ οἰκημάτων, οὐκ ἐνδυμάτων; Ναί, φησίν· ἀλλὰ νῦν ἐν χρείᾳ καθεστήκαμεν. Τί τοίνυν τὴν χρείαν αὔξομεν; Εἰ γὰρ πολλοὶ καὶ τῶν τῆς χρείας πολλὰ περικόπτουσι (δούλους λέγω, καὶ οἰκήματα, καὶ χρήματα), τίνα ἂν ἔχοιμεν ἀπολογίαν, τὴν χρεί-

διὰ νὰ σὲ βαστάζουν διαρκῶς διὰ νὰ βαδίζης, δὲν θὰ ἐθεωροῦσες ἐξ αἰτίας αὐτοῦ τὸν ἑαυτόν σου ἐλεεινὸν καὶ ἀθλιώτερον ἀπὸ ὅλους; Λοιπὸν καὶ τώρα τέτοιαι ἔπρεπε νὰ εἶναι αἱ διαθέσεις σου· διότι καθόλου δὲν διαφέρει, εἴτε τὰ παθαίνει αὐτὰ κανεὶς ἀπὸ ἄλογα ζῶα εἴτε ἀπὸ ἀνθρώπους. Τί δέ, εἰπέ μου, δὲν διαφέρουν ὡς πρὸς αὐτὸ οἱ ἄγγελοι ἀπὸ ἡμᾶς, τὸ ὅτι δηλαδὴ δὲν ἔχουν τὴν ἀνάγκην τῶν ὅσων ἔχομεν ἡμεῖς; Λοιπόν, ὅσον ὀλιγωτέραν ἔχομεν τὴν ἀνάγκην, τόσον περισσότερον πλησιάζομεν πρὸς ἐκείνους, ὅσον δὲ περισσοτέρων, τόσον περισσότερον καταπίπτομεν εἰς αὐτὸν τὸν φθαρτὸν βίον. Καὶ διὰ νὰ μὴ μάθης ὅτι αὐτὰ ἔχουν ἔτσι, ἐρώτησε τοὺς γέρους ποῖον βίον μακαρίζουν, ἐκεῖνον ποὺ ἦσαν τότε ὑποδουλωμένοι εἰς αὐτόν, ἢ ἐκεῖνον ποὺ εἶναι σήμερα κυρίαρχοι αὐτοῦ; Διότι ἀκριβῶς δι᾽ αὐτὸ ἀνεφέραμεν ἐκείνους, ἐπειδὴ ἐκεῖνοι ποὺ εἶναι μεθυσμένοι ἀπὸ τὰ τῆς νεότητος οὔτε κἂν γνωρίζουν τὸ ὑπερβολικὸν μέγεθος τῆς δουλείας. Τί δέ, αὐτοὶ ποὺ πάσχουν ἀπὸ πυρετὸν μακαρίζουν τὸν ἑαυτόν των ὅταν αἰσθάνονται μεγάλην δίψαν καὶ πολλὴν πεῖναν καὶ ἔχουν ἀνάγκην ἀπὸ πολλὰ ἄλλα, ἢ ὅταν ἀποκτήσουν τὴν ὑγείαν των καὶ ἀπαλλαγοῦν ἀπὸ τὴν ἐπιθυμίαν; Βλέπεις ὅτι παντοῦ εἶναι ἐλεεινὸν καὶ ξένον πρὸς τὴν φιλοσοφίαν καὶ ἐπέκτασις τῆς δουλείας καὶ τῆς ἐπιθυμίας τὸ νὰ ἔχη κανεὶς ἀνάγκην ἀπὸ πολλὰ πράγματα;

Διατί λοιπὸν μὲ τὴν θέλησίν μας μεγαλώνομεν τὴν ἀθλιότητα εἰς τὸν ἑαυτόν μας; Διότι εἰπέ μου, ἐὰν ἦτο δυνατὸν νὰ κατοικῇς χωρὶς στέγην καὶ τοίχους καὶ χωρὶς νὰ βλάπτεσαι καθόλου, δὲν θὰ ἐπροτιμοῦσες περισσότερον αὐτό; διὰ ποῖον λόγον λοιπὸν ἐπεκτείνεις τὰ γνωρίσματα τῆς ἀσθενείας; Δὲν μακαρίζομεν δι᾽ αὐτὸ τὸν Ἀδάμ, ἐπειδὴ δὲν εἶχε ἀνάγκην ἀπὸ τίποτε, οὔτε ἀπὸ οἰκήματα, οὔτε ἀπὸ ἐνδύματα; Ναί, λέγει· ἀλλὰ τώρα εἴμεθα ὑπὸ τὸ κράτος τῆς ἀνάγκης. Διατί λοιπὸν αὐξάνομεν τὴν ἀνάγκην; Διότι, ἐὰν πολλοὶ περικόπτουν πολλὰ καὶ ἀπὸ τὰ ἀναγκαῖα (ἐννοῶ τοὺς δούλους, τὰ οἰκήματα καὶ τὰ χρήματα), ποίαν δικαιολογίαν θὰ ἠμπορούσαμεν νὰ ἔχωμεν, ὑπερβαίνοντες

αν ὑπερβαίνοντες; Ὅσῳ ἂν πλείονα περιβάλλῃ, τοσούτῳ δουλικώτερος γέγονας· ὅσῳ γὰρ ἂν πλειόνων δεηθῇς, τοσούτῳ τὴν ἐλευθερίαν ἐπετέμου· ἡ μὲν γὰρ ἀκριβὴς ἐλευθερία τὸ μηδενὸς ὅλως δεῖσθαι, ἡ δὲ μετ' ἐκείνην τὸ ὀλίγων δεῖσθαι, ἣν ἄγγελοι μάλιστα ἔχουσι καὶ οἱ τούτων μιμηταί, τὸ δὲ καὶ ἐν θνητῷ σώματι μένοντας κατορθῶσαι τοῦτο ἐννόησον ἡλίκον ἔχει τὸν ἔπαινον. Τοῦτο καὶ ὁ Παῦλος ἔλεγε Κορινθίοις γράφων· «Ἐγὼ δὲ ὑμῶν φείδομαι», καὶ «ἵνα μὴ θλῖψιν τῇ σαρκὶ ἕξωσιν οἱ τοιοῦτοι». Διὰ τοῦτο χρήματα λέγεται, ἵνα χρώμεθα εἰς δέον, οὐχ ἵνα φυλάττωμεν καὶ κατορύττωμεν· τοῦτο γὰρ οὐκ ἔστι κτήσασθαι, ἀλλὰ κτηθῆναι· εἰ γὰρ τοῦτο μέλλοιμεν σκοπεῖν, ὅπως αὐτὰ πολλὰ ποιήσαιμεν, οὐχ ἵνα ἀπολαύσωμεν εἰς δέον, ἀνέστραπται ἡ τάξις, καὶ ἐκεῖνα ἡμᾶς κέκτηται, οὐχ ἡμεῖς ἐκεῖνα.

Ἀπαλλαγῶμεν τοίνυν τῆς χαλεπῆς ταύτης δουλείας, καὶ γενώμεθά ποτε ἐλεύθεροι. Τί μυρίους ἑαυτοῖς ἐπινοοῦμεν καὶ ποικίλους δεσμούς; Οὐκ ἀρκεῖ σοι τῆς φύσεως ὁ δεσμός, καὶ τῆς ζωῆς ἡ ἀνάγκη, καὶ ὁ τῶν μυρίων πραγμάτων ὄχλος, ἀλλὰ καὶ ἕτερα σεαυτῷ πλέκεις δίκτυα, καὶ τοῖς ποσὶ περιβάλλεις; Καὶ πότε ἐπιλήψῃ τοῦ οὐρανοῦ, καὶ πρὸς τὸ ὕψος ἀναστῆναι ἐκεῖνο δυνήσῃ; Ἀγαπητὸν γάρ, ἀγαπητόν, πάντα ταῦτα διακόψαντα τὰ σχοινία δυνηθῆναι ἐπιλαβέσθαι τῆς ἄνω πόλεως· τοσαῦτα ἕτερά ἐστι τὰ κωλύματα, ἅπερ ἵνα νικήσωμεν ἅπαντα, τῆς εὐτελείας ἐχώμεθα· οὕτω γὰρ ἐπιληψόμεθα καὶ τῆς αἰωνίου ζωῆς χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

27. Α' Κορ. 7, 28.
28. Αὐτόθι.

τὴν ἀνάγκην; Μὲ ὅσον περισσότερα περιβάλλεσαι, τόσον περισσότερον δουλικώτερος γίνεσαι· διότι ὅσον περισσότερα χρειάζεσαι, τόσον περισσότερον μειώνεις τὴν ἐλευθερίαν σου· καθ' ὅσον ἡ μὲν πλήρης ἐλευθερία συνίσταται εἰς τὸ νὰ μὴ ἔχωμεν καμμίαν ἀνάγκην, ἐνῷ ἐκείνη ποὺ ἀκολουθεῖ αὐτὴν συνίσταται εἰς τό νὰ ἔχωμεν τὴν ἀνάγκην ὀλίγων πραγμάτων, τὴν ὁποίαν ἔχουν οἱ ἄγγελοι πρὸ πάντων καὶ οἱ μιμηταὶ αὐτῶν, ὅμως τὸ νὰ τὸ κατορθώσουν αὐτὸ ἄνθρωποι ποὺ μένουν μέσα εἰς θνητὸν σῶμα σκέψου πόσον μεγάλον ἔπαινον ἔχει αὐτὸ τὸ πρᾶγμα. Αὐτὸ ἔλεγε καὶ ὁ Παῦλος γράφων πρὸς τοὺς Κορινθίους· «Ἐγὼ δὲ σᾶς λυποῦμαι»[27], καὶ «Διὰ νὰ μὴ ὑποφέρουν αὐτοὶ εἰς τὴν ζωήν»[28]. Διὰ τοῦτο ὀνομάζονται χρήματα, διὰ νὰ τὰ χρησιμοποιοῦμεν ὅπου χρειάζονται, ὄχι διὰ νὰ τὰ φυλάσσωμεν καὶ νὰ τὰ κρύπτωμεν μέσα εἰς τὴν γῆν· διότι αὐτὸ δὲν δείχνει ὅτι τὰ ἀπεκτήσαμεν, ἀλλ' ὅτι αὐτὰ ἀπέκτησαν ἡμᾶς· καθ' ὅσον ἐὰν πρόκειται αὐτὸ νὰ σκεπτώμεθα, πῶς αὐτὰ νὰ τὰ κάνωμεν πολλὰ καὶ ὄχι διὰ νὰ τὰ ἀπολαύσωμεν εἰς τὰ ἀναγκαῖα πράγματα, ἀνετράπη ἡ τάξις, καὶ ἐκεῖνα κατέκτησαν ἡμᾶς καὶ ὄχι ἡμεῖς ἐκεῖνα.

Ἂς ἀπαλλαγῶμεν λοιπὸν ἀπὸ αὐτὴν τὴν φοβερὰν δουλείαν· καὶ ἂς γίνωμεν κάποτε ἐλεύθεροι. Διατί ἐπινοοῦμεν διὰ τοὺς ἑαυτούς μας ἀπείρους καὶ διαφόρων εἰδῶν δεσμούς; Δὲν σοῦ ἀρκεῖ ὁ δεσμὸς τῆς φύσεως καὶ ἡ ἀνάγκη τῆς ζωῆς καὶ τὸ πλῆθος τῶν ἀπείρων πραγμάτων, ἀλλὰ πλέκεις καὶ ἄλλα δίκτυα διὰ τὸν ἑαυτόν σου καὶ δένεις μὲ αὐτὰ τὰ πόδια σου; Καὶ πότε θὰ σκεφθῇς καὶ θὰ φροντίσῃς διὰ τὸν οὐρανὸν καὶ θὰ ἠμπορέσῃς νὰ ἀνεβῇς πρὸς τὸ ὕψος ἐκεῖνο; Πρέπει λοιπὸν νὰ θελήσῃ κανείς, νὰ θελήσῃ νὰ κόψῃ αὐτὰ τὰ σχοινιὰ διὰ νὰ ἠμπορέσῃ νὰ φροντίσῃ διὰ τὴν οὐράνιον πόλιν· τόσα πολλὰ ἄλλα ἐμπόδια ὑπάρχουν, ποὺ διὰ νὰ τὰ νικήσωμεν ὅλα πρέπει νὰ ἀρκούμεθα εἰς τὰ ὀλίγα· διότι ἔτσι θὰ φροντίσωμεν καὶ διὰ τὴν αἰώνιον ζωὴν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΠΑ'

'Ιω. 17, 6-13

«'Εφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις, οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου. Σοὶ ἦσαν, καὶ ἐμοὶ αὐτοὺς δέδωκας, καὶ τὸν λόγον σου τετηρήκασι».

1. Μεγάλης βουλῆς Ἄγγελος λέγεται ὁ Υἱὸς τοῦ Θεοῦ τῶν τε ἄλλων ἕνεκεν, ὧν ἐδίδαξε, καὶ προηγουμένως ὅτι τὸν Πατέρα εἰς ἀνθρώπους κατήγγειλε· ὅπερ οὖν καὶ νῦν φησιν· «'Εφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις»· (εἰπὼν γὰρ ὅτι «ἐτελείωσά σου τὸ ἔργον», ἐπεξηγεῖται πάλιν αὐτό, λέγων ποῖον ἔργον)· καὶ μὴν δῆλον ἦν τὸ ὄνομα (καὶ γὰρ ὁ 'Ησαΐας φησίν· «'Ομεῖσθε τὸν Θεὸν τὸν ἀληθινόν»), ἀλλά, ὃ πολλάκις εἶπον, τοῦτο καὶ νῦν λέγω, ὅτι, εἰ καὶ δῆλον ἦν, ἀλλ' 'Ιουδαίοις, καὶ οὐδὲ τούτοις πᾶσι· νυνὶ δὲ περὶ τῶν ἐθνῶν φησι. Καὶ οὐ τοῦτο μόνον δηλοῖ, ἀλλ' ὅτι καὶ Πατέρα αὐτὸν ἔγνωσαν. Οὐκ ἔστι δὲ ὅμοιον μαθεῖν ὅτι δημιουργός ἐστι, καὶ ὅτι Υἱὸν ἔχει. 'Εφανέρωσε δὲ αὐτοῦ τὸ ὄνομα καὶ διὰ λόγων, καὶ διὰ πραγμάτων. «Οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου». Ὥσπερ ἀνωτέρω φησίν, «Οὐδεὶς ἔρχεται πρός με, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ», καὶ «ἐὰν μὴ ἑλκύσῃ αὐτὸν ὁ Πατήρ μου», οὕτω καὶ ἐνταῦθα· «Οὓς δέδωκάς μοι»· καὶ μὴν αὐτός φησιν ὁδὸν εἶναι ἑαυτόν. Ὅθεν δῆλον ὅτι δύο ἐνταῦθα κατασκευάζει διὰ τῶν εἰρημένων, ὅτι τε οὐ ἐναντίος τῷ Πατρί, καὶ ὅτι βούλημα αὐτοῦ τὸ πιστεῦσαι αὐτοὺς τῷ Υἱῷ.

---

1. 'Ιω. 17, 4.
2. 'Ησ. 65, 16.
3. 'Ιω. 6, 65.
4. 'Ιω. 6, 44.
5. 'Ιω. 14, 6.

ΟΜΙΛΙΑ ΠΑ΄

Ἰω. 17, 6 - 13

«Ἐφανέρωσα τὸ ὄνομά σου εἰς τοὺς ἀνθρώπους, ποὺ μοῦ ἔδωσες ἀπὸ τὸν κόσμον. Ἦσαν ἰδικοί σου καὶ τοὺς ἔδωσες εἰς ἐμένα, καὶ ἐτήρησαν τὸν λόγον σου».

1. Ὁ Υἱὸς τοῦ Θεοῦ λέγεται μεγάλης βουλῆς ἄγγελος καὶ ἐξ αἰτίας ὅλων τῶν ἄλλων ποὺ μᾶς ἐδίδαξε καὶ πρὶν ἀπὸ ὅλα διότι ἐφανέρωσε τὸν Πατέρα εἰς τοὺς ἀνθρώπους, πρᾶγμα λοιπὸν ποὺ καὶ τώρα λέγει· «Ἐφανέρωσα τὸ ὄνομά σου εἰς τοὺς ἀνθρώπους» (διότι ἀφοῦ εἶπε, «σοῦ ἐτελείωσα τὸ ἔργον»[1], ἐπεξηγεῖ πάλιν αὐτὸ λέγων ποῖον ἔργον)· καὶ βέβαια ἦτο φανερὸν τὸ ὄνομά του (καθ᾽ ὅσον ὁ Ἠσαΐας λέγει· «Ὀρκίζεσθε εἰς τὸν ἀληθινὸν Θεόν»[2]), ἀλλά, ἐκεῖνο ποὺ εἶπα πολλὲς φορές, αὐτὸ καὶ τώρα λέγω, ὅτι, ἂν καὶ ἦτο φανερόν, ἀλλ᾽ ἦτο μόνον εἰς τοὺς Ἰουδαίους, καὶ εἰς αὐτοὺς ὄχι εἰς ὅλους· ἐνῷ τώρα ὁμιλεῖ περὶ τῶν ἐθνικῶν. Καὶ δὲν δείχνει μόνον αὐτό, ἀλλ᾽ ὅτι καὶ τὸν ἴδιον τὸν Πατέρα ἐγνώρισαν. Διότι δὲν εἶναι ὅμοιον τὸ νὰ μάθῃς ὅτι εἶναι δημιουργὸς καὶ ὅτι ἔχει Υἱόν. Ἐφανέρωσε δὲ τὸ ὄνομά του καὶ μὲ λόγια καὶ μὲ ἔργα. «Τοὺς ὁποίους μοῦ ἔδωσες ἀπὸ τὸν κόσμον». Ὅπως προηγουμένως λέγει, «Κανεὶς δὲν ἔρχεται πρὸς ἐμένα, ἐὰν δὲν εἶναι δοσμένον αὐτὸ εἰς αὐτόν»[3], καὶ «Ἐὰν δὲν τὸν προσελκύσῃ ὁ Πατήρ μου»[4], ἔτσι καὶ ἐδῶ· «Ἐκείνους ποὺ μοῦ ἔδωσες»· καὶ ὅμως ὁ ἴδιος λέγει διὰ τὸν ἑαυτόν του ὅτι εἶναι ὁδός[5]. Ἄρα γίνεται φανερὸν ὅτι μὲ αὐτὰ τὰ λόγια δείχνει δύο πράγματα, ὅτι δηλαδὴ δὲν εἶναι ἀντίθετος πρὸς τὸν Πατέρα, καὶ ὅτι θέλησις τοῦ Πατρὸς εἶναι νὰ πιστεύσουν αὐτοὶ εἰς τὸν Υἱόν.

«Σοὶ ἦσαν, καὶ ἐμοὶ αὐτοὺς δέδωκας». Ἐνταῦθα βούλεται διδάξαι σφόδρα ἀγαπώμενον παρὰ τοῦ Πατρός. Ἐπεί, ὅτι γε οὐκ ἐδεήθη τοῦ λαβεῖν αὐτούς, δῆλον ἐκεῖθεν· αὐτὸς αὐτοὺς καὶ ἐποίησεν, αὐτὸς αὐτῶν προνοεῖ διηνεκῶς. Πῶς οὖν αὐτοὺς ἔλαβεν; Ἀλλά, ὅπερ ἔφην, τοῦτο δηλοῖ τὴν πρὸς τὸν Πατέρα ὁμόνοιαν. Εἰ δὲ ἀνθρωπίνως τις βούλοιτο αὐτὸ ἐξετάζειν, καὶ οὕτως, ὡς εἴρηται, οὐκ ἔτι ἔσονται τοῦ Πατρός· εἰ γάρ, ὅτε ὁ Πατὴρ αὐτοὺς εἶχεν, οὐκ εἶχεν αὐτοὺς ὁ Υἱός, εὔδηλον ὅτι, καὶ ὅτε ἔδωκεν αὐτοὺς τῷ Υἱῷ, αὐτὸς ἀπέστη τῆς δεσποτείας· καὶ τὸ ἀτοπώτερον πάλιν· εὑρεθήσονται γάρ, ἡνίκα μὲν ἦσαν παρὰ τῷ Πατρί, ἀτελεῖς ὄντες, ὅτε δὲ πρὸς τὸν Υἱὸν ἦλθον, τότε γινόμενοι τέλειοι. Ἀλλὰ γέλως ταῦτα καὶ εἰπεῖν. Τί οὖν διὰ τούτου δηλοῖ; Ὅτι καὶ αὐτῷ δέδοκτο τὸ πιστεύειν αὐτοὺς τῷ Υἱῷ. «Καὶ τὸν λόγον σου τετηρήκασι, καὶ νῦν ἔγνωσαν ὅτι πάντα ἃ δέδωκάς μοι, παρὰ σοῦ ἦσαν». Πῶς τὸν λόγον σου ἐτήρησαν; Τῷ ἐμοὶ πιστεῦσαι καὶ μὴ προσέχειν τοῖς Ἰουδαίοις· ὁ γὰρ πιστεύων αὐτῷ, φησίν, «ἐσφράγισεν ὅτι ὁ Θεὸς ἀληθής ἐστι». Τινὲς μὲν γὰρ λέγουσιν ὅτι «νῦν ἔγνων ὅτι πάντα, ὅσα δέδωκάς μοι, παρὰ σοῦ ἐστιν», ἀλλ' οὐκ ἂν ἔχοι τοῦτο λόγον· πῶς γὰρ ἔμελλεν ἀγνοεῖν ὁ Υἱὸς τὰ τοῦ Πατρός; Ἀλλὰ περὶ τῶν μαθητῶν εἴρηται. Ἐξ οὗ γὰρ αὐτὰ εἶπον, φησίν, ἔμαθον «ὅτι πάντα, ὅσα δέδωκάς μοι, παρὰ σοῦ ἐστιν», οὐδὲν ἀλλότριον οὐδὲν ἴδιον ἐμοὶ παρὰ σοί· τὸ γὰρ ἴδιον ὡς ἐπ' ἀλλοτρίῳ τὰ πολλὰ τίθησιν. Ἔγνωσαν οὖν ὅτι πάντα, ὅσα ἂν διδάξω, σά ἐστι, καὶ διδάγματα καὶ δόγματα. Καὶ πόθεν ἔμαθον; Ἀπὸ τῶν ρημάτων τῶν ἐμῶν· οὕτω γὰρ καὶ ἐδίδασκον. Καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ «παρὰ σοῦ ἐξῆλθον»· τοῦτο γὰρ διὰ παντὸς ἐσπούδασε κατασκευάσαι Εὐαγγελίου.

---

6. Ἰω. 3, 33.

«Ἦσαν ἰδικοί σου καὶ τοὺς ἔδωσες εἰς ἐμένα». Ἐδῶ θέλει νὰ μᾶς διδάξῃ ὅτι ἀγαπᾶται πάρα πολὺ ἀπὸ τὸν Πατέρα. Διότι, τὸ ὅτι δὲν εἶχεν ἀνάγκην νὰ λάβῃ αὐτούς, γίνεται φανερὸν ἀπὸ αὐτό· ὁ ἴδιος καὶ ἔκαμεν αὐτοὺς ἰδικούς του καὶ ὁ ἴδιος φροντίζει δι' αὐτοὺς συνεχῶς. Πῶς λοιπὸν ἔλαβεν αὐτούς; Ἀλλά, ὅπως εἶπα ἄλλην φοράν, αὐτὸ φανερώνει τὴν συμφωνίαν του πρὸς τὸν Πατέρα. Ἐὰν δὲ κάποιος ἤθελεν ἐξετάσει αὐτὸ ἀνθρωπίνως, καὶ ἔτσι, ὅπως ἐλέχθη, δὲν θὰ εἶναι πλέον τοῦ Πατρός· διότι, ἐάν, ὅταν εἶχεν αὐτοὺς ὁ Πατήρ, δὲν εἶχεν αὐτοὺς ὁ Υἱός, γίνεται φανερὸν ὅτι, καὶ ὅταν ἔδωκεν αὐτοὺς εἰς τὸν Υἱόν, ὁ ἴδιος παρητήθη ἀπὸ τὴν ἐξουσίαν ἐπ' αὐτῶν· διότι θὰ εὑρεθοῦν νὰ εἶναι ἀτελεῖς ὅταν ἦσαν ὑπὸ τὴν ἐξουσίαν τοῦ Πατρὸς νὰ γίνωνται δὲ τέλειοι τότε, ὅταν ἦλθον ὑπὸ τὴν ἐξουσίαν τοῦ Υἱοῦ. Ἀλλ' αὐτὰ εἶναι ἄξια διὰ γέλια καὶ νὰ τὰ εἰποῦμεν. Τί φανερώνει λοιπὸν μὲ αὐτό; Ὅτι καὶ ὁ Πατὴρ ἤθελε νὰ πιστεύσουν αὐτοὶ εἰς τὸν Υἱόν. «Καὶ τὸν λόγον σου ἐτήρησαν, καὶ τώρα ἐγνώρισαν ὅτι ὅλα, ὅσα μοῦ ἔδωσες, ἦσαν ἰδικά σου». Πῶς ἐτήρησαν τὸν λόγον σου; Μὲ τὸ νὰ πιστεύσουν εἰς ἐμένα καὶ νὰ μὴ προσέχουν εἰς τοὺς Ἰουδαίους· διότι ἐκεῖνος ποὺ πιστεύει εἰς αὐτόν, λέγει, «ἐβεβαίωσεν ὅτι ὁ Θεὸς εἶναι ἀληθινός»[6]. Μερικοὶ βέβαια λέγουν ὅτι «τώρα ἐγνώρισα ὅτι, ὅλα, ὅσα μοῦ ἔδωσες, ἦσαν ἰδικά σου», ἀλλ' αὐτὸ δὲν θὰ ἠμποροῦσε νὰ δικαιολογηθῇ· διότι πῶς ἦτο δυνατὸν νὰ ἀγνοῇ ὁ Υἱὸς τὰ τοῦ Πατρός; Ἐλέχθη λοιπὸν περὶ τῶν μαθητῶν. Ἀπὸ τὴν στιγμὴν δηλαδὴ ποὺ εἶπον αὐτά, λέγει, ἔμαθον «ὅτι ὅλα, ὅσα μοῦ ἔδωσες, ἦσαν ἰδικά σου»· τίποτε δὲν εἶναι ξένον, τίποτε τὸ ἰδιαίτερον ἀπὸ μέρους μου πρὸς ἐσένα, διότι τὸ ἰδιαίτερον δείχνει τὰ πολλὰ νὰ ἀνήκουν εἰς ἄλλον. Ἐγνώρισαν λοιπὸν ὅτι ὅλα, ὅσα θὰ διδάξω, ὅτι εἶναι ἰδικά σου καὶ διδάγματα καὶ δόγματα. Καὶ ἀπὸ ποῦ τὸ ἔμαθον; Ἀπὸ τὰ ἰδικά μου λόγια· διότι ἔτσι τοὺς ἐδίδασκον. Καὶ ὄχι μόνον αὐτό, ἀλλὰ καὶ ὅτι «ἦλθον ἀπὸ ἐσένα» διότι αὐτὸ ἐφρόντισε νὰ δείξῃ μὲ ὅλο τὸ εὐαγγέλιόν του».

«Ἐγὼ περὶ αὐτῶν ἐρωτῶ». Τί λέγεις; ὡς ἀγνοοῦντα τὸν Πατέρα διδάσκεις; ὡς πρὸς ἄνθρωπον οὐκ εἰδότα διαλέγῃ; Τί οὖν βούλεται αὕτη ἡ διαίρεσις; Ὁρᾷς ὅτι δι' οὐδὲν ἕτερον ἡ εὐχὴ γίνεται, ἀλλ' ἵνα μάθωσι τὴν ἀγάπην, ἣν ἔχει εἰς αὐτούς; Ὁ γὰρ μὴ μόνον τὰ παρ' αὐτοῦ παρασχών, ἀλλὰ καὶ ἕτερον ἐπὶ τοῦτο παρακαλῶν, πλείονα δείκνυσι τὸν πόθον. Τί οὖν ἐστι, «Περὶ τούτων ἐρωτῶ»; «Οὐχ ὑπὲρ παντὸς τοῦ κόσμου», φησίν, «ἀλλ' ὑπὲρ ὧν δέδωκάς μοι». Συνεχῶς τίθησι τὸ «δέδωκας», ἵνα μάθωσιν ὅτι τῷ Πατρὶ τοῦτο δοκεῖ. Εἶτα, ἐπειδὴ συνεχῶς εἶπε, «Σοί εἰσι, καὶ σύ μοι αὐτοὺς δέδωκας», ἀναιρῶν τὴν πονηρὰν ὑποψίαν, ἵνα μή τις νομίσῃ πρόσφατον αὐτοῦ εἶναι τὴν ἀρχήν, καὶ νῦν αὐτοὺς εἰληφέναι, τί φησι; «Τὰ ἐμὰ πάντα σά ἐστι, καὶ τὰ σὰ ἐμά, καὶ δεδόξασθαι ἐν αὐτοῖς».

Εἶδες ἰσοτιμίαν; Ἵνα γάρ μη, ἀκούων ὅτι «δέδωκάς μοι», νομίσῃς αὐτοὺς ἀλλοτριοῦσθαι τῆς τοῦ Πατρὸς ἐξουσίας, ἢ πρὸ τούτου τῆς τοῦ Υἱοῦ, ἀμφότερα ἀνεῖλεν, εἰπών, ἅπερ εἶπεν· ὡσανεὶ ἔλεγε· Μήτε, ἀκούων ὅτι «ἐμοὶ αὐτοὺς δέδωκας», νομίσῃς αὐτοὺς ἀλλοτρίους εἶναι τοῦ Πατρός, τὰ γάρ ἐμά, αὐτοῦ ἐστι, μήτε, ἀκούων ὅτι «σοὶ ἦσαν», νομίσῃς ἀλλοτρίους αὐτοὺς εἶναι ἐμοῦ· τὰ γὰρ αὐτοῦ, ἐμά ἐστιν. Ὥστε τὸ «δέδωκας» συγκαταβάσεως μόνης ἕνεκεν εἴρηται· ἅπερ γὰρ ὁ Πατὴρ ἔχει τοῦ Υἱοῦ ἐστι, καὶ ἅπερ ὁ Υἱὸς ἔχει τοῦ Πατρός. Τοῦτο δὲ οὐδὲ ἐπὶ Υἱοῦ κατὰ ἄνθρωπον δύναται λέγεσθαι, ἀλλ' ἐπειδὴ μείζονός ἐστι. Τὸ μὲν γὰρ τοῦ ἐλάττονος ὅτι τοῦ μείζονός ἐστι παντί που δῆλον, τὸ δὲ ἔμπαλιν οὐκ ἔτι. Ἐνταῦθα δὲ ἀντιστρέφει, ἡ δὲ ἀντιστροφὴ τὴν ἰσότητα δηλοῖ. Τοῦτο καὶ ἀλλαχοῦ δηλῶν, ἔλεγε, «Πάντα τὰ τοῦ Πατρός μου ἐμά ἐστι», περὶ

7. Ἰω. 16, 15.

«Ἐγὼ δι᾿ αὐτοὺς σὲ παρακαλῶ». Τί λέγεις; διδάσκεις ὡσὰν ὁ Πατὴρ νὰ τὸ ἀγνοῇ; συνομιλεῖς ὡσὰν μὲ ἄνθρωπον ποὺ δὲν γνωρίζει; Τί λοιπὸν θέλει αὐτὴ ἡ διάκρισις; Βλέπεις ὅτι διὰ τίποτε ἄλλο δὲν γίνεται ἡ προσευχή, παρὰ διὰ νὰ μάθουν τὴν ἀγάπην ποὺ ἔχει πρὸς αὐτούς; Διότι ἐκεῖνος ποὺ ἔδωσεν ὄχι μόνον τὰ ἰδικά του, ἀλλὰ καὶ παρακαλεῖ ἄλλον δι᾿ αὐτὸ τὸ πρᾶγμα, δείχνει περισσοτέραν ἀγάπην. Τί λοιπὸν σημαίνει «Περὶ τούτων ἐρωτῶ»; «Ὄχι δι᾿ ὅλον τὸν κόσμον», λέγει, «ἀλλὰ δι᾿ αὐτοὺς ποὺ μοῦ ἔδωσες». Συνεχῶς ἀναφέρει τὸ «μοῦ ἔδωσες», διὰ νὰ μάθουν ὅτι αὐτὸ εἶναι καὶ θέλημα τοῦ Πατρός. Ἔπειτα, ἐπειδὴ συνεχῶς ἔλεγεν, «Ἰδικοί σου ἦσαν καὶ σὺ τοὺς ἔδωσες εἰς ἐμένα», ἀναιρῶν τὴν πονηρὰν σκέψιν, διὰ νὰ μὴ νομίσῃ δηλαδὴ κανεὶς ὅτι εἶναι πρόσφατος ἡ ἐξουσία του καὶ ὅτι τώρα παρέλαβεν αὐτούς, τί λέγει; «Ὅλα τὰ ἰδικά μου εἶναι καὶ ἰδικά σου, καὶ τὰ ἰδικά σου εἶναι καὶ ἰδικά μου, καὶ ἔχω δοξασθῆ δι᾿ αὐτῶν».

Εἶδες ἰσοτιμίαν; Διὰ νὰ μὴ νομίσῃς λοιπόν, ἀκούων ὅτι «μοῦ τοὺς ἔχεις δώσει», ὅτι ἀποξενώνονται αὐτοὶ ἀπὸ τὴν ἐξουσίαν τοῦ Πατρός, ἢ ὅτι πρὶν ἀπὸ αὐτὸ δὲν ἦσαν ὑπὸ τὴν ἐξουσίαν τοῦ Υἱοῦ, ἀνῄρησε καὶ τὰ δύο, ἀφοῦ εἶπεν ἐκεῖνα ποὺ εἶπεν˙ εἶναι ὡσὰν νὰ ἔλεγεν˙ Ὄύτε νὰ νομίσῃς, ἀκούων ὅτι «ἔδωσες αὐτοὺς εἰς ἐμένα», ὅτι εἶναι ξένοι ὡς πρὸς τὸν Πατέρα (διότι τὰ ἰδικά μου εἶναι καὶ αὐτοῦ), οὔτε νὰ νομίσῃς, ἀκούων ὅτι «ἦσαν ἰδικοί σου», ὅτι εἶναι ξένοι, ὡς πρὸς ἐμένα˙ διότι τὰ ἰδικά του εἶναι καὶ ἰδικά μου΄. Ὥστε τὸ «δέδωκας» ἐλέχθη ἁπλῶς καὶ μόνον ἀπὸ συγκατάβασιν˙ διότι ἐκεῖνα ποὺ ἔχει ὁ Πατὴρ εἶναι καὶ τοῦ Υἱοῦ, καὶ ἐκεῖνα ποὺ ἔχει ὁ Υἱὸς εἶναι καὶ τοῦ Πατρός. Αὐτὸ δὲ οὔτε ἐπὶ τοῦ Υἱοῦ ἠμπορεῖ νὰ λέγεται κατ᾿ ἄνθρωπον, ἀλλ᾿ ἐπειδὴ γίνεται λόγος περὶ ἀνωτέρου. Διότι, τὸ ὅτι μὲν τὰ τοῦ κατωτέρου εἶναι τοῦ ἀνωτέρου εἶναι βέβαια ἐξ ὁλοκλήρου φανερόν, δὲν συμβαίνει ὅμως καὶ τὸ ἀντίθετον. Ἐδῶ ὅμως τὸ ἀντιστρέφει, ἡ δὲ ἀντιστροφὴ φανερώνει τὴν ἰσότητα. Αὐτὸ διὰ νὰ δηλώσῃ καὶ ἀλλοῦ, ἔλεγεν, «Ὅλα τὰ τοῦ Πατρός μου εἶναι καὶ ἰδικά μου»[7],

γνώσεως διαλεγόμενος· τὸ δὲ «δέδωκάς μοι», καὶ ὅσα τοιαῦτα, ἵνα δείξῃ ὅτι οὐχ ὡς ἀλλότριος ἐλθὼν αὐτοὺς ἐπεσπάσατο, ἀλλὰ τοὺς ἰδίους ἔλαβεν. Εἶτα καὶ τὴν αἰτίαν τίθησι καὶ ἀπόδειξιν, λέγων· «Καὶ δεδόξασθαι ἐν αὐτοῖς»· τουτέστιν, ἢ ὅτι ἐξουσίαν αὐτῶν ἔχω, ἢ ὅτι δοξάσουσιν ἐμέ, σοὶ πιστεύοντες καὶ ἐμοί, καὶ δοξάσουσιν ὁμοίως. Εἰ δὲ οὐχ ὁμοίως δεδόξασται ἐν αὐτοῖς, οὐκ ἔτι αὐτοῦ ἐστι τὰ ἐκείνου· οὐδεὶς γὰρ ἐν οἷς οὐκ ἔχει ἐξουσίαν δοξάζεται.

2. Πῶς δὲ δεδόξασται ὁμοίως; Ἅπαντες ὁμοίως ἀποθνήσκουσιν ὑπὲρ αὐτοῦ, ὡς καὶ ὑπὲρ τοῦ Πατρός, καὶ κηρύσσουσιν, ὥσπερ καὶ τὸν Πατέρα· καὶ ὥσπερ ἐν τῷ ὀνόματι αὐτοῦ λέγουσι πάντα γίνεσθαι, οὕτω καὶ ἐν τῷ ὀνόματι τοῦ Υἱοῦ. «Καὶ οὐκ ἔτι εἰμὶ ἐν τῷ κόσμῳ, καὶ οὗτοι ἐν τῷ κόσμῳ εἰσί»· τουτέστι, κἂν μὴ φαίνωμαι κατὰ σάρκα, διὰ τούτων δοξάζομαι. Τί δήποτε δὲ συνεχῶς λέγει ὅτι «ἐν τῷ κόσμῳ οὐκ εἰμί», καὶ ὅτι 'ἐπειδὴ ἀφίημι αὐτούς, σοὶ αὐτοὺς παρατίθεμαι', καὶ «ὅτε ἤμην ἐν τῷ κόσμῳ, ἐγὼ τετήρηκα αὐτούς»; Εἰ γὰρ ταῦτα ἁπλῶς ἐκλάβοι τις, πολλὰ ἕψεται τὰ ἄτοπα· πῶς γὰρ ἂν ἔχοι λόγον τὸ μὴ εἶναι αὐτὸν ἐν τῷ κόσμῳ, καί, ὅτε ἄπεισιν, ἑτέρῳ αὐτοὺς παρακαταθέσθαι; Ταῦτα γὰρ ὡς ἀνθρώπου ψιλοῦ χωριζομένου αὐτῶν διηνεκῶς ἦν ῥήματα.

Ὁρᾷς ὅτι ἀνθρωπίνως τὰ πλεῖστα διαλέγεται, καὶ πρὸς τὴν αὐτῶν διάνοιαν, νομιζόντων ὅτι πλείονά τινα εἶχον ἀσφάλειαν ἀπὸ τῆς παρουσίας αὐτοῦ; Διό φησιν· «Ὅτε ἐγὼ ἤμην, ἐτήρουν αὐτούς». Καὶ μὴν λέγει ὅτι «ἔρχομαι πρὸς ὑμᾶς» καὶ «μεθ' ὑμῶν εἰμὶ ἕως τῆς συντελείας»· πῶς νῦν, ὡς χωρίζεσθαι μέλλων, ταῦτα λέγει; Ἀλλά, ὅπερ ἔφην, πρὸς τὴν ἐκείνων ὑπόνοιαν, ἵνα μικρὸν ἀναπνεύσωσιν, ἀκούοντες

---

8. Ἰω. 14, 28.
9. Ἰω. 28, 20.

όμιλῶν περὶ γνώσεως· τὸ δὲ «δέδωκάς μοι» καὶ ὅσα παρόμοια λέγει, τὰ λέγει διὰ νὰ δείξῃ ὅτι δὲν ἔλαβεν αὐτοὺς ἀφοῦ ἦλθεν ὡς ξένος, ἀλλὰ ἔλαβεν τοὺς ἰδικούς του. Ἔπειτα ἀναφέρει καὶ τὴν αἰτίαν καὶ τὴν ἀπόδειξιν, λέγων· «Καὶ ἔχω δοξασθῆ δι' αὐτῶν»· δηλαδή, ἢ ὅτι ἔχω ἐξουσίαν ἐπ' αὐτῶν, ἢ ὅτι θὰ μὲ δοξάσουν, πιστεύοντες εἰς ἐσένα καὶ εἰς ἐμένα, καὶ θὰ μᾶς δοξάσουν ὁμοίως. Ἐὰν δὲ δὲν ἐδοξάσθη ἀπὸ αὐτοὺς καθ' ὅμοιον τρόπον, δὲν εἶναι τότε ἰδικά του τὰ τοῦ Πατρός· διότι κανεὶς δὲν δοξάζεται μὲ ἐκεῖνα ἐπὶ τῶν ὁποίων δὲν ἔχει ἐξουσίαν.

2. Πῶς δὲ ἐδοξάσθη ὁμοίως; Ὅλοι ὁμοίως πεθαίνουν ὑπὲρ αὐτοῦ, ὅπως καὶ ὑπὲρ τοῦ Πατρός, καὶ κηρύσσων αὐτόν, ὅπως ἀκριβῶς καὶ τὸν Πατέρα· καὶ ὅπως ἀκριβῶς λέγουν ὅτι τὰ πάντα γίνονται ἐν τῷ ὀνόματι τοῦ Πατρός, ἔτσι καὶ εἰς τὸ ὄνομα τοῦ Υἱοῦ. «Καὶ δὲν θὰ εἶμαι πλέον εἰς τὸν κόσμον, ἐνῷ αὐτοὶ θὰ εἶναι εἰς τὸν κόσμον»· δηλαδή, καὶ ἂν ἀκόμη δὲν φαίνωμαι κατὰ σάρκα, δοξάζομαι μὲ αὐτούς. Διατί τέλος πάντων λέγει συνεχῶς ὅτι «Δὲν θὰ εἶμαι πλέον εἰς τὸν κόσμον», καὶ ὅ,τι ἐπειδὴ ἀφήνω αὐτούς, τοὺς ἀφήνω ὑπὸ τὴν ἰδικήν σου προστασίαν' καὶ «ὅταν ἤμουν εἰς τὸν κόσμον, ἐγὼ ἐφύλαξα αὐτούς»; Διότι ἐὰν αὐτὰ τὰ ἐξετάσῃ κανεὶς ἔτσι ἁπλῶς, θὰ ἀκολουθήσουν πολλὰ ἄτοπα· διότι πῶς θὰ ἠμποροῦσε νὰ ἐξηγηθῇ τὸ νὰ μὴ εἶναι αὐτὸς εἰς τὸν κόσμον καὶ νὰ παραδίδῃ αὐτούς, ἀπερχόμενος, εἰς ἄλλον; Διότι αὐτὰ ἦσαν λόγια ὡσὰν ἁπλοῦ ἀνθρώπου ποὺ ἐχωρίζετο ἀπὸ αὐτούς.

Βλέπεις ὅτι ἀνθρωπίνως τὰ λέγει τὰ περισσότερα καὶ σύμφωνα μὲ τὴν πνευματικὴν ὡριμότητά των, ἐπειδὴ ἐνόμιζον ὅτι εἶχον κάποιαν μεγαλυτέραν ἀσφάλειαν ἀπὸ τὴν παρουσίαν αὐτοῦ; Διὰ τοῦτο λέγει· «Ὅταν ἐγὼ ἤμουν μαζὶ μὲ αὐτούς, τοὺς ἐφύλαττον». Καὶ ὅμως λέγει ὅτι «ἔρχομαι πρὸς ἐσᾶς»[8], καὶ «Θὰ εἶμαι μαζί σας μέχρι τὸ τέλος τοῦ κόσμου»[9]· πῶς τώρα τὰ λέγει αὐτὰ ὡσὰν νὰ πρόκειται νὰ τοὺς ἀποχωρισθῇ; Ἀλλά, ὅπως εἶπα προηγουμένως, τὰ λέγει σύμφωνα μὲ τὴν πνευματικὴν ὡριμότητα ἐκείνων, διὰ νὰ ἀναπνεύσουν ὀλίγον, ἀκούοντες αὐτὸν νὰ

αὐτοῦ ταῦτα λέγοντος καὶ παρακατατιθεμένου τῷ Πατρί. Ἐπειδὴ γὰρ πολλὰς παρ' αὐτοῦ παρακλήσεις ἀκούοντες οὐκ ἐπείσθησαν, λοιπὸν τῷ Πατρὶ διαλέγεται, τὴν εἰς αὐτοὺς στοργὴν ἐπιδεικνύμενος· ὡσανεὶ ἔλεγεν· ‘Ἐπειδὴ πρὸς ἑαυτόν με συγκαλεῖς, κατάστησον αὐτοὺς ἐν ἀσφαλείᾳ’· «ἐγὼ γὰρ πρὸς σὲ ἔρχομαι». Τί λέγεις; καὶ οὐ δύνασαι τηρεῖν αὐτούς; Ναί, δύναμαι. Τίνος οὖν ἕνεκεν ταῦτα λέγεις; «Ἵνα ἔχωσι τὴν χαρὰν τὴν ἐμὴν πεπληρωμένην», τουτέστιν, ‘ἵνα μὴ θορυβῶνται, ἀτελέστεροι ὄντες». Ταῦτα δὲ εἰπών, ἐδήλωσεν ὅτι διὰ τὴν ἐκείνων ἀνάπαυσιν καὶ τὴν χαρὰν πάντα ταῦτα οὕτως ἔλεγεν· ἐπεὶ δοκεῖ ἐναντίος ὁ λόγος εἶναι.

«Νῦν δὲ οὐκ εἰμὶ ἐν τῷ κόσμῳ, καὶ οὗτοι ἐν τῷ κόσμῳ εἰσί»· τοῦτο γὰρ ὑπώπτευον ἐκεῖνοι· τέως οὖν αὐτοῖς συγκαταβαίνει· εἰ γὰρ εἶπεν ὅτι ‘ἐγὼ τηρῶ αὐτούς’, οὐκ ἂν οὕτως ἐπίστευσαν· διό περ φησί· «Πάτερ ἅγιε, τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου»· τουτέστι, διὰ τῆς σῆς βοηθείας. «Ὅτε ἤμην ἐν τῷ κόσμῳ, ἐγὼ αὐτοὺς ἐτήρουν ἐν τῷ ὀνόματί σου». Πάλιν ὡς ἄνθρωπος διαλέγεται καὶ ὡς προφήτης· ἐπεὶ οὐδαμοῦ φαίνεται οὐδὲν ἐν τῷ ὀνόματι τοῦ Θεοῦ πεποιηκώς. «Οὓς δέδωκάς μοι, ἐφύλαξα, καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο, εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας, ἵνα ἡ Γραφὴ πληρωθῇ». Καὶ ἀλλαχοῦ φησι· «Πᾶν, ὃ δέδωκάς μοι, οὐ μὴ ἀπολέσω ἐξ αὐτοῦ». Καίτοι οὐκ ἐκεῖνος ἀπώλετο μόνος, ἀλλὰ καὶ πολλοὶ ὕστερον· πῶς οὖν φησιν, «Οὐ μὴ ἀπολέσω»; «Τὸ ἐμὸν μέρος, οὐ μὴ ἀπολέσω· ὅπερ καὶ ἀλλαχοῦ σαφέστερον δηλῶν, ἔλεγεν, «Οὐ μὴ ἐκβάλω αὐτὸν ἔξω», οὐ παρὰ τὴν ἐμὴν αἰτίαν, οὐδὲ ἐμοῦ ὠθοῦντος, οὐδὲ ἐγκαταλιμπάνοντος· εἰ δὲ ἀφ' ἑαυτῶν ἀποπηδῶσι, πρὸς ἀνάγκην οὐχ ἕλκω.

---

10. Ἰω. 6, 39.
11. Ἰω. 6, 37.

λέγη αὐτὰ καὶ νὰ τοὺς παραδίδη εἰς τὸν Πατέρα. Ἐπειδὴ δηλαδὴ δὲν ἐπείσθησαν, ἀκούοντες ἀπὸ αὐτὸν πολλοὺς παρηγορητικοὺς λόγους, εἰς τὴν συνέχειαν συνομιλεῖ μὲ τὸν Πατέρα, δεικνύων τὴν στοργήν του δι' αὐτούς· εἶναι ὡσὰν νὰ τοὺς ἔλεγεν· "Ἐπειδὴ μὲ προσκαλεῖς πλησίον σου, κατάστησε αὐτοὺς εἰς ἀσφάλειαν" «διότι ἐγὼ ἔρχομαι πρὸς ἐσένα». Τί λέγεις; καὶ δὲν ἠμπορεῖς νὰ φυλάξης αὐτούς; Ναί, ἠμπορῶ. Διὰ ποῖον λόγον λοιπὸν τὰ λέγεις αὐτά; «Διὰ νὰ ἔχουν τὴν χαράν μου μέσα των πλήρη», δηλαδή, 'διὰ νὰ μὴ θορυβῶνται, ἐπειδὴ εἶναι πνευματικὰ ἀτελεῖς'. Μὲ τὰ λόγια αὐτὰ ποὺ εἶπεν, ἐδήλωσεν ὅτι τὰ ἔλεγεν ὅλα αὐτὰ ἔτσι διὰ νὰ καθησυχάση αὐτοὺς καὶ νὰ τοὺς κάνη νὰ χαροῦν· διότι φαίνεται ὁ λόγος νὰ εἶναι ἀντίθετος.

«Τώρα δὲ δὲν θὰ εὑρίσκωμαι εἰς τὸν κόσμον, ἐνῷ αὐτοὶ θὰ εἶναι εἰς τὸν κόσμον»· διότι αὐτὸ ἐσκέπτοντο ἐκεῖνοι· προηγουμένως λοιπὸν ὁμιλεῖ σύμφωνα μὲ τὴν σκέψιν των· διότι, ἐὰν ἔλεγεν ὅτι 'ἐγὼ φυλάσσω αὐτούς', δὲν θὰ ἐπίστευαν τόσον πολύ· διὰ τοῦτο ἀκριβῶς λέγει· «Πάτερ ἅγιε, φύλαξε αὐτοὺς μὲ τὴν δύναμιν τοῦ ὀνόματός σου»· δηλαδή, μὲ τὴν βοήθειάν σου. «Ἐν ὅσῳ ἤμουν εἰς τὸν κόσμον, ἐγὼ ἐφύλαττον αὐτοὺς εἰς τὸ ὄνομά σου». Πάλιν ὁμιλεῖ ὡσὰν ἄνθρωπος καὶ ὡσὰν προφήτης· διότι πουθενὰ δὲν φαίνεται νὰ ἔκαμε κάτι ἐν τῷ ὀνόματι τοῦ Θεοῦ. «Ἐκείνους ποὺ μοῦ ἔδωσες, τοὺς ἐφύλαξα, καὶ κανεὶς ἀπὸ αὐτοὺς δὲν ἐχάθη, παρὰ μόνον ὁ υἱὸς τῆς ἀπωλείας, διὰ νὰ πληρωθῇ ἡ Γραφή». Καὶ ἀλλοῦ λέγει· «Διὰ νὰ μὴ χάσω τίποτε ἀπὸ ἐκεῖνα ποὺ μοῦ ἔδωσες»[10]. Ἂν καὶ βέβαια δὲν ἐχάθησαν μόνον ἐκεῖνοι, ἀλλὰ καὶ πολλοὶ ἄλλοι ἀργότερον· πῶς λοιπὸν λέγει, «Διὰ νὰ μὴ τοὺς χάσω»; Διὰ νὰ μὴ τοὺς χάσω ὅσον ἐξαρτᾶται ἀπὸ ἐμένα· πρᾶγμα, ποὺ διὰ νὰ δηλώση σαφέστερα εἰς ἄλλην περίπτωσιν, ἔλεγεν, «Δὲν θὰ τὸν βγάλω ἔξω»[11], ὄχι ἐξ αἰτίας μου, οὔτε ἀπομακρύνων αὐτόν, οὔτε ἐγκαταλείπων αὐτόν· ἐὰν ὅμως ἀποσκιρτοῦν μόνοι των, ἐγὼ δὲν τοὺς ὁδηγῶ ἀναγκαστικά.

«Νῦν δὲ πρὸς σὲ ἔρχομαι». Ὁρᾷς ἀνθρωπινώτερον συγκειμένην τὴν διάλεξιν; Ὥστε, εἴ τις βούλοιτο ἐλαττοῦν τὸν Υἱὸν ἀπὸ τούτων, ἐλαττώσει καὶ τὸν Πατέρα. Ὅρα γοῦν ἐξ ἀρχῆς, τὸ μὲν ὡς διδάσκων ἐστὶ καὶ σαφηνίζων αὐτῷ, τὸ δὲ ὡς παραγγέλλων· τὰ μὲν ὡς διδάσκων, ὡς, ὅταν λέγῃ, «Οὐ περὶ τοῦ κόσμου ἐρωτῶ», τὰ δὲ ὡς παραγγέλλων, «Ἐγὼ ἐτήρησα αὐτοὺς ἕως ἄρτι», «καὶ οὐδεὶς ἀπώλετο», καὶ «σὺ τοίνυν τήρησον αὐτοὺς» φησί· καὶ πάλιν· «Σοὶ ἦσαν, καὶ ἐμοὶ αὐτοὺς δέδωκας», καὶ «ὅτε ἤμην ἐν τῷ κόσμῳ, ἐτήρουν αὐτούς». Ἀλλὰ πάντων ἡ λύσις τὸ πρὸς τὴν ἀσθένειαν αὐτῶν εἰρῆσθαι τὰ εἰρημένα. Εἰπὼν δὲ ὅτι «οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο, εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας», ἐπήγαγεν· «Ἵνα ἡ Γραφὴ πληρωθῇ». Ποίαν Γραφήν φησι; Τὴν πολλὰ περὶ αὐτοῦ προλέγουσαν. Οὐ μὴν διὰ τοῦτο ἀπώλετο «ἵνα ἡ Γραφὴ πληρωθῇ». Καὶ περὶ τούτου πολλὰ καὶ ἔμπροσθεν διελέχθημεν ὅτι ἰδιάζων οὗτος τῆς Γραφῆς ἐστιν ὁ τρόπος, ὡς αἰτιολογίαν τιθεμένης τὰ ἐκ τῆς ἐκβάσεως συμβαίνοντα. Καὶ δεῖ πάντα μετὰ ἀκριβείας ἐξετάζειν, καὶ τὸν τρόπον τοῦ λέγοντος, καὶ τὴν ὑπόθεσιν, καὶ τοὺς νόμους τοὺς τῆς Γραφῆς, εἴ γε μὴ μέλλοιμεν παραλογίζεσθαι· «ἀδελφοὶ γάρ, μὴ παιδία γίνεσθε ταῖς φρεσί».

3. Τοῦτο δὲ οὐχ ὑπὲρ τῆς τῶν Γραφῶν κατανοήσεως ἀναγινώσκειν χρὴ μόνον, ἀλλὰ καὶ ὑπὲρ τῆς περὶ τὸν βίον σπουδῆς· καὶ γὰρ οἱ παῖδες οἱ μικροὶ τῶν μὲν μεγάλων γὰρ ὀχήματα, καὶ ἵππους, καὶ τὸν ὀρεωκόμον, καὶ τοὺς τροχούς, πάντα ἐξ ὀστράκου πεποιημένα χαίρουσι βλέποντες· ἂν δὲ βασιλέα καθήμενον ἐπ' ὀχήματος ἴδωσι χρυσοῦ, καὶ ἡμιόνων ζεῦγος λευκῶν, καὶ πολὺν τὸν κόσμον, οὐδὲ ἐπιστρέφονται· καὶ νύμφας πάλιν ἀπὸ μὲν τῆς αὐτῆς ὕλης λα-

12. Α΄ Κορ. 14, 20.

«Τώρα δὲ ἔρχομαι πρὸς ἐσένα». Βλέπεις τὴν συνομιλίαν ποὺ γίνεται μέ ἀνθρωπινώτερον τρόπον; Ὥστε, ἐὰν κάποιος θέλῃ νὰ μειώσῃ τὸν Υἱὸν ἀπὸ αὐτά, θὰ μειώσῃ καὶ τὸν Πατέρα. Πρόσεχε λοιπὸν ἀπὸ τὴν ἀρχὴν ὅτι ἄλλοτε μὲν ὁμιλεῖ ὡς διδάσκων καὶ διευκρινίζων αὐτὰ εἰς αὐτόν, ἄλλοτε δέ ὡς νὰ παραγγέλῃ· τὸ μὲν ὡς νὰ διδάσκῃ, ὅταν λέγῃ, «Δὲν σέ παρακαλῶ διὰ τὸν κόσμον, τὸ δέ ὡς παραγγέλων, ὅταν λέγῃ, «Ἐγὼ ἐφύλαξα αὐτοὺς μέχρι τώρα», «καὶ κανεὶς δὲν ἐχάθη», καὶ «σὺ λοιπὸν φύλαξε αὐτούς»· καὶ πάλιν· «Ἰδικοί σου ἦσαν καὶ ἔδωσες αὐτοὺς εἰς ἐμένα», καὶ «ὅταν ἤμουν εἰς τὸν κόσμον, ἐφύλαττον αὐτούς». Ἀλλὰ ἡ ἐξήγησις δι' ὅλα εἶναι ὅτι αὐτὰ ἐλέχθησαν ἀνάλογα μέ τὴν πνευματικὴν ἀδυναμίαν αὐτῶν. Ἀφοῦ δέ εἶπεν ὅτι «κανεὶς ἀπὸ αὐτοὺς δὲν ἐχάθη, παρὰ μόνον ὁ υἱὸς τῆς ἀπωλείας», ἐπρόσθεσε· «Διὰ νὰ πληρωθῇ ἡ Γραφή». Ποίαν Γραφὴν ἐννοεῖ; Τὴν Γραφὴν ποὺ προλέγει πολλὰ περὶ αὐτοῦ. Καὶ βέβαια δέν ἐχάθη δι' αὐτό, «Διὰ νὰ πληρωθῇ ἡ Γραφή». Καὶ δι' αὐτὸ τὸ θέμα πολλὰ εἴπομεν προηγουμένως, ὅτι δηλαδὴ αὐτὸς εἶναι ὁ χαρακτηριστικὸς τρόπος ἐκφράσεως τῆς Γραφῆς, θέτουσα ὡς αἰτιολογίαν τὸ ἀποτέλεσμα τῶν συμβάντων. Καὶ πρέπει μὲ ἀκρίβειαν νὰ ἐξετάζωμεν ὅλα, καὶ τὸν τρόπον ἐκφράσεως τοῦ ὁμιλοῦντος καὶ τὴν ὑπόθεσιν καὶ τοὺς νόμους τῆς Γραφῆς, ἐὰν δὲν θέλωμεν νὰ φθάσωμεν εἰς παραλογισμούς· διότι λέγει· «ἀδελφοί, μὴ γίνεσθε παιδιά· ὡς πρὸς τὴν σκέψιν»[12].

3. Αὐτὸ τὸ χωρίον δὲ πρέπει νὰ τὸ ἀναγινώσκωμεν ὄχι μόνον διὰ νὰ κατανοοῦμεν τὰς Γραφάς, ἀλλὰ καὶ διὰ νὰ εἴμεθα προσεκτικοὶ εἰς τὰ πράγματα τῆς ζωῆς· διότι τὰ μικρὰ παιδιά, τὰ μέν σπουδαῖα πράγματα δὲν τὰ προσέχουν, συνηθίζουν ὅμως νὰ θαυμάζουν τὰ πράγματα ποὺ δὲν ἔχουν καμμίαν ἀξίαν· καθ' ὅσον χαίρονται νὰ βλέπουν ὀχήματα καὶ ἵππους καὶ ἐκεῖνον ποὺ περιποιεῖται τοὺς ἡμιόνους καὶ τοὺς τροχοὺς καὶ ὅλα ὅσα εἶναι κατασκευασμένα ἀπὸ ὄστρακα, ἂν ὅμως ἰδοῦν βασιλέα νὰ κάθεται ἐπάνω εἰς χρυσὸν ὄχημα καὶ ζεῦγος λευκῶν ἡμιόνων καὶ μὲ πολλὰ στολίδια, οὔτε κἂν γυρίζουν νὰ τὰ ἰδοῦν· καὶ νύμφας πάλιν

βόντες πεποιημένας καλλωπίζουσι, τὰς δὲ ὄντως ἀληθεῖς καὶ λαμπούσας οὐδὲ ἴσασι· καὶ ἐπὶ πολλῶν ἑτέρων τὸ αὐτὸ πάσχουσι. Τοῦτο πολλὰ καὶ τῶν ἀνθρώπων ὑπομένουσι νῦν· τὰ μὲν γὰρ τῶν οὐρανῶν ἀκούοντες, οὐδὲ προσέχουσι, πρὸς δὲ τὰ πήλινα πάντα ὁμοίως τοῖς παισίν εἰσιν ἐπτοημένοι, καὶ τὸν ἀπὸ τῆς γῆς πλοῦτον τεθήπασι, καὶ δόξαν καὶ τρυφὴν ἐν τῷ παρόντι βίῳ τιμῶσι· καίτοι αὐτὰ μέν ἐστι παιδικά, ὥσπερ ἐκεῖνα, ἐκεῖνα δὲ ζωῆς, καὶ δόξης, καὶ ἀνέσεως αἴτια. Ἀλλ' ὥσπερ οἱ παῖδες, τούτων μὲν ἀποστερούμενοι, κλαίουσιν, ἐκείνων δὲ οὐδὲ γίνεσθαι ἐν ἐπιθυμίᾳ ἴσασιν, οὕτω δὴ καὶ τῶν ἀνδρῶν εἶναι δοκούντων πολλοί. Διὰ τοῦτό φησι· «Μὴ παιδία γίνεσθε ταῖς φρεσί».

Χρημάτων ἐρᾷς, εἰπέ μοι, καὶ οὐκ ἐρᾷς πλούτου τοῦ μένοντος, ἀλλὰ ἀθυρμάτων παιδικῶν; εἶτα, ἂν μέν τινα ἴδῃς θαυμάζοντα μολύβδου νόμισμα, καὶ κατακύπτοντα, ὥστε ἀνελέσθαι, καὶ καταγνώσῃ πολλὴν αὐτοῦ τὴν πενίαν, σὺ δέ, τὰ τούτων εὐτελέστερα συνάγων, ἐν τοῖς πλουτοῦσι σαυτὸν ἀριθμοῖς; καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον; Πλούσιον γὰρ ἐκεῖνον εἶναι φήσομεν, τὸν ὑπερορῶντα τῶν παρόντων ἁπάντων. Οὐδεὶς γάρ, οὐδεὶς τῶν μικρῶν τούτων, ἀργύρου καὶ χρυσοῦ καὶ τῆς ἄλλης φαντασίας αἱρήσεται καταγελάσαι, ἂν μὴ τῶν μειζόνων τὸν πόθον ἔχῃ, ὥσπερ οὖν οὐδὲ τοῦ μολυβδίνου νομίσματος, ἂν μὴ χρυσᾶ νομίσματα κεκτημένος ᾖ. Καὶ σὺ τοίνυν, ὅταν ἴδῃς ἄνθρωπον πάντα τὸν κόσμον παρατρέχοντα, μηδαμόθεν ἄλλοθεν νόμιζε τοῦτο ποιεῖν, ἢ ἀπὸ τοῦ πρὸς μείζονα βλέπειν κόσμον. Οὕτω καὶ γεωργὸς τῶν ὀλίγων πυρῶν καταφρονεῖ, ὅταν μείζονα προσδοκήσῃ τὸν ἀμητόν. Εἰ δέ, ἀδήλου τῆς ἐλπίδος οὔσης, τῶν ὄντων καταφρονοῦμεν, πολλῷ μᾶλλον ἐπὶ τῆς βεβαίας προσδοκίας τοῦτο δεῖ ποιεῖν.

λαμβάνοντα, πού εἶναι κατασκευασμέναι ἀπό τήν ἰδίαν ὕλην, τάς στολίζουν, ἐνῷ αὐτάς πού εἶναι ἀληθιναί καί λάμπουν ἀπό στολίδια, οὔτε κἄν τάς προσέχουν˙ καί τό ἴδιο παθαίνουν καί μέ πολλά ἄλλα πράγματα. Αὐτό τώρα συμβαίνει καί μέ πολλούς ἀπό τούς ἀνθρώπους˙ διότι ἀκούοντες περί τῶν οὐρανίων πραγμάτων, οὔτε κἄν προσέχουν, ἐνῷ πρός ὅλα τά πήλινα ἀντικείμενα νοιώθουν τόν ἴδιον θαυμασμόν μέ τά παιδιά, θαυμάζουν τόν πλοῦτον τῆς γῆς καί τιμοῦν τήν δόξαν καί τάς ἀπολαύσεις τῆς παρούσης ζωῆς, ἄν καί βέβαια αὐτά μέν εἶναι παιδικά, ὅπως ἀκριβῶς ἐκεῖνα, ἐνῷ ἐκεῖνα αἴτια ζωῆς καί δόξης καί ἀνέσεως. Ἀλλ' ὅπως ἀκριβῶς τά παιδιά, στερούμενα μέν αὐτά, κλαίουν, ἐνῷ ἐκεῖνα οὔτε νά τά σκεφθοῦν δέν θέλουν, κατά τόν ἴδιον τρόπον φαίνονται νά συμπεριφέρωνται καί πολλοί ἀπό τούς ἄνδρας. Διά τοῦτο λέγει˙ «Μή γίνεσθε παιδιά ὡς πρός τόν νοῦν».

Εἰπέ μου, ἀγαπᾷς τά χρήματα καί δέν ἀγαπᾷς τόν πλοῦτον πού μένει, ἀλλά τά παιδικά παιχνίδια; ἔπειτα, ἄν μέν ἰδῇς κάποιον νά θαυμάζῃ νόμισμα μολύβδινον καί νά σκύπτῃ, ὥστε νά τό πάρῃ, θά τόν θεωρήσῃς πολύ πτωχόν, σύ ὅμως, συγκεντρώνων ἐκεῖνα πού εἶναι εὐτελέστερα ἀπό αὐτά, ἀπαριθμεῖς τόν ἑαυτόν σου μεταξύ τῶν πλουσίων; καί πῶς θά ἠμποροῦσεν αὐτό νά δικαιολογῇ; Διότι πλούσιον θά ὀνομάσωμεν ἐκεῖνον πού περιφρονεῖ ὅλα τά παρόντα. Καθ' ὅσον κανείς δέν θά προτιμήσῃ νά περιφρονήσῃ αὐτά τά ἀσήμαντα πράγματα, τόν ἄργυρον, τόν χρυσόν καί τά ἄλλα πού φαίνονται λαμπρά, ἄν δέν ποθῇ τά ἀνώτερα, ὅπως ἀκριβῶς βέβαια οὔτε τό μολύβδινον νόμισμα, ἄν δέν ἔχῃ χρυσᾶ νομίσματα. Καί σύ λοιπόν, ὅταν ἰδῇς ἄνθρωπον νά περιφρονῇ ὅλον τόν κόσμον, νόμιζε ὅτι αὐτό τό κάμνει ὄχι ἀπό τίποτε ἄλλο, παρά ἐπειδή ἀποβλέπει πρός τόν ἀνώτερον κόσμον. Ἔτσι καί ὁ γεωργός περιφρονεῖ τόν ὀλίγον σῖτον, μέ τήν προσδοκίαν διά πλουσιώτερον θερισμόν. Ἐάν δέ περιφρονοῦμεν τά πράγματα, ἐνῷ εἶναι ἀβεβαία ἡ ἐλπίς, πολύ περισσότερον πρέπει νά τό κάμνωμεν αὐτό ὅταν ἡ προσδοκία εἶναι βεβαία.

Διὸ δὴ δέομαι καὶ παρακαλῶ μὴ ζημιοῦν ἑαυτούς, μηδὲ βόρβορον κατέχοντας ἀποστερεῖν ἑαυτοὺς τῶν ἄνωθεν θησαυρῶν, μετὰ καλάμης καὶ ἀχύρου τὸ πλοῖον εἰς τοὺς λιμένας ἄγοντας. Ὃ βούλεταί τις λεγέτω περὶ ἡμῶν, δυσχεραινέτω πρὸς τὸ συνεχὲς τῆς παραινέσεως, φλυάρους καλείτω, προασκορεῖς, ἐπαχθεῖς· οὐκ ἀποστησόμεθα συνεχῶς ὑπὲρ αὐτῶν παραινοῦντες, καὶ συνεχῶς ἐκεῖνο τὸ τοῦ Προφήτου πᾶσιν ὑποφωνοῦντες ὑμῖν· «Τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι, καὶ τὰς ἀνομίας σου ἐν οἰκτιρμοῖς πενήτων, καὶ ἄφαψαι αὐτὰς ἐπὶ σῷ τραχήλῳ». Μὴ σήμερον μὲν ποιήσης, αὔριον δὲ ἀποστῇς· καὶ γὰρ τὸ σῶμα τοῦτο καθημερινῆς δεῖται τροφῆς. Οὕτω καὶ ἡ ψυχή, καὶ πολλῷ μᾶλλον ἐκείνη· κἂν μὴ καταβάλῃ, ἀσθενεστέρα γίνεται καὶ αἰσχροτέρα.

Μὴ δὴ περιΐδωμεν ἀπολλυμένην, ἀγχομένην. Πολλὰ λαμβάνει καθ' ἑκάστην ἡμέραν τραύματα, ἐπιθυμοῦσα, νοσοῦσα. Δεῖ τοίνυν αὐτῇ καὶ φάρμακα κατασκευάζειν. Οὐ μικρὸν δὲ τὸ τῆς ἐλεημοσύνης φάρμακον, πᾶσι τοῖς τραύμασιν ἐπιτεθῆναι δυνάμενον· «δότε γὰρ ἐλεημοσύνην», φησί, «καὶ πάντα ὑμῖν ἔσται καθαρά»· ἐλεημοσύνην, μὴ πλεονεξίαν· τὰ γὰρ ἐκ πλεονεξίας οὐ μένει, κἂν τοῖς δεομένοις δῷς· ἐλεημοσύνη γὰρ ἡ πάσης ἀπηλλαγμένη ἀδικίας ἐστίν· αὕτη πάντα ποιεῖ καθαρά. Τοῦτο καὶ νηστείας βέλτιον, καὶ χαμευνίας· καίτοι γε ἐκεῖνα μοχθηρότερα καὶ ἐπιπονώτερα, ἀλλ' αὕτη κερδαλεωτέρα· φωτίζει ψυχήν, λιπαίνει, καλὴν καὶ ὡραίαν ποιεῖ. Οὐχ οὕτω τοὺς ἀθλητὰς ὁ τῆς ἐλαίας καρπὸς ἀνέχει, ὡς τοὺς ἀγωνιστὰς τῆς εὐσεβείας τουτὶ τὸ ἔλαιον ἀνακτᾶται.

---

13. Δαν. 4, 24.
14. Λουκᾶ 11, 41.
15. Χαμευνία· ἡ κατάκλισις ἐπάνω εἰς τὸ χῶμα.

Διὰ τοῦτο λοιπὸν σᾶς ἱκετεύω καὶ σᾶς παρακαλῶ νὰ μὴ ζημιώσωμεν τοὺς ἑαυτούς μας, οὔτε, μὲ τὸ νὰ ἔχωμεν τὸν βοῦρκον, νὰ στεροῦμεν τοὺς ἑαυτούς μας ἀπὸ τοὺς οὐρανίους θησαυρούς, ὁδηγοῦντες μὲ καλάμην καὶ ἄχυρον τὸ πλοῖον εἰς τοὺς λιμένας. Ἂς λέγῃ κανεὶς ὅ,τι θέλει δι' ἐμένα, ἂς δυσανασχετῇ ἀπὸ τὰς συνεχεῖς παραινέσεις, ἂς μὲ ὀνομάζῃ φλύαρον, βαρετόν, ἐνοχλητικόν· δὲν θὰ παύσω νὰ συμβουλεύω συνεχῶς δι' αὐτά, καὶ νὰ φωνάζω συνεχῶς πρὸς ὅλους ἐκεῖνον τὸν λόγον τοῦ προφήτου· «Τὰς ἁμαρτίας σου λύτρωσέ τας μὲ ἐλεημοσύνας καὶ τὰς ἀνομίας σου μὲ τὴν εὐσπλαχνίαν σου πρὸς τοὺς πτωχοὺς καὶ κρέμασέ τας εἰς τὸν ἰδικόν σου τράχηλον»[13]. Μὴ σήμερον μὲν τὸ κάνῃς, ἐνῷ αὔριον παραιτηθῇς· καθ' ὅσον αὐτὸ τὸ σῶμα ἔχει ἀνάγκην ἀπὸ καθημερινὴν τροφήν. Ἔτσι καὶ ἡ ψυχή, καὶ πολὺ περισσότερον ἐκείνη· καὶ ἐὰν δὲν τῆς δώσῃς αὐτὴν τὴν τροφήν, γίνεται ἀσθενεστέρα.

Ἂς μὴ τὴν παραβλέψωμεν λοιπὸν τὴν στιγμὴν ποὺ χάνεται καὶ ὑποφέρει. Δέχεται καθημερινῶς πολλὰ τραύματα, μὲ τὸ νὰ ἐπιθυμῇ, νὰ ὀργίζεται, νὰ ἀδιαφορῇ, νὰ περιφρονῆται, νὰ ἀμύνεται καὶ νὰ φθονῆται. Πρέπει λοιπὸν νὰ ἑτοιμάζωμεν καὶ φάρμακα δι' αὐτήν. Δὲν εἶναι δὲ μικρὸν τὸ φάρμακον τῆς ἐλεημοσύνης, ποὺ ἠμπορεῖ νὰ τεθῇ εἰς ὅλα τὰ τραύματα· διότι λέγει· «Δώσατε ἐλεημοσύνην, καὶ ὅλα θὰ σᾶς εἶναι καθαρά»[14]· ἐλεημοσύνην, ἀλλ' ὄχι πλεονεξίαν· καθ' ὅσον τὰ διδόμενα ἀπὸ πλεονεξίαν δὲν μένουν, καὶ ἂν ἀκόμη τὰ δώσῃς εἰς ἐκείνους ποὺ τὰ ἔχουν ἀνάγκην· διότι ἐλεημοσύνη εἶναι ἐκείνη ποὺ εἶναι ἀπηλλαγμένη ἀπὸ κάθε ἀδικίαν· αὐτὴ τὰ κάμνει ὅλα καθαρά. Αὐτὴ εἶναι καὶ ἀπὸ τὴν νηστείαν ἀνωτέρα καὶ ἀπὸ τὴν χαμευνίαν[15]· μολονότι βέβαια ἐκεῖνα εἶναι πιὸ κοπιαστικὰ καὶ πιὸ ἐπίπονα, ἀλλ' αὐτὴ εἶναι πιὸ ἐπικερδής· φωτίζει τὴν ψυχήν, τὴν γυμνάζει καὶ τὴν κάμνει καλὴν καὶ ὡραίαν. Δὲν ἐνδυναμώνει τοὺς ἀθλητὰς τόσον πολὺ ὁ καρπὸς τῆς ἐλαίας, ὅσον ἀναζωογονεῖ αὐτὸ τὸ ἔλαιον τοὺς ἀγωνιστὰς τῆς εὐσεβείας.

Ἀλείφωμεν τοίνυν τὰς χεῖρας, ἵνα πρὸς τὸν ἀντίπαλον ἀντάρωμεν καλῶς. Ὁ μελετῶν ἐλεεῖν τὸν δεόμενον, ταχέως καὶ τοῦ πλεονεκτεῖν ἀποστήσεται· ὁ διατελῶν ἐν τῷ διδόναι πένησι, ταχέως καὶ ὀργῆς ἀποστήσεται, καὶ οὐδὲ μέγα φρονήσει ποτέ. Καθάπερ γὰρ τοὺς τετραυματισμένους συνεχῶς θεραπεύων ἰατρός, συστέλλεται ῥᾳδίως, ἐν ταῖς ἑτέρων συμφοραῖς τὴν ἀνθρωπίνην καθορῶν φύσιν, οὕτω καὶ ἡμεῖς, ἐὰν ταῖς τῶν πενήτων συνεισέλθωμεν ἐπικουρίαις, φιλοσοφήσομεν εὐκόλως, καὶ οὐ θαυμασόμεθα πλοῦτον, οὐδὲ μέγα τι τὰ παρόντα ἡγησόμεθα, ἀλλὰ καταφρονήσομεν πάντων, καί, μετάρσιοι γενόμενοι πρὸς τὸν οὐρανόν, εὐκόλως ἐπιτευξόμεθα τῶν αἰωνίων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

῞Ας ἀλείφωμεν λοιπὸν τὰ χέρια, διὰ νὰ ἀντιμετωπίσωμεν καλῶς τὸν ἀντίπαλον. Ἐκεῖνος ποὺ φροντίζει νὰ ἐλεῇ αὐτὸν ποὺ ἔχει ἀνάγκην, ἀμέσως θ' ἀποφύγῃ καὶ τὴν πλεονεξίαν· ἐκεῖνος ποὺ ζῇ δίδων εἰς τοὺς πτωχούς, ἀμέσως θ' ἀποφύγῃ καὶ τὴν ὀργὴν καὶ δὲν θὰ μεγαλοφρονήσῃ ποτέ. Διότι, ὅπως ἀκριβῶς ὁ ἰατρός, θεραπεύων συνεχῶς τοὺς τραυματισμένους, γίνεται εὔκολα ταπεινόφρων μελετῶν τὴν ἀνθρωπίνην φύσιν εἰς τὰς συμφορὰς τῶν ἄλλων, ἔτσι καὶ ἡμεῖς, ἐὰν δώσωμεν βοήθειαν εἰς τοὺς πτωχούς, θὰ φιλοσοφήσωμεν εὔκολα καὶ δὲν θὰ θαυμάσωμεν τὸν πλοῦτον, οὔτε θὰ θεωρήσωμεν τίποτε τὸ σπουδαῖον τὰ πράγματα τῆς παρούσης ζωῆς, ἀλλὰ θὰ τὰ περιφρονήσωμεν ὅλα, καί, ἀφοῦ ὑψωθῶμεν πρὸς τὸν οὐρανόν, μὲ εὐκολίαν θὰ ἐπιτύχωμεν τὰ αἰώνια ἀγαθά, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου ἀνήκει ἡ δόξα εἰς τὸν Πατέρα, συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΠΒ΄

Ἰω. 17 14 - 26

«*Ἐγὼ δέδωκα αὐτοῖς τὸν λόγον σου, καὶ ὁ κόσμος ἐμίσησεν αὐτούς, ὅτι οὐκ εἰσὶν ἐκ τοῦ κόσμου, καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου*».

1. Ὅταν, ἐνάρετοι γενόμενοι, διωκώμεθα παρὰ τῶν πονηρῶν, καί, τῆς ἀρετῆς ἐφιέμενοι, χλευαζώμεθα παρ' ἐκείνων, μὴ ἀλύωμεν, μηδὲ δυσχεράνωμεν· τοιαύτην γὰρ τὸ πρᾶγμα τὴν φύσιν ἔχει καὶ πανταχοῦ μῖσος εἴωθε τίκτειν ἡ ἀρετὴ παρὰ τοῖς πονηροῖς· φθονοῦντες γὰρ τοῖς ἐπιεικῶς βιοῦν βουλομένοις, καὶ οἰόμενοι παρασκευάζειν ἑαυτοῖς ἀπολογίαν, ἐὰν τὴν ἑτέρων δόξαν καταβάλωσι, μισοῦσί τε, ὡς τὰ ἐναντία μετιόντας, καὶ πάντα πράττουσιν ὑπὲρ τοῦ καταισχύνειν τὸν βίον τὸν ἐκείνων. Ἀλλὰ μὴ ἀλγῶμεν· τοῦτο γὰρ ἀρετῆς σημεῖον. Διὰ τοῦτο καὶ ὁ Χριστός φησιν· «Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει», καὶ ἀλλαχοῦ πάλιν· «Οὐαὶ ὑμῖν, ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες οἱ ἄνθρωποι»· διὰ τοῦτο καὶ ἐνταῦθά φησι· «Τὸν λόγον σου δέδωκα αὐτοῖς καὶ ὁ κόσμος ἐμίσησεν αὐτούς». Πάλιν λέγει τὴν αἰτίαν δι' ἣν ἄξιοί εἰσι πολλῆς παρὰ τοῦ Πατρὸς ἐπιμελείας τυχεῖν· διὰ γὰρ σὲ ἐμισήθησαν, φησί, καὶ τὸν λόγον τὸν σόν· ὥστε δίκαιοι πάσης ἂν εἶεν ἀπολαῦσαι προνοίας.

«*Οὐκ ἐρωτῶ ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κόσμου, ἀλλ' ἵνα τηρήσῃς αὐτοὺς ἐκ τοῦ πονηροῦ*». Πάλιν σαφηνίζει τὸν λόγον, πάλιν τρανότερον ἐργάζεται· ὅπερ οὐδὲν ἄλλο ἐστὶν ἐνδεικνυμένου, ἢ ὅτι πολλὴν αὐτῶν ποιεῖται κηδεμονίαν τῷ

1. Ἰω. 15, 19.
2. Λουκᾶ 6, 26.

ΟΜΙΛΙΑ ΠΒ΄

Ἰω. 17 14 - 26

«Ἐγὼ τοὺς μετέδωσα τὸν λόγον σου καὶ ὁ κόσμος τοὺς ἐμίσησε, διότι δὲν εἶναι ἀπὸ τὸν κόσμον, ὅπως καὶ ἐγὼ δὲν εἶμαι ἀπὸ τὸν κόσμον».

1. Ὅταν καταδιωκώμεθα ἀπὸ τοὺς πονηροὺς ἀνθρώπους, ἐπειδὴ εἴμεθα ἐνάρετοι, καὶ χλευαζώμεθα ἀπὸ ἐκείνους, ἀσκοῦντες τὴν ἀρετήν, νὰ μὴ ταρασσώμεθα οὔτε νὰ δυσανασχετοῦμεν˙ διότι αὐτὴ εἶναι ἡ φύσις τοῦ πράγματος καὶ συνήθως παντοῦ γεννᾷ ἡ ἀρετὴ μῖσος ἐκ μέρους τῶν πονηρῶν˙ διότι, φθονοῦντες ἐκείνους ποὺ θέλουν νὰ ζοῦν ἐνάρετα καὶ νομίζοντες ὅτι ἑτοιμάζουν διὰ τὸν ἑαυτόν των ἀπολογίαν, ἐὰν καταβάλουν τὴν δόξαν τῶν ἄλλων, καὶ τοὺς μισοῦν, ἐπειδὴ πράττουν τὰ ἀντίθετα, καὶ κάμνουν τὰ πάντα διὰ νὰ ἐξευτελίσουν τὸν βίον ἐκείνων. Ἀλλὰ ἂς μὴ στενοχωρούμεθα˙ διότι αὐτὸ εἶναι τὸ γνώρισμα τῆς ἀρετῆς. Διὰ τοῦτο καὶ ὁ Χριστὸς λέγει˙ «Ἐὰν ἤσασθε ἀπὸ τὸν κόσμον, ὁ κόσμος θὰ ἀγαποῦσε τὸ ἰδικόν του»[1], καὶ ἀλλοῦ πάλιν˙ «Ἀλλοίμονόν σας, ὅταν ὅλοι οἱ ἄνθρωποι λέγουν καλὰ λόγια διὰ σᾶς»[2]˙ διὰ τοῦτο καὶ ἐδῶ λέγει˙ «Τὸν λόγον σου τὸν μετέδωσα εἰς αὐτούς, καὶ ὁ κόσμος ἐμίσησεν αὐτούς». Πάλιν λέγει τὴν αἰτίαν, διὰ τὴν ὁποίαν εἶναι ἄξιοι νὰ τύχουν πολλῆς φροντίδος ἐκ μέρους τοῦ Πατρός˙ διότι λέγει, ἐξ αἰτίας σου ἐμισήθησαν καὶ διὰ τὸν ἰδικόν σου λόγον˙ ὥστε δικαιοῦνται νὰ ἀπολαύσουν κάθε προνοίας σου.

«Δὲν σὲ παρακαλῶ νὰ πάρῃς αὐτοὺς ἀπὸ τὸν κόσμον, ἀλλὰ διὰ νὰ προφυλάξῃς αὐτοὺς ἀπὸ τὸν πονηρόν». Πάλιν διευκρινίζει τὸν λόγον, πάλιν καθιστᾷ αὐτὸν μεγαλοπρεπέστερον, πρᾶγμα ποὺ τίποτε ἄλλο δὲν ἀποδεικνύει, παρὰ ὅτι δείχνει μεγάλην φροντίδα δι' αὐτοὺς μὲ τὸ νὰ παρακαλῇ

μετὰ ἀκριβείας ποιεῖσθαι τὴν ὑπὲρ αὐτῶν παράκλησιν. Καὶ μὴν αὐτὸς ἔλεγεν ὅτι πάντα ποιήσει ὁ Πατήρ, ὅσα ἂν αἰτήσωσι, πῶς οὖν ἐνταῦθα αὐτὸς ὑπὲρ αὐτῶν παρακαλεῖ; Οὐδὲν ἄλλο, ὅπερ ἔφην, ἢ τὴν ἀγάπην ἐνδεικνύμενος. «Ἐκ τοῦ κόσμου οὐκ εἰσί, καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου». Πῶς οὖν ἀλλαχοῦ φησιν, «Οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου, σοὶ ἦσαν»; Ἐκεῖ μὲν τὴν φύσιν λέγων, ἐνταῦθα δὲ περὶ πράξεων πονηρῶν. Καὶ μακρὸν αὐτῶν συντίθησιν ἐγκώμιον· πρῶτον, ὅτι οὐκ εἰσὶν ἐκ τοῦ κόσμου· εἶτα, ὅτι αὐτὸς αὐτοὺς ἔδωκε, καὶ ὅτι τὸν λόγον αὐτοῦ ἐτήρησαν, καὶ ὅτι διὰ τοῦτο μισοῦνται. Εἰ δὲ λέγει, «Καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου», μὴ θορυβηθῇς· τὸ γὰρ «καθὼς» ἐνταῦθα οὐκ ἔστιν ἀπαραλλάκτου ἀκριβείας· ὥσπερ γάρ, ὅταν ἐπ' αὐτοῦ καὶ τοῦ Πατρὸς λέγηται τὸ «καθώς», πολλὴ ἡ ἰσότης διὰ τὴν τῆς φύσεως συγγένειαν, οὕτως, ὅταν ἐφ' ἡμῶν καὶ αὐτοῦ λέγηται, πολὺ τὸ μέσον διὰ τὸ καὶ πολὺ εἶναι τὸ μέσον καὶ ἄπειρον ἑκατέρας τῆς φύσεως· εἰ γὰρ «ἁμαρτίαν οὐκ ἐποίησεν αὐτός, οὐδὲ δόλος τις εὑρέθη ἐν τῷ στόματι αὐτοῦ», πῶς δύναιντ' ἂν οἱ Ἀπόστολοι περισοῦσθαι αὐτῷ;

Τί οὖν ἐστιν, ὅ φησιν, «Ἐκ τοῦ κόσμου οὐκ εἰσί»; Πρὸς ἕτερον ὁρῶσιν, οὐδὲν κοινόν τι πρὸς τὴν γῆν ἐστιν αὐτοῖς, ἀλλὰ τῶν οὐρανῶν γεγόνασι πολῖται. Καὶ ἐκ τούτων δὲ τὴν ἀγάπην αὐτοῦ δείκνυσιν, ὅταν πρὸς τὸν Πατέρα αὐτοὺς ἐγκωμιάζῃ, καὶ παρατιθῆται τῷ γεγεννηκότι. Εἰπὼν δέ, «Τήρησον αὐτούς», οὐ περὶ τῆς τῶν κινδύνων ἀπαλλαγῆς φησι μόνον, ἀλλὰ καὶ περὶ τῆς ἐν πίστει παραμονῆς· διὸ καὶ ἐπήγαγεν· «Ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου»· ἁγίους ποίησον διὰ τῆς τοῦ Πνεύματος δόσεως καὶ τῶν ὀρθῶν δογμάτων. Ὥσπερ, ὅταν λέγῃ, «Καθαροί ἐστε διὰ τὸν λόγον, ὃν λελάληκα ὑμῖν», καὶ νῦν τὸ αὐτό φησι· Παίδευσον αὐτούς, δίδαξον τὴν ἀλήθειαν. Καὶ μὴν τοῦτο λέγει τὸ Πνεῦμα ποιεῖν, πῶς οὖν αὐτὸ παρὰ τοῦ Πατρὸς αἰτεῖ νῦν; Ἵνα μάθῃς πάλιν τὴν ἰσοτιμίαν· τὰ γὰρ ὀρθὰ

3. Ἰω. 17, 6.
4. Ἠσ. 53, 9· καὶ Α΄ Πέτρ. 2, 22.
5. Ἰω. 17, 11.
6. Ἰω. 15, 3.

μὲ ἀκρίβειαν τὸν Πατέρα του. Καὶ ὅμως ὁ ἴδιος ἔλεγεν ὅτι ὅλα θὰ τὰ κάμῃ ὁ Πατήρ, ὅσα θὰ ζητήσουν, πῶς λοιπὸν ἐδῶ αὐτὸς παρακαλεῖ ὑπὲρ αὐτῶν; Διὰ τίποτε ἄλλο, ὅπως εἶπα ἄλλην φοράν, παρὰ διὰ νὰ δείξῃ τὴν ἀγάπην του. «Δὲν εἶναι ἀπὸ τὸν κόσμον, ὅπως καὶ ἐγὼ δὲν εἶμαι ἀπὸ τὸν κόσμον». Πῶς λοιπὸν ἀλλοῦ λέγει, «Ἐκείνους ποὺ μοῦ ἔδωσες ἀπὸ τὸν κόσμον, ἦσαν ἰδικοί σου»[3]; Ἐκεῖ μὲν ἐννοεῖ τὴν φύσιν αὐτῶν, ἐνῷ ἐδῶ ὁμιλεῖ περὶ πονηρῶν πράξεων. Καὶ πλέκει μακρὸν ἐγκώμιον δι᾽ αὐτούς· πρῶτον ὅτι δὲν εἶναι ἀπὸ τόν κόσμον· ἔπειτα, ὅτι ὁ Πατὴρ ἔδωσεν αὐτοὺς καὶ ὅτι ἐτήρησαν τὸν λόγον του καὶ ὅτι διὰ τοῦτο μισοῦνται. Ἐὰν ὅμως λέγῃ, «Ὅπως ἐγὼ δὲν εἶμαι ἀπὸ τὸν κόσμον», μὴ θορυβηθῇς· καθ᾽ ὅσον τό «καθὼς» ἐδῶ δὲν δηλώνει τελείαν ἀκρίβειαν· διότι ὅπως ἀκριβῶς, ὅταν λέγεται τὸ «καθὼς» περὶ τοῦ Υἱοῦ καὶ τοῦ Πατρὸς δηλώνει ὅτι εἶναι μεγάλη ἡ ἰσότης αὐτῶν ἐξ αἰτίας τῆς συγγενείας τῆς φύσεώς των, ἔτσι ὅταν λέγεται δι᾽ ἡμᾶς καὶ δι᾽ αὐτὸν δηλώνει πολλὴν ἀπόστασιν, ἐπειδὴ εἶναι μεγάλη καὶ ἀπέραντος ἡ ἀπόστασις τῆς μίας φύσεως ἀπὸ τὴν ἄλλην· διότι, ἐὰν «ἁμαρτίαν δὲν διέπραξεν αὐτός, οὔτε δόλος εὑρέθη εἰς τὸ στόμα του»[4], πῶς θὰ ἠμποροῦσαν οἱ Ἀπόστολοι νὰ ἐξισωθοῦν μὲ αὐτόν;

Τί σημαίνει λοιπὸν αὐτὸ ποὺ λέγει «Ἀπὸ τὸν κόσμον δὲν εἶναι»; Ἔχουν τὴν προσοχήν των ἐστραμμένην ἀλλοῦ, δὲν ἔχουν σχέσιν μὲ τίποτε ἀπὸ τὰ γήϊνα, ἀλλ᾽ ἔγιναν πολῖται τῶν οὐρανῶν. Καὶ μὲ αὐτὰ δὲ δείχνει τὴν ἀγάπην του, ὅταν ἐγκωμιάζῃ αὐτοὺς πρός τὸν Πατέρα του καὶ τούς ἐμπιστεύεται εἰς αὐτὸν ποὺ τὸν ἐγέννησεν. Εἰπὼν δὲ «Φύλαξε αὐτούς»[5], δὲν ὁμιλεῖ μόνον διὰ τὴν ἀπαλλαγήν των ἀπὸ τοὺς κινδύνους, ἀλλὰ καὶ διὰ τὴν παραμονὴν εἰς τὴν πίστιν· διὰ τοῦτο ἐπρόσθεσεν· «Ἁγίασέ τους διὰ τῆς ἀληθείας σου»· κάμε τους ἁγίους δίδων εἰς αὐτούς τὸ Πνεῦμα καὶ τὰ ὀρθὰ δόγματα. Ὅπως ἀκριβῶς, ὅταν λέγῃ «Εἶσασθε καθαροὶ ἐξ αἰτίας τοῦ λόγου ποὺ σᾶς ἐκήρυξα»[6], καὶ τώρα τὸ ἴδιο λέγει· Ἐπαίδευσέ τους, δίδαξέ τους τὴν ἀλήθειαν᾽. Καὶ ὅμως λέγει ὅτι αὐτὸ τὸ κάμνει τὸ Πνεῦμα, πῶς λοιπὸν τώρα τὸ ζητεῖ αὐτὸ ἀπὸ τὸν Πατέρα; Διὰ νὰ μάθῃς πάλιν

δόγματα, περὶ Θεοῦ λεγόμενα, ἁγιάζει τὴν ψυχήν. Εἰ δὲ λόγῳ φησὶν ἁγιάζεσθαι, μὴ θαυμάσῃς. Καὶ ὅτι περὶ δογμάτων φησίν, ἐπήγαγεν· «Ὁ λόγος ὁ σὸς ἀλήθειά ἐστι»· τουτέστιν, οὐδὲν ψεῦδος ἐν αὐτῷ, πάντως δὲ ἐκβῆναι δεῖ πάντα τὰ εἰρημένα· καὶ ὅτι οὐδὲν τυπικὸν δηλοῖ πάλιν, οὐδὲ σωματικόν· καθὼς καὶ Παῦλός φησι περὶ τῆς Ἐκκλησίας ὅτι «ἡγίασεν αὐτὴν ἐν ῥήματι»· οἶδε γὰρ καὶ ῥῆμα Θεοῦ καθαίρειν.

Δοκεῖ δέ μοι καὶ ἕτερον δηλοῦν τὸ «ἁγίασον αὐτούς», οἱονεὶ τὸ 'ἀφόρισον αὐτοὺς τῷ λόγῳ καὶ τῷ κηρύγματι'. Καὶ τοῦτο πάλιν ἐκ τῶν ἑξῆς δῆλον. «Καθὼς γὰρ ἐμέ», φησίν, «ἀπέστειλας εἰς τὸν κόσμον, κἀγὼ ἀπέστειλα αὐτούς»· ὃ λέγει καὶ Παῦλος· «Θέμενος ἐν ἡμῖν τὸν λόγον τῆς καταλλαγῆς»· ὑπὲρ οὗ γὰρ ὁ Χριστὸς ἀφῖκται, ὑπὲρ τούτου καὶ οὗτοι τὴν οἰκουμένην κατέλαβον. Τὸ δὲ «καθὼς» πάλιν ἐνταῦθα οὐχ ὁμοιώσεως ἐπ' αὐτοῦ καὶ τῶν Ἀποστόλων κεῖται (πῶς γὰρ ἄλλως ἦν ἐγχωροῦν ἀνθρώποις ἀποσταλῆναι;)· ἔθος δὲ αὐτῷ καὶ τὸ μέλλον ὡς γεγονὸς λέγειν. «Καὶ ὑπὲρ αὐτῶν ἁγιάζω ἐμαυτόν, ἵνα ὦσιν ἡγιασμένοι ἐν τῇ ἀληθείᾳ». Τί ἐστιν· «Ἁγιάζω ἐμαυτόν»; Προσφέρω σοι θυσίαν. Αἱ δὲ θυσίαι πᾶσαι ἅγιαι λέγονται· καὶ κυρίως ἅγια τὰ τῷ Θεῷ ἀνακείμενα. Ἐπειδὴ γὰρ τὸ παλαιὸν ἐν τύπῳ ὁ ἁγιασμὸς ἦν ἐν τῷ προβάτῳ, νυνὶ δὲ οὐκ ἔστιν ἐν τύπῳ, ἀλλ' αὐτῇ τῇ ἀληθείᾳ, διό φησιν· «Ἵνα ὦσιν ἡγιασμένοι ἐν τῇ ἀληθείᾳ σου»· καὶ γὰρ καὶ αὐτούς σοι ἀνατίθημι καὶ ποιῶ προσφοράν. Ἤτοι διὰ τὸ τὴν κεφαλὴν τοῦτο γίνεσθαί φησι, ἢ διὰ τὸ καὶ αὐτοὺς θύεσθαι· «παραστήσατε» γάρ, φησί, «τὰ μέλη ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν», καὶ «ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς, καὶ 'χωρὶς θανάτου θυσίαν αὐτοὺς ἐρ-

7. Ἐφεσ. 5, 26.
8. Β΄ Κορ. 5, 19.
9. Τὸν Χριστὸν δηλαδὴ
10. Ρωμ. 12, 1.
11. Ψαλ. 43, 23.

τὴν ἰσοτιμίαν˙ διότι τὰ ὀρθὰ δόγματα ποὺ λέγονται περὶ τοῦ Θεοῦ, ἁγιάζουν τὴν ψυχήν. Ἐὰν δὲ λέγη ὅτι ἁγιάζεται μὲ τὸν λόγον, μὴ θαυμάσῃς. Καὶ διὰ νὰ δείξη ὅτι ὁμιλεῖ περὶ δογμάτων, ἐπρόσθεσεν˙ «Ὁ λόγος σου εἶναι ἀλήθεια»˙ δηλαδή, δὲν ὑπάρχει κανὲν ψεῦδος εἰς αὐτόν, καὶ πρέπει ὁπωσδήποτε νὰ πραγματοποιηθοῦν ὅλα τὰ λεχθέντα˙ καὶ δὲν δηλώνει πάλιν τίποτε τὸ τυπικόν, οὔτε σωματικόν˙ καθὼς καὶ ὁ Παῦλος λέγει περὶ τῆς Ἐκκλησίας, ὅτι «ἡγίασεν αὐτὴν μὲ τὸν λόγον του»[7]˙ διότι ἔχει τὴν δύναμιν καὶ ὁ λόγος τοῦ Θεοῦ νὰ καθαρίζῃ.

Ἔχω τὴν γνώμην ὅτι δείχνει καὶ κάτι ἄλλο τὸ «ἁγίασον αὐτούς»˙ εἶναι ὡσὰν νὰ λέγη, Ἰξεχώρισε αὐτοὺς ἀπὸ τὸν κόσμον μὲ τὸν λόγον καὶ τὸ κήρυγμα'. Καὶ αὐτὸ πάλιν εἶναι φανερὸν ἀπὸ τὰ εἰς τὴν συνέχειαν λεγόμενα. Διότι λέγει˙ «Ὅπως σὺ μὲ ἀπέστειλες εἰς τὸν κόσμον, καὶ ἐγὼ ἀπέστειλα αὐτούς»˙ πρᾶγμα ποὺ λέγει καὶ ὁ Παῦλος˙ «Ἀναθέτων ὁ Θεὸς εἰς ἡμᾶς τὸ κήρυγμα τῆς συμφιλιώσεως»[8]˙ δηλαδὴ διὰ τὸν σκοπὸν ποὺ ἦλθεν ὁ Χριστὸς εἰς τὸν κόσμον, διὰ τὸν ἴδιον καὶ αὐτοὶ κατέλαβον τὴν οἰκουμένην. Τὸ δὲ «καθὼς» πάλιν ἐδῶ λέγεται ὄχι διὰ νὰ δείξη ὁμοίωσιν τοῦ Κυρίου καὶ τῶν Ἀποστόλων (διότι πῶς ἀλλιῶς ἦτο δυνατὸν ν' ἀποσταλοῦν εἰς τοὺς ἀνθρώπους;)˙ συνηθίζει δὲ αὐτὸς καὶ τὸ μέλλον νὰ παρουσιάζῃ ὡς γεγονός. «Καὶ χάριν αὐτῶν ἁγιάζω τὸν ἑαυτόν μου, διὰ νὰ εἶναι ἁγιασμένοι διὰ τῆς ἀληθείας». Τί σημαίνει δὲ «Ἁγιάζω ἐμαυτόν»; Τὸν προσφέρω εἰς ἐσένα θυσίαν. Αἱ δὲ θυσίαι ὅλαι λέγονται ἅγιαι˙ καὶ ἅγια κυρίως εἶναι τὰ ἀφιερωμένα εἰς τὸν Θεόν. Ἐπειδὴ δηλαδὴ τὴν παλαιὰν ἐποχὴν ὁ ἁγιασμὸς τυπικῶς ἐγίνετο διὰ τῆς θυσίας τοῦ προβάτου, τώρα δὲ δὲν γίνεται τυπικῶς, ἀλλὰ διὰ τῆς ἰδίας τῆς ἀληθείας διὰ τοῦτο λέγει˙ «Διὰ νὰ εἶναι ἁγιασμένοι διὰ τῆς ἀληθείας σου»˙ καθ' ὅσον καὶ αὐτοὺς σοῦ τοὺς ἀφιερώνω καὶ τοὺς κάνω προσφοράν. Τὸ λέγει αὐτὸ ἢ διότι συμβαίνει αὐτὸ εἰς τὴν κεφαλήν[9], ἢ ἐπειδὴ καὶ αὐτοὶ θὰ θυσιασθοῦν˙ διότι λέγει˙ «Κάματε τὰ μέλη σας θυσίαν ζωντανὴν καὶ ἁγίαν»[10], καὶ «ἐθεωρήθημεν ὡσὰν σφαγμένα πρόβατα»[11], καὶ 'χωρὶς

γάζεται καὶ προσφοράν». Ὅτι γὰρ τὴν θυσίαν ᾐνίξατο τὴν αὐτοῦ, εἰπών, «Ἁγιάζω», δῆλον ἐκ τῶν ἑξῆς· «Οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ». Ἐπειδὴ γὰρ ὑπὲρ αὐτῶν ἀπέθνησκεν, (εἶπε δὲ ὅτι «ὑπὲρ αὐτῶν ἁγιάζω ἐμαυτόν»), ἵνα μή τις νομίσῃ ὅτι ὑπὲρ τῶν Ἀποστόλων τοῦτο μόνον ἐποίει, ἐπήγαγεν· «Οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ».

2. Ἐντεῦθεν πάλιν ἀνέστησεν αὐτῶν τὰς ψυχάς, δείξας ἐσομένους πολλοὺς μαθητάς. Ἐπειδὴ γάρ, ὅπερ εἶχον ἐξαίρετον, κοινὸν ἐποίησε, πάλιν αὐτοὺς παραμυθεῖται, δηλῶν καὶ τῆς τῶν ἄλλων σωτηρίας γινομένους αὐτοὺς αἰτίους. Εἰπὼν δὲ καὶ περὶ τῆς σωτηρίας αὐτῶν καὶ τοῦ ἁγιασθῆναι τῇ πίστει καὶ τῇ θυσίᾳ, λέγει λοιπὸν περὶ ὁμονοίας, καὶ εἰς τοῦτο λοιπὸν κατακλείει τὸν λόγον, ἐντεῦθεν ἀρξάμενος, καὶ εἰς αὐτὸ καταλύσας· καὶ γὰρ ἀρχόμενός φησιν· «Ἐντολὴν καινὴν δίδωμι ὑμῖν»· καὶ ἐνταῦθα· «Ἵνα ὦσιν ἕν, καθὼς σύ, Πάτερ, ἐν ἐμοί, καὶ ἐγὼ ἐν σοί». Πάλιν τὸ «καθὼς» οὐκ ἀκριβοῦς ἐξισώσεως ἐπ' αὐτῶν· οὐδὲ γὰρ δυνατὸν αὐτοῖς ἦν τοσοῦτον, ἀλλ' ὡς ἀνθρώποις δυνατόν· ὥσπερ, ὅταν λέγῃ· «Γίνεσθε οἰκτίρμονες, ὡς ὁ Πατὴρ ὑμῶν». Τί δέ ἐστιν, «Ἐν ἡμῖν»; Ἐν τῇ πίστει τῇ εἰς ἡμᾶς. Ἐπειδὴ γὰρ οὐδὲν οὕτως σκανδαλίζει ἅπαντας, ὡς τὸ διεσπάσθαι, τοῦτο κατασκευάζει, ὥστε γενέσθαι ἕν. Τί οὖν; ἤνυσεν αὐτό; φησι. Καὶ σφόδρα ἤνυσεν· ἅπαντες γὰρ οἱ διὰ τῶν Ἀποστόλων πιστεύσαντες ἕν εἰσιν, εἰ καί τινες ἐξ αὐτῶν διεσπάσθησαν· οὐδὲ γὰρ τοῦτο αὐτὸν παρέλαθεν, ἀλλὰ καὶ αὐτὸ προεῖπε, καὶ ἔδειξε τῆς τῶν ἀνθρώπων ῥαθυμίας ὄν.

---

12. Ἰω. 13, 34.
13. Λουκᾶ 6, 36.
14. Τὸν Πατέρα δηλαδὴ καὶ τὸν Υἱόν.

θάνατον παρέχει αὐτοὺς ὡς θυσίαν καὶ προσφοράν˙. Τὸ ὅτι βέβαια ὑπηνίχθη τὴν θυσίαν του, εἰπών, «Ἁγιάζω», γίνεται φανερὸν ἀπὸ τὰ ἐν συνεχείᾳ λεγόμενα˙ «Δὲν σὲ παρακαλῶ δὲ μόνον δι' αὐτούς, ἀλλὰ καὶ δι' ἐκείνους ποὺ θὰ πιστεύσουν εἰς ἐμένα μὲ τὸν λόγον αὐτῶν». Ἐπειδὴ δηλαδὴ ἀπέθνησκε χάριν αὐτῶν (εἶπε δὲ ὅτι «ὑπὲρ αὐτῶν ἁγιάζω τὸν ἑαυτόν μου», διὰ νὰ μὴ νομίσῃ κανεὶς ὅτι αὐτὸ τὸ ἔκαμνε μόνον χάριν τῶν Ἀποστόλων, ἐπρόσθεσε˙ «Δὲν σὲ παρακαλῶ δὲ μόνον δι' αὐτούς, ἀλλὰ καὶ δι' ἐκείνους ποὺ θὰ πιστεύσουν εἰς ἐμένα μὲ τὸν λόγον αὐτόν».

2. Μὲ αὐτὰ τὰ λόγια ἐνεθάρρυνε καὶ πάλιν τὰς ψυχάς των, δείξας ὅτι θὰ γίνουν πολλοὶ μαθηταί. Διότι, ἐπειδὴ ἐκεῖνο ποὺ εἶχον ὡς κάτι τὸ ἐξαιρετικόν, τὸ ἔκαμε κοινὸν δι' ὅλους, πάλιν τοὺς παρηγορεῖ, δηλώνων ὅτι αὐτοὶ θὰ γίνουν αἴτιοι καὶ τῆς σωτηρίας τῶν ἄλλων. Ἀφοῦ δὲ εἶπε διὰ τὴν σωτηρίαν αὐτῶν καὶ διὰ τὸν ἁγιασμὸν αὐτῶν διὰ τῆς πίστεως καὶ τῆς θυσίας, ὁμιλεῖ πλέον περὶ ὁμονοίας, καὶ μὲ αὐτὸ πλέον τελειώνει τὸν λόγον του˙ μὲ αὐτὸ ἤρχισε καὶ μὲ αὐτὸ ἐτελείωσε τὸν λόγον του˙ καθ' ὅσον ὀρχίζων τὸν λόγον του λέγει˙ «Σᾶς δίδω νέαν ἐντολήν»[12]˙ καὶ ἐδῶ˙ «Διὰ νὰ εἶναι ἕνα, ὅπως σύ, Πάτερ, εἶσαι εἰς ἐμένα καὶ ἐγὼ εἰς ἐσένα». Πάλιν τὸ «καθὼς» δὲν δηλώνει τελείαν ἐξίσωσιν αὐτοῦ μὲ αὐτούς˙ διότι δὲν ἦτο δυνατὸν τόσον πολὺ νὰ ἐξισωθοῦν μὲ αὐτόν, ἀλλ' ὅσον εἶναι δυνατὸν εἰς τοὺς ἀνθρώπους˙ ὅπως ἀκριβῶς ὅταν λέγῃ˙ «Γίνεσθε εὐσπλαγχνικοί, ὅπως ὁ Πατὴρ σας»[13]. Τί σημαίνει δέ, «ἐν ἡμῖν»; Δηλαδὴ νὰ γίνουν ἓν εἰς τὴν πίστιν πρὸς ἡμᾶς[14]. Διότι, ἐπειδὴ τίποτε ἄλλο δὲν σκανδαλίζει τόσον πολὺ ὅλους αὐτούς, ὅσον ἡ διάσπασις, τὸ λέγει αὐτό, ὥστε νὰ γίνουν ἕνα. Τί λοιπόν; λέγει˙ συνέβη αὐτό; Καὶ πάρα πολὺ μάλιστα συνέβη˙ διότι ὅλοι ποὺ ἐπίστευσαν διὰ τῶν Ἀποστόλων εἶναι ἑνωμένοι, ἂν καὶ μερικοὶ διεσπάσθησαν ἀπὸ αὐτούς˙ διότι οὔτε αὐτὸ διέφυγε τὴν προσοχήν του, ἀλλὰ καὶ αὐτὸ τὸ προεῖπε, καὶ ἔδειξεν ὅτι συνέβη ἐξ αἰτίας τῆς ἀδιαφορίας τῶν ἀνθρώπων.

«Ἵνα ὁ κόσμος πιστεύσῃ ὅτι σύ με ἀπέστειλας»· ὅπερ οὖν καὶ ἀρχόμενος ἔλεγεν, ὅτι «ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοί ἐστε μαθηταί, ἐὰν ἀγαπᾶτε ἀλλήλους». Καὶ πῶς ἐντεῦθεν πιστεύειν ἔμελλον; Ὅτι τῆς εἰρήνης εἶ Θεός, φησιν. Ἂν τοίνυν ἅπερ ἐκ τούτων ἔμαθον διατηρήσωσιν, εἴσονται τὸν Διδάσκαλον ἀπὸ τῶν μαθητῶν οἱ ἀκούοντες, ἐὰν δὲ μάχωνται, οὐκ ἐροῦσιν εἰρηνικοῦ Θεοῦ εἶναι μαθητάς· μὴ ὄντα δέ με εἰρηνικόν, οὐχ ὁμολογήσουσιν ἀπεστάλθαι παρὰ σοῦ. Ὁρᾷς πῶς μέχρι τέλους τοῦτο κατασκευάζει, τὸ πρὸς τὸν Πατέρα ὁμονοητικόν; «Κἀγὼ τὴν δόξαν, ἣν δέδωκάς μοι, δέδωκα αὐτοῖς»· τὴν διὰ τῶν σημείων, τὴν διὰ τῶν δογμάτων, καὶ ἵνα ὁμόψυχοι ὦσιν. Αὕτη γὰρ ἡ δόξα, ἵνα ὦσιν ἕν, καὶ τῶν σημείων μείζων. Ὥσπερ γὰρ καὶ τὸν Θεὸν θαυμάζουσιν, ὅτι οὐκ ἔστι στάσις, οὐδὲ μάχη παρὰ τῇ φύσει ἐκείνῃ, καὶ μεγίστη αὕτη δόξα, οὕτω καὶ οὗτοι, φησίν, ἐντεῦθεν γενέσθωσαν λαμπροί. Καὶ πῶς τὸν Πατέρα, φησίν, αἰτεῖ τοῦτο δοῦναι αὐτοῖς, αὐτὸς αὐτὸ λέγων διδόναι; Εἴτε γὰρ περὶ σημείων, εἴτε περὶ ὁμονοίας, εἴτε περὶ εἰρήνης ὁ λόγος αὐτῷ, φαίνεται αὐτὸς αὐτοῖς ταῦτα παρεσχηκώς. Ὅθεν δῆλον ἦν ὅτι παραμυθίας ἕνεκεν τῆς αὐτῶν ἡ αἴτησις γίνεται.

«Ἐγὼ ἐν αὐτοῖς, καὶ σὺ ἐν ἐμοί». Πῶς ἔδωκε τὴν δόξαν; Ἐν αὐτοῖς γενόμενος, καὶ τὸν Πατέρα ἔχων μεθ' ἑαυτοῦ, ὥστε αὐτοὺς συγκροτεῖν. Ἀλλαχοῦ δὲ οὐχ οὕτω φησίν· οὐ γὰρ διὰ αὐτοῦ τὸν Πατέρα παραγίνεσθαι, ἀλλ' αὐτὸν καὶ τὸν Πατέρα παραγίνεσθαι καὶ μονὴν παρ' αὐτῷ ποιεῖν, ἐκεῖ μὲν τὸ τοῦ Σαβελλίου, ἐνταῦθα δὲ Ἀρείου τὴν ἄνοιαν ἀναιρῶν. «Ἵνα ὦσι τετελειωμένοι εἰς τὸ ἕν, ἵνα γινώσκῃ ὁ κόσμος ὅτι σύ με ἀπέστειλας». Συνεχῶς αὐτὸ λέγει, δεικνεὶς σημεῖον μᾶλλον τὴν εἰρήνην δυναμένην ἐπισπάσασθαι·

15. Ἰω. 13, 35.
16. Ἰω. 14, 23.

«Διὰ νὰ πιστεύσῃ ὁ κόσμος ὅτι σὺ μὲ ἀπέστειλες»· πρᾶγμα βέβαια ποὺ ἔλεγε καὶ εἰς τὴν ἀρχὴν τοῦ λόγου του, ὅτι «Μὲ αὐτὸ θὰ γνωρίσουν ὅλοι, ὅτι εἴσθε μαθηταί μου, ἐὰν ἀγαπᾶτε ὁ ἕνας τὸν ἄλλον»[15]. Καὶ ἐπρόκειτο ἀπὸ αὐτὸ νὰ πιστεύσουν; Διότι, λέγει, ἕνας εἶναι ὁ Θεὸς τῆς εἰρήνης. Ἂν λοιπὸν ἐκεῖνα, ποὺ ἔμαθον ἀπὸ αὐτούς, τὰ φυλάξουν, θὰ γνωρίσουν οἱ ἀκροαταὶ τὸν διδάσκαλον ἀπὸ τοὺς μαθητάς, ἐὰν ὅμως φιλονεικοῦν, δὲν θὰ εἰποῦν ὅτι εἶναι μαθηταὶ εἰρηνικοῦ Θεοῦ· ἐὰν ἐγὼ δὲν εἶμαι εἰρηνικός, δὲν θὰ ὁμολογήσουν ὅτι ἔχω ἀποσταλῆ ἀπὸ σένα. Βλέπεις πῶς μέχρι τέλους αὐτὸ λέγει, τὴν πρὸς τὸν Πατέρα του δηλαδὴ συμφωνίαν; «Καὶ ἐγώ, τὴν δόξαν ποὺ μοῦ ἔδωσες, τὴν ἔδωσα εἰς αὐτούς»· τὴν δόξαν διὰ τῶν θαυμάτων, διὰ τῶν δογμάτων καὶ διὰ νὰ ἔχουν ὁμόνοιαν. Διότι αὐτὴ ἡ δόξα, τὸ νὰ εἶναι δηλαδὴ ἐνωμένοι, εἶναι πιὸ σπουδαία καὶ ἀπὸ τὰ θαύματα. Διότι, ὅπως ἀκριβῶς καὶ τὸν Θεὸν θαυμάζουν, ἐπειδὴ δὲν ὑπάρχει στάσις, οὔτε διαμάχη εἰς ἐκείνην τὴν φύσιν, καὶ αὐτὸ εἶναι ἡ πιὸ μεγαλύτερη δόξα, ἔτσι καὶ αὐτοί, λέγει, ἀπὸ αὐτὸ θὰ γίνουν λαμπροί. Καὶ πῶς, λέγει, ζητεῖ αὐτὸ ἀπὸ τὸν Πατέρα νὰ τὸ δώσῃ εἰς αὐτούς, τὴν στιγμὴν ποὺ λέγει ὅτι ὁ ἴδιος τὸ δίδει αὐτό; Διότι εἴτε ὁμιλεῖ περὶ θαυμάτων, εἴτε περὶ ὁμονοίας, εἴτε περὶ εἰρήνης, φαίνεται αὐτὸς ὁ ἴδιος νὰ δίδῃ αὐτὰ εἰς αὐτούς. Ἄρα γίνεται φανερὸν ὅτι αὐτὴ ἡ αἴτησις γίνεται πρὸς παρηγορίαν αὐτῶν.

«Ἐγὼ ὑπάρχω εἰς αὐτοὺς καὶ σὺ εἰς ἐμένα». Πῶς ἔδωσε τὴν δόξαν; Ὑπάρχων μέσα εἰς αὐτοὺς καὶ ἔχων τὸν Πατέρα μαζί του, ὥστε νὰ τοὺς ἔχῃ ἐνωμένους. Ἀλλοῦ ὅμως δὲν λέγει τὸ ἴδιο· διότι λέγει δὲν ἔρχεται δι' αὐτοῦ ὁ Πατήρ, ἀλλ' ὁ ἴδιος καὶ ὁ Πατὴρ ἔρχονται καὶ κάμνουν τόπον διαμονῆς εἰς αὐτόν[16], μὲ ἐκεῖνα μὲν ἀναιρεῖ τὸν παραλογισμὸν τοῦ Σαβελλίου, μὲ αὐτὰ δὲ τοῦ Ἀρείου. «Διὰ νὰ τελειοποιηθοῦν μὲ τὸ νὰ εἶναι ἐνωμένοι, ὥστε νὰ γνωρίσῃ ὁ κόσμος ὅτι σὺ μὲ ἀπέστειλες». Συνεχῶς αὐτὸ λέγει, δεικνύων ὅτι ἡ εἰρήνη ἠμπορεῖ περισσότερον ἀπὸ τὸ θαῦμα νὰ προσελκύσῃ τοὺς ἀνθρώπους· διότι, ὅπως ἀκρι-

ὥσπερ γὰρ ἡ ἔρις διαλυτικόν, οὕτως ἡ συμφωνία συγκροτητικόν. «Καὶ ἠγάπησας αὐτούς, καθὼς ἐμὲ ἠγάπησας». Πάλιν τὸ «καθὼς» ὡς ἄνθρωπον ἀγαπηθῆναι ἐγχωρεῖ· καὶ τεκμήριον τῆς ἀγάπης τὸ ἑαυτὸν ὑπὲρ αὐτῶν δοῦναι. Εἰπὼν τοίνυν ὅτι ἔσονται ἐν ἀσφαλείᾳ, ὅτι οὐ περιτραπήσονται, ὅτι ἔσονται ἅγιοι, ὅτι πολλοὶ πιστεύσουσι δι' αὐτῶν, ὅτι πολλῆς ἀπολαύσονται δόξης, ὅτι οὐκ αὐτὸς αὐτοὺς ἠγάπησε μόνος, ἀλλὰ καὶ ὁ Πατήρ, λέγει λοιπὸν καὶ περὶ τῶν μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν, περὶ τῶν βραβείων καὶ τῶν στεφάνων, τῶν ὑποκειμένων αὐτοῖς· «Πάτερ» γάρ, φησίν, «οὓς δέδωκάς μοι, θέλω ἵνα, ὅπου εἰμὶ ἐγώ, καὶ αὐτοὶ ὦσιν». Ὅπερ οὖν ἐζήτουν ἀεί, λέγοντες· «Ποῦ ὑπάγεις;»· Τί λέγεις· τοῦτο ἐν αἰτήσει λαμβάνεις, καὶ οὐδέπω ἔχεις; πῶς οὖν αὐτοῖς ἔλεγες, «Καθήσεσθε ἐπὶ δώδεκα θρόνους»; πῶς ἕτερα ἐπηγγείλω πλείονα καὶ μείζω; Ὁρᾷς ὅτι πάντα συγκαταβάσεως ἕνεκεν λέγει; Ἐπεὶ πῶς ἔλεγεν, «Ἀκολουθήσεις δὲ ὕστερον;». Ἀλλ' ὑπὲρ πλείονος πληροφορίας καὶ ἐνδείξεως ἀγάπης τοῦτό φησιν.

«Ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμήν, ἣν δέδωκάς μοι». Πάλιν τοῦτο τοῦ πρὸς τὸν Πατέρα ὁμονοεῖν σημεῖον, ὑψηλότερον μὲν τῶν προτέρων («πρὸ καταβολῆς γὰρ κόσμου» φησίν), ἔχον δέ τινα καὶ αὐτὸ συγκατάβασιν· «δέδωκας γάρ μοι», λέγει. Εἰ δὲ μὴ τοῦτό ἐστιν, ἡδέως ἂν ἐροίμην τοὺς ἀντιλέγοντας· Ὁ διδοὺς ὑφεστῶτί τινι δίδωσιν, ἆρ' οὖν πρῶτον αὐτὸν γεννήσας, ὕστερον τὴν δόξαν ἔδωκε, πρότερον ἀφεὶς εἶναι ἄδοξον;'. Καὶ πῶς ἂν ἔχοι λόγον; Ὁρᾷς ὅτι τὸ «δέδωκεν», 'ἐγέννησέν' ἐστι; Διὰ τί δὲ μὴ εἶπεν· 'Ἵνα μετέχωσι τῆς δόξης', ἀλλ' «ἵνα θεωρῶσι τὴν δόξαν»;

3. Ἐνταῦθα αἰνίττεται ὅτι ἡ πᾶσα ἀνάπαυσις αὕτη ἐστί, τὸ θεωρεῖν εἰς τὸν Υἱὸν τοῦ Θεοῦ. Τοῦτο γοῦν καὶ δοξά-

---

17. Ἰω. 13, 36 καὶ 14, 5.
18. Ματθ. 19, 28.
19. Ἰω. 13, 36.

θῶς ἡ φιλονεικία διαλύει, ἔτσι ἡ συμφωνία συνενώνει. «Καὶ ἠγάπησες αὐτούς, ὅπως ἠγάπησες ἐμένα». Πάλιν ἐδῶ τὸ «καθὼς» δηλώνει ὅτι ἠγαπήθη ὡς ἄνθρωπος· καὶ ἀπόδειξις τῆς ἀγάπης του εἶναι ὅτι ἔδωσε τὸν ἑαυτόν του ὑπὲρ αὐτῶν. Ἀφοῦ λοιπὸν εἶπεν ὅτι θὰ εἶναι ἀσφαλισμένοι, ὅτι δὲν θὰ φύγουν ἀπὸ τὴν ὀρθὴν ὁδόν, ὅτι θὰ γίνουν ἅγιοι, ὅτι πολλοὶ θὰ πιστεύσουν δι' αὐτῶν, ὅτι θ' ἀπολαύσουν πολλὴν δόξαν, ὅτι δὲν τοὺς ἠγάπησε μόνον αὐτός, ἀλλὰ καὶ ὁ Πατήρ, ὁμιλεῖ πλέον καὶ διὰ τὰ ὅσα θὰ τύχουν μετὰ τὴν ἀναχώρησίν των ἀπὸ ἐδῶ, διὰ τὰ βραβεῖα καὶ τοὺς στεφάνους ποὺ ἐπιφυλάσσονται δι' αὐτούς· διότι λέγει· «Πάτερ, ἐκείνους ποὺ μοῦ ἔδωσες, θέλω καὶ αὐτοὶ νὰ εἶναι ἐκεῖ ποὺ εἶμαι ἐγώ». Εἶναι ἐκεῖνο ποὺ ἐζητοῦσαν πάντοτε, λέγοντες· «Ποῦ πηγαίνεις»;[17]. Τί λέγεις; αὐτὸ τὸ παίρνεις κατόπιν αἰτήσεως καὶ δὲν τὸ ἔχεις ἀκόμη; πῶς λοιπὸν ἔλεγεν εἰς αὐτούς, «Θὰ καθήσετε εἰς τοὺς δώδεκα θρόνους»[18]; πῶς ὑπεσχέθης ἄλλα πιὸ πολλὰ καὶ πιὸ σπουδαῖα; Βλέπεις ὅτι ὅλα τὰ λέγει ἀπὸ συγκατάβασιν; Διότι πῶς ἔλεγε, «Θ' ἀκολουθήσῃς ὕστερα»; Ἀλλὰ τὸ λέγει αὐτὸ διὰ περισσοτέραν πληροφορίαν καὶ εἰς ἔνδειξιν ἀγάπης.

«Διὰ νὰ βλέπουν τὴν δόξαν μου, ποὺ μοῦ τὴν ἔδωσες ἐσύ». Πάλιν μὲ αὐτὸ δείχνει τὴν συμφωνίαν του μὲ τὸν Πατέρα, ὑψηλότερα μὲν ἀπὸ τὰ προηγούμενα (διότι λέγει, «Πρὸ τῆς δημιουργίας τοῦ κόσμου»), ἀλλ' ἔχει καὶ αὐτὸ κάποιαν συγκατάβασιν· διότι λέγει· «Μοῦ τὴν ἔδωσες». Ἐὰν ὅμως δὲν συμβαίνῃ αὐτό, εὐχαρίστως θὰ ἠμποροῦσα νὰ ἐρωτήσω τοὺς ἀντιλέγοντας· "Ἐκεῖνος ποὺ δίδει, δίδει εἰς κάποιον ποὺ ὑπάρχει· ἄρα λοιπὸν πρῶτα τὸν ἐγέννησε καὶ ὕστερα ἔδωσε τὴν δόξαν, ἐνῷ προηγουμένως τὸν ἄφησε νὰ εἶναι ἄδοξος; Καὶ πῶς θὰ ἠμποροῦσεν αὐτὸ νὰ εἶναι λογικόν; Βλέπεις ὅτι τὸ «ἔδωσεν» σημαίνει 'ἐγέννησεν'; Διατί δὲ δὲν εἶπε, 'Διὰ νὰ γίνουν μέτοχοι τῆς δόξης', ἀλλ' εἶπε, «Διὰ νὰ βλέπουν τὴν δόξαν»;

3. Ἐδῶ ὑπαινίσσεται ὅτι αὐτὴ εἶναι ἡ ὅλη ἀνάπαυσις, τὸ νὰ βλέπῃ κανεὶς τὸν Υἱὸν τοῦ Θεοῦ. Αὐτὸ βέβαια καὶ μᾶς κάμνει νὰ δοξαζώμεθα, πρᾶγμα ποὺ καὶ ὁ Παῦλος λέ-

ζεσθαι ποιεῖ, ὃ καὶ Παῦλός φησιν· «Ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι». Ὥσπερ γὰρ οἱ πρὸς ἀκτῖνας θεωροῦντες, καὶ ἀέρος ἀπολαύοντες λεπτοτάτου ἀπὸ τῆς ὄψεως ἔχουσι τὴν ἀπόλαυσιν, οὕτω καὶ τότε, καὶ πολλῷ πλεῖον τοῦτο ἡμῖν ἐργάσεται τὴν ἡδονήν. Ἅμα δὲ καὶ δείκνυσιν ὅτι οὐ τοῦτό ἐστι τὸ ὁρώμενον, ἀλλὰ φρικτή τις οὐσία. «Πάτερ δίκαιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω». Τί βούλεται τοῦτο; ποίαν ἔχει τὴν ἀκολουθίαν; Δείκνυσιν ἐνταῦθα μηδένα εἰδότα Θεον, ἀλλ' ἢ μόνον τοὺς τὸν Υἱὸν ἐπεγνωκότας. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Ἐβουλόμην ἅπαντας τοῦτο εἶναι, ἀλλ' οὐκ ἔγνωσάν με, καίτοι οὐδὲν ἔχοντες ἐγκαλεῖν· τοῦτο γάρ ἐστι, «Πάτερ δίκαιε». Ἐνταῦθά μοι δοκεῖ καὶ δυσχεραίνων ταῦτα λέγειν, ὅτι τὸν οὕτως ἀγαθὸν καὶ δίκαιον οὐκ ἠθέλησαν ἐπιγνῶναι. Ἐπειδὴ γὰρ Ἰουδαῖοι ἔλεγον τὸν Θεὸν εἰδέναι, αὐτὸν δὲ μὴ εἰδέναι, πρὸς τοῦτο ἀποτείνεται, λέγων ὅτι «ἠγάπησάς με πρὸ καταβολῆς κόσμου», ἀπολογίαν συντιθεὶς πρὸς τὰς κατηγορίας τὰς Ἰουδαϊκάς· ὁ γὰρ δόξαν λαβών, ὁ ἀγαπηθεὶς «πρὸ καταβολῆς κόσμου», ὁ μάρτυρας βουλόμενος ἔχειν αὐτοὺς τῆς δόξης ἐκείνης, πῶς ἐναντίος ἦν τῷ Πατρί; Οὐ τοίνυν τοῦτό ἐστιν, ὅπερ φασὶν οἱ Ἰουδαῖοι, ὅτι αὐτοὶ μέν σε γινώσκουσιν, ἐγὼ δὲ ἀγνοῶ, ἀλλὰ τοὐναντίον, ἐγὼ μέν σε οἶδα, ἄλλοι δέ σε οὐκ ἔγνωσαν.

«Καὶ οὗτοι δὲ ἔγνωσαν ὅτι σύ με ἀπέστειλας». Ὁρᾷς ὅτι αὐτοὺς αἰνίττεται, τοὺς λέγοντας μὴ εἶναι αὐτὸν ἐκ τοῦ Θεοῦ, καὶ πρὸς τοῦτον τὸν λόγον ἀνακεφαλαιοῦται πάντα; «Καὶ ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου, καὶ γνωρίσω». Καὶ μὴν τοῦ Πνεύματος φὴς τὴν τελείαν γνῶσιν, ἀλλὰ τὰ τοῦ Πνεύματος ἐμά ἐστιν». «Ἵνα ἡ ἀγάπη, ἣν ἠγάπησάς με, ἐν αὐτοῖς μένῃ, κἀγὼ ἐν αὐτοῖς». Ἐὰν γὰρ μάθωσι, τίς σύ, τότε εἴσονται ὅτι οὐκ ἀπεσχισμένος ἐγώ, ἀλλὰ τῶν σφόδρα

γει˙ «Μὲ ἀκάλυπτον πρόσωπον ἀντανακλῶμεν τὴν δόξαν τοῦ Κυρίου»-[20]. Διότι, ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ βλέπουν πρὸς τὰς ἀκτῖνας τοῦ ἡλίου καὶ ἀπολαμβάνουν λεπτοτάτου ἀέρος, νοιώθουν τὴν ἀπόλαυσιν μὲ τοὺς ὀφθαλμούς των, ἔτσι καὶ τότε καὶ πολὺ περισσότερον αὐτὸ θὰ χαρίσῃ εἰς ἡμᾶς περισσοτέραν ἡδονήν. Συγχρόνως δὲ καὶ δείχνει, ὅτι δὲν εἶναι αὐτὸ ποὺ βλέπει κανείς, ἀλλὰ κάποια φρικτὴ οὐσία, «Πάτερ δίκαιε, καὶ ὁ κόσμος δὲν σὲ ἐγνώρισε». Τί θέλει νὰ εἰπῇ μὲ αὐτό; ποίαν σχέσιν ἔχει; Δείχνει ἐδῶ ὅτι κανεὶς δὲν γνωρίζει τὸν Θεὸν παρὰ μόνον ἐκεῖνοι ποὺ ἐγνώρισαν τὸν Υἱόν. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς˙ «Θὰ ἤθελον ὅλοι νὰ σὲ εἶχον γνωρίσει, ἀλλὰ δὲν σὲ ἐγνώρισαν, ἂν καὶ βέβαια δὲν ἠμποροῦν νὰ σὲ κατηγορήσουν διὰ τίποτε˙˙ διότι αὐτὸ σημαίνει «Πάτερ δίκαιε». Ἐδῶ νομίζω ὅτι τὰ λέγει αὐτὰ μὲ κάποιαν δυσανασχέτησιν, διότι δὲν ἠθέλησαν νὰ γνωρίσουν τὸν τόσον ἀγαθὸν καὶ δίκαιον Θεόν. Ἐπειδὴ δηλαδὴ οἱ Ἰουδαῖοι ἔλεγον ὅτι γνωρίζουν τὸν Θεόν, ἐνῷ αὐτὸς δὲν τὸν γνωρίζει, αὐτὸ ἐννοεῖ ὅταν λέγῃ «μὲ ἠγάπησες πρὸ τῆς δημιουργίας τοῦ κόσμου», ἀπολογούμενος πρὸς τὰς ἰουδαϊκὰς κατηγορίας˙ διότι ἐκεῖνος ποὺ ἔλαβε δόξαν, ποὺ ἠγαπήθη «πρὸ τῆς δημιουργίας τοῦ κόσμου», ποὺ θέλει νὰ ἔχῃ αὐτοὺς μάρτυρας ἐκείνης τῆς δόξης, πῶς ἦτο ἀντίθετος πρὸς τὸν Πατέρα; Ἀδὲν εἶναι αὐτὸ λοιπόν, ποὺ ἰσχυρίζονται οἱ Ἰουδαῖοι, ὅτι δηλαδὴ αὐτοὶ μὲν σὲ γνωρίζουν, ἐνῷ ἐγὼ σὲ ἀγνοῶ, ἀλλὰ τὸ ἀντίθετον, ἐγὼ μὲν σὲ γνωρίζω, ἐνῷ ἄλλοι δὲν σὲ ἐγνώρισαν΄.

«Καὶ αὐτοὶ δὲ ἐγνώρισαν ὅτι σὺ μὲ ἀπέστειλες». Βλέπεις ὅτι αὐτοὺς ὑπαινίσσεται, ποὺ λέγουν ὅτι δὲν προέρχεται αὐτὸς ἀπὸ τὸν Θεόν, καὶ πρὸς αὐτὸν τὸν λόγον ὅλα τὰ ὁδηγεῖ; «Καὶ ἐγνώρισα εἰς αὐτοὺς τὸ ὄνομά σου καὶ θὰ τὸ γνωρίσω». Καὶ βέβαια λέγεις ὅτι τοῦ Πνεύματος εἶναι ἡ τελεία γνῶσις˙ ναί, ἀλλὰ τὰ τοῦ Πνεύματος εἶναι ἰδικά μου. «Διὰ νὰ μένῃ εἰς αὐτοὺς ἡ ἀγάπη μὲ τὴν ὁποίαν μὲ ἠγάπησες, καὶ ἐγὼ νὰ εἶμαι μέσα εἰς αὐτούς». Διότι, ἐὰν μάθουν, ποῖος εἶσαι, τότε θὰ γνωρίσουν ὅτι ἐγὼ δὲν ἔχω

ἠγαπημένων, καὶ γνήσιος Υἱὸς καὶ συνημμένος· τοῦτο δὲ πεισθέντες ὡς χρή, καὶ τὴν πίστιν τὴν εἰς ἐμὲ καὶ τὴν ἀγάπην διατηρήσουσιν ἀκριβῆ· ἀγαπώντων δὲ αὐτῶν ὡς χρή, ἐγὼ μενῶ ἐν αὐτοῖς᾽. Ὁρᾷς πῶς εἰς καλὸν τέλος ἀπήντησεν, εἰς ἀγάπην τὴν πάντων μητέρα τῶν ἀγαθῶν, ἀπαρτίσας τὸν λόγον;

Πιστεύωμεν τοίνυν καὶ ἀγαπῶμεν τὸν Θεόν, ἵνα μὴ καὶ περὶ ἡμῶν λέγηται, «Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται», καὶ πάλιν· «Τὴν πίστιν ἤρνηται, καὶ ἔστιν ἀπίστου χείρων»· ὅταν γὰρ ἐκεῖνος μὲν καὶ οἰκέταις καὶ συγγενέσι καὶ ἀλλοτρίοις ἐπικουρῇ, σὺ δὲ μηδὲ τοὺς πρὸς γένος προσήκοντας θεραπεύσῃς, τίς ἔσται σοι λοιπὸν ἀπολογία, τοῦ Θεοῦ βλασφημουμένου καὶ ὑβριζομένου διὰ σέ; Σκόπει γὰρ πόσας ἔδωκεν ἡμῖν ἀφορμὰς εὐποιΐας ὁ Θεός. Τὸν μὲν ὡς συγγενῆ, τὸν δὲ ὡς φίλον, τὸν δὲ ὡς γείτονα, τὸν δὲ ὡς πολίτην, τὸν δὲ ὡς ἄνθρωπον ἐλέει, φησίν. Ἂν δὲ μηδέν σε τούτων κατέχῃ, ἀλλὰ πάντα διαρρήξῃς τὰ δεσμά, ἀκούσῃ τοῦ Παύλου ὅτι «ἀπίστου εἶ χείρων»· ὅτι ἐκεῖνος μέν, οὐδὲν περὶ ἐλεημοσύνης ἀκούσας, οὐδὲ τῶν ἐν οὐρανῷ, ὑπερηκόντισέ σε τῇ φιλανθρωπίᾳ, σὺ δέ, αὐτοὺς τοὺς ἐχθροὺς ἀγαπᾶν κελευσθείς, τοὺς οἰκείους ὡς ἐχθροὺς ὁρᾷς, καὶ χρημάτων φείδῃ μᾶλλον ἢ σωμάτων· καίτοι τὰ μὲν ἀναλισκόμενα οὐδὲν πείσεται δεινόν, οὗτος δὲ περιορώμενος οἰχήσεται. Τίς οὖν ἡ μανία χρημάτων φείδεσθαι, καὶ ἀφειδεῖν συγγενῶν; πόθεν οὗτος ὁ πόθος εἰσεκώμασε; πόθεν ἡ ἀπανθρωπία καὶ ἡ ὠμότης; Εἰ γάρ τις, ὥσπερ ἐπὶ θεάτρου κορυφῆς καθίσας, τὸν κόσμον κατοπτεύσειε πάντα, μᾶλλον δέ, εἰ βούλεσθε, μίαν τέως μεταχειρισώμεθα πόλιν.

20. Β´ Κορ. 3, 18.
21. Τιτ. 1, 16.
22. Α´ Τιμ. 5, 8.
23. Αὐτόθι.

ἀποσχισθῇ ἀπὸ ἐσένα, ἀλλ' εἶμαι ἀπὸ ἐκείνους ποὺ ἠγαπήθησαν πολὺ καὶ ὅτι εἶμαι γνήσιος Υἱός σου καὶ ἑνωμένος μαζί σου· ἐὰν δὲ πεισθοῦν εἰς αὐτὸ ὅπως πρέπει, θὰ διαφυλάξουν τελείαν καὶ τὴν πίστιν πρὸς ἐμένα καὶ τὴν ἀγάπην· ἀφοῦ δὲ θὰ μὲ ἀγαποῦν αὐτοὶ ὅπως πρέπει, θὰ μένω καὶ ἐγὼ μέσα εἰς αὐτούς'. Βλέπεις πῶς ἐτελείωσε μὲ καλὸν τέλος, μὲ τὴν ἀγάπην, τὴν μητέρα ὅλων τῶν ἀγαθῶν, ὁλοκληρώσας ἔτσι τὸν λόγον του;

Ἂς πιστεύωμεν λοιπὸν καὶ ἂς ἀγαπῶμεν τὸν Θεόν, διὰ νὰ μὴ λέγεται καὶ δι' ἡμᾶς, «Ὁμολογοῦν μὲ τὸ στόμα ὅτι γνωρίζουν τὸν Θεόν, ὅμως τὸν ἀρνοῦνται μὲ τὰ ἔργα των»[21], καὶ πάλιν· «Τὴν πίστιν ἠρνήθη καὶ ἔγινε χειρότερος ἀπὸ τὸν ἄπιστον»[22]· διότι, ὅταν ἐκεῖνος μὲν βοηθῇ καὶ δούλους καὶ συγγενεῖς καὶ ξένους, σὺ δὲ δὲν βοηθῇς οὔτε τοὺς συγγενεῖς σου, ποία πλέον θὰ εἶναι ἡ δικαιολογία σου, τὴν στιγμὴν ποὺ ὁ Θεὸς βλασφημεῖται καὶ ὑβρίζεται ἐξ αἰτίας σου; Πρόσεχε λοιπὸν πόσας ἀφορμὰς εὐεργεσίας μᾶς ἔδωσεν ὁ Θεός. Τὸν μὲν ἕνα, λέγει, νὰ τὸν ἐλεῇς ὡς συγγενῆ, τὸν ἄλλον ὡς φίλον, τὸν ἄλλον ὡς γείτονα, τὸν ἄλλον ὡς συμπολίτην καὶ τὸν ἄλλον ὡς συνάνθρωπον. Ἂν ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν σὲ συνδέῃ, ἀλλὰ διασπάσῃς ὅλα τὰ δεσμά, θ' ἀκούσῃς τὸν Παῦλον ποὺ λέγει ὅτι «εἶσαι χειρότερος ἀπὸ τὸν ἄπιστον»[23]· διότι ἐκεῖνος μέν, ἂν καὶ δὲν ἤκουσε τίποτε περὶ ἐλεημοσύνης, οὔτε περὶ τῶν οὐρανίων πραγμάτων, σὲ ὑπερέβαλεν ὡς πρὸς τὴν φιλανθρωπίαν, σὺ ὅμως, ἂν καὶ ἔλαβες ἐντολὴν νὰ ἀγαπᾷς τοὺς ἐχθρούς σου, βλέπεις τοὺς συγγενεῖς σου ὡς ἐχθροὺς καὶ ἐνδιαφέρεσαι περισσότερον διὰ τὰ χρήματα, παρὰ διὰ τὰ σώματα· μολονότι βέβαια τὰ μὲν ἐξοδευόμενα δὲν θὰ πάθουν κανένα κακόν, ἐνῷ αὐτός, περιφρονηθείς, θὰ χαθῇ. Τί λοιπὸν εἶναι αὐτὴ ἡ μανία, τὸ νὰ φροντίζωμεν διὰ τὰ χρήματα καὶ νὰ περιφρονοῦμεν τοὺς συγγενεῖς; ἀπὸ ποῦ εἰσῆλθεν αὐτὸς ὁ πόθος; ἀπὸ ποῦ αὐτὴ ἡ ἀπανθρωπία καὶ ἡ σκληρότης; Διότι, ἐὰν κάποιος, καθίσας ὡς εἰς τὴν κορυφὴν κάποιου θεάτρου, ἔβλεπεν ὅλον τὸν κόσμον, μᾶλλον δέ, ἐὰν θέλετε, ἂς φέρωμεν ὡς παράδειγμα μίαν πόλιν.

4. Εἴ τις τοίνυν, ἐφ' ὑψηλοῦ καθίσας, πάντα κατιδεῖν δυνηθείη τὰ ἀνθρώπινα, ἐννόησον ὅσην καταγνώσεται ἀλογίαν, ὅσα δάκρυα οἴσει, ὅσον γελάσεται γέλωτα, ὅσον μισήσει μῖσος· τοιαῦτα γὰρ πράττομεν, ὡς καὶ γέλωτος καὶ ἀνοίας καὶ δακρύων καὶ μίσους εἶναι ἄξια. Ὁ δεῖνα τρέφει κύνας, ἵνα θηρία ἄγρια σαγηνεύσῃ, αὐτὸς εἰς θηριωδίαν ἐμπίπτων· ἕτερος ὄνους καὶ ταύρους, ἵνα μετακομίζῃ λίθους, ἀνθρώπους δὲ περιορᾷ, λιμῷ τηκομένους· καὶ χρυσίον μὲν ἄπειρον δαπανᾷ, ἵνα λιθίνους ἀνθρώπους ἐργάσηται, τοὺς δὲ ὄντως ἀνθρώπους, λιθίνους γενομένους ὑπὸ τῆς κακουχίας, ὑπερορᾷ· ἕτερος ψηφῖδας χρυσᾶς συλλέγων μετὰ πολλῆς ταλαιπωρίας, περιβάλλει τοὺς τοίχους, τὰς δὲ γαστέρας τῶν πενήτων γυμνὰς ὁρῶν, οὐκ ἐπικάμπτεται· καὶ οἱ μὲν τοῖς ἱματίοις αὐτῶν ἱμάτια πάλιν ἐπινοοῦσιν, ἕτερος δὲ οὐδὲ αὐτὸ τὸ σῶμα γυμνὸν περιβάλλειν ἔχει· ἐν δικαστηρίοις δὲ πόλιν ἄλλος ἄλλον κατέπιεν, ἄλλος εἰς πόρνας ἀνάλωσε καὶ εἰς παρασίτους· ἕτερος εἰς μίμους καὶ ὀρχήστριας· εἰς οἰκοδομὰς ἕτερος λαμπράς, εἰς ἀγορασίας ἀγρῶν καὶ οἰκιῶν· πάλιν ὁ μὲν τόκους ἀριθμεῖ, ὁ δὲ τόκους τόκων, ὁ δὲ γραμματεῖα συντίθησι, πολλῶν γέμοντα φόνων, καὶ οὐδὲ τὴν ἀπὸ τῆς νυκτὸς ἀνάπαυσιν καρποῦται, ἐπὶ τοῖς ἑτέρων κακοῖς ἀγρυπνῶν· ἡμέρας δὲ γενομένης, ὁ μὲν ἐπὶ κέρδος ἄδικον, ὁ δὲ ἐπὶ δαπάνην ἀσελγῆ, οἱ δὲ ἐπὶ κλοπὴν δεδημοσιευμένην τρέχουσι· καὶ τῶν μὲν περιττῶν καὶ κεκωλυμένων πολλὴ ἡ σπουδή, τῶν δὲ ἀναγκαίων οὐδεὶς ὁ λόγος· οἱ δὲ κρίνοντες τὸ μὲν ὄνομα δικαστῶν ἔχουσι, τὸ δὲ ἔργον λῃστῶν καὶ ἀνδροφόνων· κἂν τὰς δίκας τις ἐξετάσῃ, κἂν τὰς διαθήκας, μυρία πάλιν εὑρήσει καὶ ἐνταῦθα κακά, δόλους, κλοπάς, ἐπιβουλάς. Καὶ περὶ ταῦτα ἅπασα ἡ σχολή, τῶν δὲ πνευματικῶν λόγος οὐδείς, ἀλλὰ τὴν Ἐκκλησίαν ὑπὲρ τοῦ μόνου ἱ-

24. Ρωμ. 1, 32.

4. Ἐὰν λοιπὸν κάποιος, καθίσας ἐπάνω εἰς ἓν ὑψηλὸν μέρος, ἠμπορέσῃ νὰ ἰδῇ ὅλα τὰ ἀνθρώπινα, σκέψου πόσον παραλογισμὸν θ᾽ ἀποδώσῃ εἰς αὐτά, πόσα δάκρυα θὰ χύσῃ, εἰς πόσα γέλια θὰ ἐκσπάσῃ, μὲ πόσον μῖσος θὰ τὰ μισήσῃ· διότι τέτοια πράττομεν, ποὺ εἶναι ἄξια διά γέλια καὶ δάκρυα καὶ μῖσος καὶ πολὺ ἀνόητα. Ὁ τάδε τρέφει σκύλους, διὰ νὰ συλλάβῃ ἄγρια θηρία, μεταβαλλόμενος ὁ ἴδιος εἰς θηρίον· ἄλλος τρέφει ὄνους καὶ ταύρους, διὰ νὰ μεταφέρῃ λίθους, ἐνῷ περιφρονεῖ τοὺς ἀνθρώπους, ποὺ πεθαίνουν ἀπὸ τὴν πεῖναν· καὶ ἐξοδεύει μὲν ἄπειρον χρυσόν, διὰ νὰ κατασκευάσῃ λιθίνους ἀνθρώπους, ἐνῷ τοὺς πραγματικοὺς ἀνθρώπους, ποὺ γίνονται λίθινοι ἀπὸ τὴν κακουχίαν, τοὺς περιφρονεῖ· ἄλλος, συγκεντρώνων χρυσᾶς ψηφῖδας μὲ πολὺν κόπον, κοσμεῖ τοὺς τοίχους, ἐνῷ βλέπων τὰς γαστέρας τῶν πτωχῶν γυμνάς, δὲν συγκινεῖται· και οἱ μὲν διὰ τὰ ἐνδύματά των κατασκευάζουν ἄλλα ἐνδύματα, ἐνῷ ἄλλος δὲν ἔχει οὔτε τὸ ἴδιο τὸ γυμνὸν σῶμα του νὰ ἐνδύσῃ· ἄλλος δὲ πάλιν κατέφαγεν ἄλλον εἰς τὸ δικαστήριον, ἄλλος ἐδαπάνησε τὰ χρήματά του εἰς πόρνας καὶ εἰς παρασίτους, ἄλλος εἰς μίμους καὶ εἰς ὀρχήστρας, ἄλλος εἰς λαμπρὰς οἰκοδομάς, εἰς ἀγορὰς ἀγρῶν καὶ οἰκιῶν· πάλιν, ὁ μὲν ἕνας μετρεῖ τοὺς τόκους τῶν χρημάτων του, ὁ ἄλλος τοὺς τόκους τῶν τόκων, ἐνῷ ὁ ἄλλος συντάσσει καταλόγους γεμάτους ἀπὸ πολλοὺς φόνους καὶ δὲν ἠμπορεῖ ν᾽ ἀπολαύσῃ οὔτε τὴν ἀνάπαυσιν τῆς νυκτός, ἀγρυπνῶν διὰ τὰ κακὰ τῶν ἄλλων· ὅταν δὲ ἐξημερώσῃ, τρέχουν, ὁ μὲν ἕνας δι᾽ ἄδικον κέρδος, ὁ ἄλλος διὰ δαπάνην γεμάτην ἀπὸ ἀσέλγειαν, ἄλλοι δὲ διὰ κλοπὴν ποὺ εἶναι γνωστοὶ εἰς ὅλους· καὶ διὰ μὲν τὰ περιττὰ καὶ ἀπηγορευμένα ἐπιδεικνύεται πολλὴ φροντίς, ἐνῷ διὰ τὰ ἀναγκαῖα δὲν γίνεται κανεὶς λόγος· οἱ δὲ δικάζοντες ἔχουν μὲν τὸ ὄνομα τῶν δικαστῶν, ἐπιτελοῦν ὅμως ἔργον ληστῶν καὶ ἀνθρωποκτόνων· καὶ ἐὰν κανεὶς ἐξετάσῃ τὰς δίκας, ἐὰν τὰς διαθήκας, θὰ εὕρῃ πάλιν καὶ ἐδῶ ἀμέτρητα κακά, δόλους, κλοπάς, ἐπιβουλάς. Καὶ ὅλη ἡ φροντὶς καταβάλλεται δι᾽ αὐτά, ἐνῷ διὰ τὰ πνευματικὰ δὲν γίνεται κανεὶς λόγος, καὶ

δεῖν ἐνοχλοῦσιν ἅπαντες. Τὸ δὲ ζητούμενον οὐ τοῦτό ἐστιν, ἀλλ' ἔργων δεῖ ἡμῖν καὶ διανοίας καθαρᾶς. Ἂν δὲ τὴν πᾶσαν ἡμέραν ἀναλώσῃς εἰς πλεονεξίαν, εἶτα μικρὰ ῥήματα εἰσελθὼν εἴπῃς, οὐ μόνον οὐκ ἐποίησας ἵλεω τὸν Θεόν, ἀλλὰ καὶ παρώξυνας μειζόνως· εἰ γὰρ βούλει καταλλάξαι σου τὸν Δεσπότην, ἔργα ἐπίδειξαι, μάθε τὸν φορυτὸν τῶν συμφορῶν, βλέπε τοὺς γυμνούς, τοὺς πεινῶντας, τοὺς ἀδικουμένους· μυρίας σοι φιλανθρωπίας ἔτεμεν ὁδούς.

Μὴ τοίνυν ἀπατῶμεν ἑαυτούς, εἰκῇ καὶ μάτην ζῶντες, μηδέ, ὅτι νῦν ὑγιαίνομεν, καταφρονήσωμεν, ἀλλά, ἐννοήσαντες ὅτι, πολλάκις εἰς νόσον καταπεσόντες, καὶ εἰς ἔσχατον ἀρρωστίας ἐλθόντες, ἀπεθάνομεν τῷ δέει καὶ τῇ προσδοκίᾳ τῶν μελλόντων, προσδοκήσωμεν πάλιν εἰς τὰ αὐτὰ καταπεσεῖσθαι, καὶ τὸν αὐτὸν κτησώμεθα φόβον, καὶ γενώμεθα βελτίους· ὡς τά γε νῦν μυρίας κατηγορίας ἄξια. Οἱ μὲν γὰρ ἐν τοῖς δικαστηρίοις λέουσι ἐοίκασι καὶ κυσί, οἱ δὲ ἐν ταῖς ἀγοραῖς ἀλώπεξιν· οἱ δὲ τὸν ἀπράγμονα ζῶντες βίον, οὐδὲ οὗτοι εἰς δέον τῇ ἀπραγμοσύνῃ κέχρηνται, τὴν σχολὴν ἅπασαν εἰς θέατρα καὶ τὰ ἐκεῖθεν κακὰ ἀναλίσκοντες. Καὶ ὁ μὲν ἐπιτιμῶν τοῖς γινομένοις οὐδείς, οἱ δὲ ζηλοῦντες καὶ δακνόμενοι, ὅτι μὴ ἴσα αὐτοῖς πράττουσι, πολλοί· ὥστε καὶ τούτους πάλιν κολάζεσθαι, καὶ μὴ ποιοῦντας τὰ πονηρά· «οὐ γὰρ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράττουσι»· καὶ γὰρ τὰ τῆς προθυμίας αὐτοῖς ὁμοίως διέφθαρται, ὅθεν δῆλον ὅτι καὶ γνώμης ἔστι δοῦναι δίκην. Ταῦτα καθ' ἑκάστην ἡμέραν λέγω, καὶ λέγων οὐ παύσομαι· ἂν μὲν γάρ τινες ἀκούσωσι, κέρδος· ἂν δὲ μηδεὶς ὁ προσέχων ᾖ,

εἰς τὴν ἐκκλησίαν ὅλοι πηγαίνουν μόνον διὰ νὰ ἰδοῦν. Αὐτὸ ποὺ ζητεῖται ὅμως ἀπὸ ἡμᾶς δὲν εἶναι αὐτό, ἀλλὰ χρειάζονται ἔργα καὶ καθαρὴ διάνοια. Ἂν ὅμως ὅλην τὴν ἡμέραν τὴν δαπανήσῃς εἰς πλεονεξίαν, ἔπειτα, εἰσελθὼν εἰς τὸν ναόν, εἰπῇς ὀλίγα λόγια, ὄχι μόνον δὲν κατέστησες τὸν Θεὸν εὐσπλαχνικὸν ἀπέναντί σου, ἀλλὰ καὶ τὸν παρώργισες ὑπερβολικά· διότι, ἐὰν θέλῃς νὰ συμφιλιωθῇς μὲ τὸν Κύριόν σου, δεῖξε ἔργα, μάθε τὸ πλῆθος τῶν συμφορῶν, φρόντιζε τοὺς γυμνούς, τοὺς πεινασμένους, τοὺς ἀδικουμένους· ἀπείρους ὁδοὺς φιλανθρωπίας σοῦ ἐχάραξεν.

Ἂς μὴ ἀπατώμεθα λοιπόν, ζῶντες χωρὶς κανένα σκοπὸν καὶ εἰς τὰ χαμένα, οὔτε, ἐπειδὴ τώρα εἴμεθα ὑγιεῖς, νὰ δείξωμεν περιφρόνησιν, ἀλλὰ σκεφθέντες ὅτι, πολλὲς φορὲς κυριευθέντες ἀπὸ νόσον καὶ φθάσαντες εἰς τὸ τέλος τῆς ἀσθενείας, ἀπεθάνομεν ἀπὸ τὸν φόβον καὶ τὴν ἀναμονὴν τῶν μελλόντων κακῶν, ἂς σκεφθῶμεν καὶ πάλιν ὅτι εἶναι δυνατὸν νὰ ὑποπέσωμεν εἰς τὰ ἴδια κακά, ἂς νοιώσωμεν τὸν ἴδιον φόβον καὶ ἂς γίνωμεν καλύτεροι· διότι ὅλα αὐτὰ ποὺ συμβαίνουν τώρα εἶναι ἄξια ἀμετρήτου κατηγορίας. Διότι οἱ μὲν τῶν δικαστηρίων ὁμοιάζουν μὲ λεοντάρια καὶ σκύλους, οἱ δὲ τῶν ἀγορῶν μὲ ἀλεποῦδες· ἐκεῖνοι δὲ ποὺ ζοῦν χωρὶς νὰ κάμνουν τίποτε ἀπὸ αὐτά, οὔτε αὐτοὶ χρησιμοποιοῦν τὴν ἀπραξίαν των ὅπως πρέπει, διότι δαπανοῦν τὸν ἐλεύθερον χρόνον των εἰς τὰ θέατρα καὶ εἰς τὰ κακὰ ποὺ πηγάζουν ἀπὸ ἐκεῖ. Καὶ δὲν ὑπάρχει μὲν κανεὶς ποὺ νὰ ἐπιτιμᾷ τὰ ὅσα συμβαίνουν, ἐνῷ εἶναι πολλοὶ ἐκεῖνοι ποὺ ζηλεύουν καὶ στενοχωροῦνται, διότι δὲν κάμνουν τὰ ἴδια μὲ αὐτούς· ὥστε καὶ αὐτοὶ εἶναι ἄξιοι τιμωρίας ἂν καὶ δὲν πράττουν τὰ κακά· διότι «ὄχι μόνον κάμνουν αὐτά, ἀλλὰ καὶ ἐπαινοῦν ἐκείνους ποὺ τὰ κάμνουν»[24]· καθ' ὅσον καὶ ἡ προθυμία των διεφθάρη καθ' ὅμοιον τρόπον, καὶ ἐπομένως γίνεται φανερὸν ὅτι εἶναι δυνατὸν νὰ τιμωρηθοῦν καὶ διὰ τὴν διάθεσίν των. Αὐτὰ καθημερινῶς τὰ λέγω καὶ δὲν θὰ παύσω νὰ τὰ λέγω· ἂν λοιπὸν μερικοὶ τὰ ἀκούσουν, θὰ ἔχουν κέρδος, ἐὰν ὅμως κανεὶς δὲν τὰ προσέχῃ, τότε θὰ τὰ ἀκούσετε αὐτὰ τότε, ποὺ δὲν θὰ ἔχετε

τότε ἀκούσεσθε ταῦτα, ὅτε κέρδος οὐδὲν ὑμῖν, καὶ μέμψεσθε ἑαυτοῖς, καὶ τῆς αἰτίας ἡμεῖς καθαροί.

Ἀλλὰ μὴ γένοιτο ταύτην μόνον ἡμᾶς τὴν ἀπολογίαν ἔχειν, ἀλλὰ καὶ καύχημα ὑμᾶς γενέσθαι ἡμῶν παρὰ τῷ βήματι τοῦ Χριστοῦ, ἵνα κοινῇ τῶν ἀγαθῶν ἀπολαύσωμεν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

κανὲν κέρδος, καὶ θὰ μεμφθῆτε τοὺς ἑαυτούς σας, ἡμεῖς ὅμως θὰ εἴμεθα καθαροί.

Ἀλλ' εὔχομαι νὰ μὴ συμβῇ ὄχι μόνον νὰ ἔχωμεν ἡμεῖς αὐτὴν τὴν ἀπολογίαν, ἀλλὰ καὶ νὰ γίνετε σεῖς καύχημά μας ἐμπρὸς εἰς τὸ βῆμα τοῦ Χριστοῦ, διὰ ν' ἀπολαύσωμεν ὅλοι μαζὶ τὰ ἀγαθὰ μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα ἀνήκει ἡ δόξα, συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΠΓ΄

Ἰω. 18, 1-37

«Ταῦτα εἰπὼν ὁ Ἰησοῦς, ἐξῆλθε σὺν τοῖς μαθηταῖς αὐτοῦ πέραν τοῦ χειμάρρου τῶν Κέδρων, ὅπου ἦν κῆπος, εἰς ὃν εἰσῆλθεν αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ».

1. Φρικτὸν ὁ θάνατος καὶ φόβου γέμον πολλοῦ, ἀλλ' οὐ παρὰ τοῖς τὴν ἄνω φιλοσοφίαν εἰδόσιν· ὁ μὲν γάρ, μηδὲν περὶ τῶν μελλόντων σαφὲς ἐπιστάμενος, ἀλλὰ διάλυσίν τινα καὶ τελευτὴν ζωῆς τὸ πρᾶγμα νομίζων, εἰκότως φρίττει καὶ δέδοικεν, ὡς εἰς τὸ μὴ εἶναι χωρῶν, ἡμεῖς δέ, τῇ τοῦ Θεοῦ χάριτι τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας αὐτοῦ μαθόντες, καὶ ἀποδημίαν τὸ πρᾶγμα εἶναι νομίζοντες, οὐκ ἂν εἴημεν δίκαιοι τρέμειν, ἀλλὰ καὶ χαίρειν καὶ εὐθυμεῖσθαι, ὅτι, τὸν ἐπίκηρον τοῦτον βίον ἀφέντες, ἐφ' ἕτερον ἐρχόμεθα, ἀμείνω πολλῷ καὶ λαμπρότερον καὶ τέλος οὐκ ἔχοντα· ἅπερ οὖν καὶ ὁ Χριστὸς διδάσκων διὰ τῶν ἔργων, οὐ βίᾳ καὶ ἀνάγκῃ, ἀλλ' ἑκὼν ἐπὶ τὸ πάθος ἔρχεται. «Ταῦτα», φησίν, «ἐλάλησεν ὁ Ἰησοῦς, καὶ ἀπῆλθε πέραν τοῦ χειμάρρου τῶν Κέδρων, ὅπου ἦν κῆπος, εἰς ὃν εἰσῆλθεν αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ· Ἤδει δὲ καὶ ὁ Ἰούδας, ὁ παραδιδοὺς αὐτόν, τὸν τόπον, ὅτι πολλάκις συνήχθη ὁ Ἰησοῦς ἐκεῖ μετὰ τῶν μαθητῶν αὐτοῦ». Μεσονυκτίων ὁδοιπορεῖ, καὶ ποταμὸν διαβαίνει, καὶ ἐπείγεται πρὸς τὸν τῷ προδότῃ γνώριμον τόπον ἐλθεῖν, ἐκκόπτων τοῖς ἐπιβουλεύουσι τὸν πόνον, καὶ ἀπαλ-

ΟΜΙΛΙΑ ΠΓ΄

Ἰω. 18, 1 - 37

«Ἀφοῦ εἶπεν αὐτὰ ὁ Ἰησοῦς, ἐξῆλθε μαζὶ μὲ τοὺς μαθητάς του καὶ μετέβη εἰς τὸν τόπον πέραν ἀπὸ τὸν χείμαρρον τῶν Κέδρων, ὅπου ὑπῆρχε κῆπος, εἰς τὸν ὁποῖον εἰσῆλθεν αὐτὸς καὶ οἱ μαθηταί του».

1. Εἶναι φρικτὸν πρᾶγμα ὁ θάνατος καὶ γεμᾶτον ἀπὸ πολὺν φόβον, ἀλλ' ὄχι δι' ἐκείνους ποὺ γνωρίζουν τὴν οὐράνιον φιλοσοφίαν· διότι ἐκεῖνος μὲν ποὺ δὲν γνωρίζει τίποτε τὸ σαφὲς περὶ τῶν μελλόντων πραγμάτων, ἀλλὰ θεωρεῖ τὸ πρᾶγμα ὡς διάλυσιν καὶ τέλος τῆς ζωῆς, εἶναι φυσικὸν νὰ φρίττῃ καὶ νὰ φοβῆται, μὲ τὴν σκέψιν ὅτι προχωρεῖ πρὸς τὴν ἀνυπαρξίαν, ἡμεῖς ὅμως, ποὺ ἐμάθομεν μὲ τὴν χάριν τοῦ Θεοῦ τὰ ἄγνωστα καὶ τὰ ἀπόκρυφα τῆς σοφίας του καὶ θεωροῦμεν τὸ πρᾶγμα μετάβασιν ἀπὸ τὴν ἐδῶ ζωὴν εἰς τὴν ἄλλην, δὲν θὰ ἦτο δίκαιον νὰ τρέμωμεν, ἀλλὰ καὶ νὰ χαιρώμεθα καὶ νὰ εἴμεθα εὔθυμοι, διότι, ἀφήνοντες αὐτὸν τὸν φθαρτὸν βίον, μεταβαίνομεν εἰς ἄλλον. πολὺ πιὸ καλύτερον καὶ λαμπρότερον καὶ ποὺ τέλος δὲν ἔχει· ἀκριβῶς αὐτὰ λοιπὸν διδάσκων καὶ ὁ Χριστὸς μὲ τὰ ἔργα του, ἔρχεται πρὸς τὸ πάθος του ὄχι διὰ τῆς βίας καὶ ἀναγκαστικά, ἀλλὰ μὲ τὴν θέλησίν του. «Αὐτά», λέγει, «εἶπεν ὁ Ἰησοῦς καὶ μετέβη πρὸς τὸν τόπον ποὺ ἦτο πέραν ἀπὸ τὸν χείμαρρον τῶν Κέδρων, ὅπου ὑπῆρχε κῆπος, εἰς τὸν ὁποῖον εἰσῆλθεν αὐτὸς καὶ οἱ μαθηταί του. Ἐγνώριζε δὲ τὸν τόπον καὶ ὁ Ἰούδας ποὺ ἐπρόδωσεν αὐτόν, διότι πολλὲς φορὲς ἐσύχνασεν ἐκεῖ ὁ Ἰησοῦς μαζὶ μὲ τοὺς μαθητάς του». Μέσα εἰς τὰ μεσάνυχτα ὁδοιπορεῖ καὶ περνᾷ ποταμὸν καὶ βιάζεται νὰ ἔλθῃ πρὸς τὸν τόπον ποὺ ἦτο γνωστὸς εἰς τὸν προδότην, ὀλιγοστεύων τὸν κόπον ἐκείνων

λάτων ταλαιπωρίας αὐτοὺς ἁπάσης, καὶ δείκνυσι τοῖς μαθηταῖς ὅτι ἑκὼν ἐπὶ τὸ πρᾶγμα ἔρχεται (ὅπερ ἱκανὸν αὐτοὺς μάλιστα παραμυθήσασθαι ἦν), καὶ καθίστησιν ἑαυτόν, ὥσπερ ἐν δεσμωτηρίῳ, ἐν τῷ κήπῳ.

«Ταῦτα ἐλάλησεν αὐτοῖς». Τί λέγεις; Καὶ μὴν τῷ Πατρὶ διελέγετο· καὶ μὴν ηὔχετο. Διὰ τί οὖν μὴ λέγεις ὅτι, παυσάμενος τῆς εὐχῆς, ἦλθεν ἐκεῖ; Ὅτι οὐκ εὐχὴ ἦν, ἀλλὰ λαλιά, διὰ τοὺς μαθητὰς γινομένη. Καὶ εἰσῆλθον οἱ μαθηταὶ αὐτοῦ εἰς τὸν κῆπον. Οὕτως αὐτοὺς τοῦ δέους ἀπήλλαξεν, ὡς μὴ ἀντιτεῖναι λοιπόν, ἀλλὰ καὶ εἰς τὸν κῆπον εἰσελθεῖν. Πῶς δὲ ὁ Ἰούδας ἐκεῖ ἤρχετο; ἢ πόθεν μαθὼν ἐκεῖ ἦλθεν; Ἐντεῦθεν δῆλον ὅτι τὰ πολλὰ ἔξω διενυκτέρευεν· οὐ γὰρ ἄν, εἴ γε οἴκοι διῆγεν, ἐπὶ τὴν ἔρημον ὁ Ἰούδας ἦλθεν, ἀλλ' ἐπὶ τὴν οἰκίαν, ἐκεῖ προσδοκῶν αὐτὸν εὑρήσειν καθεύδοντα. Ἵνα δὲ μή, ἀκούσας κῆπον, κρύπτεσθαι νομίσῃς, ἐπήγαγεν ὅτι «ᾔδει ὁ Ἰούδας τὸν τόπον», καὶ οὐχ ἁπλῶς, ἀλλ' «ὅτι καὶ πολλάκις συνήχθη ἐκεῖ μετὰ τῶν μαθητῶν αὐτοῦ»· καὶ γὰρ πολλάκις αὐτοῖς συνεγένετο ἰδίᾳ, περὶ ἀναγκαίων διαλεγόμενος, καὶ ὧν οὐ θέμις ἑτέρους ἀκοῦσαι. Ποιεῖ δὲ τοῦτο καὶ ἐν ὄρεσι καὶ ἐν κήποις μάλιστα, καθαρὸν θορύβων ἐπιζητῶν ἀεὶ χωρίον, ὥστε μὴ τὴν διάνοιαν ἐκκρούεσθαι τῆς ἀκροάσεως.

«Ὁ δὲ Ἰούδας, παραλαβὼν τὴν σπεῖραν, καὶ ἐκ τῶν ἀρχιερέων καὶ Φαρισαίων ὑπηρέτας, ἔρχεται ἐκεῖ». Καὶ οὗτοι πολλάκις καὶ ἄλλοτε ἔπεμψαν συλλαβεῖν αὐτόν, ἀλλ' οὐκ ἴσχυσαν. Ὅθεν δῆλον ὅτι καὶ τότε ἑκὼν ἑαυτὸν ἐξέδωκε. Καὶ πῶς τὴν σπεῖραν ἔπεισαν; Ἄνδρες ἦσαν στρατιῶται, χρη-

πού τόν ἐπεβουλεύοντο καί ἀπαλλάσων αὐτούς ἀπό κάθε ταλαιπωρίαν, καί δείχνει εἰς τούς μαθητάς του, ὅτι μέ τήν θέλησίν του ἔρχεται πρός αὐτό πού πρόκειται νά συμβῆ (πρᾶγμα πού ἦτο ἱκανόν κατ' ἐξοχήν νά τούς παρηγορήση) καί ὁδηγεῖ τόν ἑαυτόν του εἰς τόν κῆπον, ὡσάν ἀκριβῶς εἰς δεσμωτήριον.

«Αὐτά εἶπεν εἰς αὐτούς». Τί λέγεις; Καί βέβαια μέ τόν Πέτρον συνομιλοῦσε· καί βέβαια προσηύχετο. Διατί λοιπόν δέν λέγεις, ὅτι ἦλθεν ἐκεῖ, ἀφοῦ ἔπαυσε τήν προσευχήν; Διότι δέν ἦτο προσευχή, ἀλλά ὁμιλία πού ἔγινε διά τούς μαθητάς. Καί εἰσῆλθον οἱ μαθηταί του εἰς τόν κῆπον. Μέ αὐτόν τόν τρόπον τούς ἀπήλλαξεν ἀπό τόν φόβον, ὥστε νά μή προβάλλουν πλέον ἀντίρρησιν, ἀλλά καί εἰς τόν κῆπον νά εἰσέλθουν. Πῶς δέ ὁ Ἰούδας ἐκεῖ ἤρχετο; ἤ ἀπό ποῦ τό ἔμαθε καί ἦλθεν ἐκεῖ; Ἀπό αὐτό γίνεται φανερόν ὅτι τάς πιό πολλάς φοράς ὁ Ἰησοῦς διενυκτέρευεν ἔξω· διότι δέν θά ἦτο δυνατόν νά ἔλθῃ ὁ Ἰούδας εἰς τόν ἔρημον τόπον, ἐάν βέβαια διέμενεν εἰς οἰκίαν, ἀλλά θά ἤρχετο εἰς τήν οἰκίαν, ἐλπίζων νά εὕρῃ αὐτόν ἐκεῖ νά κοιμᾶται. Διά νά μή νομίσῃς δέ, ἀκούσας κῆπον, ὅτι κρύπτεται, ἐπρόσθεσεν, ὅτι «ἐγνώριζεν ὁ Ἰούδας τόν τόπον», καί ὄχι ἁπλῶς τόν ἐγνώριζεν, ἀλλ' «ὅτι καί πολλές φορές ἐσύχναζεν ἐκεῖ μαζί μέ τούς μαθητάς του»· καθ' ὅσον πολλές φορές μετέβαινε μαζί μέ αὐτούς εἰς ἰδιαίτερον μέρος, συνομιλῶν διά ἀναγκαῖα πράγματα καί τά ὁποῖα δέν ἔπρεπεν ἄλλοι νά τά ἀκούσουν. Τό κάμνει δέ αὐτό καί εἰς τά ὄρη καί πρό πάντων εἰς τούς κήπους, ἐπιζητῶν πάντοτε τόπον ἀπηλλαγμένον ἀπό θορύβους, ὥστε νά μή ἀποσπᾶται ὁ νοῦς των ἀπό τήν ἀκρόασιν.

«Ὁ δέ Ἰούδας, ἀφοῦ ἔλαβε τήν σπεῖραν καί ὑπηρέτας ἀπό τούς ἀρχιερεῖς καί φαρισαίους, ἔρχεται ἐκεῖ». Καί αὐτοί πολλές φορές ἔστειλαν ἀνθρώπους διά νά τόν συλλάβουν, ἀλλά δέν ἠμπόρεσαν. Ἐπομένως εἶναι φανερόν ὅτι καί τότε μέ τήν θέλησίν του παρέδωσε τόν ἑαυτόν του. Καί πῶς ἔπεισαν τήν σπεῖραν νά τό κάμη αὐτό; Αὐτοί ἦσαν ἄνδρες στρατιῶται, πού εἶχον συνηθίσει τά πάντα νά πράτ-

μάτων ποιεῖν πάντα μεμελετηκότες. «Ἰησοῦς δέ, εἰδὼς πάντα τὰ ἐρχόμενα ἐπ' αὐτόν, ἐξῆλθε, καὶ λέγει αὐτοῖς· Τίνα ζητεῖτε;». Τουτέστιν, οὐκ ἀπὸ τῆς παρουσίας ἐκείνων περιέμενεν αὐτὰ μαθεῖν, ἀλλ' ἀταράχως, ὡς πάντα εἰδὼς ταῦτα, οὕτω καὶ ἔλεγε καὶ ἐποίει. Διὰ τί δὲ μετὰ ὅπλων ἐπέρχονται, μέλλοντες συλλαμβάνειν; Ἐδεδοίκεσαν τοὺς ἑπομένους, καὶ διὰ τοῦτο καὶ ἀωρὶ τῶν νυκτῶν ἐπέστησαν. «Καὶ ἐξελθὼν λέγει αὐτῖς· Τίνα ζητεῖτε; Οἱ δὲ λέγουσιν· Ἰησοῦν τὸν Ναζωραῖον». Εἶδες δύναμιν ἄμαχον, πῶς, ἐν μέσῳ ὤν, ἐπήρωσεν αὐτῶν τοὺς ὀφθαλμούς; Ὅτι γὰρ οὐ τὸ σκότος αἴτιον ἦν, ἐδήλωσεν ὁ Εὐαγγελιστής, εἰπὼν ὅτι καὶ λαμπάδας εἶχον. Εἰ δὲ μὴ λαμπάδες ἦσαν, ἀπὸ τῆς φωνῆς γοῦν ἔδει γνωρίσαι· εἰ δὲ καὶ ἐκεῖνοι ἠγνόουν, πῶς ὁ Ἰούδας ἠγνόησεν, ὁ συνὼν αὐτῷ διηνεκῶς; καὶ γὰρ καὶ αὐτὸς εἱστήκει μετ' αὐτῶν, καὶ οὐδὲν ᾔδει πλέον, ἀλλὰ καὶ ἔπεσε μετ' αὐτῶν ὕπτιος. Ἐποίησε δὲ τοῦτο ὁ Ἰησοῦς, δηλῶν ὅτι οὐ μόνον συλλαβεῖν αὐτὸν οὐ δύνανται, ἀλλ' οὐδὲ ἰδεῖν ἐν μέσῳ ὄντα, εἰ μὴ αὐτὸς ἐνδοίη.

Πάλιν λέγει αὐτοῖς· «Τίνα ζητεῖτε;». Ὢ τῆς ἀνοίας! τὸ ῥῆμα αὐτοῦ ἔβαλεν αὐτοὺς ὑπτίους, καὶ οὐδὲ οὕτως ἐπέστρεψαν, τοσαύτην μαθόντες δύναμιν, ἀλλὰ πάλιν ἐπιτίθενται τοῖς αὐτοῖς. Ἐπεὶ οὖν τὰ αὐτοῦ πάντα ἐπλήρωσε, τότε λοιπὸν ἑαυτὸν παραδίδωσι, καὶ λέγει αὐτοῖς· «Εἶπον ὑμῖν ὅτι ἐγώ εἰμι. Εἱστήκει δὲ καὶ Ἰούδας, ὁ παραδιδοὺς αὐτόν». Ὅρα τὸ ἀνεπαχθὲς τοῦ Εὐαγγελιστοῦ, πῶς οὐχ ὑβρίζει τὸν προδότην, ἀλλὰ διηγεῖται τὸ γεγονός, ἓν μόνον δεῖξαι σπουδάζων, ὅτι τὸ πᾶν τῆς αὐτοῦ συγχωρήσεως γέγονεν. Εἶτα, ἵνα μή τις λέγῃ ὅτι αὐτὸς αὐτοὺς εἰς τοῦτο ἤγαγεν, ἑαυτὸν ἐγχειρίσας, καὶ δῆλον καταστήσας αὐτοῖς, ἐπιδειξάμενος ἅπαντα, ἅπερ ἱκανὰ ἦν αὐτοὺς ἀνακρούσασθαι, ἐ-

τουν έναντι χρημάτων. «Ό δέ Ἰησοῦς, γνωρίζων ὅλα ἐκεῖνα ποὺ θὰ τοῦ συνέβαινον, ἐπροχώρησε καὶ λέγει εἰς αὐτούς»˙ «Ποῖον ζητεῖτε;». Δηλαδὴ δὲν ἐπερίμενε νὰ τὰ μάθη αὐτὰ ἀπὸ τὴν παρουσίαν ἐκείνων, ἀλλὰ ἀτάραχος, ὡς γνωρίζων ὅλα αὐτά, ἔτσι καὶ ἔλεγε καὶ ἔπραττε. Διατί δὲ ἔρχονται ἐναντίον του, προκειμένου νὰ τὸν συλλάβουν, μὲ ὅπλα; Ἐφοβοῦντο ἐκείνους ποὺ τὸν ἀκολουθοῦσαν καὶ διὰ τοῦτο καὶ ἦλθον ἀργὰ τὴν νύκτα. «Καὶ προχωρήσας, λέγει εἰς αὐτούς˙ Ποῖον ζητεῖτε; Ἐκεῖνοι δὲ λέγουν˙ Ἰησοῦν τὸν Ναζωραῖον». Εἶδες δύναμιν ἀκαταμάχητον, πῶς, ἐνῷ εὑρίσκετο ἀνάμεσά των, ἐτύφλωσε τοὺς ὀφθαλμούς των; Διότι, τὸ ὅτι δὲν ἦτο αἴτιον τῆς τυφλώσεώς των τὸ σκότος, τὸ ἐφανέρωσεν ὁ εὐαγγελιστής, λέγων, ὅτι καὶ λαμπάδας εἶχον. Καὶ ἂν ἀκόμη δὲν ὑπῆρχον λαμπάδες, ἔπρεπεν ἀπὸ τὴν φωνὴν νὰ τὸν γνωρίσουν˙ ἐὰν δὲ καὶ ἐκεῖνοι δὲν τὸν ἐγνώριζον, πῶς τὸν ἠγνόησεν ὁ Ἰούδας, αὐτὸς ποὺ τὸν συνανεστρέφετο συνεχῶς; καθ' ὅσον καὶ αὐτὸς εὑρίσκετο μαζὶ μὲ αὐτούς, καὶ τίποτε ἐπὶ πλέον δὲν ἐγνώριζεν, ἀλλὰ καὶ ἔπεσε κατὰ γῆς μαζὶ μὲ αὐτούς. Τὸ ἔκαμε δὲ αὐτὸ ὁ Ἰησοῦς, διὰ νὰ δείξῃ ὅτι, ὄχι μόνον δὲν ἠμποροῦν νὰ τὸν συλλάβουν, ἀλλ' οὔτε νὰ τὸν ἰδοῦν ἂν καὶ εὑρίσκεται ἀνάμεσά των, ἐὰν αὐτὸς δὲν τὸ ἐπιτρέψῃ.

Πάλιν λέγει εἰς αὐτούς˙ «Ποῖον ζητεῖτε;». Ὢ μέγεθος ἀνοησίας! ὁ λόγος του τοὺς ἔρριψε κατὰ γῆς καὶ οὔτε ἔτσι ἐπέστρεψαν, ἂν καὶ ἐγνώρισαν τόσην μεγάλην δύναμίν του, ἀλλὰ πάλιν ἐπιτίθενται ἐναντίον του μὲ τὸν ἴδιον τρόπον. Ὅταν λοιπὸν ἐτελείωσεν ὅλα ὅσα ἔπρεπε νὰ κάμῃ, τότε πλέον παραδίδει τὸν ἑαυτόν του, καὶ λέγει εἰς αὐτούς˙ «Σᾶς εἶπα ὅτι ἐγὼ εἶμαι. Ἦτο δὲ παρὼν ἐκεῖ καὶ ὁ Ἰούδας, ποὺ παρέδωσεν αὐτόν». Πρόσεχε τὴν μετριοφροσύνην τοῦ εὐαγγελιστοῦ, πῶς δὲν ὑβρίζει τὸν προδότην, ἀλλὰ διηγεῖται τὸ γεγονός, μὲ σκοπὸν νὰ δείξῃ ἕνα μόνον, ὅτι τὸ πᾶν συνέβη ἐπειδὴ τὸ ἐπέτρεψεν ὁ Ἰησοῦς. Ἔπειτα, διὰ νὰ μὴ λέγῃ κανεὶς ὅτι αὐτὸς ὡδήγησεν αὐτοὺς εἰς αὐτό, παραδώσας τὸν ἑαυτόν του καὶ φανερώσας αὐτὸν εἰς αὐτούς, ἀφοῦ τοὺς ἐφανέρωσεν ὅλα ἐκεῖνα ποὺ

πειδὴ ἐπέμενον τῇ κακίᾳ, καὶ οὐδεμίαν εἶχον ἀπολογίαν, τότε ἑαυτὸν ἐνεχείρισε, λέγων· «Εἰ οὖν ἐμὲ ζητεῖτε, ἄφετε τούτους ὑπάγειν», μέχρι τῆς ἐσχάτης ὥρας τὴν εἰς αὐτοὺς φιλανθρωπίαν ἐνδεικνύμενος. Εἰ γὰρ ἐμοῦ δεῖσθε', φησί, μηδὲν ὑμῖν ἔστω πρὸς τούτοις κοινόν· ἰδοὺ γὰρ ἐμαυτὸν παραδίδωμι.

«Ἵνα πληρωθῇ ὁ λόγος, ὃν εἶπεν ὅτι οὐκ ἀπώλεσα ἐξ αὐτῶν οὐδένα». Ἀπώλειαν δὲ ἐνταῦθα οὐ ταύτην φησὶ τὴν τοῦ θανάτου, ἀλλ' ἐκείνην τὴν αἰώνιον. Ὁ δὲ Εὐαγγελιστὴς καὶ ἐπὶ τοῦ παρόντος αὐτὸ παρέλαβε. Θαυμάσειε δ' ἄν τις, πῶς καὶ αὐτοὺς οὐ συνέλαβον μετ' αὐτοῦ καὶ κατέκοψαν, καὶ μάλιστα, τοῦ Πέτρου παροξύναντος αὐτοὺς δι' ὧν εἰς τὸν δοῦλον ἐποίησε. Τίς οὖν αὐτοὺς κατεῖχεν; Ἄλλος μὲν οὐδείς, ἡ δὲ ῥίψασα αὐτοὺς δύναμις ὑπτίους· ὅπερ οὖν καὶ ὁ Εὐαγγελιστὴς δηλῶν, ὅτι οὐ τῆς ἐκείνων γνώμης ἦν, ἀλλὰ τῆς τοῦ συλληφθέντος δυνάμεώς τε καὶ ἀποφάσεως, ἐπήγαγεν· «Ἵνα ὁ λόγος πληρωθῇ, ὃν εἶπεν, ὅτι οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο».

2. Ὁ γοῦν Πέτρος, θαρσήσας ταύτῃ τῇ φωνῇ καὶ τοῖς ἤδη γεγενημένοις, ὁπλίζεται κατὰ τῶν ἐπελθόντων. Καὶ πῶς, φησίν, ὁ κελευσθεὶς μὴ πήραν ἔχειν, μὴ δύο χιτῶνας, μάχαιραν ἔχει; Ἐμοὶ δοκεῖ τοῦτο αὐτὸ δεδοικὼς παρεσκευάσθαι πάλαι. Εἰ δὲ λέγεις, 'Πῶς ὁ κελευσθεὶς μὴ ῥαπίζειν, ἀνδροφόνος γίνεται;'. Μάλιστα μὲν μὴ ἀμύνεσθαι προσετάχθη, ἐνταῦθα δὲ οὐχ ἑαυτῷ ἤμυνεν, ἀλλὰ τῷ Διδασκάλῳ. Ἔπειτα δὲ οὐδὲ τέλειοί πως καὶ ἀπηρτισμένοι ἦσαν. Σὺ δέ, εἰ βούλει Πέτρον φιλοσοφοῦντα ἰδεῖν, ὄψει μετὰ ταῦτα τραυματιζόμενον, καὶ πρᾴως φέροντα, καὶ μυρία πάσχοντα δεινά, καὶ οὐ παροξυνόμενον. Ὁ δὲ Ἰησοῦς καὶ ἐνταῦθα θαυ-

ἦσαν ἱκανὰ νὰ τοὺς ἀποτρέψουν, ἐπειδὴ ἐπέμενον εἰς τὴν κακίαν καὶ δὲν εἶχον καμμίαν δικαιολογίαν, τότε παρέδωσε τὸν ἑαυτόν του, λέγων· «Ἐὰν λοιπὸν ζητῆτε ἐμένα, ἀφήσατε αὐτοὺς νὰ φύγουν», δεικνύων μέχρι τὴν τελευταίαν ὥραν τὴν φιλανθρωπίαν του πρὸς αὐτούς. Διότι λέγει· ῎Εὰν χρειάζεσθε ἐμένα μὴ ἔχετε τότε τίποτε μαζὶ μὲ αὐτούς· διότι νὰ ἐγὼ παραδίδω τὸν ἑαυτόν μου'.

«Διὰ νὰ ἐκπληρωθῇ ὁ λόγος ποὺ εἶπεν, ὅτι δὲν ἔχασα κανένα ἀπὸ αὐτούς». Ἀπώλειαν δὲ ἐδῶ δὲν ὀνομάζει τὸν θάνατόν των, ἀλλ' ἐκείνην τὴν αἰώνιον. Ὁ δὲ εὐαγγελιστὴς ἐξέλαβεν αὐτὸ καὶ διὰ τὴν στιγμὴν ἐκείνην. Θὰ ἠμποροῦσε δὲ κανεὶς νὰ θαυμάσῃ, πῶς δὲν συνέλαβον καὶ αὐτοὺς μαζὶ μὲ ἐκεῖνον καὶ δὲν τοὺς ἐφόνευσαν, καὶ μάλιστα τὴν στιγμὴν ποὺ ὁ Πέτρος παρώργισεν αὐτοὺς μὲ ἐκεῖνα ποὺ ἔκαμεν εἰς τὸν δοῦλον. Ποῖος λοιπὸν συνεκράτει αὐτούς; Κανεὶς δὲ ἄλλος ἀπὸ τὴν δύναμιν ἐκείνην ποὺ ἔρριψεν αὐτοὺς κατὰ γῆς, πρᾶγμα λοιπὸν ποὺ διὰ νὰ δείξῃ καὶ ὁ Εὐαγγελιστής, ὅτι δὲν ἦτο ἀποτέλεσμα τῆς θελήσεως τῶν Ἰουδαίων, νὰ μὴ πάθουν τίποτε, ἀλλὰ τῆς δυνάμεως καὶ ἀποφάσεως τοῦ συλληφθέντος, ἐπρόσθεσε· «Διὰ νὰ ἐκπληρωθῇ ὁ λόγος ποὺ εἶπεν, ὅτι κανεὶς δὲν ἐχάθη ἀπὸ αὐτούς».

2. Ὁ Πέτρος λοιπόν, λαβὼν θάρρος ἀπὸ αὐτὰ τὰ λόγια καὶ τὰ ὅσα συνέβησαν ἤδη, ὁπλίζεται ἐναντίον ἐκείνων ποὺ ἦλθον ἐναντίον των. Καὶ πῶς, λέγει, ἐκεῖνος ποὺ ἔλαβεν ἐντολὴν νὰ μὴ ἔχῃ σάκκον, οὔτε δύο χιτῶνας, ἔχει μάχαιραν; Ἔχω τὴν γνώμην ὅτι προητοιμάσθη ἀπὸ παλαιὰ δι' αὐτὸ ἐπειδὴ ἐφοβεῖτο αὐτὸ τὸ πρᾶγμα. Ἐὰν δὲ λέγῃς, 'Πῶς ἐκεῖνος ποὺ ἔλαβεν ἐντολὴν νὰ μὴ ραπίζῃ, γίνεται ἀνθρωποκτόνος;'. Βεβαιότατα ἔλαβεν ἐντολὴν μὲν νὰ μὴ ἀμύνεται, ἐδῶ ὅμως δὲν ἠμύνθη τὸν ἑαυτόν του, ἀλλὰ τὸν διδάσκαλόν του. Ἔπειτα δὲ δὲν ἦσαν ἀκόμη τέλειοι καὶ πνευματικὰ ὁλοκληρωμένοι. Σὺ ὅμως, ἐὰν θέλῃς νὰ ἰδῇς τὴν φιλοσοφηκότητα τοῦ Πέτρου, θὰ τὸν ἰδῇς εἰς τὴν συνέχειαν νὰ τραυματίζεται καὶ νὰ τὸ ὑπομένῃ μὲ πραότητα, καὶ νὰ πάσχῃ ἀμέτρητα κακὰ καὶ νὰ μὴ παροργίζεται. Ὁ

ματουργεῖ, ὁμοῦ τε παιδεύων ὅτι τοὺς ποιοῦντας κακῶς εὐεργετεῖν χρή, καὶ τὴν δύναμιν ἐκκαλύπτων τὴν ἑαυτοῦ. Τούτῳ μὲν οὖν τὸ ὠτίον ἀπέδωκε, Πέτρῳ δέ φησιν ὅτι «πάντες, οἱ λαβόντες μάχαιραν, ἐν μαχαίρᾳ ἀπολοῦνται». Ὥσπερ καὶ ἐπὶ τοῦ νιπτῆρος ἐποίησε, δι' ἀπειλῆς τὸν τόνον αὐτοῦ χαλάσας, οὕτω καὶ ἐνταῦθα. Τὸ δὲ ὄνομα τοῦ δούλου προστίθησιν ὁ Εὐαγγελιστής, ἐπειδὴ πολὺ μέγα τὸ γινόμενον ἦν, οὐχ ὅτι ἐθεράπευσε μόνον, ἀλλ' ὅτι καὶ τὸν ἐπ' αὐτῷ ἐλθόντα, καὶ μικρὸν ὕστερον μέλλοντα ῥαπίζειν αὐτόν, καὶ ὅτι τὸν ἐντεῦθεν μέλλοντα ἀναρριπίζεσθαι πόλεμον κατὰ τῶν μαθητῶν ἐπέχει. Διὰ τοῦτο καὶ τὸ ὄνομα τέθεικεν ὁ Εὐαγγελιστής, ὥστε τοῖς τότε ἀναγινώσκουσιν ἐξεῖναι ζητῆσαι καὶ περιεργάσασθαι, εἴ γε ὄντως γέγονε τὰ γεγενημένα. Οὐχ ἁπλῶς δὲ καὶ τὸ δεξιὸν ὠτίον λέγει, ἀλλ' ἐμοὶ δοκεῖ, τὴν ὁρμὴν εἰπεῖν τοῦ Ἀποστόλου θέλων, ὅτι σχεδὸν ἐπ' αὐτὴν ὥρμησε τὴν κεφαλήν. Ἀλλ' ὁ Ἰησοῦς οὐκ ἀπειλῇ μόνον αὐτὸν κατέχει, ἀλλὰ καὶ ἑτέροις παραμυθεῖται, λέγων· «Τὸ ποτήριον, ὃ δέδωκέ μοι ὁ Πατήρ, οὐ μὴ πίω αὐτό;», δεικνὺς ὅτι οὐ τῆς ἐκείνων δυνάμεως τὸ γινόμενον, ἀλλὰ τῆς αὐτοῦ συγχωρήσεως, καὶ δηλῶν ὅτι οὐκ ἔστιν ἀντίθεός τις, ἀλλ' ὑπήκοος μέχρι θανάτου τῷ Πατρί.

«Τότε λοιπὸν συλλαμβάνεται ὁ Ἰησοῦς, καὶ ἔδησαν αὐτόν, καὶ ἀπήγαγον πρὸς Ἄνναν». Διὰ τί «πρὸς Ἄνναν»; Ὑπὸ τῆς ἡδονῆς ἐνεπόμπευον τοῖς γινομένοις, ὡς δὴ τρόπαιον στήσαντες. «Ἦν δὲ οὗτος πενθερὸς τοῦ Καϊάφα· ὁ δὲ Καϊάφας οὗτος ἦν ὁ συμβουλεύσας τοῖς Ἰουδαίοις ὅτι συμφέρει ἕνα ἄνθρωπον ἀποθανεῖν». Τί πάλιν ὑπέμνησεν ἡμᾶς τῆς προφητείας ὁ Εὐαγγελιστής; Δηλῶν ὅτι ὑπὲρ σωτηρίας ταῦτα ἐγίνετο. Καὶ τοσαύτη τῆς ἀληθείας ἡ ὑπερβολή, ὡς καὶ τοὺς ἐχθροὺς αὐτὰ προαναφωνεῖν. Ἵνα μὴ γὰρ δε-

1. Ματθ. 26, 52.
2. Ἰω. 13, 6 - 10.

δὲ Ἰησοῦς καὶ ἐδῶ θαυματουργεῖ, διδάσκων συγχρόνως ὅτι πρέπει νὰ εὐεργετοῦμεν ἐκείνους ποὺ μᾶς κακοποιοῦν, καὶ ἀποκαλύπτων τὴν δύναμίν του. Εἰς αὐτὸν λοιπὸν ἀπέδωκε τὸ αὐτί του, εἰς δὲ τὸν Πέτρον λέγει, ὅτι «Ὅλοι ποὺ κρατοῦν μάχαιραν, μὲ μάχαιραν θὰ πεθάνουν»[1]. Ὅπως ἀκριβῶς ἔκαμε καὶ εἰς τὴν περίπτωσιν τοῦ νιπτῆρος, ἐλαττώσας μὲ τὴν ἀπειλὴν τὴν ἔντασιν τῆς προθυμίας του δι' αὐτόν[2], ἔτσι καὶ ἐδῶ. Ὁ Εὐαγγελιστὴς δὲ προσθέτει τὸ ὄνομα τοῦ δούλου, ἐπειδὴ ἦτο πάρα πολὺ σπουδαῖον τὸ συμβάν, ὄχι μόνον ἐπειδὴ τὸν ἐθεράπευσεν, ἀλλ' ἐπειδὴ ἦτο ἐκεῖνος ποὺ ἦλθεν ἐναντίον του, καὶ ὀλίγον ἀργότερα ἐπρόκειτο νὰ ραπίσῃ αὐτόν, καὶ ἐμποδίζει τὸν πόλεμον ποὺ ἐπρόκειτο νὰ ἐκσπάσῃ κατὰ τῶν μαθητῶν ἀπὸ αὐτὸ τὸ γεγονός. Διὰ τοῦτο καὶ τὸ ὄνομα ἀνέφερεν ὁ Εὐαγγελιστής, ὥστε νὰ εἶναι δυνατὸν εἰς ἐκείνους ποὺ θὰ ἀνεγίνωσκον αὐτὰ νὰ ζητήσουν καὶ νὰ ἐξετάσουν, ἐὰν πράγματι συνέβησαν τὰ γεγονότα αὐτά. Καὶ δὲν ἀναφέρει δὲ τυχαῖα τὸ δεξὶ αὐτί, ἀλλά, κατὰ τὴν γνώμην μου, ἐπειδὴ θέλει νὰ δείξῃ τὴν ὁρμὴν τοῦ Ἀποστόλου, ὅτι δηλαδὴ σχεδὸν ὥρμησεν ἐναντίον τῆς κεφαλῆς αὐτοῦ. Ἀλλ' ὁ Ἰησοῦς δὲν τὸν συγκρατεῖ μόνον μὲ τὴν ἀπειλήν, ἀλλὰ τὸν παρηγορεῖ καὶ μὲ ἄλλα λόγια, λέγων· «Τὸ ποτήριον, ποὺ μοῦ ἔδωσεν ὁ Πατὴρ μου, νὰ μὴ τὸ πιῶ;», δεικνύων ὅτι τὸ συμβὰν δὲν ἦτο ἀποτέλεσμα τῆς δυνάμεως ἐκείνων, ἀλλ' ἐπειδὴ τὸ ἐπέτρεψεν ἐκεῖνος, καὶ διὰ νὰ δηλώσῃ ὅτι δὲν εἶναι κάποιος ἀντίθεος, ἀλλ' ὑπήκοος μέχρι θανάτου εἰς τὸν Πατέρα του.

«Τότε λοιπὸν συλλαμβάνεται ὁ Ἰησοῦς καὶ ἔδεσαν αὐτὸν καὶ τὸν ὡδήγησαν πρὸς τὸν Ἄνναν». Διατί «Πρὸς τὸν Ἄνναν»; Διεπόμπευον τὰ συμβαίνοντα λόγῳ τῆς εὐχαριστήσεώς των, ὡσὰν δηλαδὴ νὰ ἔστησαν τρόπαιον. «Ἦτο δὲ αὐτὸς πενθερὸς τοῦ Καϊάφα· ὁ δὲ Καϊάφας ἦτο αὐτὸς ποὺ ἐσυμβούλευσε τοὺς Ἰουδαίους, ὅτι συμφέρει ἕνας ἄνθρωπος ν' ἀποθάνῃ». Διατί πάλιν μᾶς ὑπενθύμισεν ὁ Εὐαγγελιστὴς τὴν προφητείαν; Διὰ νὰ δείξῃ ὅτι αὐτὰ ἐγίνοντο ὑπὲρ τῆς σωτηρίας. Καὶ τόσον μεγάλη εἶναι ἡ ἀλήθεια, ὥστε καὶ οἱ ἴδιοι οἱ ἐχθροὶ νὰ προλέγουν αὐτά. Διὰ νὰ μὴ

σμοὺς ἀκούσας ὁ ἀκροατὴς θορυβῆται, ἀναμιμνήσκει τῆς προφητείας ἐκείνης, ὅτι ἡ σωτηρία τῇ οἰκουμένῃ ὁ θάνατος αὐτοῦ ἦν. «Ἠκολούθησε δὲ Πέτρος καὶ ὁ ἄλλος μαθητής». Τίς ἐστιν «ὁ ἄλλος μαθητής»; Αὐτὸς ὁ ταῦτα γράψας. Καὶ τίνος ἕνεκεν ἑαυτὸν οὐ λέγει; ὅτε μὲν γὰρ ἐπὶ τὸ στῆθος ἐνέπεσε τοῦ Ἰησοῦ, εἰκότως ἑαυτὸν κρύπτει, νῦν δὲ τίνος ἕνεκεν τοῦτο ποιεῖ; Τῆς αὐτῆς ἕνεκεν αἰτίας· καὶ γὰρ καὶ ἐνταῦθα μέγα κατόρθωμα διηγεῖται, ὅτι, πάντων ἀποπηδησάντων, αὐτὸς ἐπηκολούθει. Διὰ τοῦτο κρύπτει ἑαυτόν, καὶ προτίθησιν ἑαυτοῦ τὸν Πέτρον· καὶ ἑαυτοῦ δὲ ἠναγκάσθη ἐπιμνησθῆναι νῦν, ἵνα μάθῃς ὅτι ἀκριβέστερον διηγεῖται τῶν ἄλλων τὰ κατὰ τὴν αὐλήν, ἅτε ἔνδον ὤν. Καὶ ὅρα πῶς ὑποτέμνεται τὸ ἴδιον ἐγκώμιον· ἵνα γὰρ μή τις λέγῃ· «Πῶς, πάντων ἀναχωρησάντων, οὗτος καὶ ἐνδοτέρω τοῦ Σίμωνος εἰσῆλθε;» λέγει· «Ὅτι καὶ τοῦ ἀρχιερέως γνώριμος ἦν», ὡς μηδένα θαυμάζειν ὅτι ἠκολούθησε, μηδὲ ἐπὶ ἀνδρείᾳ αὐτὸν ἀνακηρύττειν. Τὸ δὲ θαῦμα ἐκεῖνο ἦν, τὸ τοῦ Πέτρου, ὅτι, οὕτω περιδεὴς ὤν, καὶ μέχρι τῆς αὐλῆς ἦλθε, τῶν ἄλλων ἀναχωρησάντων. Τὸ μὲν οὖν ἐλθεῖν ἐκεῖ πόθου, τὸ δὲ μὴ εἰσελθεῖν ἔνδον, ἀγωνίας καὶ φόβου· διὰ τοῦτο γὰρ καὶ ταῦτα ἀνέγραψεν ὁ Εὐαγγελιστής, προοδοποιῶν τῇ ἀπολογίᾳ τῆς ἀρνήσεως· οὐ γὰρ ὡς μέγα τι περὶ αὐτοῦ τίθησιν, ὅτι γνώριμος ἦν τῷ ἀρχιερεῖ, ἀλλά, ἐπειδὴ εἶπεν ὅτι «συνεισῆλθε τῷ Ἰησοῦ» μόνος, ἵνα μὴ νομίσῃς ὅτι ὑψηλῆς γνώμης ἦν τὸ πρᾶγμα, τίθησι καὶ τὴν αἰτίαν. Ὅτι δὲ ὁ Πέτρος εἰσῆλθεν ἄν, εἴ περ ἐπετράπη, διὰ τῶν ἑξῆς ἐδήλωσεν. Ἐπειδὴ γοῦν ἐξῆλθε, καὶ τὴν θυρωρὸν ἐκέλευσεν αὐτὸν εἰσαγαγεῖν,

θορυβῆται δηλαδὴ ὁ ἀκροατής, ἀκούσας περὶ δεσμῶν, ὑπενθυμίζει ἐκείνην τὴν προφητείαν, ὅτι ἡ σωτηρία διὰ τὴν οἰκουμένην ἦτο ὁ θάνατος αὐτοῦ. «Ἠκολούθησε δὲ ὁ Πέτρος καὶ ὁ ἄλλος μαθητής». Ποῖος εἶναι «ὁ ἄλλος μαθητής»; Αὐτὸς ποὺ ἔγραψεν αὐτά. Καὶ διατί δὲν ὀνομάζει τὸν ἑαυτόν του; διότι ὅταν μὲν ἔπεσεν εἰς τὸ στῆθος τοῦ Ἰησοῦ, πολὺ εὔλογα κρύπτει τὸν ἑαυτόν του, τώρα ὅμως διὰ ποῖον λόγον τὸ κάμνει αὐτό; Διὰ τὴν ἰδίαν αἰτίαν· καθ' ὅσον καὶ ἐδῶ διηγεῖται μέγα κατόρθωμα, ὅτι δηλαδή, ἐνῷ ὅλοι ἀπεμακρύνθησαν, αὐτὸς ἠκολούθει αὐτόν. Διὰ τοῦτο, κρύπτει τὸν ἑαυτόν του, καὶ ἀναφέρει πρὶν ἀπὸ αὐτὸν τὸν Πέτρον· καὶ τώρα δὲ ἠναγκάσθη νὰ ἀναφέρῃ τὸν ἑαυτόν, διὰ νὰ μάθῃς ὅτι μὲ μεγαλυτέραν ἀκρίβειαν ἀπὸ τοὺς ἄλλους εὐαγγελιστὰς διηγεῖται τὰ ὅσα συνέβησαν εἰς τὴν αὐλήν, ἐπειδὴ εὑρίσκετο μέσα. Καὶ πρόσεχε πῶς μειώνει τὸ ἐγκώμιον διὰ τὸν ἑαυτόν του· διὰ νὰ μὴ λέγῃ λοιπὸν κάποιος, 'Πῶς, ἐνῷ ὅλοι ἀνεχώρησαν, αὐτὸς εἰσῆλθε πιὸ μέσα εἰς τὴν αὐλὴν ἀπὸ τὸν Σίμωνα;' λέγει· «Διότι ἦτο γνωστὸς τοῦ ἀρχιερέως», ὥστε κανεὶς νὰ μὴ θαυμάζῃ ποὺ ἠκολούθει τὸν Ἰησοῦν, οὔτε νὰ ἐγκωμιάζῃ αὐτὸν διὰ ἀνδρείαν. Τὸ ἀξιοθαύμαστον ὅμως ἦτο ἐκεῖνο, ποὺ συνέβη μὲ τὸν Πέτρον, ὅτι δηλαδὴ ἂν καὶ ἦτο κυριευμένος ἀπὸ τόσον φόβον, ἦλθε καὶ μέχρι εἰς τὴν αὐλήν, ἐνῷ οἱ ἄλλοι ἀνεχώρησαν. Τὸ μὲν λοιπὸν νὰ ἔλθῃ ἐκεῖ ἦτο δεῖγμα τοῦ πόθου του, τὸ νὰ μὴ εἰσέλθῃ ὅμως ἐντὸς τῆς αὐλῆς, δεῖγμα ἀγωνίας καὶ φόβου· διὰ τοῦτο λοιπὸν καὶ ἀνέφερεν αὐτὰ ὁ Εὐαγγελιστής, προετοιμάζων τὴν δικαιολογίαν τῆς ἀρνήσεως τοῦ Πέτρου· διότι δὲν ἀναφέρει ὡς κάτι τὸ σπουδαῖον διὰ τὸν ἑαυτόν του, ὅτι ἦτο γνωστὸς εἰς τὸν ἀρχιερέα, ἀλλά, ἐπειδὴ εἶπεν, ὅτι «εἰσῆλθε μαζὶ μὲ τὸν Ἰησοῦν» μόνος, διὰ νὰ μὴ νομίσῃς ὅτι τὸ πρᾶγμα ἦτο δεῖγμα μεγάλης ἰδέας περὶ τοῦ ἑαυτοῦ του, ἀναφέρει καὶ τὴν αἰτίαν. Τὸ ὅτι δὲ καὶ ὁ Πέτρος θὰ ἦτο δυνατὸν νὰ εἰσέλθῃ, ἐὰν βέβαια τοῦ ἐπετρέπετο, τὸ ἔδειξε μὲ τὰ ὅσα λέγει εἰς τὴν συνέχειαν. Ὅταν λοιπὸν ἐξῆλθεν ὁ Ἰωάννης καὶ παρεκάλεσε τὸν θυρωρὸν νὰ ἀφήσῃ αὐτὸν νὰ εἰσέλθῃ,

εὐθέως εἰσῆλθεν ὁ Πέτρος. Διὰ τί δὲ αὐτὸς αὐτὸν οὐκ εἰσήγαγε; Τοῦ Χριστοῦ εἴχετο, καὶ ἐπηκολούθει. Διὰ τοῦτο τὴν γυναῖκα ἐκέλευσεν εἰσαγαγεῖν αὐτόν.

Τί οὖν ἡ γυνή; «Μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν εἶ τοῦ ἀνθρώπου τούτου; Ὁ δέ φησιν· Οὐκ εἰμί». Τί λέγεις, ὦ Πέτρε; οὐχὶ πρώην εἶπες ὅτι, «ἂν δέῃ με καὶ τὴν ψυχὴν ὑπὲρ σοῦ θεῖναι, θήσω»; τί τοίνυν γέγονεν, ὅτι οὐδὲ θυρωροῦ φέρεις ἐρώτησιν; μὴ γὰρ στρατιώτης ἦν ὁ ἐρωτῶν; μὴ τῶν κατασχόντων τις; Θυρωρὸς ἦν εὐτελὴς καὶ ἀπερριμμένη, καὶ οὐδὲ ἡ ἐρώτησις θρασεῖα· οὐ γὰρ εἶπε, 'Τοῦ πλάνου καὶ τοῦ λυμεῶνος μαθητὴς εἶ', ἀλλὰ «τοῦ ἀνθρώπου τούτου», ὅπερ ἐλεούσης μᾶλλον καὶ καταακαμπτομένης ἦν. Ἀλλ' οὐδὲν τούτων ἤνεγκεν ὁ Πέτρος. Τὸ δὲ «μὴ καὶ σὺ» διὰ τοῦτο εἴρηται, ἐπειδὴ ὁ Ἰωάννης ἔνδον ἦν· οὕτω προσηνῶς διελέγετο ἡ γυνή. Ἀλλ' οὐδενὸς τούτων ἤσχετο, οὐδὲ εἰς τὸν νοῦν ἔλαβεν, οὐδὲ ὅτε τὸ πρῶτον, οὐδὲ ὅτε τὸ δεύτερον, ἀλλ' οὐδὲ τὸ τρίτον, ἀλλ' ἡνίκα ἀλέκτωρ ἐφώνησε· καὶ οὐδὲ τοῦτο αὐτὸν εἰς ἔννοιαν ἤγαγεν, ἕως ὅτε ἔβλεψεν εἰς αὐτὸν ὁ Ἰησοῦς πικρόν. Καὶ αὐτὸς μὲν εἱστήκει θερμαινόμενος μετὰ τῶν τοῦ ἀρχιερέως δούλων, ὁ δὲ Χριστὸς ἔνδον κατείχετο δεδεμένος. Ταῦτα δὲ λέγομεν, οὐ τοῦ Πέτρου κατηγοροῦντες, ἀλλὰ τῶν ὑπὸ τοῦ Χριστοῦ εἰρημένων τὴν ἀλήθειαν ἐπιδεικνύμενοι. «Ὁ οὖν ἀρχιερεὺς ἠρώτησε τὸν Χριστὸν περὶ τῶν μαθητῶν αὐτοῦ καὶ τῆς διδασκαλίας».

3. Ὢ τῆς πονηρίας! συνεχῶς ἀκούων ἐν τῷ ἱερῷ δημηγοροῦντος καὶ παρρησίᾳ διδάσκοντος, νῦν βούλεται μαθεῖν. Ἐπειδὴ γὰρ ἔγκλημα οὐδὲν εἶχον προσενεγκεῖν, περὶ τῶν

ἀμέσως εἰσῆλθεν ὁ Πέτρος. Διατί δὲ ὁ ἴδιος δὲν ὡδήγησε μέσα τὸν Πέτρον; Διότι ἦτο προσκολλημένος εἰς τὸν Χριστὸν καὶ ἠκολούθει αὐτόν. Διὰ τοῦτο παρεκάλεσε τὴν γυναῖκα νὰ ὁδηγήσῃ αὐτὸν μέσα.

Τί λέγει λοιπὸν ἡ γυναῖκα; «Μήπως καὶ σὺ εἶσαι ἀπὸ τοὺς μαθητὰς αὐτοῦ τοῦ ἀνθρώπου; Ἐκεῖνος δὲ λέγει· Δὲν εἶμαι». Τί λέγεις, Πέτρε; δὲν εἶπες προηγουμένως ὅτι, «ἂν χρειασθῇ καὶ τὴν ζωήν μου νὰ θυσιάσω θὰ τὴν θυσιάσω»; Τί λοιπὸν συνέβη, ὥστε νὰ μὴ ἠμπορῇς οὔτε τῆς θυρωροῦ τὴν ἐρώτησιν νὰ ὑποφέρῃς; μήπως δηλαδὴ ἦτο στρατιώτης ἐκεῖνος ποὺ σὲ ἠρώτησε; μήπως κάποιος ἀπὸ ἐκείνους ποὺ συνέλαβον τὸν Ἰησοῦν; Θυρωρὸς ἦτο ἀσήμαντος καὶ τῆς τελευταίας τάξεως καὶ οὔτε ἡ ἐρώτησις ἦτο θρασεῖα· διότι δὲν εἶπεν, 'εἶσαι μαθητὴς τοῦ πλάνου καὶ τοῦ καταστροφέως', ἀλλὰ «αὐτοῦ τοῦ ἀνθρώπου», πρᾶγμα ποὺ ἦτο ἔκφρασις γυναικὸς ποὺ ἦτο γεμάτη ἀπὸ εὐσπλαγχνίαν καὶ λύπην δι' αὐτόν. Ἀλλὰ τίποτε ἀπὸ αὐτὰ δὲν ὑπέφερεν ὁ Πέτρος. Τὸ δὲ «μήπως καὶ σὺ» διὰ τοῦτο ἐλέχθη, ἐπειδὴ ὁ Ἰωάννης ἦτο ἐντὸς τῆς αὐλῆς· μὲ τόσην δηλαδὴ φιλικότητα συνωμιλοῦσεν ἡ γυναῖκα μαζί του. Ἀλλ' ὁ Πέτρος τίποτε ἀπὸ αὐτὰ δὲν ἀντελήφθη, οὔτε ἔφερεν εἰς τὴν σκέψιν του, οὔτε ὅταν τὸν ἠρνήθη τὴν πρώτην φοράν, οὔτε ὅταν τὸν ἠρνήθη τὴν δευτέραν φοράν, ἀλλ' οὔτε τὴν τρίτην φοράν, ἀλλ' ὅταν μόνον ἐλάλησεν ὁ πετεινός· καὶ οὔτε αὐτὸ τὸν ἔκαμε νὰ τὰ σκεφθῇ, μέχρις ὅτου ὁ Ἰησοῦς τὸν εἶδε μὲ πικρὸν βλέμμα. Καὶ αὐτὸς μὲν ἵστατο ἐκεῖ θερμαινόμενος μαζὶ μὲ τοὺς δούλους τοῦ ἀρχιερέως, ἐνῷ ὁ Χριστὸς εὑρίσκετο μέσα δεμένος. Αὐτὰ δὲ τὰ λέγομεν, ὄχι διὰ νὰ κατηγορήσωμεν τὸν Πέτρον, ἀλλὰ διὰ νὰ δείξωμεν τὴν ἀλήθειαν τῶν λόγων ποὺ ἐλέχθησαν ὑπὸ τοῦ Χριστοῦ. «Ὁ ἀρχιερεὺς λοιπὸν ἠρώτησε τὸν Χριστὸν περὶ τῶν μαθητῶν του καὶ τῆς διδασκαλίας του».

3. Ὢ μέγεθος πονηρίας! Μολονότι συνεχῶς ἤκουεν αὐτὸν νὰ ὁμιλῇ εἰς τὸ ἱερὸν καὶ νὰ διδάσκῃ μὲ παρρησίαν, τώρα θέλει νὰ μάθῃ. Ἐπειδὴ δηλαδὴ δὲν εἶχον νὰ τοῦ ἀποδώσουν καμμίαν κατηγορίαν, τὸν ἐρωτοῦσαν διὰ τοὺς μα-

μαθητῶν ἠρώτων ἴσως, ποῦ εἰσίν, καὶ τίνος ἕνεκεν αὐτοὺς συνέλεξε, καὶ τί βουλόμενος, καὶ ἐπὶ τίσι. Τοῦτο δὲ ἔλεγεν, ὡσανεὶ στασιαστὴν καὶ νεωτεροποιὸν ἐλέγξαι θέλων, ὡς οὐδενὸς ἑτέρου προσέχοντος αὐτῷ, ἀλλ' ἢ μόνων ἐκείνων, ὡς ἐργαστηρίου τινὸς ὄντος πονηροῦ. Τί οὖν ὁ Χριστός; Τοῦτο ἀνατρέπων, φησίν· «Ἐγὼ παρρησίᾳ ἐλάλησα τῷ κόσμῳ», οὐχὶ τοῖς μαθηταῖς ἰδίᾳ, «ἐγὼ παρρησίᾳ ἐδίδαξα ἐν τῷ ἱερῷ». Τί οὖν; οὐδὲν ἐλάλησεν ἐν τῇ κρυφῇ; Ἐλάλησε μέν, ἀλλ' οὐχί, ὡς οὗτοι ἐνόμιζον, δεδοικὼς καὶ συστάσεις ποιούμενος, ἀλλ' εἴ που τῆς τῶν πολλῶν ἀκροάσεως ἀνώτερα τὰ λεγόμενα ἦν. «Τί με ἐπερωτᾷς; Ἐρώτησον τοὺς ἀκηκοότας». Οὐκ αὐθαδιαζομένου ἐστὶ τὰ ῥήματα, ἀλλὰ θαρροῦντος τῇ τῶν εἰρημένων ἀληθείᾳ. Ὅπερ οὖν ἀρχόμενος ἔλεγεν, «Ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής», τοῦτο καὶ νῦν αἰνίττεται, ἐκ περιουσίας βουλόμενος ἀξιόπιστον καταστῆσαι τὴν μαρτυρίαν. Ἐπειδὴ γὰρ τῶν μαθητῶν, ὡς μαθητῶν ἐμνημόνευσε, τί φησιν; «Ἐμὲ περὶ τῶν ἐμῶν ἐρωτᾷς; ἐρώτησον τοὺς ἐχθρούς, τοὺς ἐπιβούλους, τοὺς δήσαντας· οὗτοι λεγέτωσαν»· αὕτη γάρ ἐστι τῆς ἀληθείας ἀναμφισβήτητος ἡ ἀπόδειξις, ὅταν τοὺς ἐχθρούς τις, ὑπὲρ ὧν λέγει, καλῇ μάρτυρα.

Τί οὖν ὁ ἀρχιερεύς; Δέον οὕτω ποιήσασθαι τὴν ἐξέτασιν, τοῦτο μὲν οὐκ ἐποίησεν ἐκεῖνος, «εἷς δὲ τῶν παρεστηκότων ὑπηρετῶν ἔδωκεν αὐτῷ ῥάπισμα», ταῦτα εἰπόντι. Τί τούτου γένοιτ' ἂν ἰταμώτερον; Φρῖξον, οὐρανέ, ἔκστηθι γῆ τῇ τοῦ Δεσπότου μακροθυμίᾳ, καὶ τῇ τῶν δούλων ἀγνωμοσύνῃ. Καίτοι τί ποτε ἦν τὸ λεχθέν; οὐ γὰρ ὡς παραιτούμενος εἰπεῖν ἔλεγε· «Τί με ἐρωτᾷς;» ἀλλὰ πᾶσαν ἐκκόψαι βουλόμενος ἀγνωμοσύνης ὑπόθεσιν. Καὶ ἐπὶ τούτοις ῥαπισθείς, πάντα σεῖσαι καὶ ἀφανίσαι καὶ μετακινῆσαι δυνάμενος, τού-

3. Ἰω. 5, 31.

θητάς του, πού είναι, καί διά ποίον σκοπόν τούς εμάζευσε, καί τί θέλει νά κάμη καί μέ ποίον σκοπόν. Αύτό δέ τό έλεγεν, ώσάν νά ήθελε νά τόν ελέγξη ώς στασιαστήν καί νεωτεριστήν, ώσάν νά μή επρόσεχεν αύτόν κανείς άλλος, άλλά μόνον εκείνοι, ώσάν νά ήτο κάποια κακή συμμορία. Τί απαντά λοιπόν ό Χριστός; Ανατρέπων αύτήν τήν κατηγορίαν, λέγει· «Εγώ δημοσία ώμίλησα είς τόν κόσμον», όχι ιδιαιτέρως είς τούς μαθητάς, «εγώ δημοσία εδίδαξα είς τό ιερόν». Τί λοιπόν; τίποτε δέν είπεν είς τά κρυφά; Είπε μέν, άλλ' όχι όπως ενόμιζον αύτοί, φοβούμενος καί οργανώνων στάσεις, άλλά τά λόγια του ήσαν ανώτερα από τήν πνευματικήν ικανότητα τών ακροατών του. «Διατί μέ ερωτάς; Ερώτησε εκείνους πού τά ήκουσαν». Τά λόγια αύτά δέν δείχνουν αύθάδειαν, άλλά πεποίθησιν είς τήν αλήθειαν τών όσων είπεν. Εκείνο λοιπόν πού έλεγεν είς τήν αρχήν, «Εάν εγώ δίδω μαρτυρίαν διά τόν εαυτόν μου, ή μαρτυρία μου δέν είναι αληθής»[3], αύτό καί τώρα υπαινίσσεται, θέλων είς μεγάλον βαθμόν νά παρουσιάση αξιόπιστον τήν μαρτυρίαν. Επειδή δηλαδή τούς μαθητάς τούς ανέφερεν ώς μαθητάς του, τί λέγει· "Εμένα ερωτάς διά τούς ιδικούς μου; ερώτησε τούς εχθρούς, τούς επιβούλους, εκείνους πού μέ έδεσαν· αύτοί άς τό είπούν" διότι αύτή είναι ή αναμφισβήτως απόδειξις τής αληθείας, όταν κανείς επικαλήται ώς μάρτυρας, δι' εκείνα πού λέγει, τούς εχθρούς του.

Τί λέγει λοιπόν ό αρχιερεύς; Ενώ έπρεπεν έτσι νά κάμη τήν εξέτασιν, αύτό μέν δέν τό έκαμεν εκείνος, «ένας δέ από τούς παρευρισκομένους εκεί υπηρέτας έδωσεν είς αύτόν ράπισμα», όταν είπεν αύτά. Τί θά ήμποροΰσε νά υπάρξη θρασύτερον από αύτό; Φρίξε, ουρανέ, μετακινήσου γή από τήν θέσιν σου, εξ αιτίας τής μακροθυμίας τού Κυρίου καί τής αχαριστίας τών δούλων. Καί όμως τί ήτο εκείνο πού είπε; δέν είπε δηλαδή, ώσάν νά ήθελε ν' αποφύγη ν' απαντήση, «τί μέ ερωτάς;», άλλά μέ σκοπόν νά εκβάλη κάθε αφορμήν αγνωμοσύνης. Καί δεχθείς δι' αύτά ράπισμα, ενώ ήμποροΰσεν όλα νά τά γκρεμίση καί νά τά εξαφανίση καί νά τά μετακινήση, από αύτά μέν δέν κάμνει

των μὲν οὐδὲν ποιεῖ, φθέγγεται δὲ ῥήματα, πᾶσαν δυνάμενα θηριωδίαν ἐκλῦσαι. Καί φησιν· «Εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ»· τουτέστιν, εἰ μὲν ἔχεις ἐπιλαβέσθαι τῶν εἰρημένων ἀπόδειξον, εἰ δὲ οὐκ ἔχεις, «τί με τύπτεις;». Ὁρᾷς τὸ δικαστήριον θορύβου γέμον καὶ ταραχῆς καὶ θυμοῦ καὶ συγχύσεως; Ἠρώτησεν ὁ ἀρχιερεὺς ὑπούλως καὶ δολερῶς· ἀπεκρίνατο ὁ Χριστὸς ἐξ εὐθείας καὶ ὡς ἐχρῆν. Τί τοίνυν τὸ ἀκόλουθον ἦν; Διελέγξαι ἢ ἀποδέξασθαι τὸ εἰρημένον. Ἀλλ' οὐ γίνεται· ἀλλ' ὁ δοῦλος αὐτὸν ῥαπίζει. Οὕτως οὐχὶ δικαστήριον, ἀλλὰ σύστασις καὶ τυραννὶς τὰ γινόμενα. Εἶτα, μηδὲ οὕτως εὑρίσκοντές τι πλέον, «πέμπουσιν αὐτὸν δεδεμένον πρὸς Καϊάφαν».

«Ἦν δὲ Πέτρος ἑστώς, καὶ θερμαινόμενος». Βαβαί! πόσῳ κάρῳ κατείχετο ὁ θερμὸς καὶ μεμηνώς, ἀπαγομένου τοῦ Ἰησοῦ; Καὶ μετὰ τοσαῦτα οὐδὲ κινεῖται λοιπόν, ἀλλ' ἔτι θερμαίνεται, ἵνα μάθῃς ὅση τῆς φύσεως ἡ ἀσθένεια, ὅταν Θεὸς ἐγκαταλίπῃ· καὶ ἐρωτηθεὶς πάλιν ἀρνεῖται. Εἶτα λέγει «ὁ συγγενὴς τοῦ δούλου οὗ ἀπέκοψεν ὁ Πέτρος τὸ ὠτίον», ἀλγῶν ἐπὶ τῷ γεγενημένῳ· «Οὐκ ἐγώ σε εἶδον ἐν τῷ κήπῳ;». Καὶ οὐδὲ ὁ κῆπος αὐτὸν εἰς μνήμην τῶν γεγενημένων ἤγαγεν, οὐδὲ ἡ πολλὴ φιλοστοργία, ἣν ἐκεῖ διὰ τῶν ῥημάτων ἐπεδείξατο ἐκείνων, ἀλλὰ πάντα ταῦτα ὑπὸ τῆς ἀγωνίας ἐξέβαλε. Τί δήποτε δὲ οἱ Εὐαγγελισταὶ ὁμοφώνως περὶ αὐτοῦ ἀνέγραψαν; Οὐχὶ τοῦ μαθητοῦ κατηγοροῦντες, ἀλλ' ἡμᾶς παιδεῦσαι βουλόμενοι, πόσον κακὸν τὸ μὴ Θεῷ τὸ πᾶν ἐπιτρέπειν, ἀλλ' ἑαυτῷ θαρρεῖν. Σὺ δὲ θαύμασον τοῦ Διδασκάλου τὴν κηδεμονίαν, ὅτι, καὶ κατεχόμενος καὶ δεδεμένος, πολλὴν ἐποιεῖτο τοῦ μαθητοῦ πρόνοιαν, διὰ τοῦ βλέμματος αὐτοῦ κείμενον ἀνιστάς, καὶ εἰς δάκρυα καθέλκων.

τίποτε, λέγει δὲ λόγια, ποὺ εἶχον τὴν δύναμιν κάθε θηριωδίαν νὰ σταματήσουν. Καὶ λέγει· «Ἐὰν κακῶς ὡμίλησα, ἀπόδειξε τὸ κακόν»· δηλαδή, ἐὰν μὲν ἔχῃς νὰ κατηγορήσῃς τὰ λόγια μου, ἀπόδειξέ το, ἐὰν δὲ δὲν ἔχῃς «διατί μὲ κτυπᾷς;». Βλέπεις τὸ δικαστήριον ποὺ εἶναι γεμᾶτον ἀπὸ θόρυβον καὶ ταραχὴν καὶ θυμὸν καὶ σύγχυσιν; Ἠρώτησεν ὁ ἀρχιερεὺς μὲ ὑποψίαν καὶ δόλον· ἀπήντησεν ὁ Χριστὸς μὲ εὐθύτητα καὶ ὅπως ἔπρεπε. Τί ἔπρεπε νὰ ἀκολουθήσῃ; Νὰ συνομιλήσῃ μαζί του φέρων τὰς ἀντιρρήσεις του ἢ νὰ ἀποδεχθῇ αὐτὸ ποὺ εἶπεν. Ὅμως δὲν συμβαίνει αὐτό, ἀλλὰ ὁ δοῦλος τὸν ραπίζει. Ἔτσι αὐτὸ ποὺ γίνεται δὲν εἶναι δικαστήριον, ἀλλὰ συνωμοσία καὶ τυραννίς. Ἔπειτα, ἐπειδὴ δὲν εὑρίσκουν οὔτε καὶ ἔτσι νὰ τὸν κατηγορήσουν διὰ κάτι ἐπὶ πλέον, «τὸν στέλλουν δεμένον εἰς τὸν Καϊάφαν.

«Ὁ δὲ Πέτρος ἵστατο ἐκεῖ καὶ ἐθερμαίνετο». Ἀλλοίμονον! ἀπὸ πόσην νωθρότητα κατείχετο ὁ θερμὸς καὶ σταθερός, τὴν στιγμὴν ποὺ ὡδηγεῖτο ὁ Ἰησοῦς πρὸς τὸν Καϊάφαν; Καὶ μετὰ ἀπὸ τὰ ὅσα συνέβησαν οὔτε κινεῖται πλέον, ἀλλ' ἀκόμη θερμαίνεται, διὰ νὰ μάθῃς πόσον μεγάλη εἶναι ἡ ἀδυναμία τῆς φύσεως, ὅταν ὁ Θεὸς τὴν ἐγκαταλείψῃ· καὶ ἐρωτηθεὶς πάλιν ἀρνεῖται. Ἔπειτα λέγει «ὁ συγγενὴς τοῦ δούλου, τοῦ ὁποίου ὁ Πέτρος ἔκοψε τὸ αὐτί», ταραγμένος ἀπὸ ἐκεῖνο ποὺ συνέβη· «Δέν σὲ εἶδα ἐγὼ εἰς τὸν κῆπον μαζί του;». Καὶ οὔτε ὁ κῆπος τὸν ἔκαμε νὰ θυμηθῇ τὰ ὅσα συνέβησαν, οὔτε ἡ πολλὴ φιλοστοργία, ποὺ ἔδειξεν ἐκεῖ μὲ τὰ λόγια του ἐκεῖνα, ἀλλὰ ὅλα αὐτὰ ἀπὸ τὴν ἀγωνίαν τὰ ἐξέχασε. Διατί δὲ τέλος πάντων οἱ Εὐαγγελισταὶ ἔγραψαν περὶ τοῦ Πέτρου συμφωνοῦντες ὅλοι; Ὄχι διὰ νὰ κατηγορήσουν τὸν μαθητήν, ἀλλὰ θέλοντες νὰ διδάξουν ἡμᾶς, πόσον κακὸν εἶναι τὸ νὰ μὴ ἐμπιστευώμεθα τὸ πᾶν εἰς τὸν Θεόν, ἀλλὰ νὰ ἔχωμεν ἐμπιστοσύνην εἰς τὸν ἑαυτόν μας. Σὺ ὅμως θαύμασε τοῦ διδασκάλου τὴν φροντίδα, διότι, ἂν καὶ συνελήφθη καὶ ἦτο δεμένος, ἔδειχνε πολλὴν πρόνοιαν διὰ τὸν μαθητήν, κάμνων αὐτὸν μὲ τὸ βλέμμα του, ἐνῷ ἐκάθετο, νὰ σηκωθῇ καὶ νὰ ἐκσπάσῃ εἰς δάκρυα.

«Ἄγουσιν οὖν αὐτὸν πρὸς Πιλᾶτον ἀπὸ τοῦ Καϊάφα». Ἐγένετο δὲ τοῦτο, ἵνα τῶν δικαστῶν τὸ πλῆθος, καὶ ἀκόντων αὐτῶν, ἐπιδείξῃ τὸ βεβασανισμένον τῆς ἀληθείας. «Ἦν δὲ πρωΐα». Πρὶν ἢ μὲν ἀλέκτορα φωνῆσαι, πρὸς Καϊάφαν ἄγεται, πρωῒ δὲ πρὸς Πιλάτον· δι' ὧν δείκνυται ὁ Εὐαγγελιστὴς ὅτι, τὸ ἥμισυ τῆς νυκτὸς ἅπαν ὑπὸ Καϊάφα ἐρωτώμενος, οὐδὲν ἐξηλέγχετο· διὸ καὶ παρέπεμψεν αὐτὸν τῷ Πιλάτῳ. Ἀλλ' ἐκεῖνα τοῖς ἄλλοις ἀφεὶς διηγήσασθαι, αὐτὸς τὰ ἑξῆς λέγει. Καὶ σκόπει τῶν Ἰουδαίων τὸ καταγέλαστον. Τὸν ἀθῷον συλλαβόντες, καὶ ὅπλα βαστάσαντες, εἰς τὸ πραιτώριον οὐκ εἰσέρχονται, «ἵνα μὴ μανθάνωσι»· καίτοι ποῖος μολυσμός, εἰπέ μοι, ἐπιβῆναι δικαστηρίῳ, ἔνθα δίκην οἱ ἀδικοῦντες διδόασιν; οἱ ἀποδεκατοῦντες τὸν ἡδύοσμον καὶ τὸ ἄνηθον, φονῶντες μὲν ἀδίκως οὐκ ἐνόμιζον μιαίνεσθαι, δικαστηρίῳ δὲ καὶ ἐπιβαίνοντες μιαίνειν ἑαυτοὺς ἡγοῦντο.

Καὶ τίνος ἕνεκεν αὐτὸν οὐκ ἀνεῖλον, ἀλλ' ἐπὶ τὸν Πιλᾶτον ἤγαγον; Μάλιστα μὲν τὸ πολὺ τῆς ἀρχῆς αὐτῶν καὶ τῆς ἐξουσίας ὑπετέτμητο λοιπόν, ὑπὸ Ρωμαίους τῶν πραγμάτων κειμένων. Καὶ ἄλλως δὲ ἐδεδοίκεισαν μὴ δίκην ὕστερον δώσειν, κατηγορηθέντες παρ' αὐτοῦ. Τί δέ ἐστιν, «Ἵνα φάγωσι τὸ Πάσχα»; (καὶ μὴν αὐτὸς ἦν αὐτὸ πεποιηκὼς τῇ μιᾷ τῶν Ἀζύμων). Ἤτοι οὖν τὸ Πάσχα τὴν ἑορτὴν πᾶσαν λέγει ἢ ὅτι τότε ἐποίουν τὸ Πάσχα, αὐτὸς δὲ πρὸ μιᾶς αὐτὸ παρέδωκε, τηρῶν τὴν ἑαυτοῦ σφαγὴν τῇ Παρασκευῇ, ὅτε καὶ τὸ παλαιὸν ἐγίνετο τὸ Πάσχα. Αὐτοὶ δέ, ὅπλα βαστάσαντες, ὅπερ οὐκ ἐξῆν, καὶ αἷμα ἐκχέοντες, ὑπὲρ τοῦ τόπου ἀκριβολογοῦνται, καὶ ἐξάγουσι πρὸς ἑαυτοὺς τὸν Πιλᾶτον.

---

4. Ματθ. 23, 23. Λουκᾶ 11, 42.

«Ὁδηγοῦν λοιπὸν αὐτὸν ἀπὸ τὸν Καϊάφαν πρὸς τὸν Πιλᾶτον». Συνέβη δέ αὐτὸ διὰ νὰ δείξῃ τὸ πλῆθος τῶν δικαστῶν, καὶ χωρὶς νά τὸ θέλῃ, ὅτι ἠλέγχθη μετά προσοχῆς ἡ ἀλήθεια. «Ἦτο δὲ πρωΐ». Πρὶν ἀκόμη λαλήσῃ ὁ πετεινός, ὁδηγεῖται πρὸς τὸν Καϊάφαν, τὸ πρωῒ δὲ πρὸς τὸν Πιλᾶτον· μέ αὐτὰ δείχνει ὁ εὐαγγελιστής, ὅτι τὸ ἥμισυ ὁλοκλήρου τῆς νυκτὸς ἠρωτᾶτο ἀπὸ τὸν Καϊάφαν καὶ δὲν εὑρέθη ἔνοχος· διὰ τοῦτο καὶ τὸν παρέπεμψεν εἰς τὸν Πιλᾶτον. Ἀλλ᾽ ἐκεῖνα ἀφήσας νὰ τὰ διηγηθοῦν οἱ ἄλλοι εὐαγγελισταί, αὐτὸς λέγει τὰ ὅσα συνέβησαν εἰς τὴν συνέχειαν. Καὶ πρόσεχε τοὺς Ἰουδαίους ποὺ εἶναι ἄξιοι διὰ γέλια. Ἀφοῦ συνέλαβον τὸν ἀθῶον, φέροντες μαζί των ὅπλα, δέν εἰσέρχονται εἰς τὸ πραιτώριον, «διὰ νὰ μὴ μολυνθοῦν»· καὶ ὅμως ποῖος πολυσμὸς εἶναι, εἰπέ μου, τὸ νὰ εἰσέλθῃ κανεὶς εἰς τὸ δικαστήριον, ὅπου τιμωροῦν οἱ ἀδικοῦντες; ἐκεῖνοι ποὺ δίδουν τὸ δέκατον ἀπὸ τὸν ἡδύοσμον καὶ τὸν ἄνηθον[4], δὲν ἐνόμιζον ὅτι μολύνονται διαπράττοντες ἄδικον φόνον, ἐνῷ ἐνόμιζον ὅτι μολύνονται εἰσερχόμενοι εἰς τὸ δικαστήριον.

Καὶ διὰ ποῖον λόγον δέν τὸ ἐφόνευσαν, ἀλλὰ τὸν ὡδήγησαν εἰς τὸν Πιλᾶτον; Καὶ βέβαια τὸ μεγαλύτερον μέρος τῆς ἀρχῆς καὶ τῆς ἐξουσίας των τοὺς εἶχεν ἀφαιρεθῆ πλέον, ἀφοῦ τὰ πράγματά των εὑρίσκοντο ὑπὸ τὴν κυριαρχίαν τῶν Ρωμαίων. Ἐξ ἄλλου δὲ ἐφοβοῦντο μήπως τιμωρηθοῦν ἀργότερον, κατηγορηθέντες ἀπὸ αὐτόν. Τί σημαίνει δέ, «Διὰ νὰ φάγουν τὸ Πάσχα»; (Ἂν καὶ βέβαια αὐτὸς ἦτο ἐκεῖνος ποὺ ὥρισεν αὐτὸ νὰ ἑορτάζεται κατὰ τὴν πρώτην τῶν Ἀζύμων). Ἢ λοιπὸν ὡς Πάσχα ἐννοεῖ ὅλην τὴν ἑορτήν, ἢ ὅτι τότε ἑώρταζον τὸ Πάσχα, αὐτὸς δὲ παρέδωσεν αὐτὸ πρὶν ἀπὸ τὴν πρώτην ἡμέραν τῶν Ἀζύμων, φυλάσσων τὴν σφαγήν του διὰ τὴν Παρασκευήν, κατὰ τὴν ὁποίαν ἑωρτάζετο παλαιότερον τὸ Πάσχα. Αὐτοὶ δέ, κρατοῦντες ὅπλα, πρᾶγμα ποὺ δὲν ἐπετρέπετο, καὶ χύνοντες αἷμα, ἐξετάζουν μὲ λεπτομέρειαν τὸν τόπον, καὶ ἀναγκάζουν τὸν Πιλᾶτον νὰ ἐξέλθῃ πρὸς αὐτούς. Καὶ ἀφοῦ

Καὶ ἐξελθών φησι· «Τίνα κατηγορίαν ἔχετε κατὰ τοῦ ἀνθρώπου τούτου;».

4. Ὁρᾷς ἀπηλλαγμένον τῆς φιλαρχίας αὐτὸν καὶ βασκανίας; Ἰδὼν γὰρ αὐτὸν δεδεμένον καὶ ὑπὸ τοσούτων ἀγόμενον, οὐκ ἐνόμισεν ἔλεγχον ἔχειν ἀναμφισβήτητον κατηγορίας, ἀλλ᾽ ἐρωτᾷ, ἄτοπον εἶναι λέγων τὴν μὲν κρίσιν αὐτοὺς ἁρπάσαι, τὴν δὲ κόλασιν χωρὶς κρίσεως ἐπιτρέψαι ἐκείνῳ. Τί οὖν ἐκεῖνοι; «Εἰ μὴ ἦν οὗτος κακοποιός, οὐκ ἄν σοι παρεδώκαμεν αὐτόν». Ὢ τῆς ἀνοίας! τί γὰρ οὐ λέγετε τὴν κακοποιΐαν, ἀλλὰ συσκιάζεται; τί οὐκ ἐλέγχετε τὸ κακόν; Ὁρᾷς πανταχοῦ παραιτουμένους τὴν ἐξ εὐθείας κατηγορίαν, καὶ οὐδὲν δυναμένους εἰπεῖν; Ἄννας ἐκεῖνος ἠρώτησε περὶ τῆς διδασκαλίας καὶ ἀκούσας ἔπεμψε πρὸς Καϊάφαν· καὶ αὐτός, ἐρωτήσας πάλιν, καὶ μηδὲν εὑρών, ἀπέστειλεν αὐτὸν τῷ Πιλάτῳ. Ὁ Πιλᾶτος λέγει· «Τίνα κατηγορίαν φέρετε κατ᾽ αὐτοῦ;». Καὶ οὐδὲ ἐνταῦθα ἔχουσί τι εἰπεῖν, ἀλλὰ στοχασμοῖς τισι κέχρηνται πάλιν. Ἐντεῦθεν αὐτὸς ἀπορήσας φησί· «Λάβετε αὐτὸν ὑμεῖς καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε αὐτόν. Εἶπον οὖν ἐκεῖνοι· Ἡμῖν οὐκ ἔξεστιν ἀποκτεῖναι οὐδένα». Τοῦτο δὲ ἔλεγον, «ἵνα πληρωθῇ ὁ λόγος τοῦ Κυρίου, ὃν εἶπε, σημαίνων ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν». Καὶ πῶς τοῦτο ἐδήλου, «οὐκ ἔξεστιν ἀποκτεῖναι οὐδένα»; Ἢ τοῦτό φησιν ὁ Εὐαγγελιστής, ὅτι οὐχ ὑπὲρ αὐτῶν μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν ἐθνῶν ἔμελλεν ἀναιρεῖσθαι, ἢ ὅτι σταυρῶσαι αὐτοὺς οὐκ ἐξῆν. Εἰ δὲ λέγουσιν, «Οὐκ ἔξεστιν ἡμῖν ἀποκτεῖναι οὐδένα», κατὰ τὸν καιρὸν ἐκεῖνόν φασιν. Ἐπεὶ ὅτι γε ἀνῄρουν, καὶ ἄλλῳ τρόπῳ ἀνῄρουν, δείκνυσιν ὁ Στέφανος λιθαζόμενος· ἀλλὰ σταυρῶσαι αὐτὸν ἐπεθύμουν, ἵνα καὶ τὸν τρόπον τῆς τελευτῆς ἐκπομπεύσωσιν. Ὁ δὲ Πιλᾶτος, ἀπαλλαγῆναι ἐπαχθείας βου-

ἐξῆλθε, λέγει· «Ποίαν κατηγορίαν ἔχετε ἐναντίον αὐτοῦ τοῦ ἀνθρώπου;».

4. Βλέπεις αὐτὸν πού εἶναι ἀπηλλαγμένος ἀπὸ τὴν φιλαρχίαν καὶ τὸν φθόνον; Διότι ὅταν τὸν εἶδε δεμένον καὶ νὰ ὁδηγῆται πρὸς αὐτὸν ἀπὸ τόσον πλῆθος, δὲν ἐνόμισεν ὅτι ἔχουν ἀναμφισβήτητον ἀπόδειξιν κατηγορίας, ἀλλ' ἐρωτᾷ, λέγων, ὅτι εἶναι παράλογον αὐτοὶ μὲν νὰ κρίνουν αὐτὸν αὐθαίρετα, τὴν δὲ τιμωρίαν χωρὶς κρίσιν νὰ τὴν ἀναθέσουν εἰς ἐκεῖνον. Τί λέγουν λοιπὸν ἐκεῖνοι; «Ἐὰν αὐτὸς δὲν ἦτο κακοποιός, δὲν θὰ τὸν παρεδίδομεν εἰς ἐσένα». Ὢ μέγεθος ἀνοησίας! διατί λοιπὸν δὲν λέγετε τὸ κακὸν πού ἔκαμεν, ἀλλ' ἐπισκιάζετε αὐτό; διατί δὲν φανερώνετε τὸ κακόν; Βλέπεις παντοῦ πού ἀποφεύγουν τὴν ἀπ' εὐθείας κατηγορίαν καὶ δὲν ἠμποροῦν τίποτε νὰ εἰποῦν; Ἐκεῖνος ὁ Ἄννας τὸν ἠρώτησε διὰ τὴν διδασκαλίαν του καί, ὅταν τὸν ἤκουσε, τὸν ἔστειλε πρὸς τὸν Καϊάφαν· καὶ αὐτός, ἀφοῦ τὸν ἠρώτησε πάλιν καὶ δὲν ηὗρε καμμίαν ἐνοχοποίησιν, τὸν ἀπέστειλε πρὸς τὸν Πιλᾶτον. Ὁ Πιλᾶτος λέγει· «Ποίαν κατηγορίαν ἔχετε ἐναντίον του;». Καὶ οὔτε ἐδῶ ἔχουν νὰ εἰποῦν κάτι, ἀλλὰ καὶ πάλιν χρησιμοποιοῦν μερικὰς εἰκασίας. Μετὰ ἀπὸ ὅλα αὐτὰ μὴ ξεύρων τί νὰ κάμῃ, λέγει· «Λάβετε αὐτὸν σεῖς καὶ κρίνατέ τον σύμφωνα μὲ τὸν νόμον σας. Εἶπαν λοιπὸν ἐκεῖνοι· Ἡμεῖς δὲν ἐπιτρέπεται νὰ φονεύσωμεν κανένα». Αὐτὸ δὲ τὸ ἔλεγον, «διὰ νὰ ἐκπληρωθῇ ὁ λόγος τοῦ Κυρίου, πού εἶπε, διὰ νὰ δείξῃ μὲ ποῖον θάνατον ἐπρόκειτο ν' ἀποθάνῃ». Καὶ πῶς τὸ ἐφανέρωνεν αὐτὸ τὸ «δὲν ἐπιτρέπεται νὰ φονεύσωμεν κανένα»; Ἢ αὐτὸ ἐννοεῖ ὁ Εὐαγγελιστής, ὅτι δὲν ἐπρόκειτο μόνον ὑπὲρ αὐτῶν νὰ θανατωθῇ, ἀλλὰ καὶ ὑπὲρ τῶν ἐθνικῶν, ἢ ὅτι δὲν ἐπετρέπετο αὐτοὶ νὰ θανατώσουν διὰ σταυροῦ. Ἐὰν δὲ λέγουν, «Δὲν ἐπιτρέπετε εἰς ἡμᾶς νὰ φονεύσωμεν κανένα», ἐννοοῦν κατὰ τὴν ἐποχὴν ἐκείνην. Διότι, τὸ ὅτι βέβαια ἐφόνευον, καὶ ἐφόνευον μὲ ἄλλον τρόπον, τὸ δείχνει ὁ λιθοβολισμὸς τοῦ Στεφάνου· ἀλλ' ἐπεθυμοῦσαν νὰ τὸν σταυρώσουν, ὥστε καὶ τὸν τρόπον τοῦ θανάτου του νὰ διαπομπεύσουν. Ὁ Πιλᾶτος ὅμως,

λόμενος, εἰς κρίσιν μὲν οὐκ ἀφίησι μακράν, εἰσελθὼν δὲ ἐρωτᾷ τὸν Ἰησοῦν, καί φησι· «Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; Ὁ δὲ εἶπεν· Ἀπὸ σαυτοῦ τοῦτο λέγεις, ἢ ἄλλοι σοι τοῦτο εἶπον;».

Τίνος ἕνεκεν τοῦτο ἐρωτᾷ ὁ Χριστός; Τὴν πονηρὰν τῶν Ἰουδαίων ἐκκαλύψαι γνώμην θέλων. Ἠκηκόει μὲν οὖν παρὰ πολλῶν τοῦτο ὁ Πιλᾶτος, ἐπειδὴ δὲ οὐδὲν ἔσχον εἰπεῖν ἐκεῖνοι ὑπὲρ τοῦ μὴ πολλὴν γίνεσθαι τὴν ἐξέτασιν, ὅπερ ἀεὶ περιεφέρετο, τοῦτο εἰς μέσον ἀγαγεῖν βούλεται. Ἐπειδὴ δὲ εἶπεν αὐτοῖς ὅτι «κατὰ τὸν νόμον ὑμῶν κρίνατε αὐτόν», δεῖξαι βουλόμενοι ὅτι οὐκ ἔστιν Ἰουδαϊκὸν τὸ ἁμάρτημα, λέγουσιν ὅτι «οὐκ ἔξεστιν ἡμῖν»· οὐ γὰρ δὴ κατὰ τὸν νόμον τὸν ἡμέτερον ἥμαρτεν, ἀλλὰ κοινόν ἐστι τὸ ἔγκλημα. Τοῦτο οὖν συνιδὼν ὁ Πιλᾶτος, ὡς μέλλων κινδυνεύειν, λέγει· «Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων;». Οὐ τοίνυν ἀγνοῶν ὁ Χριστὸς ἐρωτᾷ, ἀλλά, καὶ ὑπ' αὐτοῦ κατηγορηθῆναι τοὺς Ἰουδαίους βουλόμενος, φησίν· «Ἄλλοι σοι εἶπον;». Ὅπερ οὖν ἐμφαίνων ὁ Πιλᾶτος, ἔλεγε· «Μή τι ἐγὼ Ἰουδαῖός εἰμι; Τὸ ἔθνος σου καὶ οἱ ἀρχιερεῖς παρέδωκάν σε ἐμοί· τί ἐποίησας;», ἐνταῦθα βουλόμενος ἑαυτὸν ἀπαλλάξαι. Εἶτα, ἐπειδὴ εἶπε, «Σὺ εἶ ὁ βασιλεύς;», ἐλέγχων αὐτὸν ὁ Ἰησοῦς φησι· Τοῦτο γὰρ ἤκουσας παρὰ τῶν Ἰουδαίων· Τίνος ἕνεκεν οὐκ ἀκριβῆ ποιῇ τὴν ἐξέτασιν; Εἶπον ὅτι κακοποιός εἰμι· ἐρώτησον, τί κακὸν ἐποίησα; Ἀλλὰ τοῦτο μὲν οὐ ποιεῖς, ἁπλῶς δὲ αἰτίας συντιθεῖς. «Ἀπὸ σαυτοῦ τοῦτο λέγεις», ἢ ἑτέρωθεν; Εἶτα ἐκεῖνος, ὅτι μὲν ἤκουσε, παραχρῆμα οὐκ ἔχει λέγειν, ἁπλῶς δὲ ἕπεται τῷ δήμῳ, «παρέδωκάν σε ἐμοὶ» λέγων. Δεῖ οὖν σε ἐρωτῆσαι τί ἐποίησας.

Τί οὖν ὁ Χριστός; «Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου». Ἀνάγει τὸν Πιλᾶτον, οὐ σφόδρα ὄντα πονηρόν, οὐδὲ κατ' ἐκείνους, καὶ βούλεται δεῖξαι ὅτι οὐκ ἔστιν

θέλων ν' άπαλλαγῆ άπό τήν ἐνόχλησιν, δέν προχωρεῖ μέν εἰς μακράν κρίσιν, εἰσελθών δέ ἐρωτᾷ τόν Ἰησοῦν καί λέγει· «Σύ εἶσαι ὁ βασιλεύς τῶν Ἰουδαίων; Ὁ δέ Ἰησοῦς εἶπεν· Ἀπό μόνος σου τό λέγεις αὐτό, ἤ ἄλλοι σοῦ τό εἶπαν;».

Διά ποῖον λόγον ἐρωτᾷ αὐτό ὁ Χριστός; Θέλων νά φανερώση τήν πονηράν πρόθεσιν τῶν Ἰουδαίων. Εἶχεν ἀκούσει βέβαια αὐτό ὁ Πιλᾶτος ἀπό πολλούς, ἐπειδή ὅμως ἐκεῖνοι δέν εἶχον νά εἰποῦν τίποτε, διά νά μή γίνη μακρά ἡ ἐξέτασις, ἐκεῖνο πού πάντοτε διεδίδετο, αὐτό θέλει νά παρουσιάση. Ἐπειδή δέ εἶπεν εἰς αὐτούς «κρίνατέ τον σύμφωνα μέ τόν νόμον σας», θέλοντες νά δείξουν ὅτι τό ἁμάρτημα δέν εἶναι ἰουδαϊκόν, λέγουν ὅτι «δέν ἐπιτρέπετε εἰς ἡμᾶς»· δέν ἡμάρτησε δηλαδή σύμφωνα μέ τόν ἰδικόν μας νόμον, ἀλλά τό ἔγκλημα εἶναι κοινόν. Ἀντιληφθείς λοιπόν αὐτό ὁ Πιλᾶτος, ὡσάν νά ἐπρόκειτο νά κινδυνεύση, λέγει· «Σύ εἶσαι ὁ βασιλεύς τῶν Ἰουδαίων;». Δέν ἐρωτᾷ βέβαια ὁ Χριστός ἀπό ἄγνοιαν, ἀλλά, θέλων καί ὑπ' αὐτοῦ νά κατηγορηθοῦν οἱ Ἰουδαῖοι, λέγει· «Ἄλλοι σοῦ τό εἶπαν;». Πρᾶγμα πού διά νά δηλώση ὁ Πιλᾶτος, ἔλεγε· «Μήπως ἐγώ εἶμαι Ἰουδαῖος; Τό ἔθνος σου καί οἱ ἀρχιερεῖς σέ παρέδωσαν εἰς ἐμένα· τί ἔκαμες;», θέλων ἔτσι ν' ἀπαλλάξη τόν ἑαυτόν του. Ἔπειτα, ἐπειδή εἶπε, «Σύ εἶσαι ὁ βασιλεύς;», ἐλέγχων αὐτόν ὁ Ἰησοῦς, λέγει· Αὐτό βέβαια τό ἤκουσες ἀπό τούς Ἰουδαίους· διατί δέν ἐξετάζεις λεπτομερῶς τό πρᾶγμα; Εἶπαν ὅτι εἶμαι κακοποιός· ἐρώτησέ τους τί κακόν ἔκαμα; Ἀλλ' αὐτό μέν δέν τό κάμνεις, ἁπλῶς δέ ἀναφέρεις κατηγορίας. «Ἀπό μόνος σου τό λέγεις αὐτό», ἤ τό ἤκουσες ἀπό ἄλλους; Ἔπειτα ἐκεῖνος, τό ὅτι μέν τό ἤκουσεν εἶναι σωστόν, ἀλλά δέν ἠμπορεῖ νά τό εἰπῆ ἀμέσως, διά τοῦτο ἁπλῶς τόν παραπέμπει εἰς τό πλῆθος, λέγων· «Σέ παρέδωσαν εἰς ἐμένα». Πρέπει λοιπόν νά σέ ἐρωτήσω τί ἔκαμες.

Τί λέγει λοιπόν ὁ Χριστός; «Ἡ ἰδική μου βασιλεία δέν εἶναι ἀπό αὐτόν τόν κόσμον». Ἀνεβάζει πνευματικά ὑψηλά τόν Πιλᾶτον, πού δέν ἦτο πάρα πολύ πονηρός, οὔτε

ἄνθρωπος ψιλός, ἀλλὰ Θεός, καὶ Θεοῦ Υἱός. Καὶ τί φησιν; «Εἰ ἐκ τοῦ κόσμου τούτου ἦν ἡ βασιλεία ἡ ἐμή, οἱ ὑπηρέται οἱ ἐμοὶ ἠγωνίσαντο ἄν, ἵνα μὴ παραδοθῶ τοῖς Ἰουδαίοις»· ὅπερ ἐδεδοίκει τέως ὁ Πιλᾶτος διέλυσε, τὴν τῆς τυραννίδος ὑποψίαν. Εἶτα οὐκ ἔστι ἐκ τοῦ κόσμου τούτου ἡ βασιλεία αὐτοῦ; Πάνυ μὲν οὖν. Πῶς οὖν φησιν, «Οὐκ ἔστιν»; Οὐχ ὅτι οὐ κρατεῖ καὶ ἐνταῦθα, ἀλλ' ὅτι καὶ ἄνωθεν ἔχει τὴν ἀρχήν, καὶ οὐκ ἔστιν ἀνθρωπίνη, ἀλλὰ πολλῷ μείζων ταύτης καὶ λαμπροτέρα. Εἰ οὖν μείζων, πῶς ὑπὸ ταύτης ἑάλω; Ἑκὼν καὶ ἑαυτὸν παραδούς. Ἀλλ' οὐκ ἀποκαλύπτει τέως τοῦτο, ἀλλὰ τί φησιν; «Εἰ ἐκ τοῦ κόσμου τούτου ἤμην, οἱ ὑπηρέται οἱ ἐμοὶ ἠγωνίσαντο ἄν, ἵνα μὴ παραδοθῶ». Δεκνυσιν ἐνταῦθα τῆς βασιλείας τῆς παρ' ἡμῖν τὸ ἀσθενές ὅτι ἐν τοῖς ὑπηρέταις ἔχει τὴν ἰσχύν· ἡ δὲ ἄνω αὐτάρκης ἐστὶν ἑαυτῇ, μηδενὸς δεομένη.

Ἐντεῦθεν οἱ αἱρετικοὶ λαβόντες ἀφορμάς, ἀλλότριον αὐτὸν εἶναί φασι τοῦ Δημιουργοῦ. Τί οὖν, ὅταν λέγῃ, «Εἰς τὰ ἴδια ἦλθε»; τί δέ, ὅταν λέγῃ, «Οὐκ εἰσὶν ἐκ τοῦ κόσμου, καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου τούτου»; Οὕτω καὶ τὴν βασιλείαν οὔ φησιν, ἐντεῦθεν εἶναι, οὐ τὸν κόσμον ἀποστερῶν αὐτοῦ τῆς προνοίας καὶ τῆς ἐπιστασίας, ἀλλὰ δεικνύς, ὅπερ ἔφην, οὐκ οὖσαν ἀνθρωπίνην, οὐδὲ ἐπίκηρον. Τί οὖν ὁ Πιλᾶτος; «Οὐκοῦν βασιλεὺς εἶ σύ; Ἀπεκρίθη ὁ Ἰησοῦς· Σὺ λέγεις ὅτι καὶ βασιλεύς εἰμι. Ἐγὼ εἰς τοῦτο γεγέννημαι». Εἰ τοίνυν βασιλεὺς γεγέννηται, καὶ τὰ ἄλλα πάντα γεγέννηται, καὶ οὐδὲν προσλαβὼν ἔχει. Ὥστε, ὅταν ἀκούσῃς ὅτι, «καθὼς ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ Υἱῷ ζωὴν ἔχειν», μηδὲν ἄλλο ἢ τὴν γέννησιν νόμιζε· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. «Καὶ διὰ τοῦτο

5. Ἰω. 1, 11.
6. Ἰω. 17, 14.
7. Ἰω. 5, 26.

ὅπως ἐκεῖνοι, καὶ θέλει νὰ δείξη ὅτι δὲν εἶναι ἄνθρωπος ἁπλός, ἀλλὰ Θεός, καὶ Υἱὸς τοῦ Θεοῦ. Καὶ τί λέγει; «Ἐὰν ἡ βασιλεία μου ἦτο ἀπὸ αὐτὸν τὸν κόσμον, οἱ ὑπηρέται μου θὰ ἠγωνίζοντο, διὰ νὰ μὴ παραδοθῶ εἰς τοὺς Ἰουδαίους»· πρᾶγμα ποὺ διέλυσεν αὐτὸ ποὺ προηγουμένως ἐφοβεῖτο ὁ Πιλᾶτος, δηλαδὴ τὴν ὑποψίαν περὶ συστάσεως τυραννικῆς ἐξουσίας. Ἔπειτα δὲν εἶναι ἡ βασιλεία του ἀπὸ αὐτὸν τὸν κόσμον; Καὶ βέβαια εἶναι. Πῶς λοιπὸν λέγει, «Δὲν εἶναι»; Ὄχι ὅτι δὲν ἐξουσιάζει καὶ ἐδῶ, ἀλλ' ὅτι καὶ εἰς τὸν οὐρανὸν ἐξουσιάζει, καὶ δὲν εἶναι ἀνθρωπίνη, ἀλλὰ πολὺ πιὸ ἀνωτέρα ἀπὸ αὐτὴν καὶ λαμπροτέρα. Ἐὰν λοιπὸν εἶναι ἀνωτέρα, πῶς συνελήφθη ὑπ' αὐτῆς τῆς ἐξουσίας; Διότι μὲ τὴν θέλησίν του παρεδόθη εἰς αὐτούς. Ἀλλὰ δὲν τὸ φανερώνει αὐτὸ κατ' ἀρχήν, ἀλλὰ τί λέγει; «Ἐὰν ἤμουν ἀπὸ αὐτὸν τὸν κόσμον, οἱ ὑπηρέται μου θὰ ἠγωνίζοντο, διὰ νὰ μὴ παραδοθῶ». Δείχνει μὲ αὐτὰ τὴν ἀδυναμίαν τῆς κοσμικῆς βασιλείας, ποὺ ἔχει τὴν δύναμίν της εἰς τοὺς ὑπηρέτας· ἐνῷ ἡ οὐράνιος εἶναι ἀπὸ μόνη της αὐτάρκης, μὴ ἔχουσα ἀνάγκην ἀπὸ κανένα.

Λαβόντες οἱ αἱρετικοὶ ἀπὸ ἐδῶ ἀφορμάς, λέγουν ὅτι εἶναι ξένος πρὸς τὸν Δημιουργόν. Τί ἐννοεῖ λοιπὸν ὅταν λέγη «Ἦλθεν εἰς τοὺς ἰδικούς του»[5]; τί δέ, ὅταν λέγη, «Δὲν εἶναι ἀπὸ τὸν κόσμον, καθὼς ἐγὼ δὲν εἶμαι ἀπὸ αὐτὸν τὸν κόσμον»[6]; Ἔτσι καὶ διὰ τὴν βασιλείαν του λέγει ὅτι δὲν εἶναι ἀπὸ ἐδῶ, ὄχι ἀποστερῶν τὸν κόσμον ἀπὸ τὴν πρόνοιαν καὶ τὴν ἐπιστασίαν του, ἀλλὰ διὰ νὰ δείξη, ὅπως προανέφερα, ὅτι δὲν εἶναι ἀνθρωπίνη, οὔτε φθαρτή. Τί λέγει λοιπὸν ὁ Πιλᾶτος; «Λοιπὸν εἶσαι βασιλεύς; Ἀπεκρίθη ὁ Ἰησοῦς. Σὺ τὸ εἶπες ὅτι εἶμαι βασιλεύς. Ἐγὼ δι' αὐτὸ ἐγενννήθην». Ἐὰν λοιπὸν ἐγεννήθη βασιλεὺς ἐγεννήθη καὶ ὡς πρὸς ὅλα τὰ ἄλλα, καὶ τίποτε δὲν ἔχει ποὺ νὰ τὸ προσέλαβεν ἐκ τῶν ὑστέρων. Ὥστε, ὅταν ἀκούσῃς, ὅτι «Ὅπως ἀκριβῶς ὁ Πατὴρ ἔχει μέσα του ζωήν, ἔτσι ἔδωσε καὶ εἰς τὸν Υἱόν του νὰ ἔχῃ ζωήν»[7], μὴ σκεφθῇς τίποτε ἄλλο, παρὰ τὴν γέννησιν· τὸ ἴδιο νὰ σκεφθῇς καὶ διὰ τοὺς ἄλλους λόγους του. «Καὶ διὰ τοῦτο ἦλθον, διὰ νὰ μαρτυ-

ἦλθον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ»· τουτέστιν, Ἵνα τοῦτο αὐτὸ εἴπω, καὶ διδάξω, καὶ πείσω πάντα.

5. Σὺ δέ, ταῦτα ἀκούων, ἄνθρωπε, καὶ ὁρῶν τὸν Δεσπότην σου δεδεμένον καὶ περιαγόμενον, μηδὲν εἶναι τὰ παρόντα πράγματα νόμιζε· πῶς γὰρ οὐκ ἄτοπον, εἰ ὁ μὲν Χριστὸς τοσαῦτα ὑπέμεινε διὰ σέ, σὺ δὲ οὐδὲ ῥήματα πολλάκις φέρεις; Ἀλλ' αὐτὸς μὲν ἐμπτύεται, σὺ δὲ καλλωπίζῃ ἱματίοις καὶ δακτυλίοις, κἂν μὴ τῆς παρὰ πάντων εὐφημίας τύχῃς, ἀβίωτον εἶναι νομίζεις τὸν βίον· καὶ οὗτος μὲν ὀνειδίζεται, σκώμματα φέρει, πληγὰς καταγελάστους κατὰ τῆς σιαγόνος, σὺ δὲ πανταχοῦ τιμᾶσθαι βούλει, καὶ οὐ φέρεις τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ. Οὐκ ἀκούεις Παύλου λέγοντος, «Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ»; Ὅταν οὖν σέ τις κωμῳδήσῃ, μνήσθητί σου τοῦ Δεσπότου, ὅτι μετὰ χλεύης αὐτῷ προσεκύνουν, καὶ διὰ ῥημάτων, καὶ διὰ πραγμάτων διέσυρον, καὶ εἰρωνείαν πολλὴν ἐπεδείκνυντο· αὐτὸς δὲ οὐ μόνον οὐκ ἠμύνατο, ἀλλὰ καὶ τοῖς ἐναντίοις ἠμείψατο, πρᾳότητι καὶ ἐπιεικείᾳ. Τοῦτον δὴ καὶ ἡμεῖς ζηλώσωμεν· οὕτω γὰρ δυνησόμεθα καὶ ὕβρεως ἀπαλλαγῆναι πάσης· οὐ γὰρ ὁ ὑβρίζων, ἀλλ' ὁ μικροψυχῶν, καὶ ἀλγῶν ταῖς ὕβρεσιν, ἐκεῖνός ἐστιν ὁ κατασκευάζων τὰς ὕβρεις, καὶ δάκνεσθαι ποιῶν· ἂν γὰρ μὴ ἀλγήσῃς, οὐχ ὑβρίσθης· οὐ γὰρ παρὰ τοὺς ποιοῦντας, ἀλλὰ παρὰ τοὺς πάσχοντας γίνεται τὸ δεινὰ πάσχειν.

Τί γὰρ ὅλως ἀλγεῖς; Εἰ μὲν ἀδίκως ὕβρισε, ταύτῃ μάλιστα ἀγανακτεῖν οὐ χρή, ἀλλ' ἐκεῖνον ἐλεεῖν, εἰ δὲ δικαίως πολλῷ μᾶλλον ἡσυχάζειν χρή. Ὥσπερ γάρ, εἰ πένητα ὄντα πλούσιον προσεῖπέ τις, οὐδὲν πρὸς σὲ τῶν εἰρημένων ὁ ἔπαινος, ἀλλὰ χλευασία μᾶλλλον τὸ ἐγκώμιον, οὕτως, ἂν

8. Α' Κορ. 11, 1.

ρήσω τὴν ἀλήθειαν»· δηλαδὴ 'διὰ νὰ εἰπῶ καὶ νὰ διδάξω αὐτὸ καὶ νὰ πείσω ὅλους νὰ πιστεύσουν'.

5. Σὺ ὅμως, ἀκούων αὐτά, ἄνθρωπε, καὶ βλέπων τὸν Κύριόν σου δεμένον καὶ ὁδηγούμενον ἐδῶ καὶ ἐκεῖ, νὰ θεωρῇς ὅτι τίποτε δὲν εἶναι τὰ πράγματα τῆς παρούσης ζωῆς· διότι πῶς δὲν εἶναι παράλογον, ἐὰν ὁ μὲν Χριστὸς ὑπέμεινε τόσα πολλὰ διὰ σένα, σὺ δὲ δὲν ἀνέχεσαι πολλὲς φορὲς οὔτε τὰ λόγια ν' ἀκούσῃς; Ἀλλ' αὐτὸς μὲν πτύεται, σὺ δὲ στολίζεσαι μὲ ἐνδύματα καὶ στολίδια, καὶ ἂν δὲν τύχῃς τῆς ἐπιδοκιμασίας ἀπὸ ὅλους, θεωρεῖς τὴν ζωήν σου ὅτι εἶναι ἀνυπόφορος· καὶ αὐτὸς μὲν ὑβρίζεται, δέχεται ἐμπαιγμούς, κτυπήματα γεμᾶτα ἀπὸ γέλια εἰς τὴν σιαγόνα, ἐνῷ σὺ θέλεις παντοῦ νὰ τιμᾶσαι καὶ δὲν ἀνέχεσαι τὴν ὕβριν τοῦ Χριστοῦ. Δὲν ἀκούεις τὸν Παῦλον ποὺ λέγει· «Γίνεσθε μιμηταί μου, καθὼς ἐγὼ εἶμαι μιμητὴς τοῦ Χριστοῦ»[8]; Ὅταν λοιπὸν κάποιος σὲ διακωμῳδήσῃ, ἐνθυμήσου τὸν Κύριόν σου, ὅτι ἐπροσκυνοῦσαν αὐτὸν μὲ ἐμπαιγμοὺς καὶ τὸν διέσυρον μὲ λόγια καὶ μὲ ἔργα καὶ ἔδειχναν πολλὴν εἰρωνείαν πρὸς αὐτόν· αὐτὸς δὲ ὄχι μόνον δὲν ἠμύνθη, ἀλλὰ καὶ τοὺς ἤμειψε μὲ τὰ ἀντίθετα, μὲ πραότητα καὶ ἐπιείκειαν. Αὐτὸν λοιπὸν ἂς μιμηθῶμεν καὶ ἡμεῖς· διότι ἔτσι θὰ ἠμπορέσωμεν καὶ ν' ἀπαλλαγῶμεν ἀπὸ κάθε ὕβριν· καθ' ὅσον ὄχι ἐκεῖνος ποὺ ὑβρίζει, ἀλλ' ἐκεῖνος ποὺ εἶναι μικρόψυχος καὶ στενοχωρεῖται διὰ τὰς ὕβρεις, ἐκεῖνος εἶναι ποὺ γίνεται αἴτιος δι' αὐτὰς καὶ κάμνει αὐτὰς νὰ πληγώνουν· διότι ἐὰν δὲν πονέσῃς, δὲν ὑβρίσθης· καθ' ὅσον ὄχι ἐκεῖνοι ποὺ προξενοῦν τὰ κακά, ἀλλ' ἐκεῖνοι ποὺ ὑφίστανται τὰ κακά, ἐκεῖνοι γίνονται αἰτία νὰ πάσχουν τὰ δεινά.

Διατί λοιπὸν κυριεύεσαι ἐξ ὁλοκλήρου ἀπὸ λύπην; Ἐὰν μὲν ἀδίκως σὲ ὕβρισε, δι' αὐτὸ πρὸ πάντων δὲν πρέπει ν' ἀγανακτῇς, ἀλλ' ἐκεῖνον νὰ εὐσπλαγχνίζεσαι, ἐὰν δὲ δικαίως σὲ ὕβρισε, πολὺ περισσότερον πρέπει νὰ μένῃς ἥσυχος. Διότι ὅπως ἀκριβῶς, ἐὰν κάποιος, ἐνῷ εἶσαι πτωχός, σὲ ὠνόμαζε πλούσιον, δὲν θὰ σὲ ὠφελοῦσαν εἰς τίποτε αὐτοὶ οἱ ἐπαινετικοὶ λόγοι, ἀλλὰ θὰ ἦτο μᾶλλον χλευα-

ὑβρίζων τὰ μὴ ὄντα εἴπῃ, οὐδὲν πρὸς σὲ πάλιν τὸ ὄνειδος. Εἰ δὲ ἐπιλαμβάνεται τὸ συνειδὸς τῶν εἰρημένων, μὴ ἀλγήσῃς τοῖς ῥήμασιν, ἀλλὰ διόρθωσον τοῖς πράγμασι. Καὶ ταῦτα λέγω ἐπὶ τῶν ἀληθῶς ὕβρεων. Ἐπεί, ἂν πενίαν ὀνειδίζῃ καὶ δυσγένειαν, καταγέλαστον πάλιν· οὐ γὰρ ὄνειδος ταῦτα τοῦ ἀκούοντος, ἀλλὰ τοῦ λέγοντος, ἅτε οὐκ εἰδότως φιλοσοφεῖν. Ἀλλά, ὅταν ἐπὶ πολλῶν ταῦτα λέγηται, φησίν, ἀγνοούντων τὴν ἀλήθειαν, ἀφόρητον γίνεται τὸ ἕλκος. Τοῦτο μὲν μάλιστά ἐστι φορητόν, ὅταν σοι θέατρον παρῇ, μαρτύρων ἐπαινούντων, ἀποδεχομένων, σκωπτόντων ἐκεῖνον, κωμῳδούντων· οὐ γὰρ ὁ ἀμυνόμενος, ἀλλ' ὁ μηδὲν εἰπών, οὗτος θαυμαστὸς παρὰ τοῖς νοῦν ἔχουσιν. Ἂν δὲ μηδεὶς ᾖ νοῦν ἔχων τῶν παρόντων, ταύτῃ μάλιστα αὐτὸν καταγέλασον, καὶ ἐντρύφησον τῷ θεάτρῳ τοῦ οὐρανοῦ· ἐκεῖ γάρ σε πάντες ἐπαινέσονται, καὶ κροτήσουσι, καὶ ἀποδέξονται. Ἀρκεῖ δὲ εἷς ἄγγελος ἀντὶ τῆς οἰκουμένης ἁπάσης. Καὶ τί λέγω τοὺς ἀγγέλους, ὁπότε αὐτός σε ὁ Δεσπότης ἀνακηρύξει;

Τούτοις τοῖς λογισμοῖς γυμνάζωμεν ἑαυτούς· οὐ γάρ ἐστιν ἐλάττωμα ὑβρισθέντα σιγῆσαι, ἀλλὰ τοὐναντίον, ὑβρισθέντα ἀμύνασθαι· εἰ γὰρ ἐλάττωμα ἦν τὸ φέρειν σιγῇ τὰ λεγόμενα, οὐκ ἂν εἶπεν ὁ Χριστός, «Ἐάν τίς σε ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην». Ἂν μὲν οὖν τὰ μὴ ὄντα λέγῃ, καὶ διὰ τοῦτο αὐτὸν ἐλεῶμεν, ὅτι τὴν τῶν κατηγορούντων ἐπισπᾶται κόλασιν καὶ τιμωρίαν, οὐδὲ Γραφὰς ἀναγινώσκειν γινόμενος ἄξιος, («τῷ γὰρ ἁμαρτωλῷ φησιν ὁ Θεός· Ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου, καὶ

---

9. Ματθ. 5, 39.

σμὸς τὸ ἐγκώμιον, ἔτσι, ἐὰν κανεὶς σὲ ὑβρίζῃ διὰ πράγματα ἀνύπαρκτα, δὲν ἔχει καμμίαν σχέσιν καὶ πάλιν ὁ ὀνειδισμὸς διὰ σένα. Ἐὰν ὅμως ἡ συνείδησις σὲ ἐλέγχῃ δι' αὐτὰ ποὺ σοῦ λέγουν, μὴ νοιώσῃς λύπην διὰ τὰ λόγια, ἀλλὰ διόρθωσε τὰς πράξεις σου. Καὶ αὐτὰ τὰ λέγω διὰ τὰς πραγματικὰς ὕβρεις. Διότι, ἐὰν σὲ ὑβρίζῃ διὰ τὴν πτωχείαν καὶ τὴν ταπεινὴν καταγωγήν σου, πάλιν αὐτό εἶναι ἄξιον διὰ γέλια· καθ' ὅσον αὐτὰ δὲν ἀποτελοῦν ὕβριν ἐναντίον ἐκείνου ποὺ τὰ ἀκούει, ἀλλὰ δι' ἐκεῖνον ποὺ λέγει αὐτὰς τὰς ὕβρεις, διότι δὲν γνωρίζει νὰ φιλοσοφῇ. Ἀλλά, ὅταν αὐτά, λέγει, λέγωνται παρουσίᾳ πολλῶν, ποὺ δὲν γνωρίζουν τὴν ἀλήθειαν, τότε γίνεται ἀνυπόφορος ἡ πληγή. Αὐτὸ πρό πάντων εἶναι ὑποφερτόν, ὅταν ὑπάρχουν διὰ σένα θεαταὶ μάρτυρες ποὺ ἐσένα σὲ ἐπαινοῦν, σὲ ἐπιδοκιμάζουν, ἐνῷ ἐκεῖνον τὸν ἐμπαίζουν καὶ τὸν διακωμωδοῦν· διότι ὄχι ἐκεῖνος ποὺ ἀμύνεται, ἀλλ' ἐκεῖνος ποὺ δὲν εἶπε τίποτε, αὐτός εἶναι ἄξιος θαυμασμοῦ ἀπὸ ἐκείνους ποὺ σκέπτονται λογικά. Ἐὰν ὅμως κανεὶς ἀπὸ τοὺς παρόντας δὲν σκέπτεται λογικά, δι' αὐτὸ πρὸ πάντων εἶναι ἄξιος διὰ γέλια καὶ νοιῶσε εὐχαρίστησιν μὲ τοὺς θεατὰς τοῦ οὐρανοῦ· διότι ἐκεῖ θὰ σὲ ἐπαινέσουν ὅλοι καὶ θὰ σὲ χειροκροτήσουν καὶ θὰ σὲ ἐπιδοκιμάσουν. Ἀρκεῖ δὲ ἕνας ἄγγελος ἀντὶ ὁλοκλήρου τῆς οἰκουμένης. Καὶ διατί λέγω τοὺς ἀγγέλους, τὴν στιγμὴν ποὺ ὁ ἴδιος ὁ Κύριος θὰ σὲ ἀνακηρύξῃ;

Μὲ αὐτὰς τὰς σκέψεις ἂς ἀσκοῦμεν τοὺς ἑαυτούς μας· διότι δὲν εἶναι ἐλάττωμα νὰ σιωπήσῃ κάποιος ποὺ ὑβρίσθη, ἀλλὰ τὸ ἀντίθετον, τὸ νὰ ἀμυνθῇ ὅταν ὑβρισθῇ· καθ' ὅσον, ἐὰν ἦτο ἐλάττωμα τὸ νὰ ὑπομένῃ κανεὶς μὲ σιωπὴν τὰ λεγόμενα, δὲν θὰ ἔλεγεν ὁ Χριστός, «Ἐὰν κάποιος σὲ ραπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψε εἰς αὐτὸν καὶ τὴν ἄλλην»[9]. Ἂν λοιπὸν λέγῃ πράγματα ποὺ δὲν εἶναι ἀληθινά, καὶ διὰ τοῦτο τοῦ δείχνομεν εὐσπλαγχνίαν, διότι ἐπισπᾷ κατὰ τοῦ ἑαυτοῦ του τὴν κόλασιν καὶ τὴν τιμωρίαν τῶν κατηγορούντων καὶ δὲν εἶναι ἄξιος οὔτε τὰς Γραφὰς νὰ ἀναγινώσκῃ («διότι λέγει ὁ Θεὸς εἰς τὸν ἁμαρτωλόν· Διατί σὺ διηγεῖσαι τὰ δικαιώματά μου καὶ βάζεις εἰς τὸ

ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου; Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις»), ἂν δὲ τὰ ὄντα εἴπῃ, καὶ οὕτως ἐλεεινός· ἐπεὶ καὶ ὁ Φαρισαῖος τὰ ὄντα ἔλεγεν, ἀλλὰ καὶ οὗτος τὸν μὲν ἀκούοντα ἔβλαψεν οὐδέν, ἀλλὰ καὶ ὠφέλησεν, αὐτὸν δὲ ἀπεστέρησε μυρίων ἀγαθῶν, ναυάγιον ἀπὸ τῆς κατηγορίας ὑπομείνας ταύτης. Ὥστε ἀμφοτέρωθεν ἐκεῖνός ἐστιν ὁ ἀδικούμενος, οὐ σύ.

Σὺ δέ, ἂν νήφῃς, διπλᾶ κερδανεῖς, τό τε ἐξιλεοῦσθαι τὸν Θεὸν τῇ σιγῇ, καὶ τὸ μετριάζειν μειζόνως, καὶ ἀφορμὴν λαμβάνειν ἐκ τῶν εἰρημένων διορθοῦσθαι τὰ πεπραγμένα, καὶ τὸ τῆς δόξης τῆς ἀνθρωπίνης ὑπερορᾶν· καὶ γὰρ ἐντεῦθεν ἡμῖν τὸ ἄλγος ἐγένετο, ὅτι πολλοὶ πρὸς τὴν τῶν ἀνθρωπίνων ὑπόνοιαν κεχήνασιν. Οὕτως, ἐὰν θελήσωμεν φιλοσοφεῖν, εἰσόμεθα καλῶς ὅτι οὐδὲν τὰ ἀνθρώπινα. Μάθωμεν τοίνυν, καί, τὰ ἐλαττώματα ἑαυτῶν ἀναλογισάμενοι, διανύσωμεν τῷ χρόνῳ τὴν τούτων διόρθωσιν, τῷ μὲν παρόντι μηνὶ τοῦτο, τῷ δὲ ἐπιόντι τὸ ἕτερον, καὶ τῷ μετ' ἐκεῖνον ἄλλο πάλιν ὁρίσωμεν ἑαυτοὺς κατορθοῦν, καὶ οὕτω, καθάπερ βαθμοῖς τισιν ἀναβαίνοντες, φθάσωμεν πρὸς τὸν οὐρανὸν διὰ τῆς κλίμακος τοῦ Ἰακώβ· καὶ γὰρ ἡ κλίμαξ ἐκείνη καὶ τοῦτό μοι διὰ τῆς ὄψεως ἐκείνης αἰνίττεσθαι δοκεῖ, τὴν μετὰ μικρὸν διὰ τῆς ἀρετῆς ἀνάβασιν, δι' ἧς ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανὸν ἀναβῆναι ἔνι, οὐ βαθμοῖς αἰσθητοῖς χρωμένους, ἀλλ' ἐπιδόσει τρόπων καὶ διορθώσει.

Ἐπιλαβώμεθα τοίνυν τῆς ἀποδημίας ταύτης καὶ τῆς ἀναβάσεως, ἵνα ἐπιτυχόντες τῶν οὐρανῶν καὶ τῶν ἐκεῖ πάντων ἀπολαυσώμεθα ἀγαθῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

10. Ψαλμ. 49, 16-20.

στόμα σου τὴν διαθήκην μου; Ἐκάθησο καὶ ὡμίλεις ἐναντίον τοῦ ἀδελφοῦ σου»[10]), ἂν δὲ εἶναι ἀληθινὰ αὐτὰ ποὺ λέγει καὶ ἔτσι πάλιν εἶναι ἐλεεινός· διότι καὶ ὁ Φαρισαῖος ἔλεγε πράγματα ποὺ ἦσαν ἀληθινά, ἀλλὰ καὶ αὐτὸς ἐκεῖνον μὲν ποὺ τὸν ἤκουε δὲν τὸν ἔβλαψε καθόλου, ἀλλὰ καὶ τὸν ὠφέλησεν, ἐνῷ τὸν ἑαυτόν του τὸν ἐστέρησεν ἀπὸ ἄπειρα ἀγαθά, ὑπομείνας ναυάγιον ἀπὸ αὐτὴν τὴν κατηγορίαν. Ὥστε καὶ εἰς τὰς δύο περιπτώσεις ἐκεῖνος εἶναι ὁ ἀδικούμενος καὶ ὄχι ἐσύ.

Σὺ ὅμως, ἐὰν προσέχῃς, θὰ ἔχῃς διπλοῦν κέρδος, καὶ τὸ ὅτι ἀποκτᾷς μεγαλυτέραν μετριοπάθειαν, καὶ λαμβάνεις ἀφορμὴν ἀπὸ τὰ λεγόμενα νὰ διορθώνῃς τὰς πράξεις σου καὶ νὰ περιφρονῇς τὴν ἀνθρωπίνην δόξαν· καθ' ὅσον ἐξ αἰτίας αὐτοῦ ἐδημιουργήθη εἰς ἡμᾶς ἡ λύπη, ἀπὸ τὸ ὅτι πολλοὶ προσέχουν, χωρὶς νὰ σκεφθοῦν καθόλου τὴν γνώμην τῶν ἀνθρώπων. Ἔτσι, ἐὰν θελήσωμεν νὰ φιλοσοφοῦμεν, θὰ γνωρίσωμεν καλῶς ὅτι δὲν ἔχουν καμμίαν ἀξίαν τὰ ἀνθρώπινα. Ἂς μάθωμεν λοιπὸν αὐτὰ καὶ σκεφθέντες τὰ ἐλαττώματά μας, νὰ διανύσωμεν τὸν χρόνον διορθώνοντες αὐτά, κατὰ μὲν τὸν μῆνα αὐτὸν αὐτὸ τὸ ἐλάττωμα, τὸ δὲ ἑπόμενον τὸ ἄλλο, καὶ κατὰ τὸν τρίτον μῆνα νὰ ὁρίσωμεν πάλιν εἰς τὸν ἑαυτόν μας νὰ ἐπιτύχῃ κάτι ἄλλο, καὶ ἔτσι, ὡσὰν νὰ ἀνεβαίνωμεν κάποιας βαθμίδας, νὰ φθάσωμεν πρὸς τὸν οὐρανὸν διὰ τῆς κλίμακος τοῦ Ἰακώβ· καθ' ὅσον ἡ κλίμαξ ἐκείνη νομίζω ὅτι μὲ ἐκεῖνο τὸ ὄνειρον ὑπαινίσσεται καὶ αὐτό, τὴν βαθμιαίαν δηλαδὴ ἀνάβασιν διὰ τῆς ἀρετῆς, διὰ τῆς ὁποίας ἠμποροῦμεν νὰ ἀνεβῶμεν ἀπὸ τὴν γῆν εἰς τὸν οὐρανὸν χρησιμοποιοῦντες ὄχι αἰσθητὰς βαθμίδας, ἀλλὰ μὲ τὴν ἐπίδοσίν μας εἰς τὴν ἀρετὴν καὶ τὴν διόρθωσιν τοῦ χαρακτῆρος μας.

Ἂς φροντίσωμεν λοιπὸν δι' αὐτὴν τὴν ἀποδημίαν καὶ τὴν ἀνάβασιν, ὥστε, ἀφοῦ ἐπιτύχωμεν νὰ ἀνέλθωμεν εἰς τοὺς οὐρανούς, νὰ ἀπολαύσωμεν καὶ ὅλα τὰ ἐκεῖ ἀγαθὰ μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΠΔ΄

Ἰω. 18, 37 - 19, 15

«Ἐγὼ εἰς τοῦτο γεγέννημαι, καὶ εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ. Πᾶς, ὁ ὢν ἐκ τῆς ἀληθείας, ἀκούει μου τῆς φωνῆς».

1. Θαυμαστὸν ἡ μακροθυμία, καὶ ὥσπερ ἐν εὐδίῳ λιμένι καθίστησι τὴν ψυχήν, κυμάτων ἀπαλλάττουσα καὶ πνευμάτων πονηρῶν. Καὶ ταύτην πανταχοῦ μὲν ἡμᾶς ὁ Χριστὸς ἐπαίδευσε, μάλιστα δὲ νῦν, κρινόμενος, καὶ ἀγόμενος καὶ περιαγόμενος· καὶ γάρ, πρὸς τὸν Ἄνναν ἀπενεχθείς, μετὰ πολλῆς ἀπεκρίνατο τῆς ἐπιεικείας, καὶ πρὸς τὸν ῥαπίσαντα ὑπηρέτην εἶπε τὰ πάντα καθελεῖν δυνάμενα τῦφον· κἀκεῖθεν πρὸς Καϊάφαν, εἶτα πρὸς τὸν Πιλᾶτον ἐλθών, καὶ ὁλόκληρον δαπανήσας νύκτα ἐν τούτοις, διὰ πάντων τὴν αὐτοῦ πραότητα ἐπιδείκνυται· καὶ λεγόντων ὅτι κακοποιός ἐστι, καὶ ἐλέγξαι μὴ δυναμένων, εἱστήκει σιγῶν· ὅτε δὲ ἠρωτήθη περὶ τῆς βασιλείας, τότε ἐφθέγξατο πρὸς τὸν Πιλᾶτον, παιδεύων αὐτόν, καὶ ἀνάγων πρὸς ὑψηλότερα. Ἀλλὰ τί δήποτε ὁ Πιλᾶτος οὐκ ἐπ' αὐτῶν ποιεῖται τὴν ἐξέτασιν, ἀλλ' ἰδίᾳ εἰς τὸ πραιτώριον εἰσελθών; Μεγάλην τινὰ εἶχεν ὑπόνοιαν περὶ αὐτοῦ, καὶ ἐβούλετο, μὴ θορυβούντων Ἰουδαίων, πάντα ἀκριβῶς μαθεῖν. Εἶτα, ἐπειδὴ εἶπε, «Τί ἐποίησας;», περὶ μὲν τούτου οὐδὲν ἀπεκρίνατο περὶ δὲ οὗ μάλιστα ὁ Πιλᾶτος ἀκοῦσαι ἐπόθει, τῆς βασιλείας τῆς αὐτοῦ,

1. Ἰω. 18, 35.

ΟΜΙΛΙΑ ΠΔ΄

Ἰω. 18, 37 - 19, 15

«Ἐγὼ δι᾿ αὐτὸ ἐγεννήθην καὶ δι᾿ αὐτὸ ἦλθον εἰς τὸν κόσμον, διὰ νὰ μαρτυρήσω τὴν ἀλήθειαν. Ὁ καθένας ποὺ εἶναι ἀπὸ τὴν ἀλήθειαν, ἀκούει τὴν φωνήν μου».

1. Εἶναι ἀξιοθαύμαστον πρᾶγμα ἡ μακροθυμία, καὶ καθιστᾷ τὴν ψυχὴν ὡσὰν νὰ εὑρίσκεται μέσα εἰς γαλήνιον λιμένα, ἀπαλλάττουσα αὐτὴν ἀπὸ τὰ κύματα καὶ τὰ πονηρὰ πνεύματα. Καὶ αὐτὴν μὲν μᾶς τὴν ἐδίδαξεν ὁ Χριστὸς εἰς κάθε περίπτωσιν, πρὸ πάντων δὲ τώρα, ποὺ κρίνεται καὶ ὁδηγεῖται ἀπὸ τὸν ἕνα δικαστὴν εἰς τὸν ἄλλον καὶ διαπομπεύεται· καθ᾿ ὅσον ὁδηγηθεὶς πρὸς τὸν Ἄνναν, ἀπήντησε μὲ πολλὴν ἐπιείκειαν, καὶ πρὸς τὸν ὑπηρέτην ἐκεῖνον ποὺ τὸν ἐράπισεν εἶπε τὰ λόγια ἐκεῖνα ποὺ εἶχον τὴν δύναμιν νὰ ἐξαφανίσουν κάθε ἀλαζονείαν· καὶ ἀπὸ ἐκεῖ ἀφοῦ ἦλθε πρὸς τὸν Καϊάφαν καὶ ἔπειτα πρὸς τὸν Πιλᾶτον καὶ ἐπέρασεν ὁλόκληρον νύκτα πλησίον αὐτῶν, δείχνει μὲ ὅλα τὴν πραότητά του· καὶ ὅταν λέγουν ὅτι εἶναι κακοποιὸς καὶ δὲν ἠμποροῦν νὰ τὸ ἀποδείξουν, ἵσταται σιωπῶν· ὅταν δὲ ἠρωτήθη περὶ τῆς βασιλείας, τότε ὡμίλησε πρὸς τὸν Πιλᾶτον, διδάσκων αὐτὸν καὶ ἀνεβάζων αὐτὸν πνευματικὰ ὑψηλότερα. Ἀλλὰ διατί τέλος πάντων ὁ Πιλᾶτος δὲν ἐξετάζει αὐτὸν παρουσίᾳ αὐτῶν, ἀλλὰ κατ᾿ ἰδίαν, ἀφοῦ εἰσῆλθεν εἰς τὸ πραιτώριον; Εἶχε μίαν μεγάλην ὑπόνοιαν περὶ αὐτῶν καὶ ἤθελε, χωρὶς τὸν θόρυβον τῶν Ἰουδαίων, νὰ τὰ μάθῃ ὅλα μὲ ἀκρίβειαν. Ἔπειτα, ἐπειδὴ εἶπε, «Τί ἔκαμες;»[1], δὲν ἔδωσε μὲν περὶ αὐτοῦ καμμίαν ἀπάντησιν, διὰ ἐκεῖνο δὲ ποὺ ὁ Πιλᾶτος πρὸ πάντων ἐποθοῦσε νὰ μάθῃ, περὶ τῆς ἰδικῆς του βασιλείας, περὶ αὐτῆς δίδει ἀπάντησιν,

περὶ ταύτης ἀποκρίνεται, λέγων, «Ἡ βασιλεία μου οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου», τουτέστι, ʽβασιλεὺς μέν εἰμι, ἀλλ᾽ οὐ τοιοῦτος, οἷον ὑποπτεύεις, ἀλλὰ πολλῷ λαμπρότερος᾽, καὶ διὰ τούτων καὶ διὰ τῶν ἑξῆς ὅτι οὐδὲν εἴργασται αὐτῷ δεινὸν ἀποφαίνων· ὁ γὰρ εἰπών, «Εἰς τοῦτο γεγέννημαι, καὶ εἰς τοῦτο ἦλθον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ», δείκνυσιν οὐδὲν εἰργασμένον αὐτῷ δεινόν.

Εἶτα, εἰπών, «Πᾶς, ὁ ὢν ἐκ τῆς ἀληθείας, ἀκούει μου τῆς φωνῆς» ἐπισπᾶται διὰ τούτων, καὶ πείθει γενέσθαι τῶν λεγομένων ἀκροατήν· εἴ τις γάρ ἐστι, φησίν, ἀληθής, καὶ ταῦτα ποθεῖ, πάντως ἀκούσεταί μου. Οὕτω γοῦν καὶ αὐτὸν εἷλε τοῖς βραχέσι ῥήμασιν, ὡς εἰπεῖν, «Τί ἐστιν ἀλήθεια;». Ἀλλὰ τέως πρὸς τὸ κατεπεῖγον ἵσταται· συνεῖδε γὰρ ὅτι τοῦτο μὲν ἐδεῖτο καιροῦ τὸ ἐρώτημα, θέλει δὲ αὐτὸν ἐξαρπάσαι τῆς ὁρμῆς τῶν Ἰουδαίων· διὸ καὶ ἐξῆλθε. Καὶ τί φησιν; «Ἐγὼ οὐδεμίαν αἰτίαν εὑρίσκω ἐν αὐτῷ». Καὶ σκόπει πῶς συνετῶς; οὐ γὰρ εἶπεν ὅτι, ἐπειδὴ ἥμαρτε καὶ ἄξιός ἐστι θανάτου, χαρίσασθε αὐτὸν τῇ ἑορτῇ᾽, ἀλλά, πρῶτον αὐτὸν ἀπαλλάξας αἰτίας ἁπάσης, τότε ἐκ περιουσίας ἀξιοῖ, εἰ καὶ μὴ βούλοιντο ὡς ἀθῷον ἀφιέναι, κἂν ὡς ὑπεύθυνον τῷ καιρῷ χαρίσασθαι· διὸ καὶ ἐπήγαγεν· «Ἔστι συνήθεια ὑμῖν, ἵνα ἕνα ἀπολύσω ἐν τῷ Πάσχᾳ», εἶτα ἐντρεπτικῶς· «Βούλεσθε οὖν ἀπολύσω τὸν βασιλέα τῶν Ἰουδαίων; Ἔκραξαν οὖν πάντες· Μὴ τοῦτον, ἀλλὰ τὸν Βαραββᾶν». Ὢ τῆς μιαρᾶς γνώμης! τοὺς μὲν ὁμοτρόπους αἰτοῦσι, καὶ τοὺς ὑπευθύνους ἀφιᾶσι, τὸν δὲ ἀνεύθυνον κολάσαι κελεύουσιν· οὗτος γὰρ αὐτοῖς ἄνωθεν ὁ νόμος. Σὺ δὲ διὰ πάντων σκόπει τὴν φιλανθρωπίαν τοῦ Δεσπότου ἐπὶ τούτοις.

«Ἐμάστιξεν αὐτὸν ὁ Πιλᾶτος», τάχα ἐκλῦσαι βουλόμενος

---

2. Ἰω. 18, 36.

λέγων, «Ἡ βασιλεία μου δὲν εἶναι ἀπὸ αὐτὸν τὸν κόσμον[2]», δηλαδή, 'εἶμαι μὲν βασιλεύς, ἀλλὰ ὄχι τέτοιος ποὺ φαντάζεσαι, ἀλλὰ πολὺ πιὸ λαμπρότερος', καὶ φανερώνει μὲ αὐτὰ καὶ τὰ εἰς τὴν συνέχειαν ὅτι δὲν διέπραξε κανὲν κακόν· διότι ὁ εἰπών, «Διὰ τοῦτο ἐγεννήθην καὶ διὰ τοῦτο ἦλθον εἰς τὸν κόσμον, διὰ νὰ μαρτυρήσω τὴν ἀλήθειαν», δείχνει ὅτι αὐτὸς δὲν διέπραξε κανὲν κακόν.

Ἔπειτα, μὲ τὸ νὰ εἰπῇ, «Ὁ καθένας ποὺ εἶναι ἀπὸ τὴν ἀλήθειαν, ἀκούει τὴν φωνήν μου», προσελκύει μὲ αὐτὰ αὐτὸν καὶ τὸν πείθει νὰ γίνῃ ἀκροατὴς τῶν λόγων του· διότι, λέγει, ἐὰν κάποιος εἶναι ἀληθὴς καὶ ποθῇ αὐτά, ὁπωσδήποτε θὰ μὲ ἀκούσῃ. Ἔτσι λοιπὸν καὶ αὐτὸν προσήλκυσε μὲ αὐτὰ τὰ σύντομα λόγια, ὥστε νὰ εἰπῇ, «Τί εἶναι ἀλήθεια;». Ἀλλὰ προηγουμένως τὸ ἐνδιαφέρον σταματᾷ εἰς τὸ πιὸ σπουδαῖον καὶ κατεπεῖγον· διότι ἀντελήφθη ὅτι αὐτὸ τὸ ἐρώτημα ἐχρειάζετο κατάλληλον καιρόν, ἐνῷ τώρα θέλει νὰ ἀποσπάσῃ αὐτὸν ἀπὸ τὴν ὁρμὴν τῶν Ἰουδαίων· διὰ τοῦτο καὶ ἐξῆλθε. Καὶ τί λέγει; «Ἐγὼ καμμίαν κατηγορίαν δὲν εὑρίσκω δι' αὐτόν». Καὶ πρόσεχε μὲ πόσην σύνεσιν τὸ κάμνει· διότι δὲν εἶπεν, 'ἐπειδὴ ἡμάρτησε καὶ εἶναι ἄξιος θανάτου, χαρίσατέ του τὴν ζωὴν λόγῳ τῆς ἑορτῆς', ἀλλά, ἀφοῦ πρῶτα τὸν ἀπήλλαξεν ἀπὸ κάθε κατηγορίαν, τότε μὲ δύναμιν διατυπώνει τὴν ἀξίωσιν, καὶ ἂν ἀκόμη δὲν ἤθελον νὰ τὸν ἀφήσουν ὡς ἀθῷον, τουλάχιστον νὰ τοῦ χαρίσουν τὴν ζωήν, ἂν καὶ εἶναι ἔνοχος, λόγῳ τῆς ἑορτῆς· διὰ τοῦτο καὶ ἐπρόσθεσεν· «Ὑπάρχει συνήθεια εἰς ἐσᾶς, νὰ ἀπολύω ἕναν φυλακισμένον κατὰ τὸ Πάσχα», καὶ ἔπειτα λέγει μὲ τρόπον ὥστε νὰ τὸν σεβασθοῦν· «Θέλετε λοιπὸν ν' ἀπολύσω τὸν βασιλέα τῶν Ἰουδαίων; Ἐκραύγασαν λοιπὸν ὅλοι· Ὄχι αὐτόν, ἀλλὰ τὸν Βαραββᾶν». Πώ, πώ, μιαρὰ ἀπόφασις! τοὺς μὲν ὁμοίους μὲ αὐτοὺς τοὺς ζητοῦν καὶ ἀπολύουν τοὺς ἐνόχους, ἐνῷ τὸν ἀνεύθυνον τὸν προτρέπουν νὰ τὸν τιμωρήσῃ· διότι αὐτὸ τὸ ἔθιμον εἶχον ἀπὸ τὴν ἀρχήν. Σὺ ὅμως μὲ ὅλα αὐτὰ πρόσεχε τὴν φιλανθρωπίαν τοῦ Κυρίου πρὸς αὐτούς.

«Ἐμαστίγωσεν αὐτὸν ὁ Πιλᾶτος», θέλων ἴσως νὰ χα-

καὶ παραμυθήσασθαι τὸν Ἰουδαϊκὸν ζῆλον· ἐπειδὴ γὰρ τοῖς προτέροις οὐκ ἴσχυσεν ἐξελέσθαι, σπεύδων μέχρι τούτου τὸ δεινὸν στῆσαι, καὶ ἐμάστιξε, καὶ γενέσθαι τὰ γενόμενα συνεχώρησε, τὴν χλαμύδα καὶ τὸν στέφανον περιτεθῆναι, ὥστε αὐτῶν χαλάσαι τὴν ὀργήν· διὰ τοῦτο καὶ ἐστεφανωμένον ἐξήγαγε πρὸς αὐτούς, ἵνα, τὴν ὕβριν τὴν εἰς αὐτὸν γεγενημένην ἰδόντες, μικρὸν ἀναπνεύσωσι τοῦ πάθους, καὶ ἐμέσωσι τὸν ἰόν. Καὶ πῶς οἱ στρατιῶται ταῦτα ἐποίουν, εἴ γε μὴ ἐπίταγμα τοῦ ἄρχοντος ἦν; Εἰς χάριν τὴν Ἰουδαϊκήν· ἐπεὶ οὐδὲ τὴν ἀρχὴν παρ' ἐκείνου κελευσθέντες εἰσῆλθον νυκτός, ἀλλὰ τοῖς Ἰουδαίοις χαριζόμενοι, χρημάτων ἕνεκεν πάντα ἐτόλμων. Ἀλλ' ὅμως, τοσούτων καὶ τηλικούτων γενομένων, αὐτὸς εἱστήκει σιγῶν· ὅπερ οὖν καὶ ἐπὶ τῆς ἐξετάσεως ἐποίησε, καὶ οὐδὲν ἀπεκρίνατο.

Σὺ δὲ μὴ μόνον ἄκουε ταῦτα, ἀλλὰ καὶ ἐπὶ τῆς διανοίας ἔχε διηνεκῶς, καί, τὸν βασιλέα τῆς οἰκουμένης καὶ τῶν ἀγγέλων πάντων ὁρῶν χλευαζόμενον ὑπὸ στρατιωτῶν διὰ ρημάτων, διὰ πραγμάτων, καὶ πάντα φέροντα σιγῇ, μιμοῦ διὰ τῶν ἔργων αὐτόν. Ἐπειδὴ γὰρ εἶπεν ὁ Πιλᾶτος, «Τὸν βασιλέα τῶν Ἰουδαίων», καὶ σχῆμα αὐτῷ χλευασίας λοιπὸν περιτιθέασιν. Εἶτα, ἐξαγαγὼν αὐτόν, φησίν· «Οὐδεμίαν αἰτίαν εὑρίσκω κατ' αὐτοῦ». Ἐξῆλθεν οὖν, ἔχων τὸν στέφανον, καὶ οὐδὲ οὕτως ἐσβέσθη ἡ ὀργή, ἀλλ' ἐβόων· «Σταύρωσον, σταύρωσον αὐτόν». Ἰδὼν τοίνυν ὁ Πιλᾶτος εἰκῇ πάντα γινόμενα, φησί· «Λάβετε αὐτὸν ὑμεῖς, καὶ σταυρώσατε». Ὅθεν δῆλον ὅτι καὶ τὰ πρότερα διὰ τὴν ἐκείνων συνεχώρησε μανίαν· «ἐγὼ γάρ», φησίν, οὐδεμίαν αἰτίαν εὑρίσκω κατ' αὐτοῦ».

2. Ὅρα διὰ πόσων ὁ δικαστὴς ἀπολογεῖται, συνεχῶς αὐτὸν ἀπαλλάττων ἐγκλημάτων, ἀλλὰ τοὺς κύνας οὐδὲν τού-

λαρώσῃ καὶ νὰ καταπραΰνῃ τὸν ἰουδαϊκὸν ζῆλον· ἐπειδὴ δηλαδὴ μὲ ὅλα τὰ προηγούμενα δὲν κατώρθωσε νὰ τὸν ἐλευθερώσῃ ἀπὸ αὐτούς, θέλων νὰ σταματήσῃ τὸ κακὸν μέχρις ἐδῶ, καὶ τὸν ἐμαστίγωσε καὶ ἐπέτρεψε νὰ συμβοῦν τὰ ὅσα συνέβησαν, καὶ νὰ φορέσῃ τὴν χλαμύδα καὶ τὸν στέφανον, ὥστε νὰ καταπραΰνῃ τὴν ὀργήν των· διὰ τοῦτο καὶ ὡδήγησεν αὐτὸν πρὸς αὐτοὺς φοροῦντα τὸν στέφανον, ὥστε, βλέποντες τὴν προσβολὴν ποὺ συνέβη εἰς αὐτόν, νὰ συνέλθουν ὀλίγον ἀπὸ τὸ πάθος των καὶ νὰ ἀποβάλουν τὸ δηλητήριον. Καὶ πῶς τὰ ἔκαμνον αὐτὰ οἱ στρατιῶται, ἐὰν βέβαια δὲν ἦτο ἐντολὴ τοῦ ἄρχοντος; Ἐγίνοντο πρὸς χάριν τῶν Ἰουδαίων· διότι οὔτε εἰς τὴν ἀρχὴν εἰσῆλθον εἰς τὸν κῆπον κατὰ τὴν διάρκειαν τῆς νυκτὸς λαβόντες ἐντολὴν ἀπὸ ἐκεῖνον, ἀλλὰ τὰ ἔκαμον ὅλα αὐτὰ διὰ νὰ εὐχαριστήσουν τοὺς Ἰουδαίους καὶ ἐξ αἰτίας τῶν χρημάτων. Ἀλλ' ὅμως, ἂν καὶ συνέβησαν τόσα πολλὰ καὶ τόσα σπουδαῖα, αὐτὸς παρέμενε σιωπῶν, πρᾶγμα ποὺ ἔκαμε καὶ κατὰ τὴν ἐξέτασιν, καὶ δὲν ἔδωσε καμμίαν ἀπάντησιν.

Σὺ ὅμως ὄχι μόνον νὰ ἀκούῃς αὐτά, ἀλλὰ καὶ φύλασσέ τα διαρκῶς εἰς τὴν σκέψιν σου, καί, βλέπων τὸν βασιλέα τῆς οἰκουμένης καὶ ὅλων τῶν ἀγγέλων νὰ χλευάζεται ὑπὸ τῶν στρατιωτῶν μὲ τοὺς λόγους των, τὰς ἐνεργείας των καὶ νὰ ὑπομένῃ ὅλα σιωπηλός, νὰ μιμῆσαι αὐτὸν μὲ τὰ ἔργα σου. Ὅταν λοιπὸν εἶπεν ὁ Πιλᾶτος, «Τὸν βασιλέα τῶν Ἰουδαίων», τὸν ἐνδύουν ἐν συνεχείᾳ μὲ ἐνδυμασίαν χλευασμοῦ. Ἔπειτα, ὁδηγῶν αὐτὸν ἔξω, λέγει· «Δὲν εὑρίσκω καμμίαν κατηγορίαν ἐναντίον του». Ἐξῆλθε λοιπόν, φορῶν τὸν στέφανον καὶ οὔτε ἔτσι ἔσβησεν ἡ ὀργή των, ἀλλ' ἐκραύγαζον· «Σταύρωσε, σταύρωσε αὐτόν». Ὅταν λοιπὸν εἶδεν ὁ Πιλᾶτος ὅτι αὐτὰ γίνονται ἄσκοπα, λέγει· «Λάβετέ τον καὶ σταυρώσατέ τον». Ἄρα εἶναι φανερὸν ὅτι καὶ τὰ προηγούμενα τὰ ἐπέτρεψε ἐξ αἰτίας τῆς μανίας ἐκείνων· «διότι ἐγώ», λέγει, «δὲν εὑρίσκω καμμίαν κατηγορίαν δι' αὐτόν».

2. Πρόσεχε μὲ πόσους τρόπους ὁ δικαστὴς ἀπολογεῖται, ἀπαλλάσσων αὐτὸν συνεχῶς ἀπὸ τὰς κατηγορίας, ἀλλὰ

των ἐνέτρεψε· καὶ γὰρ τὸ «λάβετε καὶ σταυρώσατε» ἀφοσιουμένου ἐστί καὶ ἐπὶ πρᾶγμα οὐ συγκεχωρημένον αὐτοῖς ὠθοῦντος. Αὐτοὶ μὲν οὖν ἤγαγον αὐτόν, ἵνα μετὰ τῆς τοῦ ἄρχοντος κρίσεως τοῦτο γένηται, συνέβη δὲ τοὐναντίον, ἀπὸ τῆς κρίσεως τοῦ ἄρχοντος αὐτὸν ἀπολύεσθαι μᾶλλον. Εἶτα ἐπειδὴ κατῃσχύνθησαν, «ἡμεῖς νόμον ἔχομεν», φησί, «καὶ κατὰ τὸν νόμον ἡμῶν ὀφείλει ἀποθανεῖν, ὅτι Υἱὸν Θεοῦ ἐποίησεν ἑαυτόν». Πῶς οὖν, εἰπόντος τοῦ δικαστοῦ, «Λάβετε αὐτόν, καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε», ἐλέγετε, «Οὐκ ἔξεστιν ἡμῖν ἀποκτεῖναι οὐδένα», ἐνταῦθα δὲ ἐπὶ τὸν νόμον καταφεύγετε; Καὶ σκόπει τὴν κατηγορίαν. «Υἱὸν Θεοῦ ἐποίησεν ἑαυτόν». Τοῦτο ἔγκλημα, εἰπέ μοι, τό, τὰ τοῦ Υἱοῦ τοῦ Θεοῦ πράττοντα, λέγειν αὐτὸν εἶναι Υἱὸν τοῦ Θεοῦ; Τί οὖν Χριστός; Καὶ ταῦτα πρὸς ἀλλήλους διαλεγομένων αὐτῶν, ἐσίγα, πληρῶν τὸ προφητικὸν ἐκεῖνο· «Οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ· ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη».

Εἶτα Πιλᾶτος μὲν φοβεῖται, παρ' αὐτῶν ἀκούσας ὅτι Υἱὸν Θεοῦ ἑαυτὸν ἐποίησε, καὶ δέδοικε μή ποτε ᾗ ἀληθὲς τὸ λεγόμενον, καὶ δόξῃ παρανομεῖν, αὐτοὶ δέ, διὰ πραγμάτων καὶ ῥημάτων τοῦτο μαθόντες, οὐ πεφρίκασιν, ἀλλ' ἀναιροῦσιν αὐτόν, ὑπὲρ ὧν ἐχρῆν προσκυνεῖν. Διὰ τοῦτο οὐκ ἔτι αὐτὸν ἐρωτᾷ, «Τί ἐποίησας;», ἀλλ' ἄνωθεν πάλιν ὑπὸ τοῦ φόβου κατασειόμενος ποιεῖται τὴν ἐξέτασιν, λέγων· «Εἰ σὺ εἶ ὁ Χριστός;». Ἀλλ' οὐκ ἀπεκρίνατο· ὁ γὰρ ἀκούσας ὅτι «εἰς τοῦτο γεγέννημαι, καὶ εἰς τοῦτο ἦλθον», καὶ ὅτι «ἡ βασιλεία μου οὐκ ἔστιν ἐντεῦθεν», καὶ ὀφείλων ἀντιστῆναι καὶ ἐξελέσθαι, τοῦτο μὲν οὐκ ἐποίησεν, ἠκολούθησε δὲ τῇ Ἰουδαϊκῇ ὁρμῇ. Εἶτα ἐκεῖνοι, πάντοθεν ἐπιστομιζόμενοι, ἐπὶ

3. Ἰω. 18, 31.
4. Ἠσ. 53, 7-8.
5. Ἰω. 18, 35.
6. Ἰω. 18, 36.

τοὺς σκύλους τίποτε ἀπὸ αὐτὰ δὲν τοὺς ἀπέτρεψε· καθ' ὅσον τὸ «λάβετε καὶ σταυρώσατε» εἶναι λόγια ποὺ δείχνουν ἀφοσίωσιν καὶ ποὺ ὠθοῦν εἰς πρᾶξιν ποὺ δὲν ἐπετρέπετο εἰς αὐτούς. Αὐτοὶ λοιπὸν ὡδήγησαν αὐτὸν εἰς τὸν Πιλᾶτον, ὥστε μὲ τὴν ἀπόφασιν τοῦ ἄρχοντος νὰ συμβῇ αὐτό, συνέβη ὅμως τὸ ἀντίθετον, μᾶλλον δηλαδὴ ἐκεῖνος ν' ἀπαλλάσσεται διά τῆς ἀποφάσεως ἐκείνου. Ἔπειτα, ἐπειδὴ κατεντροπιάσθησαν, λέγουν· «ἡμεῖς ἔχομεν νόμον, καὶ κατὰ τὸν νόμον μας πρέπει ν' ἀποθάνη, διότι ἔκαμε τὸν ἑαυτόν του Υἱὸν τοῦ Θεοῦ». Πῶς λοιπόν, ὅταν εἶπεν ὁ δικαστής, «Λάβετε αὐτὸν καὶ κρίνατέ τον σύμφωνα μὲ τὸν νόμον σας», ἐλέγετε, «Δὲν ἐπιτρέπεται εἰς ἡμᾶς νὰ φονεύσωμεν κανένα»[3], ἐνῷ τώρα καταφεύγετε εἰς τὸν νόμον; Καὶ πρόσεχε τὴν κατηγορίαν. «Ἔκαμε τὸν ἑαυτόν του Υἱὸν τοῦ Θεοῦ». Αὐτό, εἰπέ μου, εἶναι ἄξιον κατηγορίας, τὸ ὅτι δηλαδή, πράττων τὰ ἔργα τοῦ Υἱοῦ τοῦ Θεοῦ, ὀνομάζει τὸν ἑαυτόν του Υἱὸν τοῦ Θεοῦ; Τί κάμνει λοιπὸν ὁ Χριστός; Καὶ ἐνῷ ἔλεγον αὐτοὶ μεταξύ των αὐτά, αὐτὸς ἐσιώπα, ἐκπληρώνων τὸν προφητικὸν ἐκεῖνον λόγον· «Δὲν ἀνοίγει τὸ στόμα του· μὲ ὅλην τὴν ταπείνωσίν του διεξήχθη ἡ κρίσις αὐτοῦ»[4].

Ἔπειτα ὁ μὲν Πιλᾶτος φοβεῖται, ἀκούσας ἀπὸ αὐτοὺς ὅτι ἔκαμε τὸν ἑαυτόν του Υἱὸν τοῦ Θεοῦ, καὶ φοβεῖται μήπως τὸ λεγόμενον εἶναι ἀληθινὸν καὶ φανῇ ὅτι παρανομεῖ, αὐτοὶ δὲ ἂν καὶ τὸ ἐγνώρισαν αὐτὸ μὲ ἔργα καὶ μὲ λόγια του, δὲν φρίττουν, ἀλλὰ τὸν θανατώνουν, διὰ πράγματα διὰ τὰ ὁποῖα ἔπρεπε νὰ τὸν προσκυνοῦν. Διὰ τοῦτο δὲν ἐρωτᾷ πλέον αὐτόν, «Τί ἔκαμες;»[5], ἀλλὰ ταρασσόμενος πάλιν ὑπὸ τοῦ ἄνωθεν φόβου κάμνει τὴν ἐξέτασιν, λέγων· «Μήπως σὺ εἶσαι ὁ Χριστός;». Ἀλλὰ δὲν ἀπήντησε· διότι ἐκεῖνος ποὺ ἤκουσεν ὅτι «Διὰ τοῦτο ἐγεννήθην καὶ δι' αὐτὸ ἦλθον εἰς τὸν κόσμον», καὶ ὅτι «ἡ βασιλεία μου δὲν εἶναι ἀπὸ αὐτὸν τὸν κόσμον»[6], καὶ ἔπρεπε νὰ ἀντιδράσῃ καὶ νὰ τὸν ἐλευθερώσῃ, αὐτὸ μὲν δὲν τὸ ἔκαμεν, ἀλλ' ἠκολούθησε τὴν ἰουδαϊκὴν ὁρμήν. Ἔπειτα ἐκεῖνοι, μολονότι ἀπεστομώθησαν ἀπὸ παντοῦ, παρουσιάζουν τὴν κατηγορίαν ὡς δη-

δημόσιον ἔγκλημα τὸν λόγον ἐξάγουσι, λέγοντες· «Ὁ ποιῶν ἑαυτὸν βασιλέα ἀντιλέγει τῷ Καίσαρι». Ἐχρῆν οὖν τοῦτο ἐξετάσαι μετὰ ἀκριβείας, εἴ γε τυραννίδι ἐπέθετο, καὶ τὸν Καίσαρα τῆς βασιλείας ἐκβαλεῖν ἐπεχείρησεν. Ἀλλ' οὐ ποιεῖται τὴν ἐξέτασιν μετὰ ἀκριβείας· διὰ τοῦτο οὐδὲν αὐτῷ ἀπεκρίνατο, ἐπειδὴ ᾔδει εἰκῇ πάντα ἐρωτῶντα. Καὶ ἄλλως δέ, τῶν ἔργων μαρτυρούντων αὐτῷ, οὐκ ἐβούλετο διὰ λόγου νικᾶν καὶ ἀπολογίαν συντιθέναι, δεικνὺς ὅτι ἑκὼν ἐπὶ τοῦτο ἔρχεται. Ἐπεὶ οὖν ἐσίγησε, φησὶν ὁ Πιλᾶτος· «Οὐκ οἶδας ὅτι ἐξουσίαν ἔχω σταυρῶσαί σε;». Ὁρᾷς πῶς ἑαυτὸν προκατέκρινεν; Εἰ γὰρ ἐν σοὶ τὸ πᾶν κεῖται, τίνος ἕνεκεν οὐδεμίαν αἰτίαν εὑρὼν οὐκ ἀπολύεις; Ἐπεὶ οὖν καθ' ἑαυτοῦ τὴν ἀπόφασιν ἐξήνεγκε, τότε λέγει· «Μείζονα ἁμαρτίαν ἔχει ὁ παραδιδούς μέ σοι», δεικνὺς ὅτι καὶ αὐτὸς ὑπεύθυνος ἁμαρτίᾳ ἐστίν.

Εἶτα, κατασπῶν αὐτοῦ τὸ φρόνημα καὶ τὸν τῦφον, φησίν· «Οὐκ εἶχες ἐξουσίαν, εἰ μὴ ἦν σοι δεδομένον», δηλῶν οὐχ ἁπλῶς καὶ κατὰ τὴν τῶν πολλῶν ἀκολουθίαν τοῦτο γινόμενον, ἀλλὰ μυστικῶς ἐπιτελούμενον. Ἵνα δὲ μή, ἀκούσας, «Εἰ μὴ ἦν σοι δεδομένον», νομίσῃ τοῦ παντὸς ἀπηλλάχθαι ἐγκλήματος, διὰ τοῦτο εἶπε· «Μείζονα ἁμαρτίαν ἔχει ὁ παραδιδούς μέ σοι». Καὶ μήν, εἰ δεδομένον ἦν, οὔτε οὗτος, οὔτε ἐκεῖνοι ὑπεύθυνοι ἐγκλημάτων. Εἰκῇ ταῦτα λέγεις· τὸ γὰρ «δεδομένον» ἐνταῦθα τὸ 'συγκεχωρημένον' ἐστίν· ὡσανεὶ ἔλεγεν· 'Εἴασε ταῦτα γενέσθαι· οὐ μὴν διὰ τοῦτο τῆς πονηρίας ἐκτὸς ὑμεῖς'. Κατέπληξεν αὐτὸν διὰ τῶν ῥημάτων, καὶ σαφῆ παρέσχετο τὴν ἀπολογίαν· ὅθεν καὶ ἐζήτει αὐτὸν ἀπολῦσαι ἐκεῖνος. Ἀλλ' αὐτοὶ πάλιν ἔκραζον· «Ἐὰν τοῦτον ἀπο-

μόσιον ἔγκλημα, λέγοντες· «Ἐκεῖνος ποὺ κάμνει τὸν ἑαυτόν του βασιλέα ἀντιτίθεται εἰς τὸν Καίσαρα». Ἔπρεπε λοιπὸν αὐτὸ νὰ ἐξετάσῃ μὲ λεπτομέρειαν, ἐὰν δηλαδὴ ἐγκατέστησε τυραννίδα καὶ ἐπεχείρησε νὰ ἐκδιώξῃ τὸν Καίσαρα ἀπὸ τὴν βασιλείαν, ἀλλὰ δὲν κάμνει τὴν ἐξέτασιν μὲ λεπτομέρειαν· διὰ τοῦτο δὲν ἔδωσεν εἰς αὐτὸν ὁ Ἰησοῦς καμμίαν ἀπάντησιν, ἐπειδὴ ἐγνώριζεν ὅτι ὅλα τὰ ἐρωτοῦσε χωρὶς κανένα σκοπόν. Καὶ ἐξ ἄλλου δέ, ἀφοῦ τὰ ἔργα ἐπεβεβαίωνον τὰ ὑπὲρ αὐτοῦ, δὲν ἤθελε μὲ λόγια ν' ἀντικρούσῃ αὐτὰ καὶ νὰ συνθέσῃ ἀπολογίαν, διὰ νὰ δείξῃ ὅτι ἔρχεται πρὸς τὸ πάθος μὲ τὴν θέλησίν του. Ἐπειδὴ λοιπὸν ἐσιώπησε, λέγει ὁ Πιλᾶτος· «Δὲν γνωρίζεις ὅτι ἐξουσίαν ἔχω νὰ σὲ σταυρώσω;». Βλέπεις πῶς προκαταδικάζει τὸν ἑαυτόν του; Ἐὰν δηλαδὴ τὸ πᾶν ἐξαρτᾶται ἀπὸ ἐσένα, διὰ ποῖον λόγον δὲν τὸν ἀπολύεις, ἀφοῦ δὲν εὑρίσκεις καμμίαν βάσιμον κατηγορίαν; Ἀφοῦ λοιπὸν διετύπωσε τὴν ἀπόφασιν ἐναντίον τοῦ ἑαυτοῦ του, τότε λέγει· «Μεγαλυτέραν ἁμαρτίαν ἔχει ἐκεῖνος ποὺ μὲ παρέδωσεν εἰς ἐσένα», δεικνύων ὅτι καὶ ὁ ἴδιος ὁ Πιλᾶτος ἦτο ὑπεύθυνος δι' αὐτὴν τὴν ἁμαρτίαν.

Ἔπειτα, καταστέλλων τὸ φρόνημα αὐτοῦ καὶ τὴν ἀλαζονείαν, λέγει· «Δὲν θὰ εἶχες ἐξουσίαν, ἐὰν δὲν σοῦ ἐδίδετο», διὰ νὰ δείξῃ ὅτι αὐτὸ δὲν συμβαίνει ἔτσι τυχαῖα καὶ σύμφωνα μὲ τὴν φυσικὴν σειρὰν τῶν πολλῶν γεγονότων, ἀλλὰ ἐπιτελεῖται κατὰ τρόπον μυστικόν. Διὰ νὰ μὴ νομίσῃ δέ, ἀκούσας, «Ἐὰν δὲν σοῦ ἐδίδετο», ὅτι ἀπηλλάχθη ἀπὸ κάθε κατηγορίαν, διὰ τοῦτο εἶπε· «Μεγαλυτέραν ἁμαρτίαν ἔχει ἐκεῖνος ποὺ μὲ παρέδωσεν εἰς ἐσένα». Πράγματι δέ, ἐὰν ἦτο δοσμένον ἀπὸ τὸν Θεόν, τότε οὔτε αὐτός, οὔτε ἐκεῖνοι ἦσαν ὑπεύθυνοι ἐγκλημάτων. Ἀσυλλόγιστα τὰ λέγεις *αὐτά*· διότι τὸ «δεδομένον» ἐδῶ σημαίνει "ὅτι ἔχει ἐπιτραπῆ" εἶναι ὡσὰν νὰ ἔλεγεν· "Ἐπέτρεψεν αὐτὰ νὰ συμβοῦν· δὲν εἶσθε ὅμως ἐξ αἰτίας αὐτοῦ σεῖς ἀπηλλαγμένοι τῆς πονηρίας. Κατέπληξεν αὐτὸν μὲ τὰ λόγια του καὶ ἔδωσε σαφῆ ἀπολογίαν· διὰ τοῦτο ἐκεῖνος ἐζήτει νὰ τὸν ἀπολύσῃ. Ἀλλ' αὐτοὶ πάλιν ἐκραύγαζον· «Ἐὰν ἀπολύσῃς αὐ-

λύσῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος». Ἐπειδὴ γάρ, ἀπὸ τοῦ νόμου παραγαγόντες ἐγκλήματα, οὐδὲν ὤνησαν, κακούργως ἐπὶ τοὺς ἔξω τρέπονται νόμους, λέγοντες· «Πᾶς, ὁ βασιλέα ἑαυτὸν ποιῶν, ἀντιλέγει τῷ Καίσαρι». Καὶ ποῦ οὗτος τύραννος ἐφάνη; πόθεν δὲ ἔχετε δεῖξαι τοῦτο; ἀπὸ τῆς ἁλουργίδος; ἀπὸ τοῦ διαδήματος; ἀπὸ τοῦ σχήματος; ἀπὸ τῶν στρατιωτῶν; οὐχὶ μόνος ἀεὶ μετὰ τῶν δώδεκα μαθητῶν ἐβάδισε, πάντα εὐτελῶς μετιών, καὶ τροφὴν καὶ στολὴν καὶ οἴκησιν; Ἀλλ' ὢ τῆς ἀνανδρίας καὶ τῆς ἀκαίρου δειλίας! ὁ γὰρ Πιλᾶτος, νομίσας κινδυνεύειν λοιπόν, εἰ παρίδοι ταῦτα, ἐξέρχεται μὲν ὡς ἐξετάζων τὸ πρᾶγμα (τὸ γὰρ καθίσαι τοῦτο ἐδήλου), οὐδεμίαν δὲ ποιησάμενος ἐξέτασιν, παραδίδωσιν αὐτόν, νομίζων δυσωπήσειν αὐτούς· ὅτι γὰρ οὕτως αὐτὸ ἐποίει, ἄκουσον τί φησιν· «Ἴδε ὁ βασιλεὺς ὑμῶν». Ἐπειδὴ δὲ εἶπον ἐκεῖνοι, «Σταύρωσον», πάλιν ἐπήγαγε, λέγων· «Τὸν βασιλέα ὑμῶν σταυρώσω;». Οἱ δὲ ἔκραζον· «Οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα».

Ἑκόντες ἑαυτοὺς ὑπέβαλον τῇ κολάσει· διὰ τοῦτο καὶ ὁ Θεὸς αὐτοὺς παρέδωκεν, ὅτε καὶ αὐτοὶ πρῶτοι τῆς προνοίας αὐτοῦ καὶ τῆς ἐπιστασίας ἑαυτοὺς ἐξέβαλον· καί, ἐπειδὴ ὁμοφώνως ἠρνήσαντο τὴν βασιλείαν, εἴασεν αὐτοὺς ταῖς ἑαυτῶν ψήφοις περιπεσεῖν (καίτοι τὰ λεγόμενα ἱκανὰ παῦσαι τῆς ὀργῆς αὐτοὺς λοιπόν), ἀλλ' ἐδεδοίκεσαν μὴ πάλιν ἀφεθεὶς ὀχλαγωγήσῃ, καὶ πάντα ὑπὲρ τούτου ἔπραττον· δεινὸν γὰρ ἡ φιλαρχία, δεινὸν καὶ ψυχὴν ἱκανὸν ἀπολέσαι. Διὰ τοῦτο οὐδέποτε αὐτοῦ ἤκουσαν· ἀλλ' ὁ μὲν Πιλᾶτος ἀπὸ ψιλῶν ῥημάτων ἐβούλετο ἀφεῖναι, οὗτοι δὲ ἔγκεινται, λέγοντες· «Σταύρωσον». Καὶ τί δήποτε οὕτως ἀνελεῖν αὐτὸν

τόν, δὲν εἶσαι φίλος τοῦ Καίσαρος». Ἐπειδὴ δηλαδὴ δὲν ὠφελήθησαν καθόλου μὲ τὰς κατηγορίας ποὺ ἐπενόησαν ἀπὸ τὸν νόμον, μὲ κακοῦργον τρόπον προσφεύγουν πρὸς τοὺς ἐκτὸς αὐτῶν νόμους λέγοντες˙ «Ὁ καθένας ποὺ κάμνει τὸν ἑαυτόν του βασιλέα, ἀντιτίθεται εἰς τὸν Καίσαρα». Καὶ ποῦ αὐτὸς ἐφάνη ὡς τύραννος; ἀπὸ ποῦ ἠμπορεῖτε νὰ τὸ ἀποδείξετε αὐτό; ἀπὸ τὴν ἁλουργίδα; ἀπὸ τὸ διάδημα; ἀπὸ τὴν περιβολήν; ἀπὸ τοὺς στρατιώτας; δὲν ἐβάδισε μόνος πάντοτε μαζὶ μὲ τοὺς δώδεκα μαθητάς του, χρησιμοποιῶν ὅλα μὲ λιτότητα, καὶ τροφὴν καὶ στολὴν καὶ κατοικίαν; Ἀλλ' ὢ μέγεθος ἀνανδρίας καὶ ἀνεπικαίρου δειλίας! διότι ὁ Πιλᾶτος, νομίσας ὅτι κινδυνεύει πλέον, ἐὰν παραβλέψῃ αὐτὰ τὰ λόγια, ἐξέρχεται μὲν μὲ σκοπὸν νὰ ἐξετάσῃ τὸ πρᾶγμα, (διότι τὸ ὅτι ἐκάθησεν αὐτὸ ἐφανέρωνεν), χωρὶς ὅμως νὰ κάμῃ καμμίαν ἐξέτασιν, παραδίδει αὐτόν, νομίζων ὅτι θὰ καταπραΰνῃ αὐτούς˙ τὸ ὅτι βέβαια τὸ ἔκαμνεν αὐτὸ μὲ αὐτὸν τὸν σκοπόν, ἄκουσε τί λέγει˙ «Νὰ ὁ βασιλεύς σας». Ἐπειδὴ δὲ εἶπαν ἐκεῖνοι, «Σταύρωσέ τον», πάλιν ἐπρόσθεσε, λέγων˙ «Τὸν βασιλέα σας νὰ σταυρώσω;». Ἐκεῖνοι δὲ ἐκραύγαζον˙ «Δὲν ἔχομεν βασιλέα, παρὰ μόνον τὸν Καίσαρα».

Μὲ τὴν θέλησίν των ἔρριψαν τοὺς ἑαυτούς των εἰς τὴν κόλασιν˙ διὰ τοῦτο καὶ ὁ Θεὸς παρέδωσεν αὐτούς, ὅταν καὶ αὐτοὶ πρῶτοι ἀπεμάκρυναν τοὺς ἑαυτούς των ἀπὸ τὴν πρόνοιαν καὶ τὴν προστασίαν του˙ καί, ἐπειδὴ ὁμόφωνα ἠρνήθησαν τὴν βασιλείαν του, ἄφησεν αὐτοὺς μὲ τὴν ἀπόφασίν των νὰ περιπέσουν εἰς τὰ δεινὰ (ἂν καὶ βέβαια τὰ λεγόμενα ἦσαν ἱκανὰ νὰ σταματήσουν πλέον τὴν ὀργήν των), ἀλλ' ἐφοβοῦντο μήπως πάλιν ἀφηθεὶς ἐλεύθερος παρασύρῃ τὸ πλῆθος τοῦ λαοῦ καὶ ὅλα τὰ ἔκαμνον ὑπὲρ αὐτοῦ˙ διότι εἶναι φοβερὸν πρᾶγμα ἡ φιλαρχία, φοβερὸν καὶ ἱκανὸν καὶ τὴν ψυχὴν νὰ ὁδηγήσῃ εἰς τὴν ἀπώλειαν. Διὰ τοῦτο τότε δὲν ἤκουσαν˙ ἀλλ' ὁ μὲν Πιλᾶτος ἤθελε νὰ τὸν ἀφήσῃ ἁπλῶς καὶ μόνον μὲ τὰ λόγια, ἐνῷ αὐτοὶ ἐπιμένουν, λέγοντες˙ «Σταύρωσέ τον». Καὶ διατί τέλος πάντων ἐπιχειροῦσαν νὰ τὸν φονεύσουν μὲ αὐτὸν τὸν

ἐπεχείρουν; Ἐπονείδιστος οὗτος ὁ θάνατος ἦν. Δεδοικότες οὖν μή τις αὐτοῦ μετὰ ταῦτα γένηται μνήμη, σπουδάζουσι καὶ ἐπὶ τιμωρίαν ἀγαγεῖν τὴν ἐπάρατον, οὐκ εἰδότες ὅτι διὰ τῶν κωλυμάτων αἴρεται ἡ ἀλήθεια· ὅτι γὰρ τοῦτο ὑπώπτευον, ἄκουσον τί φασιν· «Ἡμεῖς ἠκούσαμεν ὅτι ὁ πλάνος ἐκεῖνος εἶπεν ὅτι μετὰ τρεῖς ἡμέρας ἐγείρομαι». Διὰ τοῦτο πάντα ἐκύκων, ἄνω καὶ κάτω στρέφοντες, ὥστε τὰ μετὰ ταῦτα λυμήνασθαι, καὶ συνεχῶς ἐπεβόων, «Σταύρωσον», δῆμος ἄτακτος ὑπὸ τῶν ἀρχόντων διεφθαρμένος.

5. Ἡμεῖς δὲ μὴ μόνον ἀναγινώσκωμεν ταῦτα, ἀλλὰ καὶ ἐπὶ τῆς διανοίας φέρωμεν αὐτά, τὸν στέφανον τὸν ἀκάνθινον, τὸ ἱμάτιον, τὸν κάλαμον, τὰ ῥαπίσματα, τὰς ἐπὶ κόρρης πληγάς, τὰ ἐμπτύσματα, τὴν εἰρωνείαν· ἱκανὰ γὰρ ταῦτα, συνεχῶς στρεφόμενα, ἅπασαν ὀργὴν καθελεῖν. Κἂν χλευαζώμεθα, κἂν ἀδίκως τι πάσχωμεν, συνεχῶς λέγωμεν· «Οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ» καὶ τὰ παρὰ τῶν Ἰουδαίων λεγόμενα προφέρωμεν εἰς μέσον, ἅπερ ἐφθέγξαντο λυττῶντες, καὶ λέγοντες ὅτι «δαιμόνιον ἔχεις», καὶ «Σαμαρείτης εἶ σύ», καὶ ὅτι «ἐν Βεελζεβοὺλ ἐκβάλλει τὰ δαιμόνια»· διὰ γὰρ τοῦτο ταῦτα πάντα ὑπέμεινεν, ἵνα αὐτοῦ κατ' ἴχνος βαίνωμεν ἡμεῖς, καὶ σκώμματα φέρωμεν, ἃ μάλιστα τῶν λοιδοριῶν ἐξίστησιν. Ἀλλ' ὅμως αὐτὸς οὐ μόνον ἔφερε ταῦτα, ἀλλὰ καὶ πάντα ἔπραττεν, ὥστε σῶσαι καὶ ἀπαλλάξαι τοὺς ταῦτα ποιοῦντας τῆς ἀποκειμένης κολάσεως· καὶ γὰρ καὶ τοὺς Ἀποστόλους ἐπὶ τῇ τούτων ἔπεμψε σωτηρίᾳ. Ἀκούεις γοῦν αὐτῶν λεγόντων ὅτι «οἴδαμεν ὅτι κατὰ ἄγνοιαν ἐπράξατε», καὶ διὰ τούτων εἰς μετάνοιαν αὐτοὺς ἑλκόντων.

Ταῦτα καὶ ἡμεῖς ζηλώσωμεν· οὐδὲν γὰρ οὕτω τὸν Θεὸν ἵλεω ποιεῖ, ὡς τὸ ἀγαπᾶν τοὺς ἐχθρούς, καὶ εὖ ποιεῖν τοὺς ἐπη-

---

7. Ματθ. 27, 63.
8. Ἰω. 13, 16.
9. Ἰω. 7, 20.
10. Ἰω. 8, 48.
11. Λουκᾶ 11, 15.
12. Πράξ. 3, 17.

τρόπον; Ἐπειδὴ αὐτὸς ὁ θάνατος ἦτο πολὺ ἐξευτελιστικός. Φοβούμενοι λοιπὸν μήπως μετὰ ἀπὸ ὅλα αὐτὰ ὑπάρξῃ κάποια ἀνάμνησις αὐτοῦ, φροντίζουν καὶ νὰ τὸν ὁδηγήσουν εἰς τιμωρίαν ἐπικατάρατον, μὴ γνωρίζοντες ὅτι μὲ τὰ ἐμπόδια διαλάμπει ἡ ἀλήθεια· τὸ ὅτι βέβαια αὐτὸ ἐσκέπτοντο, ἄκουσε τί λέγουν· «Ἡμεῖς ἠκούσαμεν ὅτι ὁ πλάνος ἐκεῖνος εἶπεν ὅτι μετὰ ἀπὸ τρεῖς ἡμέρας θ' ἀναστηθῶ»[7]. Διὰ τοῦτο τὰ πάντα ἐμηχανεύοντο καὶ ἔκαμνον τὰ πάντα, ὥστε νὰ ἐξαλείψουν τὰ ὅσα θὰ συνέβαινον εἰς τὴν συνέχειαν καὶ συνεχῶς ἐκραύγαζον, «Σταύρωσέ τον», πλῆθος ἄτακτον, διεφθαρμένον ἀπὸ τοὺς ἄρχοντας.

Ἡμεῖς ὅμως ὄχι μόνον νὰ ἀναγινώσκωμεν αὐτά, ἀλλὰ καὶ νὰ τὰ σκεπτώμεθα, ὡς τὸν στέφανον τὸν ἀκάνθινον, τὸ ἱμάτιόν του, τὸν κάλαμον, τὰ ραπίσματα, τὰς πληγὰς εἰς τὴν παρειάν του, τὰ πτύσματα εἰς τὸ πρόσωπόν του, τὴν εἰρωνείαν· διότι αὐτὰ εἶναι ἱκανά, συνεχῶς ἐρχόμενα εἰς τὴν σκέψιν, νὰ ἐξαλείψουν κάθε ὀργήν. Καὶ ἂν ἀκόμη χλευαζώμεθα, καὶ ἂν ἀκόμη πάσχωμεν κάτι ἄδικα, συνεχῶς νὰ λέγωμεν· «Δὲν ὑπάρχει δοῦλος ἀνώτερος ἀπὸ τὸν κύριόν του»[8], καὶ νὰ σκεπτώμεθα τὰ λεγόμενα ὑπὸ τῶν Ἰουδαίων, τὰ ὁποῖα ἔλεγον μὲ λύσσαν πρὸς αὐτόν, ὅτι δηλαδὴ «δαιμόνιον ἔχεις»[9], καὶ «Σαμαρείτης εἶσαι σύ»[10], καὶ ὅτι «μὲ τὴν δύναμιν τοῦ Βεελζεβοὺλ ἐκδιώκει τὰ δαιμόνια»[11]· διότι δι' αὐτὸ τὰ ὑπέμεινεν ὅλα αὐτά, διὰ νὰ ἀκολουθοῦμεν τὰ ἴχνη του καὶ νὰ ὑπομένωμεν τοὺς χλευασμούς, πράγματα ποὺ κατ' ἐξοχὴν ἐξοργίζουν περισσότερον ἀπὸ ὅλας τὰς προσβολάς. Ἀλλ' ὅμως αὐτὸς ὄχι μόνον ὑπέμενεν αὐτά, ἀλλὰ καὶ ἔκαμνε τὰ πάντα, ὥστε νὰ σώσῃ καὶ ν' ἀπαλλάξῃ ἐκείνους, ποὺ ἔπραττον αὐτά, ἀπὸ τὴν τιμωρίαν ποὺ ἐπιφυλάσσεται δι' αὐτούς· καθ' ὅσον καὶ τοὺς Ἀποστόλους τοὺς ἔστειλε διὰ τὴν σωτηρίαν αὐτῶν. Ἀκούεις λοιπὸν αὐτοὺς νὰ λέγουν, «γνωρίζομεν ὅτι ἐπράξατε αὐτὰ μὴ γνωρίζοντες»[12], καὶ νὰ προσελκύουν μὲ αὐτὰ αὐτοὺς εἰς μετάνοιαν.

Αὐτὰ καὶ ἡμεῖς ἂς μιμηθῶμεν· τίποτε δὲν ἐξευμενίζει τόσον τὸν Θεόν, ὅσον τὸ ν' ἀγαπῶμεν τοὺς ἐχθρούς μας

ρεάζοντας. Ὅταν τις ἐπηρεάζῃ, μὴ πρὸς αὐτὸν ἴδῃς, ἀλλὰ πρὸς τὸν κινοῦντα δαίμονα, καὶ τὴν ὀργὴν ἅπασαν κατ' ἐκείνου κένωσον, αὐτὸν δὲ καὶ ἐλέει τὸν ὑπ' ἐκείνου κινούμενον· εἰ γὰρ τὸ ψεῦδος ἀπὸ τοῦ διαβόλου, καὶ τὸ ὀργίζεσθαι εἰκῇ πολλῷ μᾶλλον ἐκεῖθεν. Ὅταν κωμῳδοῦντα ἴδῃς, ἐννόησον ὅτι ὁ διάβολός ἐστιν αὐτὸν ὁ κινῶν· οὐ γὰρ Χριστιανῶν τὰ σκώμματα· ὁ γὰρ κελευσθεὶς πενθεῖν, καὶ ἀκούων, «Οὐαὶ οἱ γελῶντες!», εἶτα ὀνειδίζων, καὶ σκώπτων, καὶ διακαιόμενος, οὐ τοῦ λοιδορεῖσθαι παρ' ἡμῶν, ἀλλὰ θρηνεῖσθαι ἄξιος, ἐπεὶ καὶ ὁ Χριστὸς ἐταράχθη, τὸν Ἰούδαν ἐννοήσας. Ταῦτα οὖν ἅπαντα μελετῶμεν ἐπὶ τῶν ἔργων· ἂν γὰρ ταῦτα μὴ κατορθώσωμεν, εἰκῇ καὶ μάτην εἰς τὸν κόσμον ἤλθομεν, μᾶλλον δὲ καὶ ἐπὶ κακῷ· οὐ γάρ ἐστιν ἡ πίστις ἱκανὴ εἰς τὴν βασιλείαν εἰσαγαγεῖν, ἀλλὰ καὶ ταύτῃ μάλιστα κατακρῖναι τοὺς βίον φαῦλον ἐπιδεικνυμένους ἔχει· «ὁ γὰρ εἰδὼς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ποιήσας, δαρήσεται πολλάς», καὶ πάλιν· «Εἰ μὴ ἦλθον», φησί, «καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον».

Ποίαν οὖν ἕξομεν ἀπολογίαν, ἐντὸς τῶν βασιλείων γινόμενοι, καὶ εἰς τὰ ἄδυτα διακύψαι καταξιωθέντες, καὶ κοινωνοὶ καταστάντες μυστηρίων, ἁμαρτιῶν ἀπαλλαττόντων, τῶν οὐδενὸς τούτων μετεσχηκότων Ἑλλήνων γινόμενοι χείρους; Εἰ γὰρ ἐκεῖνοι διὰ δόξαν κενὴν τοσαύτην ἐπεδείξαντο φιλοσοφίαν, πολλῷ μᾶλλον ἡμᾶς διὰ τὸ τῷ Θεῷ δοκοῦν χρὴ πᾶσαν ἀρετὴν ἐπιέναι. Νῦν δὲ οὐδὲ χρημάτων καταφρονοῦμεν, ἀλλ' ἐκεῖνοι μὲν καὶ τῆς ἑαυτῶν πολλάκις ὑπερεῖδον ψυχῆς, καὶ παῖδας ἐπέδωκαν ἐν πολέμοις τῇ τῶν δαιμόνων

---

13. Λουκᾶ 6, 25.
14. Λουκᾶ 12, 47.
15. Ἰω. 15, 22.

καὶ νὰ εὐεργετῶμεν ἐκείνους ποὺ μᾶς βλάπτουν. Ὅταν κάποιος σοῦ κάμνῃ κακόν, μὴ ἰδῇς πρὸς αὐτόν, ἀλλὰ πρὸς τὸν δαίμονα ποὺ κινεῖ αὐτόν, καὶ ὅλην τὴν ὀργήν σου ἄδειασέ την εἰς αὐτόν, ἐνῷ αὐτὸν ποὺ κινεῖται ἀπὸ τὸν δαίμονα νὰ τὸν εὐσπλαγχνισθῇς· διότι ἐὰν τὸ ψεῦδος προέρχεται ἀπὸ τὸν διάβολον, πολὺ περισσότερον προέρχεται ἀπὸ ἐκεῖνον καὶ τὸ νὰ ὀργιζώμεθα ἀπερίσκεπτα. Ὅταν ἰδῇς νὰ σὲ διαπομπεύῃ κάποιος, σκέψου ὅτι ὁ διάβολος εἶναι αὐτὸς ποὺ κινεῖ αὐτόν· διότι οἱ ἐμπαιγμοὶ δὲν εἶναι γνώρισμα τῶν χριστιανῶν· διότι ἐκεῖνος ποὺ ἔλαβεν ἐντολὴν νὰ πενθῇ καὶ ἀκούων, «Ἀλλοίμονον εἰς ἐκείνους ποὺ ἐμπαίζουν!»[13], εἰς τὴν συνέχειαν ὑβρίζει καὶ ἐμπαίζει καὶ ὀργίζεται, δὲν εἶναι ἄξιος νὰ ὑβρίζεται ἀπὸ ἡμᾶς, ἀλλ' εἶναι ἄξιος διὰ θρήνους, διότι καὶ ὁ Χριστὸς ἐταράχθη, σκεφθεὶς τὸν Ἰούδαν. Ὅλα αὐτὰ λοιπὸν ἂς τὰ μελετῶμεν εἰς τὰς πράξεις μας· διότι, ἐὰν αὐτὰ δὲν τὰ κατορθώσωμεν, ἄσκοπα καὶ ἀνώφελα ἤλθομεν εἰς τὸν κόσμον, μᾶλλον δὲ καὶ διὰ κακόν· καθ' ὅσον δὲν εἶναι ἡ πίστις ἱκανὴ νὰ ὁδηγήσῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλὰ καὶ ἔτσι πρὸ πάντων ἔχει τὴν δύναμιν νὰ καταδικάσῃ ἐκείνους ποὺ ζοῦν πονηρὸν βίον· «διότι ἐκεῖνος ποὺ γνωρίζει τὸ θέλημα τοῦ Κυρίου του καὶ δὲν τὸ ἐκτελεῖ, θὰ τιμωρηθῇ πολὺ αὐστηρά»[14]· καὶ πάλιν· «Ἐὰν δὲν εἶχον ἔλθει», λέγει, «καὶ δὲν ὡμιλοῦσα εἰς αὐτούς, ἁμαρτίαν δὲν θὰ εἶχον»[15].

Ποίαν λοιπὸν δικαιολογίαν θὰ ἔχωμεν, ὅταν, ζῶντες μέσα εἰς τὰ θεῖα ἀνάκτορα καὶ καταξιωθέντες νὰ εἰσέλθωμεν εἰς τὰ ἄδυτα καὶ γενόμενοι κοινωνοὶ τῶν μυστηρίων ἐκείνων ποὺ ἀπαλλάσσουν ἀπὸ τὰς ἁμαρτίας, γινώμεθα χειρότεροι ἀπὸ τοὺς ἐθνικοὺς ποὺ δὲν ἠξιώθησαν νὰ μετάσχουν εἰς κανένα ἀπὸ αὐτά; Διότι, ἐὰν ἐκεῖνοι ἐπέδειξαν τόσην φιλοσοφίαν ἁπλῶς ἀπὸ ματαιοδοξίαν, πολὺ περισσότερον πρέπει ἡμεῖς νὰ ἀσκοῦμεν κάθε ἀρετήν, ἐπειδὴ αὐτὴ ἀρέσκει εἰς τὸν Θεόν. Τώρα ὅμως οὔτε τὰ χρήματα περιφρονοῦμεν, ἀλλ' ἐκεῖνοι μὲν πολλὲς φορὲς ἐπεριφρόνησαν καὶ τὴν ζωήν των καὶ τὰ παιδιά των παρέδωσαν εἰς

μανίᾳ, καὶ τῆς φύσεως κατεφρόνησαν διὰ τοὺς δαίμονας, ἡμεῖς δὲ οὐδὲ ἀργυρίου διὰ τὸν Χριστόν, οὐδὲ ὀργῆς διὰ τὸ δοκοῦν τῷ Θεῷ, ἀλλὰ φλεγμαίνομεν, καὶ πυρεττόντων οὐδὲν ἄμεινον διακείμεθα. Καὶ καθάπερ ἐκεῖνοι, τῷ κακῷ κατεχόμενοι, διακαεῖς εἰσιν, οὕτω καὶ ἡμεῖς, ὥσπερ ἀπὸ πυρὸς ἀγχόμενοι, οὐδαμοῦ τῆς ἐπιθυμίας στῆναι δυνάμεθα, καὶ ὀργὴν καὶ φιλοχρηματίαν αὔξοντες. Διὰ ταῦτα αἰσχύνομαι καὶ ἐκπλήττομαι, παρὰ μὲν Ἕλλησι βλέπων χρημάτων ὑπερορῶντας, παρὰ δὲ ἡμῖν μαινομένους ἅπαντας· εἰ γὰρ καὶ τούτων εὕροιμέν τινας καταφρονοῦντας, ἀλλ' ἑτέροις ἁλίσκονται, θυμῷ καὶ βασκανίᾳ· καὶ πρᾶγμα δύσκολον, καθαρὰν φιλοσοφίαν εὑρεῖν.

Τὸ δὲ αἴτιον, οὐ σπουδάζομεν τὰ φάρμακα λαβεῖν παρὰ τῶν Γραφῶν, οὐδὲ μετὰ κατανύξεως αὐταῖς προσέχομεν, καὶ ὀδύνης, καὶ στεναγμοῦ, ἀλλ' ἁπλῶς, εἴ ποτε σχολὴν ἀγάγοιμεν· διὰ τοῦτο, ἐπειδὰν πολὺς φορυτὸς ἔλθῃ βιωτικῶν πραγμάτων, ἐπικλύζει πάντα, καί, εἴ τι γέγονε κέρδος, ἀπόλλυσιν· οὐδὲ γάρ, εἴ τις, τραῦμα ἔχων, εἶτα φάρμακον ἐπιτιθείς, μὴ μετὰ ἀκριβείας ἐπιδήσειεν, ἀλλ' ἐάσειεν ἐκπεσεῖν, καὶ ὕδατι, καὶ κόνει, καὶ αὐχμῷ, καὶ μυρίοις ἑτέροις τοῖς δυναμένοις ἐπιτρίψαι τὸ ἕλκος ἑαυτοῦ ἐκδοίη, γενήσεταί τι πλέον αὐτῷ, ἀλλὰ οὐ παρὰ τὴν τῶν φαρμάκων ἀσθένειαν, ἀλλὰ παρὰ τὴν οἰκείαν ῥᾳθυμίαν. Τοῦτο καὶ ἡμῖν συμβαίνειν εἴωθεν, ὅταν τοῖς μὲν θείοις λογίοις μικρὸν προσέχωμεν τοῖς δὲ βιωτικοῖς ἀθρόον ἑαυτοὺς ἐκδῶμεν καὶ διηνεκῶς· οὕτω γὰρ ὁ σπόρος ἀποπνίγεται πᾶς, καὶ πάντα ἄκαρπα γίνεται. Ἵν' οὖν μὴ τοῦτο γένηται, μικρὸν διαβλέψωμεν, ἀνα-

τὴν μανίαν τῶν δαιμόνων κατὰ τοὺς πολέμους, καὶ τὴν φύσιν ἐπεριφρόνησαν χάριν τῶν δαιμόνων, ἡμεῖς δὲ οὔτε τὰ χρήματα περιφρονοῦμεν χάριν τοῦ Χριστοῦ, οὔτε τὴν ὀργὴν ἐξαλείφομεν, ποὺ εἶναι πρᾶγμα ἀρεστὸν εἰς τὸν Θεόν, ἀλλὰ ἐξοργιζόμεθα καὶ φθάνομεν νὰ εἴμεθα εἰς κατάστασιν ὄχι καλυτέραν ἀπὸ ἐκείνους ποὺ ὑποφέρουν ἀπὸ πυρετόν. Καὶ ὅπως ἀκριβῶς ἐκεῖνοι, κυριευμένοι ἀπὸ τὸ κακὸν τῆς ἀσθενείας, κατακαίονται, ἔτσι καὶ ἡμεῖς, ὡσὰν νὰ καιώμεθα ἀπὸ κάποιαν φλόγα, δὲν ἠμποροῦμεν μὲ κανένα τρόπον νὰ σταματήσωμεν τὴν ἐπιθυμίαν μας, αὐξάνοντες καὶ τὴν ὀργὴν καὶ τὴν φιλοχρηματίαν. Διὰ τοῦτο ἐντρέπομαι καὶ ἐκπλήττομαι, διότι ἀπὸ μὲν τοὺς ἐθνικοὺς βλέπω πολλοὶ νὰ περιφρονοῦν τὰ χρήματα, ἐνῷ εἰς ἡμᾶς ὅλοι εἶναι κυριευμένοι ἀπὸ τὴν μανίαν αὐτήν· ἀλλὰ καὶ ἂν ἀκόμη εὕρωμεν μερικοὺς νὰ περιφρονοῦν αὐτά, ἀλλ' ὅμως εἶναι κυριευμένοι ἀπὸ ἄλλα πάθη, ἀπὸ θυμὸν καὶ φθόνον· καὶ εἶναι δύσκολον πρᾶγμα νὰ εὕρωμεν καθαρὰν εὐσέβειαν.

Ἡ αἰτία λοιπὸν εἶναι, τὸ ὅτι δὲν φροντίζομεν νὰ λαμβάνωμεν τὰ φάρμακα ἀπὸ τὰς Γραφάς, οὔτε προσέχομεν αὐτὰς μὲ κατάνυξιν καὶ μὲ ὀδύνην καὶ μὲ στεναγμόν, ἀλλ' ἁπλῶς τὰς ἀκούομεν, ἐὰν συμβῇ κάποτε νὰ ἔχωμεν ἐλεύθερον χρόνον· διὰ τοῦτο, ὅταν παρουσιασθῇ μεγάλο πλῆθος βιωτικῶν ὑποθέσεων, τὰ σκεπάζει ὅλα, καί, ἐὰν προέκυψε κάποιο κέρδος, τὸ ἐξαφανίζει· διότι οὔτε θὰ ἔχῃ κάποιαν βελτίωσιν, ἐὰν κάποιος ποὺ ἔχει τραῦμα, θέσῃ φάρμακον ἐπάνω εἰς αὐτὸ καὶ δὲν τὸ δέσῃ μὲ ἀκρίβειαν, ἀλλὰ τὸ ἀφήσῃ νὰ πέσῃ καὶ ἐκθέσῃ τὸ τραῦμα του εἰς τὸ νερό, τὴν σκόνην, τὴν ρυπαρότητα καὶ εἰς ἄπειρα ἄλλα ποὺ εἶναι δυνατὸν νὰ ἔλθουν εἰς ἐπαφὴν μὲ αὐτό, αὐτὸ ὅμως δὲν θὰ συμβῇ ἐξ αἰτίας τῶν φαρμάκων, ἀλλ' ἐξ αἰτίας τῆς ἰδικῆς του ἀδιαφορίας. Αὐτὸ συνήθως συμβαίνει καὶ εἰς ἡμᾶς, ὅταν, εἰς μὲν τοὺς θείους λόγους, δίδομεν μικρὰν προσοχήν, ἐνῷ εἴμεθα συνεχῶς ἀφωσιωμένοι εἰς τὰ κοσμικὰ πράγματα· διότι ἔτσι ἀποπνίγεται ὅλος ὁ σπόρος καὶ ὅλα γίνονται ἄκαρπα. Διὰ νὰ μὴ συμβαίνῃ λοιπὸν αὐ-

βλέψωμεν εἰς τὸν οὐρανόν, καὶ κατανεύσωμεν εἰς τὰ μνήματα καὶ τὰς σοροὺς τῶν ἀπελθόντων· καὶ ἡμᾶς γὰρ τὸ αὐτὸ μένει τέλος, καὶ αὕτη τῆς ἀποδημίας ἀνάγκη πολλάκις πρὸ τῆς ἑσπέρας ἡμῖν ἐπιστήσεται.

Παρασκευζώμεθα τοίνυν πρὸς τὴν ἔξοδον ταύτην· καὶ γὰρ πολλῶν ἡμῖν δεῖ τῶν ἐφοδίων· ἐπεὶ καὶ πολὺ τὸ καῦμα ἐκεῖ, πολὺς ὁ αὐχμός, πολλὴ ἡ ἐρημία. Οὐκ ἔστιν εἰς πανδοχεῖον καταλῦσαι λοιπόν· οὐκ ἔστιν ἀγοράσαι τι, μὴ πάντα ἐντεῦθεν λαβόντα. Ἄκουσον γοῦν τί λέγουσιν αἱ παρθένοι· «Ὑπάγετε πρὸς τοὺς πωλοῦντας», ἀλλ' οὐχ εὗρον ἀπελθοῦσαι. Ἄκουσον τί φησιν ὁ Ἀβραάμ, ὅτι «χάσμα μεταξὺ ἡμῶν καὶ ὑμῶν». Ἄκουσον τί φησιν ὁ Ἰεζεκιὴλ περὶ τῆς ἡμέρας ἐκείνης, ὅτι «Νῶε, καὶ Ἰώβ, καὶ Δανιὴλ τοὺς υἱοὺς αὐτῶν οὐ μὴ ῥύσονται». Ἀλλ' ἡμᾶς μὴ γένοιτο τούτων ἀκοῦσαι τῶν ῥημάτων, ἀλλά, ἀρκοῦντα τῆς αἰωνίου ζωῆς λαβόντας ἐντεῦθεν τὰ ἐφόδια, μετὰ παρρησίας ἰδεῖν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἐν τοῖς μυστηρίοις ἀσπαζόμεθα ἀλλήλους, ἵνα οἱ πολλοὶ γενώμεθα ἕν· καὶ ἐπὶ τῶν ἀμυήτων κοινὰς ποιούμεθα τὰς εὐχάς, λιτανεύοντες ὑπὲρ νοσούντων, καὶ τῶν καρπῶν τῆς οἰκουμένης, καὶ γῆς καὶ θαλάττης. Ὁρᾷς πᾶσαν τῆς ἀγάπης τὴν δύναμιν; ἐν ταῖς εὐχαῖς; ἐν τοῖς μυστηρίοις; ἐν ταῖς παραινέσεσι; Τοῦτο πάντων αἴτιον τῶν ἀγαθῶν. Ἂν ταύτης ἐχώμεθα μετὰ ἀκριβείας, καὶ τὰ παρόντα καλῶς οἰκονομήσομεν, καὶ τῆς βασιλείας ἐπιτευξόμεθα· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τό, ἄς συνέλθωμεν ὀλίγον καὶ ἄς ἀναβλέψωμεν πρὸς τὸν οὐρανὸν καὶ ἄς σκύψωμεν τὸ βλέμμα μας εἰς τὰ μνήματα καὶ τὰς σορούς τῶν ἀποθανόντων· διότι καὶ ἡμᾶς αὐτὸ τὸ τέλος μᾶς περιμένει καὶ αὐτὴ ἡ ἀνάγκη τῆς ἀποδημίας μας πολλές φορές θὰ μᾶς ἔλθη πρὶν ἀπὸ τὴν ἑσπέραν.

Ἄς προετοιμαζώμεθα λοιπὸν διὰ τὴν ἔξοδον αὐτήν· καθ' ὅσον χρειαζόμεθα πολλὰ ἐφόδια· διότι εἶναι μεγάλος ὁ καύσων ἐκεῖ, μεγάλη ἡ ξηρασία, μεγάλη ἡ ἐρημία. Δὲν εἶναι δυνατὸν πλέον νὰ καταλύση κανεὶς εἰς πανδοχεῖον· δὲν εἶναι δυνατὸν ν' ἀγοράση κάτι, ἐὰν δὲν τὰ ἔλαβεν ὅλα ἀπὸ ἐδῶ. Ἄκουσε λοιπὸν τί λέγουν αἱ παρθένοι· «Πηγαίνετε πρὸς ἐκείνους ποὺ πωλοῦν»[16], ἀλλὰ δέν εὗρον ὅταν ἐπῆγαν ν' ἀναζητήσουν. Ἄκουσε τί λέγει ὁ Ἀβραάμ, ὅτι «ὑπάρχει χάσμα ἀνάμεσα εἰς ἡμᾶς καὶ εἰς ἐσᾶς»[17]. Ἄκουσε τί λέγει ὁ Ἰεζεκιὴλ διὰ τὴν ἡμέραν ἐκείνην, ὅτι «ὁ Νῶε καὶ ὁ Ἰὼβ καὶ ὁ Δανιὴλ δὲν θὰ σώσουν τοὺς υἱούς των»[18]. Ἀλλ' εἴθε νὰ μὴ συμβῇ εἰς ἡμᾶς ν' ἀκούσωμεν αὐτὰ τὰ λόγια, ἀλλά, ἀφοῦ λάβωμεν ἀπὸ ἐδῶ μὲ ἐπάρκειαν τὰ ἐφόδια, νὰ συναντήσωμεν μὲ παρρησίαν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα, συγχρόνως δὲ καὶ εἰς τὸ ἅγιον Πνεῦμα, ἀνήκει ἡ δόξα, τὸ κράτος καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

16. Ματθ. 25, 9.
17. Λουκᾶ 16, 26.
18. Ἰεζ. 14, 14· 16.

ΟΜΙΛΙΑ ΠΕ΄

Ἰω. 19, 16 - 20, 9

«Τότε οὖν παρέδωκεν αὐτὸν αὐτοῖς ὁ Πιλᾶτος, ἵνα σταυρωθῇ. Παρέλαβον δὲ τὸν Ἰησοῦν, καὶ ἤγαγον αὐτόν. Καὶ βαστάζων τὸν σταυρὸν ἑαυτοῦ, ἐξῆλθεν εἰς τὸν λεγόμενον Κρανίου τόπον, Ἑβραϊστὶ δὲ Γολγοθᾶ, ὅπου αὐτὸν ἐσταύρωσαν».

1. Αἱ εὐπραγίαι τοὺς οὐ προσέχοντας δειναὶ καταβαλεῖν καὶ παρασῦραι· οὕτω καὶ Ἰουδαῖοι, παρὰ τὴν ἀρχὴν ἀπολαύοντες τῆς τοῦ Θεοῦ ῥοπῆς, τὸν νόμον τῆς τῶν ἐθνῶν βασιλείας ἐπεζήτουν, καὶ ἐν ἐρήμῳ μετὰ τὸ μάννα κρομμύων ἐμέμνηντο· κατὰ τὸν αὐτὸν δὴ τρόπον καὶ ἐνταῦθα, τὴν βασιλείαν τοῦ Χριστοῦ παραιτούμενοι, τὴν τοῦ Καίσαρος ἐπ' αὐτοὺς ἐκάλουν. Τοιγάρτοι διὰ τοῦτο ἐπέστησεν αὐτοῖς βασιλέα κατὰ τὴν αὐτῶν ἀπόφασιν. Ἐπεὶ οὖν ταῦτα ἤκουσεν ὁ Πιλᾶτος, παρέδωκεν αὐτόν, ἵνα σταυρωθῇ· σφόδρα ἀλόγως· δέον γὰρ ἐρωτῆσαι, εἴ γε ἐσπούδασεν ὁ Χριστὸς ἐπιθέσθαι τυραννίδα, ἀπὸ τοῦ φόβου μόνου τὴν ἀπόφασιν ἤνεγκε· καίτοι γε, ἵνα μὴ τοῦτο πάθῃ, προλαβὼν ὁ Χριστός φησιν· «Ἡ ἐμὴ βασιλεία οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου». Ἀλλὰ τοῖς παροῦσιν ἑαυτὸν ὅλον δούς, οὐδὲν μέγα φιλοσοφῆσαι ἠθέλησε· καίτοι τὸ τῆς γυναικὸς ὄναρ ἱκανὸν ἦν αὐτὸν καταπλῆξαι. Ἀλλ' οὐδενὶ τούτων ἐγένετο βελτίων, οὐδὲ πρὸς τὸν οὐρανὸν εἶδεν, ἀλλὰ παρέδωκεν αὐτόν. Οἱ δὲ ἐπέθηκαν

1. Ἰω. 18, 36.

ΟΜΙΛΙΑ ΠΕ΄

'Ιω. 19, 16 - 20, 9

«Τότε λοιπὸν παρέδωσεν αὐτὸν ὁ Πιλᾶτος εἰς αὐτοὺς διὰ νὰ σταυρωθῇ. Ἔλαβον δὲ ἐκεῖνοι τὸν Ἰησοῦν καὶ ὡδήγησαν αὐτόν, καὶ βαστάζων αὐτὸς τὸν σταυρόν του, ὡδηγήθη εἰς τὸν λεγόμενον Κρανίου τόπον, ποὺ εἰς τὰ ἑβραϊκὰ λέγεται Γολγοθᾶ, ὅπου καὶ τὸν ἐσταύρωσαν».

1. Αἱ εὐημερίαι ἔχουν τὴν δύναμιν ἐκείνους ποὺ δὲν προσέχουν νὰ τοὺς καταβάλλουν καὶ νὰ τοὺς παρασύρουν˙ ἔτσι καὶ οἱ Ἰουδαῖοι, ἐνῷ εἰς τὴν ἀρχὴν ἀπήλαυον τῆς βοηθείας τοῦ Θεοῦ, ἤθελον τὸν νόμον τῆς βασιλείας τῶν ἐθνικῶν, καὶ εἰς τὴν ἔρημον μετὰ τὸ μάννα ἔφερον εἰς τὴν μνήμην των τὰ κρομμύδια˙ κατὰ τὸν ἴδιον τρόπον λοιπὸν καὶ ἐδῶ, ἀρνούμενοι τὴν βασιλείαν τοῦ Χριστοῦ, ἐπεκαλοῦντο διὰ τὸν ἑαυτόν των τὴν βασιλείαν τοῦ Καίσαρος. Καὶ πράγματι διὰ τοῦτο διώρισεν εἰς αὐτοὺς βασιλέα, σύμφωνα μὲ τὴν θέλησίν των. Ὅταν λοιπὸν ὁ Πιλᾶτος ἤκουσεν αὐτά, παρέδωσεν αὐτὸν διὰ νὰ σταυρωθῇ˙ πάρα πολὺ ἀπερίσκεπτα˙ διότι ἐνῷ ἔπρεπε νὰ ἐρωτήσῃ, ἐὰν ὁ Χριστὸς πράγματι ἐπεχείρησε νὰ ἐγκαταστήσῃ τυραννικὴν ἐξουσίαν, ἔβγαλε τὴν ἀπόφασιν μόνον ἀπὸ τὸν φόβον˙ ἂν καὶ βέβαια, διὰ νὰ μὴ τὸ πάθῃ αὐτὸ ὁ Πιλᾶτος, τὸν προλαμβάνει ὁ Χριστὸς καὶ τοῦ λέγει˙ «Ἡ ἰδική μου βασιλεία δὲν εἶναι ἀπὸ αὐτὸν τὸν κόσμον»[1]. Αὐτὸς ὅμως παραδώσας ὅλον τὸν ἑαυτόν του εἰς τὰ κοσμικὰ πράγματα, δὲν ἠθέλησε νὰ φιλοσοφήσῃ τίποτε τὸ ἀνώτερον˙ ἂν καὶ βέβαια τὸ ὄνειρον τῆς γυναικός του ἦτο ἱκανὸν νὰ τὸν ἐκπλήξῃ. Ἀλλὰ μὲ τίποτε ἀπὸ αὐτὰ δὲν ἔγινε καλύτερος, οὔτε εἶδε πρὸς τὸν οὐρανόν, ἀλλὰ παρέδωσεν αὐτόν. Ἐ-

αὐτῷ τὸν σταυρόν, ὡς καταδίκῳ λοιπόν· καὶ γὰρ τὸ ξύλον οἰωνίζοντο, καὶ οὐδὲ θιγεῖν ἠνείχοντο. Οὕτω καὶ ἐν τῷ τύπῳ γέγονε· καὶ γὰρ ὁ Ἰσαὰκ τὰ ξύλα ἐβάστασεν. Ἀλλὰ τότε μὲν μέχρι τῆς γνώμης τοῦ πατρὸς ἔστη τὸ πρᾶγμα (τύπος γὰρ ἦν), νῦν δὲ καὶ ἐπὶ τῶν ἔργων ἐξῆλθεν· ἀλήθεια γὰρ ἦν.

Καὶ ἦλθεν εἰς τὸν Κρανίου τόπον. Τινές φασιν ἐκεῖ τὸν Ἀδὰμ τετελευτηκέναι καὶ κεῖσθαι, καὶ τὸν Ἰησοῦν ἐν τῷ τόπῳ, ἔνθα ὁ θάνατος ἐβασίλευσεν, ἐκεῖ καὶ τὸ τρόπαιον στῆσαι· καὶ γὰρ τρόπαιον ἐξῄει βαστάζων τὸν σταυρὸν κατὰ τῆς τοῦ θανάτου τυραννίδος· καὶ καθάπερ οἱ νικηταί, οὕτω καὶ αὐτὸς ἐπὶ τῶν ὤμων ἔφερε τὸ τῆς νίκης σύμβολον. Τί γάρ, εἰ καὶ ἑτέρᾳ γνώμῃ ἐπέταττον ταῦτα οἱ Ἰουδαῖοι; Σταυροῦσι δὲ αὐτὸν καὶ μετὰ λῃστῶν, ἄκοντες καὶ ἐν τούτῳ τὴν προφητείαν πληροῦντες· ἃ γὰρ ὑβρίζοντες ἐποίουν οὗτοι, ταῦτα τῇ ἀληθείᾳ συνετέλει, ἵνα μάθῃς ὅση αὐτῆς ἡ δύναμις· καὶ γὰρ καὶ τοῦτο ἄνωθεν προεῖπεν ὁ Προφήτης, ὅτι «μετὰ ἀνόμων ἐλογίσθη». Ἐβούλετο τοιγαροῦν συσκιάσαι τὸ γινόμενον ὁ δαίμων, ἀλλ' οὐκ ἴσχυσεν· ἐσταυρώθησαν μὲν γὰρ οἱ τρεῖς, ἔλαμψε δὲ μόνος ὁ Ἰησοῦς, ἵνα μάθῃς, ὅτι ἡ δύναμις αὐτοῦ τὸ πᾶν εἰργάσατο. Καίτοι τῶν τριῶν ἐπὶ τοῦ σταυροῦ προσηλωμένων, τὰ θαύματα οὕτως ἐγένετο· ἀλλ' ὅμως οὐδεὶς οὐδὲν τῶν γινομένων ἐπέτρεψεν οὐδενὶ ἐκείνων, ἀλλ' ἢ μόνῳ τῷ Ἰησοῦ· οὕτως ἕωλος ἡ τοῦ διαβόλου ἐπιβουλὴ γέγονε, καὶ εἰς τὴν αὐτοῦ τὸ πᾶν περιετράπη κεφαλήν· καὶ γὰρ ἐκ τῶν δύο τούτων διεσώθη εἷς. Οὐ μόνον τοίνυν οὐκ ἐπηρέασε τῇ δόξῃ τοῦ σταυρουμένου, ἀλλὰ καὶ συνετέλεσεν οὐ

2. Ἡσ. 53, 12.

κεῖνοι δὲ ἔθεσαν ἐπ' αὐτοῦ τὸν σταυρόν, ὡς νὰ ἐπρόκειτο πλέον διὰ κατάδικον· καθ' ὅσον καὶ τὸ ξύλον τὸ ἐθεωροῦσαν ὡς κακὸν σημεῖον καὶ δὲν ἠνείχοντο οὔτε καὶ νὰ τὸ ἀγγίσουν. Ἔτσι συνέβη καὶ κατὰ τὴν προτύπωσιν τοῦ σταυρικοῦ θανάτου· καθ' ὅσον καὶ ὁ Ἰσαὰκ ἐβάστασε τὰ ξύλα. Ἀλλὰ τότε μὲν τὸ πρᾶγμα ἔφθασε μέχρι τὴν ἀπόφασιν τοῦ πατρός του (διότι ἦτο προτύπωσις), τώρα ὅμως ἐπροχώρησε τὸ πρᾶγμα καὶ εἰς τὴν πρᾶξιν· διότι ἦτο πραγματικότης.

Καὶ ἦλθεν εἰς τὸν Κρανίου τόπον. Μερικοὶ λέγουν ὅτι εἰς τὸν τόπον ἐκεῖνον ἀπέθανε καὶ εἶναι θαμένος ὁ Ἀδάμ, καὶ ὁ Ἰησοῦς εἰς τὸν τόπον, ὅπου ἐβασίλευσεν ὁ θάνατος, ἐκεῖ ἔστησε καὶ τὸ τρόπαιον· καθ' ὅσον ἐξήρχετο βαστάζων τὸν σταυρὸν ὡς τρόπαιον κατὰ τῆς τυραννίδος τοῦ θανάτου· καὶ ὅπως ἀκριβῶς οἱ νικηταί, ἔτσι καὶ αὐτὸς ἔφερεν ἐπάνω εἰς τοὺς ὤμους του τὸ σύμβολον τῆς νίκης. Διότι τί σημασίαν ἔχει ἐὰν οἱ Ἰουδαῖοι μὲ ἄλλην σκέψιν διέτασσον νὰ γίνουν αὐτά; Σταυρώνουν δὲ αὐτὸν μαζὶ μὲ λῃστάς, ἐκπληρώνοντες καὶ μὲ τὸν τρόπον αὐτὸν χωρὶς νὰ τὸ θέλουν τὴν προφητείαν· διότι ἐκεῖνα ποὺ αὐτοὶ ἔπραττον ὑβρίζοντες, αὐτὰ ἀπέβαινον ὑπὲρ τῆς ἀληθείας, διὰ νὰ μάθῃς πόση εἶναι ἡ δύναμις αὐτῆς· καθ' ὅσον καὶ αὐτὸ τὸ προεῖπε φωτισθεὶς ἐξ οὐρανοῦ καὶ ὁ προφήτης, ὅτι «ἐλογίσθη μετὰ τῶν ἀνόμων»[3]. Ἤθελε βέβαια ὁ δαίμων νὰ ἐπισκιάσῃ τὸ γινόμενον, ἀλλὰ δὲν ἠμπόρεσε· διότι, ἐσταυρώθησαν μὲν οἱ τρεῖς, ἔλαμψεν ὅμως μόνος ὁ Ἰησοῦς, διὰ νὰ μάθῃς ὅτι ἡ δύναμίς του ἔπραξε τὸ πᾶν. Ἂν καὶ βέβαια οἱ τρεῖς ἦσαν καρφωμένοι ἐπάνω εἰς τὸν σταυρόν, ἀλλὰ καὶ ἔτσι τὰ θαύματα ἐγίνοντο· ἀλλ' ὅμως κανεὶς δὲν ἀπέδωσεν εἰς κανένα ἀπὸ ἐκείνους τίποτε ἀπὸ τὰ συμβάντα, παρὰ μόνον εἰς τὸν Ἰησοῦν· τόσον πολὺ ἄτολμος κατέστη ἡ ἐπιβουλὴ τοῦ διαβόλου καὶ ἐστράφη τὸ πᾶν εἰς τὴν κεφαλήν του· καθ' ὅσον ἀπὸ αὐτοὺς τοὺς δύο διεσώθη ἕνας. Ὄχι λοιπὸν μόνον δὲν ἔβλαψε τὴν δόξαν τοῦ σταυρωμένου, ἀλλὰ καὶ συνετέλεσεν ὑπὲρ αὐτῆς ὄχι ὀλίγον· διότι ἀπὸ τὸ νὰ κλονήσῃ τὰς πέτρας δὲν

μικρόν· τοῦ γὰρ κλονῆσαι τὰς πέτρας οὐκ ἔλαττον ἦν τὸν λῃστὴν ἐν σταυρῷ μεταβαλεῖν, καὶ εἰς παράδεισον εἰσαγαγεῖν.

«Ἔγραψε δὲ καὶ τίτλον ὁ Πιλᾶτος», ὁμοῦ μὲν τοὺς Ἰουδαίους ἀμυνόμενος, ὁμοῦ δὲ ἀπολογούμενος ὑπὲρ τοῦ Χριστοῦ. Ἐπειδὴ γὰρ ὡς φαῦλον ἐξέδωκαν, καὶ τὴν ψῆφον ταύτην τῇ κοινωνίᾳ τῶν λῃστῶν βεβαιῶσαι ἐπεχείρουν, ἵνα μηδενὶ λοιπὸν ἐξῇ πονηρὰς ἐπιφέρειν αἰτίας καὶ κατηγορεῖν ὡς φαύλου τινὸς καὶ πονηροῦ, ἐμφράττων αὐτῶν τὰ στόματα καὶ πάντων τῶν κατηγορεῖν βουλομένων, καὶ δεικνὺς ὅτι τῷ οἰκείῳ βασιλεῖ ἐπανέστησαν, ὥσπερ ἐπὶ τροπαίου τινός, οὕτω τὰ γράμματα ἔθηκε, λαμπρὰν ἀφιέντα φωνήν, καὶ τὴν νίκην δηλοῦντα, καὶ τὴν βασιλείαν ἀνακηρύττοντα, εἰ καὶ μὴ ὁλόκληρον· καὶ τοῦτο οὐ μιᾷ γλώττῃ, ἀλλὰ τρισὶ φωναῖς δῆλον ἐποίησεν. Ἐπειδὴ γὰρ πολλοὺς εἶναι εἰκὸς μιγάδας ἐν τοῖς Ἰουδαίοις διὰ τὴν ἑορτήν, ὥστε μηδένα ἀγνοεῖν τὴν ἀπολογίαν, ταῖς φωναῖς ἁπάσαις τῶν Ἰουδαίων τὴν μανίαν ἐστηλίτευσε. Καὶ γὰρ καὶ ἐσταυρωμένῳ ἐβάσκαινον· καίτοι τί τοῦτο ὑμᾶς ἔβλαπτεν; Οὐδέν· εἰ γὰρ θνητὸς ἦν καὶ ἀσθενής, καὶ σβέννυσθαι ἔμελλε, τί δεδοίκατε τὰ γράμματα, λέγοντα ὅτι βασιλεύς ἐστι τῶν Ἰουδαίων; Καὶ τί φασιν; «Εἶπεν, ὅτι αὐτὸς εἶπε»· νῦν μὲν γὰρ ἀπόφασίς ἐστι καὶ κοινὴ ψῆφος, ἂν δὲ προστεθῇ ὅτι «ἐκεῖνος εἶπε», τῆς αὐτοῦ προπετείας καὶ ἀλαζονείας δείκνυται τὸ ἔγκλημα ὄν.

Ἀλλ' οὐχ ὁ Πιλᾶτος παρετράπη, ἀλλ' ἐπὶ τῆς προτέρας ἔστη γνώμης. Οὐ μικρὸν δὲ καὶ ἐντεῦθεν οἰκονομεῖται, ἀλλὰ τὸ πᾶν· ἐπειδὴ γὰρ κατεχώσθη τοῦ σταυροῦ τὸ ξύλον, ὡς οὐδενὸς αὐτὸν ἀνελέσθαι σπουδάζοντος, τῷ καὶ φόβον ἐπικεῖσθαι, καὶ πρὸς ἕτερα κατεπείγοντα τοὺς πιστεύον-

ἦτο κατώτερον τὸ νὰ μεταβάλῃ τὸν ληστὴν ἐπάνω εἰς τὸν σταυρὸν καὶ νὰ τὸν ὁδηγήσῃ μέσα εἰς τὸν παράδεισον.

«Ἔγραψε δὲ ὁ Πιλᾶτος καὶ ἐπιγραφήν», ἀφ' ἑνὸς μὲν πρὸς ἄμυναν κατὰ τῶν Ἰουδαίων, ἀφ' ἑτέρου δὲ ἀπολογούμενος ὑπὲρ τοῦ Χριστοῦ. Ἐπειδὴ δηλαδὴ τὸν παρέδωσαν ὡς φαῦλον καὶ τὴν ἀπόφασιν αὐτὴν ἐπιχειροῦσαν νὰ τὴν ἐπιβεβαιώσουν μὲ τὴν μετὰ τῶν ληστῶν σταύρωσίν του, διὰ νὰ μὴ ἠμπορῇ λοιπὸν κανεὶς νὰ διατυπώσῃ πονηρὰς κατηγορίας καὶ νὰ τὸν κατηγορῇ ὡσὰν κάποιον φαῦλον καὶ πονηρόν, φράσσων τὰ στόματα αὐτῶν καὶ ὅλων ἐκείνων ποὺ θέλουν νὰ τὸν κατηγοροῦν καὶ διὰ νὰ δείξῃ ὅτι ἐπανεστάτησαν κατὰ τοῦ ἰδικοῦ των βασιλέως, ὡσὰν ἀκριβῶς εἰς κάποιον τρόπαιον, ἔτσι ἔθεσε τὴν ἐπιγραφήν, ἀφήνουσαν περίλαμπρον φωνὴν καὶ δηλοῦσαν τὴν νίκην καὶ διακηρύσσουσαν τὴν βασιλείαν, ἂν καὶ ὄχι ὁλόκληρον· καὶ αὐτὸ τὸ ἐδήλωσεν ὄχι μὲ μίαν γλῶσσαν, ἀλλὰ μὲ τρεῖς. Διότι, ἐπειδὴ φυσικὸν ἦτο νὰ εὑρίσκοντο, λόγῳ τῆς ἑορτῆς, καὶ πολλοὶ ἀλλόφυλοι μεταξὺ τῶν Ἰουδαίων, διὰ νὰ μὴ ἀγνοῇ κανεὶς τὴν ἀπολογίαν του, ἐστιγμάτισε τὴν μανίαν τῶν Ἰουδαίων εἰς ὅλας τὰς γλώσσας. Καθ' ὅσον καὶ ἐσταυρωμένον τὸν ἐμισοῦσαν· καὶ ὅμως εἰς τί σᾶς ἔβλαπτεν αὐτό; Εἰς τίποτε· διότι ἐὰν ἦτο θνητὸς καὶ ἀνίσχυρος καὶ ἐπρόκειτο νὰ ἐξαφανισθῇ μὲ τὸν θάνατόν του, διατί φοβεῖσθε τὰ γράμματα ποὺ λέγουν ὅτι εἶναι βασιλεὺς τῶν Ἰουδαίων; Καὶ τί λέγουν; «Εἶπεν, ὅτι αὐτὸς εἶπε»· διότι τώρα μὲν εἶναι ἀπόφασις καὶ κοινὴ γνώμη, ἂν ὅμως προστεθῇ ὅτι «ἐκεῖνος εἶπε», ἀποδεικνύεται ὅτι ἡ κατηγορία ἦτο ἀποτέλεσμα τῆς ἰδικῆς του αὐθαδείας καὶ ἀλαζονείας.

Ὅμως ὁ Πιλᾶτος δὲν ἤλλαξε γνώμην, ἀλλ' ἔμεινε σταθερὸς εἰς τὴν προηγουμένην γνώμην του. Καὶ αὐτοῦ δὲ τοῦ γεγονότος δὲν εἶναι μικρὰ ἡ σημασία ὡς πρὸς τὸ σχέδιον τῆς οἰκονομίας τοῦ Θεοῦ, ἀλλ' εἶναι πάρα πολὺ μεγάλη· διότι, ἐπειδὴ ἐπήχθη τὸ ξύλον τοῦ σταυροῦ μέσα εἰς τὴν γῆν δὲν ἐφρόντισε νὰ τὸ βγάλῃ κανεὶς καὶ ἐξ αἰτίας τοῦ φόβου ποὺ ἐδημιουργήθη καὶ ἐξ αἰτίας τῆς φρον-

τας σπεύδειν, ἔμελλε δὲ χρόνοις ὕστερον ἐπιζητεῖσθαι, εἰκὸς δὲ τοὺς τρεῖς ὁμοῦ κεῖσθαι σταυρούς, ἵνα μὴ ἀγνοῆται ὁ τοῦ Δεσπότου, πρῶτον μὲν ἀπὸ τοῦ μέσου αὐτὸν κεῖσθαι, ἔπειτα δὲ καὶ ἀπὸ τοῦ τίτλου δῆλος πᾶσιν ἐγένετο· οἱ γὰρ τῶν λῃστῶν τίτλους οὐκ εἶχον. Οἱ δὲ στρατιῶται διενείμαντο τὰ ἱμάτια, τὸν δὲ χιτῶνα οὐκ ἔτι. Ὅρα πανταχοῦ δι' ὧν ἐπονηρεύοντο τὰς προφητείας πληρουμένας· καὶ γὰρ καὶ τοῦτο ἄνωθεν προείρητο. Καίτοι γε τρεῖς ἦσαν σταυρούμενοι, ἀλλὰ τὰ τῶν προφητειῶν ἐπ' αὐτοῦ ἐπληροῦτο· διὰ τί γὰρ μὴ ἐπὶ τῶν ἄλλων τοῦτο ἐποίησαν, ἀλλ' ἐπὶ τούτου μόνου; (σὺ δέ μοι σκόπει προφητείας ἀκρίβειαν). Οὐ γὰρ ὅ,τι ἐμερίσαντο μόνον, ἀλλ' ὅ,τι καὶ οὐ ἐμερίσαντο εἶπεν ὁ Προφήτης· τὰ μὲν οὖν διενείμαντο, τὸν δὲ χιτῶνα οὐ διενείμαντο, ἀλλὰ κλήρῳ τὸ πρᾶγμα ἐπέτρεψαν.

2. Τὸ δὲ «ἐκ τῶν ἄνωθεν ὑφαντὸς» οὐχ ἁπλῶς πρόσκειται, ἀλλ' οἱ μέν φασιν ἀλληγορίαν δι' αὐτοῦ δηλοῦσθαι, ὅτι οὐχ ἁπλῶς ἄνθρωπος ἦν ὁ σταυρούμενος, ἀλλὰ καὶ ἄνωθεν τὴν θεότητα εἶχε, τινὲς δὲ αὐτὸ τὸ εἶδος τοῦ χιτωνίσκου φασὶ τὸν Εὐαγγελιστὴν ἱστορεῖν· ἐπειδὴ γὰρ ἐν Παλαιστίνῃ, δύο ῥάκη συμβάλλοντες, οὕτως ὑφαίνουσι τὰ ἱμάτια, δηλῶν ὁ Ἰωάννης ὅτι τοιοῦτος ἦν ὁ χιτωνίσκος φησίν· «Ἐκ τῶν ἄνωθεν ὑφαντός». Τοῦτο δὲ ἐμοὶ δοκεῖ λέγειν, αἰνιττόμενος τὸ εὐτελὲς τῶν ἱματίων, καὶ ὅτι, καθάπερ ἐν τοῖς ἄλλοις ἅπασιν, οὕτω καὶ ἐν τῇ στολῇ τὸ λιτὸν ἐδίωκε σχῆμα. Καὶ οἱ μὲν στρατιῶται ταῦτα ἐποίουν, αὐτὸς δὲ σταυρούμενος παρατίθεται τὴν μητέρα αὐτοῦ τῷ μαθητῇ, παιδεύων ἡμᾶς μέχρι ἐσχάτης ἀναπνοῆς πᾶσαν ποιεῖσθαι ἐπιμέλειαν τῶν γεγεννηκότων. Ὅτε μὲν οὖν ἀκαίρως ἠνόχλησε, λέγει· «Τί ἐμοὶ καὶ

τίδος τῶν πιστῶν δι' ἄλλα κατεπείγοντα ζητήματα, ἐπρόκειτο δὲ μετὰ ἀπὸ χρόνια νὰ ἀναζητηθῇ, φυσικὸν δὲ ἦτο νὰ ἦσαν καὶ οἱ τρεῖς σταυροὶ μαζί, διὰ νὰ μὴ ἀγνοῆται ὁ σταυρὸς τοῦ Κυρίου, ἔγινε γνωστὸς εἰς ὅλους πρῶτον μὲν ἀπὸ τὸ ὅτι αὐτὸς εὑρίσκετο εἰς τὸ μέσον τῶν δύο ἄλλων, ἔπειτα δὲ καὶ ἀπὸ τὸν τίτλον· διότι οἱ σταυροὶ τῶν ληστῶν δὲν εἶχον τίτλους. Οἱ δὲ στρατιῶται ἐμοιράσθησαν μεταξύ των τὰ ἐνδύματά του, ὄχι ὅμως καὶ τὸν χιτῶνα. Πρόσεχε πῶς παντοῦ ἐκπληρώνονται αἱ προφητεῖαι μὲ ὅλας ἐκείνας τὰς πονηρὰς ἐνεργείας των· καθ' ὅσον καὶ αὐτὸ προελέχθη εὐθὺς ἐξ ἀρχῆς. Μολονότι βέβαια ἦσαν τρεῖς οἱ σταυρωμένοι, ἀλλὰ τὰ τῶν προφητειῶν ἐξεπληρώνοντο εἰς αὐτόν· διότι, διατί δὲν ἔκαμαν αὐτὸ τὸ μοίρασμα τῶν ἐνδυμάτων καὶ εἰς τοὺς ἄλλους ληστάς, ἀλλὰ μόνον εἰς αὐτόν; (σὺ δὲ πρόσεχε σὲ παρακαλῶ τὴν ἀκρίβειαν τῆς προφητείας). Διότι ὄχι μόνον προεῖπεν ὁ προφήτης ὅ,τι ἐμοιράσθησαν, ἀλλὰ καὶ ὅ,τι δὲν ἐμοιράσθησαν· τὰ μὲν λοιπὸν ἄλλα ἐνδύματά του τὰ ἐμοιράσθησαν, τὸν χιτῶνα ὅμως δὲν τὸν ἐμοιράσθησαν, ἀλλὰ τὸ πρᾶγμα τὸ ἐτακτοποίησαν μὲ κλῆρον.

2. Τὸ δὲ «ἐκ τῶν ἄνωθεν ὑφάντος» δὲν ἀνεφέρθη ἔτσι τυχαῖα, ἀλλ' ἄλλοι μὲν λέγουν ὅτι εἶναι ἀλληγορικὴ ἡ σημασία αὐτοῦ, ὅτι δηλαδὴ δὲν ἦτο ἁπλῶς ἄνθρωπος ὁ σταυρούμενος, ἀλλὰ καὶ εἶχε τὴν θεότητα ἐκ τοῦ οὐρανοῦ, μερικοὶ δὲ λέγουν ὅτι ὁ εὐαγγελιστὴς ἐξιστορεῖ τὸ εἶδος τοῦ χιτωνίσκου· ἐπειδὴ δηλαδὴ εἰς τὴν Παλαιστίνην, ἑνώνοντες δύο τεμάχια ὑφάσματος, ἔτσι ὑφαίνουν τὰ ἐνδύματα, διὰ νὰ δείξῃ ὁ Ἰωάννης ὅτι τέτοιος ἦτο ὁ χιτωνίσκος, λέγει· «Ἐκ τῶν ἄνωθεν ὑφάντος». Αὐτὸ νομίζω τὸ λέγει, ὑπαινισσόμενος τὸ εὐτελὲς τῶν ἐνδυμάτων του, καὶ ὅτι, ὅπως ἀκριβῶς εἰς ὅλα τὰ ἄλλα, ἔτσι καὶ εἰς τὴν στολὴν ἐπεδίωκε τὴν λιτὴν περιβολήν. Καὶ οἱ μὲν στρατιῶται ἔκαμνον αὐτά, αὐτὸς δὲ σταυρούμενος ἀναθέτει τὴν μητέρα του εἰς τὸν μαθητήν του, διδάσκων ἡμᾶς ὅτι πρέπει μέχρι τὴν τελευταίαν πνοὴν νὰ καταβάλλωμεν κάθε φροντίδα διὰ τοὺς γονεῖς μας. Ὅταν βέβαια εἰς

σοί, γύναι;», καὶ «τίς ἐστιν ἡ μήτηρ μου;», ἐνταῦθα δὲ πολλὴν τὴν φιλοστοργίαν ἐπιδείκνυται, καὶ παρατίθεται αὐτὴν τῷ μαθητῇ, ὃν ἠγάπα. Πάλιν ἑαυτὸν κρύπτει ὁ Ἰωάννης μετριάζων· εἰ γὰρ ἐβούλετο κομπάζειν, καὶ τὴν αἰτίαν ἂν ἐνέθηκε, δι' ἣν ἠγαπᾶτο· καὶ γὰρ εἰκὸς ἦν μεγάλην τινὰ εἶναι καὶ θαυμαστήν. Τίνος δὲ ἕνεκεν οὐδὲν ἕτερον τῷ Ἰωάννῃ διαλέγεται, οὐδὲ παραμυθεῖται αὐτὸν κατηφοῦντα; Ὅτι καιρὸς οὐκ ἦν τῆς τῶν ῥημάτων παρακλήσεως. Καὶ ἄλλως δέ, οὐ μικρὸν ἦν τὸ τιμηθῆναι αὐτὸν τιμῇ τοιαύτῃ, καὶ τῆς παραμονῆς λαβεῖν τὸν μισθόν.

Σὺ δέ μοι σκόπει καὶ ἐσταυρωμένος ἅπαντα ἀταράχως ἔπραττε, τῷ μαθητῇ διαλεγόμενος περὶ τῆς μητρός, προφητείας πληρῶν, τῷ λῃστῇ χρηστὰς ὑποτείνων ἐλπίδας· καίτοι γε πρὶν ἢ σταυρωθῆναι φαίνεται ἱδρῶν, ἀγωνιῶν, δεδοικώς. Τί ποτε οὖν τοῦτό ἐστιν; Οὐδὲν ἄπορον, οὐδὲν ἀσαφές· ἐκεῖ μὲν γὰρ ἡ τῆς φύσεως ἀσθένεια ἐδείχθη, ἐνταῦτα δὲ ἡ τῆς δυνάμεως περιουσία ἐδείκνυτο. Ἄλλως δέ, καὶ ἡμᾶς δι' ἀμφοτέρων παιδεύει τούτων, κἂν πρὸ τῶν δεινῶν θορυβώμεθα, μὴ διὰ τοῦτο ἀφίστασθαι τῶν δεινῶν, ἐπειδὰν δὲ εἰς τὸν ἀγῶνα ἐμβῶμεν, πάντα ῥᾴστα καὶ εὔκολα ἡγεῖσθαι. Μὴ τοίνυν τρέμωμεν θάνατον· ἔχει μὲν γὰρ ἡ ψυχὴ κατὰ φύσιν τὸ φιλόζωον, ἀλλ' ἐν ἡμῖν κεῖται λοιπὸν ἢ λῦσαι ταύτης τὰ δεσμά, καὶ τὴν ἐπιθυμίαν ἀσθενῆ ποιῆσαι, ἢ δῆσαι, καὶ τυραννικωτέραν ἐργάσασθαι. Ὥσπερ γὰρ ἔχομεν τὴν ἐπιθυμίαν τῆς τῶν σωμάτων μίξεως, ὅταν δὲ φιλοσοφῶμεν, ἀσθενῆ ποιοῦμεν τὴν τυραννίδα, οὕτω καὶ ἐπὶ τῆς ζωῆς συμβαίνει· καθάπερ γὰρ τὴν ἐπιθυμίαν τῶν σωμάτων ἐνέθηκε τῆς παιδοποιΐας, συγκροτῶν ἡμῶν τὰς δια-

3. Ἰω. 2, 4.
4. Ματθ. 12, 48.

ἀκατάλληλον στιγμὴν τὸν ἠνόχλησεν ἡ μητέρα του, λέγει, «Τί τὸ κοινὸν ὑπάρχει ἀνάμεσα εἰς ἐμένα καὶ εἰς ἐσένα;»[3], καὶ «ποία εἶναι ἡ μητέρα μου;»[4], ἐδῶ ὅμως δείχνει πολλὴν φιλοστοργίαν καὶ ἀναθέτει αὐτὴν εἰς τὸν μαθητὴν ποὺ τὸν ἀγαποῦσε. Πάλιν κρύπτει τὸν ἑαυτόν του ὁ Ἰωάννης ἀπὸ μετριοφροσύνην˙ διότι ἐὰν ἤθελε νὰ καυχηθῇ, θ' ἀνέφερε καὶ τὴν αἰτίαν διὰ τὴν ὁποίαν ἠγαπᾶτο˙ καθ' ὅσον φυσικὸν ἦτο νὰ εἶναι αὐτὴ μεγάλη καὶ θαυμαστή. Διατί ὅμως τίποτε ἄλλο δὲν λέγει εἰς τὸν Ἰωάννην, οὔτε τὸν παρηγορεῖ ποὺ ἦτο λυπημένος; Διότι δὲν ἦτο καιρὸς διὰ λόγους παρηγορίας. Ἐξ ἄλλου δὲ δὲν ἦτο μικρὸν πρᾶγμα τὸ νὰ τιμηθῇ αὐτὸς μὲ τέτοιαν τιμὴν καὶ νὰ λάβῃ τὸν μισθὸν τῆς παραμονῆς του πλησίον τοῦ Κυρίου.

Σὺ ὅμως πρόσεχε σὲ παρακαλῶ πῶς, ἐνῷ ἦτο ἐσταυρωμένος, ὅλα τὰ ἔκαμνεν ἀτάραχος, συνομιλῶν μὲ τὸν μαθητὴν διὰ τὴν μητέρα του, ἐκπληρῶν προφητείας, καὶ δίδων καλὰς ἐλπίδας εἰς τὸν ληστήν˙ ἂν καὶ βέβαια πρὶν σταυρωθῇ φαίνεται νὰ ἱδρώνῃ, νὰ ἀγωνιᾷ, νὰ φοβῆται. Τί τέλος πάντων σημαίνει αὐτό; Δὲν εἶναι καθόλου ἄξιον ἀπορίας οὔτε ἀσαφές˙ διότι εἰς ἐκείνην μὲν τὴν περίπτωσιν ἐδείχθη ἡ ἀδυναμία τῆς ἀνθρωπίνης φύσεως, ἐνῷ ἐδῶ ἐδεικνύετο ἡ ὑπεροχὴ τῆς δυνάμεώς του. Ἐξ ἄλλου δὲ καὶ ἡμᾶς μᾶς διδάσκει μὲ αὐτὰ τὰ δύο, καὶ ἂν ἀκόμη πρὸ τῶν συμφορῶν θορυβώμεθα, νὰ μὴ ἀποφεύγωμεν ἐξ αἰτίας αὐτοῦ τοῦ θορύβου τὰ δεινά, ὅταν ὅμως εἰσέλθωμεν εἰς τὸν ἀγῶνα, ὅλα νὰ τὰ θεωροῦμεν εὐχάριστα καὶ εὔκολα. Ἂς μὴ τρέμωμεν λοιπὸν τὸν θάνατον˙ βέβαια ἡ ψυχὴ ἀγαπᾷ μὲν ἐκ φύσεως τὴν ζωήν, ἀλλ' ἀπὸ ἡμᾶς ἐξαρτᾶται πλέον ἢ ν' ἀπαλλαγῶμεν ἀπὸ τοὺς δεσμοὺς αὐτῆς καὶ νὰ κάμωμεν ἀνίσχυρον τὴν ἐπιθυμίαν, ἢ νὰ δεθῶμεν στενώτερα μὲ αὐτοὺς τοὺς δεσμοὺς καὶ νὰ κάμωμεν πιὸ τυραννικὴν τὴν ἐπιθυμίαν. Διότι ὅπως ἀκριβῶς ἔχομεν τὴν ἐπιθυμίαν τῆς σαρκικῆς μίξεως, ὅταν ὅμως φιλοσοφοῦμεν κάμνομεν ἀνίσχυρον αὐτὴν τὴν τυραννίδα, ἔτσι συμβαίνει καὶ μὲ τὴν ζωήν˙ ὅπως δηλαδὴ ἔθεσε μέσα μας τὴν σαρκικὴν ἐπιθυμίαν χάριν τῆς τεκνοποιΐας, ἐξασφαλίζων ἔτσι

δοχὰς ὁ Θεός, οὐ κωλύων τὴν ἀνωτέρω τῆς ἐγκρατείας ὁδεύειν ὁδόν, οὕτω καὶ τὸν πόθον τῆς ζωῆς ἐνέσπειρε, κωλύων ἑαυτοὺς ἀναιρεῖν, οὐκ ἐμποδίζων δὲ ἡμῖν πρὸς τὸ τῆς παρούσης ζωῆς ὑπερορᾶν. Καὶ χρή, ταῦτα εἰδότας, τὰ μέτρα διατηρεῖν, καὶ μήτε αὐτομάτως ἐπὶ τὸν θάνατον ἰέναι ποτέ, κἂν μυρία ἂν ἔχῃ δεινά, μήτε ἑλκομένους ὑπὲρ τῶν τῷ Θεῷ δοκούντων ἀναδύεσθαι καὶ ὀκνεῖν, ἀλλὰ θαρροῦντας ἀποδύεσθαι, τὴν μέλλουσαν τῆς παρούσης ζωῆς προτιμῶντες.

«Αἱ δὲ γυναῖκες παρειστήκεισαν τῷ σταυρῷ»· καὶ τὸ ἀσθενέστερον γένος ἀνδρειότερον ἐφάνη τότε· οὕτω πάντα μετεσκευάζετο λοιπόν. Αὐτὸς δέ, τὴν μητέρα παραθέμενος, φησίν· «Ἴδε ὁ υἱός σου». Βαβαὶ τῆς τιμῆς! ὅσῃ τὸν μαθητὴν ἐτίμησε τιμῇ! Ἐπειδὴ γὰρ αὐτὸς ἀπῄει λοιπόν, τῷ μαθητῇ παρέδωκε τημελήσοντι· ἐπειδὴ γὰρ εἰκὸς ἦν, ἅ τε μητέρα οὖσαν, ἀλγεῖν, καὶ τὴν προστασίαν ζητεῖν, εἰκότως αὐτὴν ἐγχειρίζει τῷ ποθουμένῳ. Τούτῳ φησίν· «Ἴδε ἡ μήτηρ σου». Ταῦτα δὲ ἔλεγε, συνάπτων αὐτοὺς εἰς ἀγάπην· ὅπερ οὖν καὶ ὁ μαθητὴς συνιείς, «εἰς τὰ ἴδια αὐτὴν ἔλαβε». Διὰ τί γὰρ μηδεμιᾶς ἄλλης ἐμνημόνευσε γυναικός, καίτοι καὶ ἑτέρα εἰστήκει; Διδάσκων ἡμᾶς πλέον τι νέμειν ταῖς μητράσιν· ὥσπερ γὰρ ἐναντιουμένοις τοῖς γονεῦσι περὶ τὰ πνευματικὰ οὐδὲ εἰδέναι χρή, οὕτως, ὅταν μηδὲν ἐμποδίζωσιν, ἅπαν τὸ εἰκὸς ἀπονέμειν αὐτοῖς δεῖ, καὶ πρὸ τῶν ἄλλων αὐτοὺς τιθέναι, ἀνθ' ὧν ἔτεκον, ἀνθ' ὧν ἐνέθρεψαν, ἀνθ' ὧν μυρία ὑπέστησαν δεινά. Οὕτω καὶ Μαρκίωνος ἐπιστομίζει τὴν ἀναισχυντίαν· εἰ γὰρ μὴ ἐγεννήθη κατὰ σάρκα, μηδὲ

5. Ὁ Μαρκίων ἦτο γνωστικὸς καὶ αἱρεσιάρχης τῶν Μαρκιωνιτῶν. Ἐγεννήθη εἰς τὴν Σινώπην τοῦ Πόντου περὶ τὰ τέλη τοῦ Β´ μ.Χ. αἰῶνος, ἔδρασε δὲ κυρίως εἰς τὴν Ρώμην. Μεταξὺ τῶν ἄλλων ἐδίδασκεν ὅτι ὁ Χριστὸς δὲν ἐγεννήθη πράγματι ἐκ τῆς Μαρίας. Διὰ περισσότερα βλ. Η.Θ.Ε.

ὁ Θεὸς τὴν διαδοχήν μας διὰ τῶν τέκνων, μὴ ἐμποδίζων νὰ βαδίζωμεν τὴν ἀνωτέραν ὁδὸν τῆς ἐγκρατείας, ἔτσι καὶ ἐνέσπειρε μέσα μας τὸν πόθον τῆς ζωῆς, ἐμποδίζων ἡμᾶς νὰ ἀφαιροῦμεν τὴν ζωήν μας, μὴ ἐμποδίζων ὅμως ἡμᾶς νὰ περιφρονοῦμεν τὰ πράγματα τῆς παρούσης ζωῆς. Καὶ πρέπει γνωρίζοντες αὐτά, νὰ διατηροῦμεν τὸ μέτρον, καὶ οὔτε ποτὲ μὲ τὴν θέλησίν μας νὰ καταφεύγωμεν εἰς τὸν θάνατον, καὶ ἂν ἀκόμη ὑποφέρωμεν ἀπὸ ἀμέτρητα δεινά, οὔτε συρόμενοι χάριν ἐκείνων ποὺ ἀρέσουν εἰς τὸν Θεὸν νὰ φοβούμεθα καὶ νὰ διστάζωμεν, ἀλλὰ νὰ ἀναλαμβάνωμεν μὲ θάρρος τὸν ἀγῶνα, προτιμῶντες τὴν μέλλουσαν ζωὴν ἀπὸ τὴν παροῦσαν.

«Αἱ δὲ γυναῖκες ἵσταντο πλησίον τοῦ σταυροῦ»˙ τὸ ἀσθενέστερον φῦλον ἐφάνη τότε ἀνδρειότερον˙ τόσον πολὺ πλέον ἤλλασσον τὰ πάντα. Αὐτὸς δὲ ἀναθέτων τὴν μητέρα του εἰς τὸν μαθητήν του, λέγει˙ «Νὰ ὁ υἱός σου». Πώ, πώ, μέγεθος τιμῆς! μὲ πόσην τιμὴν ἐτίμησε τὸν μαθητήν! Ἐπειδὴ δηλαδὴ αὐτὸς ἔφευγε πλέον ἀπὸ αὐτὸν τὸν κόσμον, παρέδωσε τὴν φροντίδα αὐτῆς εἰς τὸν μαθητήν του διότι, ἐπειδὴ φυσικὸν ἦτο, ὡσὰν μητέρα του ποὺ ἦτο, νὰ λυπῆται καὶ νὰ ζητῇ τὴν προστασίαν, πολὺ εὔλογα ἐμπιστεύεται αὐτὴν εἰς ἐκεῖνον ποὺ ἀγαποῦσεν. Εἰς τὸν μαθητήν του δὲ λέγει˙ «Νὰ ἡ μητέρα σου». Αὐτὰ δὲ τὰ ἔλεγε μὲ σκοπὸν νὰ τοὺς ἑνώσῃ διὰ τῆς ἀγάπης, πρᾶγμα ποὺ βέβαια ἀντιληφθεὶς καὶ ὁ μαθητὴς «ἔλαβεν αὐτὴν εἰς τὴν οἰκίαν». Διατί ὅμως δὲν εἶπε τίποτε διὰ καμμίαν ἄλλην γυναῖκα, ἂν καὶ βέβαια καὶ ἄλλη εὑρίσκετο ἐκεῖ; Διὰ νὰ μᾶς διδάξῃ νὰ ἀπονέμωμεν κάτι περισσότερον εἰς τὰς μητέρας˙ διότι, ὅπως ἀκριβῶς ὅταν οἱ γονεῖς ἀντιτίθενται εἰς τὰ πνευματικὰ ζητήματα, δὲν πρέπει οὔτε καὶ νὰ τοὺς γνωρίζωμεν, ἔτσι, ὅταν δὲν μᾶς ἐμποδίζουν καθόλου, πρέπει νὰ ἀπονέμωμεν εἰς αὐτοὺς ὅλην τὴν φυσικὴν ἀγάπην μας, καὶ νὰ θέτωμεν αὐτοὺς πρὸ τῶν ἄλλων, διὰ τὸ ὅτι ὑπέφεραν ἀμέτρητα δεινά. Ἔτσι ἀποστομώνει καὶ τὴν ἀναισχυντίαν τοῦ Μαρκίωνος[3]˙ διότι ἐὰν δὲν ἐγεννήθη

μητέρα ἔσχε, τίνος ἕνεκεν τοσαύτην περὶ αὐτὴν μόνην ποιεῖται πρόνοιαν;

Μετὰ ταῦτα εἰδὼς ὁ Ἰησοῦς ὅτι πάντα τετέλεσται», τουτέστιν, ὅτι οὐδὲν λείπει τῇ οἰκονομίᾳ (πανταχοῦ γὰρ ἐσπούδακε κοινὸν δεῖξαι τὸν θάνατον τοῦτον ὄντα, εἴ γε ἐν τῇ ἐξουσίᾳ τοῦ τελευτῶντος τὸ πᾶν ἔκειτο, καὶ οὐ πρότερον ἐπήει τῷ σώματι ἡ τελευτή, ἕως ὅτε αὐτὸς ἐβούλετο, ἐβούλετο δὲ μετὰ τὸ πάντα πληρῶσαι· διὰ τοῦτο καὶ ἔλεγεν· «Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν»)· εἰδὼς οὖν πάντα πεπληρωμένα, λέγει, «Διψῶ», πάλιν ἐνταῦθα προφητείαν πληρῶν. Σὺ δέ μοι τὸ μιαρὸν τῶν παρεστώτων ἐννόησον· κἂν γὰρ μυρίους ἔχωμεν ἐχθρούς, καὶ ἀνήκεστα πεπονθότες ὦμεν, ὁρῶντες αὐτοὺς ἀναιρουμένους, κατακαμπτόμεθα, οὗτοι δὲ οὐδὲ οὕτως ἐσπείσαντο πρὸς αὐτόν, οὐδὲ τοῖς ὁρωμένοις γεγόνασιν ἥμεροι, ἀλλ' ἐξεθηριοῦντο μᾶλλον, καὶ τὴν εἰρωνείαν ἐπέτεινον, καὶ σπόγγῳ προσενέγκαντες ὄξος οὕτως αὐτὸν ἐπότιζον, ὡς τοῖς καταδίκοις αὐτὸ προσφέρονται, ἐπεὶ καὶ τὸ ὕσσωπον διὰ τοῦτο πρόσκειται. «Λαβὼν οὖν», φησί· «Τετέλεσται». Εἶδες ἀταράχως καὶ μετ' ἐξουσίας πάντα πράττοντα; Καὶ τὸ ἑξῆς δὲ τοῦτο δηλοῖ. Ἐπειδὴ γὰρ πάντα ἀπηρτίσθη, «κλίνας τὴν κεφαλὴν» (οὐδὲ γὰρ αὕτη προσήλωτος), «τὸ πνεῦμα ἀφῆκε», τουτέστιν ἀπέψυξε. Καίτοι οὐ μετὰ τὸ κλῖναι τὴν κεφαλὴν τὸ ἐκπνεῦσαι, ἐνταῦθα δὲ τοὐναντίον· οὐδὲ γάρ, ἐπειδὴ ἐξέπνευσεν, ἔκλινε τὴν κεφαλήν, ὅπερ ἐφ' ἡμῶν γίνεται, ἀλλά, ἐπειδὴ ἔκλινε τὴν κεφαλήν, τότε ἐξέπνευσε· δι' ὧν πάντων ἐδήλωσεν ὁ Εὐαγγελιστὴς ὅτι τοῦ παντὸς Κύριος αὐτὸς ἦν.

3. Ἀλλ' οἱ Ἰουδαῖοι πάλιν, οἱ τὴν κάμηλον καταπίνοντες, καὶ τὸν κώνωπα διϋλίζοντες, τηλικοῦτον ἐργασάμενοι

---

6. Ἰω. 10, 18.
7. Ματθ. 23, 24.

κατὰ σάρκα, οὔτε μητέρα εἶχε, διὰ ποῖον λόγον δείχνει τόσην πρόνοιαν μόνον δι' αὐτήν;

«Μετὰ ἀπὸ αὐτά, γνωρίζων ὁ Ἰησοῦς ὅτι ὅλα ἐτελέσθησαν», δηλαδὴ ὅτι δὲν λείπει τίποτε ἀπὸ τὸ σχέδιον τῆς θείας οἰκονομίας (διότι μὲ ὅλα ἐφρόντιζε νὰ δείξῃ τὸν θάνατον αὐτὸν ὡς κάτι τὸ πρωτοφανές, ἐφ' ὅσον τὸ πᾶν ἐξηρτᾶτο ἀπὸ τὴν ἐξουσίαν ἐκείνου ποὺ ἀπέθνησκε, καὶ δὲν ἐπήρχετο προηγουμένως ὁ θάνατος εἰς τὸ σῶμα, ἕως ὅτου ἤθελεν ἐκεῖνος, ἤθελε δὲ νὰ ἔλθῃ ἀφοῦ θὰ ἐξεπλήρωνεν ὅλα· διὰ τοῦτο καὶ ἔλεγεν· «Ἐξουσίαν ἔχω νὰ θυσιάσω τὴν ζωήν μου καὶ ἐξουσίαν ἔχω πάλιν νὰ τὴν λάβω»[6])· γνωρίζων λοιπὸν ὅτι ὅλα εἶχον ἐκπληρωθῆ, λέγει, «διψῶ», πάλιν ἐδῶ ἐκπληρῶν προφητείαν. Σὺ ὅμως, σὲ παρακαλῶ, σκέψου τὴν βδελυγμίαν τῶν εὑρισκομένων ἐκεῖ· διότι καὶ ἂν ἀκόμη ἔχωμεν ἀπείρους ἐχθροὺς καὶ ἐπάθομεν ἀνεπανόρθωτα κακά, βλέποντες αὐτοὺς νὰ θανατώνωνται, τοὺς λυπούμεθα, αὐτοὶ ὅμως οὔτε ἔτσι συνεφιλιώθησαν μὲ αὐτόν, οὔτε ἔγιναν ἥμεροι μὲ τὰ ὅσα ἔβλεπον νὰ γίνωνται, ἀλλ' ἐγίνοντο περισσότερον θηρία καὶ ηὔξανον τὴν εἰρωνείαν, καὶ προσφέραντες εἰς αὐτὸν ὄξος μὲ σπόγγον, ἔτσι τὸν ἐπότιζον, ὅπως τὸ προσφέρουν αὐτὸ εἰς τοὺς καταδίκους, διότι καὶ τὸ ὕσσωπον διὰ τοῦτο ὑπάρχει. «Ἀφοῦ λοιπὸν τὸ ἔλαβε, λέγει· Τετέλεσται». Εἶδες ποὺ ὅλα τὰ κάμνει ἀτάραχος καὶ μὲ ἐξουσίαν; Καὶ αὐτὸ τὸ φανερώνει καὶ αὐτὸ ποὺ ἀκολουθεῖ. Ὅταν δηλαδὴ ὅλα ἐτακτοποιήθησαν, «ἀφοῦ ἔκλινε τὴν κεφαλήν του» (διότι οὔτε αὐτὴ εἶχε καρφωθῆ), παρέδωσε τὸ πνεῦμα του», δηλαδή, ἐξέπνευσεν. Ἂν καὶ βέβαια ἡ τελευταία ἐκπνοὴ δὲν συμβαίνει μετὰ τὴν κλίσιν τῆς κεφαλῆς, ἐδῶ ὅμως συνέβη τὸ ἀντίθετον· διότι δὲν ἔκλινε τὴν κεφαλὴν ἐπειδὴ ἐξέπνευσε, πρᾶγμα ποὺ συμβαίνει μὲ ἡμᾶς, ἀλλὰ ἐξέπνευσεν, ὅταν ἔκλινε τὴν κεφαλήν· μὲ ὅλα αὐτὰ ἔδειξεν ὁ εὐαγγελιστὴς ὅτι αὐτὸς ἦτο Κύριος τοῦ Πατρός.

3. Ἀλλ' οἱ Ἰουδαῖοι πάλιν, ποὺ καταπίνουν τὴν κάμηλον καὶ διϋλίζουν τὸν κώνωπα[7], ἂν καὶ διέπραξαν τόσον μεγάλο τόλμημα, ἐξετάζουν μὲ λεπτομέρειαν τὴν ἡμέραν·

τόλμημα, περὶ τῆς ἡμέρας ἀκριβολογοῦνται· «ἐπεὶ γὰρ Παρασκευὴ ἦν λοιπόν, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ σώματα, ἠρώτησαν τὸν Πιλᾶτον, ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέλη». Ὁρᾷς πῶς ἐστιν ἰσχυρὸν ἡ ἀλήθεια; Δι' ὧν ἐκεῖνοι σπουδάζουσι, διὰ τούτων ἡ προφητεία πληροῦται· ἀπὸ γὰρ τούτων ἑτέρα αὐτοῖς αὕτη προαναφώνησις λαμβάνει τέλος· ἐλθόντες γὰρ οἱ στρατιῶται, τῶν μὲν ἄλλων κατέαξαν τὰ σκέλη, τοῦ δὲ Χριστοῦ οὐκ ἔτι. Ἀλλ' ὅμως οὗτοι, χαριζόμενοι τοῖς Ἰουδαίοις, ἔνυξαν αὐτοῦ τὴν πλευρὰν τῇ λόγχῃ, καὶ νεκρὸν τὸ σῶμα λοιπὸν ἐνύβριζον. Ὢ τῆς μιαρᾶς προαιρέσεως καὶ ἐναγοῦς! Ἀλλὰ μὴ θορυβηθῇς, μηδὲ κατηφήσῃς, ἀγαπητέ· ἃ γὰρ ἀπὸ πονηρᾶς ἔπραττον γνώμης ἐκεῖνοι, ταῦτα τῇ ἀληθείᾳ συνηγωνίζετο· προφητεία γὰρ ἦν καὶ ἐντεῦθεν, λέγουσα· «Ὄψονται εἰς ὃν ἐξεκέντησαν». Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τοῖς μέλλουσιν ἀπιστεῖν ἐγίνετο πίστεως ἀπόδειξις τὸ τολμηθέν, οἷον τῷ Θωμᾷ καὶ τοῖς κατ' ἐκεῖνον. Μετὰ δὲ τούτου καὶ μυστήριον ἀπόρρητον ἐτελεῖτο· ἐξῆλθε γὰρ ὕδωρ καὶ αἷμα. Οὐχ ἁπλῶς δὲ οὐδὲ ὡς ἔτυχεν αὗται ἐξῆλθον αἱ πηγαί, ἀλλ' ἐπειδὴ ἐξ ἀμφοτέρων τούτων ἡ Ἐκκλησία συνέστηκε. Καὶ ἴσασιν οἱ μυσταγωγούμενοι, δι' ὕδατος μὲν ἀναγεννώμενοι, δι' αἵματος δὲ καὶ σαρκὸς τρεφόμενοι. Ἐντεῦθεν ἀρχὴν λαμβάνει τὰ μυστήρια, ἵνα, ὅταν προσίῃς τῷ φρικτῷ ποτηρίῳ, ὡς ἀπ' αὐτῆς πίνων τῆς πλευρᾶς, οὕτω προσίῃς.

Καὶ τοῦτο ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ»· τουτέστιν, 'οὐ παρ' ἑτέρων ἤκουσα, ἀλλ' αὐτὸς παρὼν εἶδον, καὶ ἀληθής ἐστιν ἡ μαρτυρία'. Εἰκότως· ὕβριν γὰρ γινομένην ἐξηγεῖται· οὐ μέγα τι καὶ θαυμαστὸν ἐξηγεῖται, ἵνα ὑποπτεύσῃς τὸν λόγον, ἀλλ' αὐτός, τὰ τῶν αἱρετικῶν ἀσφαλιζόμενος στόματα, καὶ τὰ μέλλοντα προανα-

8. Ἰω. 19, 32· 33.
9. Ἰω. 19, 37.· Ζαχ. 12, 10.
10. Πρόκειται περὶ τοῦ Βαπτίσματος.
11. Πρόκειται περὶ τῆς Θείας Εὐχαριστίας.

«Διότι, ἐπειδὴ πλέον ἦτο Παρασκευή, διὰ νὰ μὴ μείνουν τὰ σώματα ἐπάνω εἰς τὸν σταυρόν, ἠρώτησαν τὸν Πιλᾶτον, διὰ νὰ θραύσουν τὰ σκέλη αὐτῶν». Βλέπεις πῶς εἶναι ἰσχυρὰ ἡ ἀλήθεια; Μὲ ἐκεῖνα ποὺ ἐκεῖνοι διαπράττουν, μὲ αὐτὰ ἐκπληρώνεται ἡ προφητεία· καθ' ὅσον μὲ αὐτὰς τὰς ἐνεργείας ἐκείνων ἄλλη προφητεία ἐκπληρώνεται· διότι, ἀφοῦ ἦλθον οἱ στρατιῶται, τῶν μὲν δύο ληστῶν ἔθραυσαν τὰ σκέλη, τοῦ Χριστοῦ ὅμως ὄχι. Ἀλλ' ὅμως αὐτοί, διὰ νὰ εὐχαριστήσουν τοὺς Ἰουδαίους, ἐτρύπησαν τὴν πλευράν του μὲ τὴν λόγχην καὶ νεκρὸν πλέον τὸ σῶμα τὸ ἐνύβριζον. Πώ, πώ, μιαρὰ καὶ βδελυρὰ διάθεσις! Ἀλλὰ μὴ θορυβηθῇς, οὔτε νὰ στενοχωρηθῇς, ἀγαπητέ· διότι, ἐκεῖνα ποὺ ἐκεῖνοι ἔπραττον ἀπὸ κακὴν πρόθεσιν, αὐτὰ ἀπέβαινον πρὸς ὄφελος τῆς ἀληθείας· καθ' ὅσον καὶ δι' αὐτὴν τὴν ἐνέργειάν των ὑπῆρχε προφητεία ποὺ ἔλεγε· «Θὰ στρέψουν τὰ βλέμματά των πρὸς ἐκεῖνον ποὺ ἐκέντησαν»[9]. Καὶ ὄχι μόνον αὐτό, ἀλλὰ τὸ τόλμημα αὐτὸ ἔγινεν ἀπόδειξις πίστεως εἰς ἐκείνους ποὺ δὲν ἐπρόκειτο νὰ πιστεύσουν, ὅπως δηλαδὴ εἰς τὸν Θωμᾶν καὶ τοὺς ὁμοίους μὲ ἐκεῖνον. Μαζὶ δὲ μὲ ὅλα αὐτὰ ἐτελεῖτο καὶ μυστήριον ἀπόρρητον· διότι ἐξῆλθεν ὕδωρ καὶ αἷμα. Αὐταὶ δὲ αἱ πηγαὶ δὲν ἐδημιουργήθησαν ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλλ' ἐπειδὴ ἀπὸ αὐτὰ τὰ δύο συνεστήθη ἡ Ἐκκλησία. Καὶ τὸ γνωρίζουν ἐκεῖνοι ποὺ μετέχουν τῶν μυστηρίων, ἀναγεννώμενοι διὰ ὕδατος[10] καὶ τρεφόμενοι δι' αἵματος καὶ σαρκός[11]. Ἀπὸ ἐδῶ λαμβάνουν ἀρχὴν τὰ μυστήρια, ὥστε, ὅταν προσέρχεσαι εἰς τὸ φρικτὸν ποτήριον, νὰ προσέρχεσαι ἔτσι ὡσὰν νὰ πίνῃς ἀπὸ αὐτὴν τὴν πλευράν.

«Καὶ δι' αὐτὸ ἔδωσε μαρτυρίαν ἐκεῖνος ποὺ τὸ εἶδε καὶ εἶναι ἀληθινὴ ἡ μαρτυρία του»· δηλαδή, 'δὲν τὸ ἤκουσα ἀπὸ ἄλλους, ἀλλ' ὁ ἴδιος τὸ εἶδον, εὑρισκόμενος ἐκεῖ, καὶ ἡ μαρτυρία μου εἶναι ἀληθινή'. Πολὺ εὔλογα· διότι περιγράφει μίαν διαπραχθεῖσαν ὕβριν· δὲν περιγράφει κάτι τὸ θαυμαστόν, ὥστε νὰ σοῦ δημιουργήσῃ ὑποψίαν ἡ περιγραφή, ἀλλ' ὁ ἴδιος, φράσσων τὰ στόματα τῶν αἱρετικῶν καὶ προλέγων τὰ μελλοντικὰ μυστήρια καὶ διαβλέπων τὸν θη-

φωνῶν μυστήρια, καὶ τὸν ἐναποκείμενον αὐτοῖς κατοπτεύων θησαυρόν, ἀκριβολογεῖται περὶ τοῦ συμβάντος. Πληροῦται δὲ καὶ ἐκείνη ἡ προφητεία, ὅτι «ὀστοῦν αὐτοῦ οὐ συντρίψουσιν». Εἰ γὰρ καὶ περὶ τοῦ παρ' Ἰουδαίοις ἀμνοῦ τοῦτο εἴρηται, ἀλλὰ διὰ τὴν ἀλήθειαν ὁ τύπος προέδραμε, καὶ ἐπὶ τούτου μᾶλλον ἐξέβη. Διὰ τοῦτο καὶ τὸν Προφήτην εἰς μέσον ἤγαγεν. Ἐπειδὴ γὰρ ἄνω καὶ κάτω ἑαυτὸν εἰς μέσον φέρων, οὐκ ἐδόκει ἀξιόπιστος εἶναι, παράγει τὸν Μωϋσέα, λέγων ὅτι ἁπλῶς οὐδὲ τοῦτο ἐγίνετο, ἀλλ' ἄνωθεν προεγράφη. Καὶ τοῦτό ἐστιν ἐκεῖνο τὸ εἰρημένον, ὅτι «ὀστοῦν αὐτοῦ οὐ συντριβήσεται». Καὶ πάλιν τῷ Προφήτῃ παρ' ἑαυτοῦ τὴν πίστιν παρέχει. Ταῦτα δὲ εἶπον φησίν, ἵνα μάθητε ὅτι πολλὴ ἡ συγγένεια τοῦ τύπου πρὸς τὴν ἀλήθειαν. Ὁρᾷς πόσην ποιεῖται σπουδήν, ὥστε πιστευθῆναι τὸ δοκοῦν ἐπονείδιστον εἶναι, καὶ αἰσχύνην φέρον; Τὸ γὰρ καὶ εἰς νεκρὸν ὑβρίσαι σῶμα τὸν στρατιώτην, τοῦ σταυρωθῆναι πολλῷ χεῖρον ἦν. Ἀλλ' ὅμως καὶ ταῦτα, φησίν, εἶπον, καὶ μετὰ πολλῆς σπουδῆς εἶπον, «ἵνα πιστεύσητε». Μηδεὶς τοίνυν ἀπιστείτω, μηδὲ αἰσχυνόμενος βλαπτέτω τὰ ἡμέτερα· τὰ γὰρ μάλιστα ἐπονείδιστα δοκοῦντα εἶναι, ταῦτά ἐστι τὰ σεμνολογήματα τῶν ἡμετέρων ἀγαθῶν.

Μετὰ ταῦτα ἐλθὼν Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθίας, μαθητὴς ὢν» οὐ τῶν δώδεκα, ἀλλὰ τῶν ἑβδομήκοντα ἴσως (λοιπὸν γὰρ νομίσαντες ἐσβέσθαι τὴν ὀργὴν τῷ σταυρῷ, μετὰ ἀδείας προσῄεσαν, καὶ τῆς κηδείας ἐπεμελοῦντο), προσελθὼν τοίνυν, παρὰ τοῦ Πιλάτου τὴν χάριν αἰτεῖ, καὶ δίδωσιν ἐκεῖνος. Τί γὰρ οὐκ ἔμελλεν; Συναντιλαμβάνεται αὐτῷ καὶ Νικόδημος, καὶ πολυτελῆ ποιεῖ τὴν ταφήν· ἔτι γὰρ ὡς ἐπὶ ἀνθρώπου διέκειντο ψιλοῦ. Καὶ ταῦτα φέρουσιν ἀρώματα, ἃ μάλιστα τὸ σῶμα πέφυκεν ἐπὶ πολὺ διατηρεῖν, καὶ μὴ συγχωρεῖν ταχέως ἐνδιδόναι τῇ φθορᾷ, ὅπερ οὐδὲν μέγα

---

12. Ἰω. 19, 36· Ψαλμ. 33, 21.
13. Ἐξ. 12, 46· Ἀριθμ. 9, 12.

σαυρὸν ποὺ ὑπάρχει εἰς αὐτά, περιγράφει μὲ ἀκρίβειαν τὸ συμβάν. Ἐκπληρώνεται δὲ καὶ ἐκείνη ἡ προφητεία, ὅτι «δὲν θὰ συντρίψουν ὀστοῦν αὐτοῦ»[12]. Διότι, ἂν καὶ ἐλέχθη αὐτὸ περὶ τοῦ ἀμνοῦ τῶν Ἰουδαίων, ἀλλὰ διὰ τὴν ἀλήθειαν ὁ τύπος προελέχθη καὶ εὗρεν ἐφαρμογὴν περισσότερον εἰς αὐτὸ τὸ γεγονός. Διὰ τοῦτο καὶ τὸν προφήτην ἀνέφερεν. Ἐπειδὴ δηλαδή, ἀναφέρων συνεχῶς τὸν ἑαυτόν του, δὲν ἐφαίνετο νὰ εἶναι ἀξιόπιστος, ἀναφέρει τὸν Μωϋσέα, λέγων ὅτι, οὔτε αὐτὸ συνέβη τυχαῖα, ἀλλὰ προελέχθη εὐθὺς ἐξ ἀρχῆς. Καὶ αὐτὸ εἶναι ἐκεῖνο ποὺ εἶχεν λεχθῆ, ὅτι «ὀστοῦν αὐτοῦ δὲν θὰ συντριβῇ»[13]. Καὶ πάλιν εἰς τὸν προφήτην ἀποδίδει τὴν ἀξιοπιστίαν τῶν γεγονότων ποὺ διηγεῖται. Αὐτὰ δὲ τὰ εἶπα, λέγει, διὰ νὰ μάθετε ὅτι εἶναι μεγάλη ἡ σχέσις τοῦ τύπου πρὸς τὴν ἀλήθειαν. Βλέπεις πόσην φροντίδα καταβάλλει, ὥστε νὰ γίνῃ πιστευτὸν ἐκεῖνο ποὺ θεωρεῖται ἐπονείδιστον καὶ ποὺ προξενεῖ ἐντροπήν; Καθ' ὅσον καὶ τὸ νὰ ἐξυβρίσῃ ὁ στρατιώτης τὸ σῶμα, ἦτο πολὺ πιὸ χειρότερον ἀπὸ τὸ νὰ σταυρωθῇ. Ἀλλ' ὅμως καὶ αὐτά, λέγει, τὰ εἶπα, καὶ τὰ εἶπα μάλιστα μὲ πάρα πολλὴν προθυμίαν, «διὰ νὰ πιστεύσετε». Κανεὶς λοιπὸν νὰ μὴ ἀπιστῇ, οὔτε ἀπὸ ἐντροπὴν νὰ βλάπτῃ τὰ ἰδικά μας σεμνά· διότι ἐκεῖνα ποὺ θεωροῦνται τὰ κατ' ἐξοχὴν ἀτιμωτικά, αὐτὰ ἀποτελοῦν τὸ καύχημα τῶν ἰδικῶν μας ἀγαθῶν.

«Μετὰ ἀπὸ αὐτὰ ἦλθεν ὁ Ἰωσὴφ ποὺ κατήγετο ἀπὸ τὴν Ἀριμαθίαν καὶ ἦτο μαθητὴς» ὄχι ἀπὸ τοὺς δώδεκα, ἀλλ' ἴσως ἀπὸ τοὺς ἑβδομήντα (διότι, ἐπειδὴ ἐνόμισαν ὅτι ἔσβησε πλέον ἡ ὀργή των μὲ τὴν σταύρωσίν του, προσήρχοντο χωρὶς φόβον καὶ ἐφρόντιζον διὰ τὴν κηδείαν), ἀφοῦ λοιπὸν προσῆλθε, ζητεῖ τὴν χάριν ἀπὸ τὸν Πιλᾶτον καὶ ἐκεῖνος τοῦ τὴν δίδει. Καὶ διατί νὰ μὴ τὸ ἔκαμνε; Τὸν βοηθεῖ καὶ ὁ Νικόδημος καὶ κάμνει πολυτελῆ ταφήν· διότι ἀκόμη τὸν ἐθεωροῦσαν ἁπλὸν ἄνθρωπον. Καὶ πρὸς τὸν σκοπὸν αὐτὸν φέρουν ἀρώματα, ποὺ μάλιστα ἐκ φύσεως ἔχουν τὴν ἰδιότητα νὰ διατηροῦν ἐπὶ πολὺν χρόνον τὸ σῶμα καὶ νὰ μὴ τὸ ἐπιτρέπουν ἀμέσως νὰ ὑποκύψῃ εἰς τὴν φθοράν, πρᾶγμα ποὺ ἔδειχνεν ὅτι δὲν ἐφαντάζοντο

περὶ αὐτοῦ φανταζομένων ἦν, πλὴν ἀλλὰ πολλὴν φιλοστοργίαν ἐπεδείκνυτο. Πῶς δὲ οὐδεὶς τῶν δώδεκα προσῆλθεν, οὐκ Ἰωάννης, οὐ Πέτρος, οὐκ ἄλλος τις τῶν ἐπισήμων; Καὶ οὔτε τοῦτο κρύπτει ὁ μαθητής. Εἰ γὰρ τὸν φόβον λέγοι τις τῶν Ἰουδαίων, καὶ οὗτοι τῷ αὐτῷ κατείχοντο φόβῳ· καὶ γὰρ καὶ οὗτος ἦν, φησί, «κεκρυμμένος διὰ τὸν φόβον τῶν Ἰουδαίων». Καὶ οὐκ ἔχει τις εἰπεῖν ὅτι τῷ σφόδρα αὐτῶν καταφρονεῖν τοῦτο ἐποίησεν, ἀλλὰ καὶ αὐτὸς δεδοικώς, ὅμως προσῆλθεν. Ὁ δὲ Ἰωάννης καὶ παρὼν καὶ ἰδὼν αὐτὸν ἀποψύξαντα, οὐδὲν τοιοῦτον ἐποίησε. Τί οὖν ἐστιν; Ἐμοὶ δοκεῖ τῶν σφόδρα ἐπισήμων εἶναι (καὶ ἀπὸ τῶν ἐνταφίων δῆλον), καὶ τῷ Πιλάτῳ δῆλος ὤν· ὅθεν καὶ τὴν χάριν ἔλαβε. Καὶ ἐνταφιάζει λοιπόν, οὐχ ὡς κατάδικον, ἀλλ' ὡς ἔθος τοῖς Ἰουδαίοις, πολυτελῶς ὡς μέγαν τινὰ καὶ θαυμαστόν.

4. Ἐπειδὴ δὲ ὑπὸ τοῦ καιροῦ συνείχοντο (ἐνάτης γὰρ ὥρας γενομένης τῆς τελευτῆς, εἶτα μεταξὺ τῷ Πιλάτῳ προσιόντων καὶ καθαιρούντων τὸ σῶμα εἰκὸς ἦν ἑσπέραν καταλαβεῖν, ἐν ᾗ θέμις οὐκ ἦν ἐργάσασθαι), τιθέασιν αὐτὸν εἰς τὸ πλησίον μνημεῖον. Οἰκονομεῖται δὲ εἰς καινὸν αὐτὸν τεθῆναι μνημεῖον, ἔνθα μηδεὶς ἐτέθη, ὥστε μὴ ἑτέρου τινὸς νομισθῆναι τὴν ἀνάστασιν γεγενῆσθαι, τοῦ μετ' αὐτοῦ κειμένου, καὶ ὥστε τοὺς μαθητὰς δυνηθῆναι μετ' εὐκολίας παραγενέσθαι, καὶ θεατὰς τῶν συμβάντων γενέσθαι, πλησίον ὄντος τοῦ τόπου, καὶ τῆς ταφῆς δὲ μάρτυρας εἶναι οὐκ αὐτοὺς μόνον, ἀλλὰ καὶ τοὺς ἐχθρούς· τὸ γὰρ σήμαντρα ἐπιθεῖναι τῷ τάφῳ, καὶ φύλακας ἐκεῖ παρακαθῆσθαι στρατιώτας, μαρτυρούντων

περὶ αὐτοῦ τίποτε τὸ ἀνώτερον, πλὴν ὅμως ἔδειχναν πολλὴν φιλοστοργίαν. Πῶς ὅμως δὲν προσῆλθε κανένας ἀπὸ τοὺς δώδεκα, οὔτε ὁ Ἰωάννης, οὔτε ὁ Πέτρος, οὔτε κάποιος ἄλλος ἀπὸ τοὺς ἐπισήμους μαθητάς του; Καὶ οὔτε αὐτὸ τὸ ἀποκρύπτει ὁ μαθητής. Ἐὰν βέβαια ἤθελεν ἀναφέρει κάποιος τὸν φόβον ἐκ μέρους τῶν Ἰουδαίων, καὶ αὐτοὶ κατείχοντο ἀπὸ τὸν ἴδιον φόβον· καθ' ὅσον καὶ αὐτὸς ἦτο, λέγει, «κρυμμένος ἐξ αἰτίας τοῦ φόβου ἐκ μέρους τῶν Ἰουδαίων». Καὶ δὲν ἠμπορεῖ κανεὶς νὰ εἰπῇ ὅτι τὸ ἔκαμεν αὐτὸ ἀπὸ πάρα πολὺ περιφρόνησιν πρὸς αὐτούς, ἀλλὰ καὶ ὁ ἴδιος ἂν καὶ ἐφοβεῖτο, ὅμως προσῆλθεν. Ὁ Ἰωάννης ὅμως ἂν καὶ εὑρίσκετο τὴν ὥραν τοῦ σταυροῦ του καὶ τὸν εἶδε ποὺ ἐξέπνευσε, δὲν ἔκαμε κάτι παρόμοιον. Διὰ ποίαν αἰτίαν λοιπόν; Ἐγὼ νομίζω ἐπειδὴ ἦτο ἀπὸ τοὺς πάρα πολὺ ἐπισήμους Ἰουδαίους (καὶ αὐτὸ γίνεται φανερὸν καὶ ἀπὸ τὰ ἐντάφια), καὶ ἐπειδὴ ἦτο καὶ γνωστὸς τοῦ Πιλάτου· διὰ τοῦτο ἄρα ἔλαβε καὶ τὴν χάριν. Καὶ τὸν ἐνταφιάζει πλέον αὐτόν, ὄχι ὡς κατάδικον, ἀλλ' ὅπως ὑπῆρχε συνήθεια εἰς τοὺς Ἰουδαίους, μὲ πολυτέλειαν ὡσὰν κάποιον μέγαν καὶ θαυμαστόν.

4. Ἐπειδὴ ὅμως ἐπιέζοντο ἀπὸ τὸν χρόνον (διότι, ἀφοῦ ἀπέθανε περὶ τὴν ἐνάτην ὥραν καὶ εἰς τὴν συνέχειαν προσῆλθον εἰς τὸν Πιλᾶτον καὶ κατέβασαν τὸ σῶμα ἀπὸ τὸν σταυρόν, φυσικὸν ἦτο νὰ τοὺς εὕρῃ ἡ ἑσπέρα, κατὰ τὴν ὁποίαν δὲν ἐπετρέπετο νὰ ἐργάζεται κανείς), τοποθετοῦν αὐτὸν εἰς τὸ πλησίον μνημεῖον. Ρυθμίζεται δὲ ἀπὸ τὴν θείαν οἰκονομίαν ὥστε νὰ τοποθετηθῇ εἰς καινούργιον μνημεῖον, εἰς τὸ ὁποῖον δὲν εἶχε τοποθετηθῆ κανεὶς ἄλλος, ὥστε νὰ μὴ νομισθῇ ὅτι ἀνεστήθη κάποιος ἄλλος νεκρός, ποὺ ἦτο εἰς τὸν ἴδιον τάφον μαζὶ μὲ τὸν Ἰησοῦν, καὶ ὥστε νὰ ἠμπορέσουν οἱ μαθηταὶ μὲ εὐκολίαν νὰ μεταβοῦν καὶ νὰ ἰδοῦν μὲ τὰ μάτια των τὰ συμβάντα, ἀφοῦ εὑρίσκετο πλησίον ὁ τόπος καὶ ἦσαν μάρτυρες τῆς ταφῆς ὄχι μόνον αὐτοί, ἀλλὰ καὶ οἱ ἐχθροί· διότι τὸ νὰ σφραγίσουν τὸν τάφον καὶ νὰ κάθωνται ἐκεῖ καὶ νὰ φυλάσσουν αὐτὸν φύλακες, ἦσαν πράγματα ποὺ ἐπιβεβαιώ-

ἦν τῇ ταφῇ· τῆς γὰρ ἀναστάσεως οὐχ ἧττον ὁμολογηθῆναι τοῦτο ἐσπούδακεν ὁ Χριστός. Διὸ καὶ οἱ μαθηταὶ πολλὴν περὶ τούτου ποιοῦνται σπουδήν, ὥστε δεῖξαι ὅτι ἐτελεύτησε· τὴν μὲν γὰρ ἀνάστασιν ὁ μετὰ ταῦτα ἅπας ἔμελλε βεβαιοῦν χρόνος, ἐκείνη δέ, εἰ τότε συνεσκιάσθη, καὶ μὴ σφόδρα κατάδηλος γέγονεν, ἔμελλε λυμαίνεσθαι τῷ τῆς ἀναστάσεως λόγῳ. Οὐ τούτων δὲ μόνον ἕνεκεν τὸ ἐγγὺς τεθῆναι γέγονεν, ἀλλ' ὥστε καὶ ψευδῆ δειχθῆναι τὸν περὶ τῆς κλοπῆς λόγον.

«Τῇ δὲ μιᾷ τῶν Σαββάτων (τουτέστι, τῇ Κυριακῇ), ὄρθρου βαθέος, Μαρία ἡ Μαγδαληνὴ ἔρχεται πρωΐ, καὶ βλέπει τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου»· ἀνέστη μὲν γάρ, καὶ τοῦ λίθου καὶ τῶν σημάντρων ἐπικειμένων. Ἐπειδὴ δὲ ἔχρῆν καὶ τοὺς ἄλλους πληροφορηθῆναι, ἀνοίγεται τὸ μνημεῖον μετὰ τὴν ἀνάστασιν, καὶ οὕτω πιστοῦται τὸ γεγονός. Τοῦτο γοῦν καὶ τὴν Μαρίαν ἐκίνησε· πάνυ γὰρ περὶ τὸν διδάσκαλον φιλοστόργως ἔχουσα, ἐπειδὴ τὸ Σάββατον παρῆλθεν, οὐκ ἠνέσχετο ἡσυχάζειν, ἀλλ' ἦλθεν ὄρθρου βαθέος, ἀπὸ τοῦ τόπου παραμυθίαν τινὰ εὑρεῖν βουλομένη. Καὶ ἰδοῦσα τὸν τόπον, καὶ τὸν λίθον ἠρμένον, οὐκ εἰσῆλθεν, οὐδὲ διέκυψεν, ἀλλ' ἐπὶ τοὺς μαθητὰς ἔδραμεν ἀπὸ πολλοῦ τοῦ πόθου· τοῦτο γὰρ ἦν αὐτῇ τὸ σπουδαζόμενον, μετὰ πολλοῦ τοῦ τάχους μαθεῖν ἤθελε τί γέγονε τὸ σῶμα· καὶ γὰρ ὁ δρόμος τοῦτο ἐβούλετο, καὶ τὰ ῥήματα τοῦτο ἐμφαίνει· «ἦραν» γάρ, φησί, «τὸν Κύριόν μου, καὶ οὐκ οἶδα ποῦ τεθείκασιν αὐτόν». Ὁρᾷς πῶς οὐδέπω περὶ ἀναστάσεως ᾔδει τι σαφές, ἀλλ' ᾤετο μετάθεσιν γεγενῆσθαι τοῦ σώματος, καὶ ἀπλάστως πάντα

νουν τὴν ταφήν˙ καθ' ὅσον ὁ Χριστὸς ἐφρόντισε νὰ ὁμολογηθῇ ὁ θάνατός του ὄχι ὀλιγώτερον ἀπὸ τὴν ἀνάστασίν του. Διὰ τοῦτο καὶ οἱ μαθηταὶ δείχνουν μεγάλην φροντίδα δι' αὐτό, ὥστε νὰ ἀποδείξουν ὅτι ἀπέθανε˙ διότι τὴν μὲν ἀνάστασιν ἐπρόκειτο νὰ τὴν ἐπιβεβαιώσῃ ὅλος ὁ χρόνος εἰς τὴν συνέχειαν, ἐνῷ ὁ θάνατός του, ἐὰν ἐπεσκιάζετο τότε καὶ δὲν ἐγίνετο πάρα πολὺ φανερός, ἐπρόκειτο νὰ βλάψῃ τὸν λόγον τῆς ἀναστάσεως. Τὸ νὰ τοποθετηθῇ δὲ ἐκεῖ κοντὰ δὲν ἀπέβη μόνον ὑπὲρ αὐτῶν τῶν γεγονότων, ἀλλ' ὥστε καὶ νὰ ἀποδειχθῇ ψευδὴς ἡ εἴδησις περὶ κλοπῆς τοῦ σώματός του.

«Κατὰ τὴν πρώτην δὲ ἡμέραν τῆς ἑβδομάδος (δηλαδὴ τὴν Κυριακήν), ἐνῷ ἦτο ἀκόμη ὄρθρος βαθύς, Μαρία ἡ Μαγδαληνὴ ἔρχεται πρωὶ εἰς τὸ μνημεῖον καὶ βλέπει τὸν λίθον ἀφῃρημένον ἀπὸ τὸ μνημεῖον»˙ δηλαδὴ ἀνεστήθη μέν, ἀλλὰ ὁ λίθος καὶ αἱ σφραγῖδες εὑρίσκοντο ἐπάνω εἰς τὸ μνημεῖον. Ἐπειδὴ ὅμως ἔπρεπε καὶ οἱ ἄλλοι νὰ πληροφορηθοῦν τὴν ἀνάστασίν του, ἀνοίγεται τὸ μνημεῖον μετὰ τὴν ἀνάστασιν, καὶ ἔτσι ἐπιβεβαιώνεται τὸ γεγονός. Αὐτὸ βέβαια παρεκίνησε καὶ τὴν Μαρίαν˙ ἐπειδὴ δηλαδὴ ἔτρεφε πολλὴν φιλοστοργίαν διὰ τὸν διδάσκαλον καὶ εἶχε περάσει τὸ Σάββατον, δὲν ἠμποροῦσε νὰ ἡσυχάσῃ, ἀλλ' ἦλθεν εἰς τὸ μνημεῖον πάρα πολὺ πρωί, θέλουσα νὰ εὕρῃ κάποιαν παρηγορίαν ἀπὸ τὸν τόπον. Καὶ ὅταν εἶδε τὸν τόπον καὶ τὸν λίθον ἀφῃρημένον ἀπὸ τὸ μνημεῖον, δὲν εἰσῆλθε μέσα εἰς αὐτό, οὔτε ἔσκυψε διὰ νὰ ἴδῃ, ἀλλ' ἔτρεξε πρὸς τοὺς μαθητάς του παρακινουμένη ἀπὸ τὴν μεγάλην ἀγάπην της πρὸς αὐτόν˙ διότι αὐτὸ τὴν ἐνδιέφερε, νὰ μάθῃ δηλαδὴ ἀμέσως τί ἀπέγινε τὸ σῶμα˙ καθ' ὅσον εἰς αὐτὸ ἀπέβλεπε τὸ ὅτι ἔτρεξε πρὸς τοὺς μαθητάς του καὶ τὰ λόγια της αὐτὸ φανερώνουν˙ διότι λέγει˙ «Ἐπῆραν τὸν Κύριόν μου καὶ δὲν γνωρίζω ποῦ ἔθεσαν αὐτόν». Βλέπεις πῶς ἀκόμη δὲν εἶχε σαφῆ γνῶσιν περὶ τῆς ἀναστάσεώς του, ἀλλ' ἐνόμιζεν ὅτι μετέφερον καὶ ἐτοποθέτησαν κάπου ἀλλοῦ τὸ σῶμα του καὶ μὲ εἰλικρίνειαν ὅλα τὰ ἀναγγέλλει εἰς τοὺς μαθητάς; Ὁ δὲ

ἀπαγγέλλει τοῖς μαθηταῖς; Ὁ δὲ Εὐαγγελιστὴς οὐκ ἀπεστέρησε τὴν γυναῖκα ἐγκωμίου τηλικούτου, οὐδὲν αἰσχύνην ἐνόμισε τὸ παρ' αὐτῆς αὐτοὺς μαθεῖν, προτέρας ταῦτα διανυκτερευούσης· οὕτω πανταχοῦ τὸ φιλάληθες αὐτοῦ διαλάμπει τῶν τρόπων.

Ἐπεὶ οὖν ἦλθε, καὶ ταῦτα εἶπεν, ἀκούσαντες ἐκεῖνοι, μετὰ πολλῆς τῆς σπουδῆς ἐφίστανται τῷ μνημείῳ, καὶ θεωροῦσι «τὰ ὀθόνια κείμενα», ὅπερ ἦν ἀναστάσεως σημεῖον· οὔτε γάρ, εἰ μετέθηκάν τινες, τοῦτο ἂν ἐποίησαν, τὸ σῶμα γυμνώσαντες, οὔτε, εἰ ἔκλεψαν, τούτου ἂν ἐφρόντισαν, ὥστε ἆραι τὸ σουδάριον καὶ ἐντυλῖξαι, καὶ θεῖναι «εἰς ἕνα τόπον», ἀλλὰ πῶς; Ὡς εἶχεν, ἔλαβον ἂν τὸ σῶμα. Διὰ γὰρ τοῦτο, προλαβὼν ὁ Ἰωάννης φησὶν ὅτι σμύρνῃ συνετάφη πολλῇ, ἣ μολύβδου οὐχ ἧττον συγκολλᾷ τῷ σώματι τὰ ὀθόνια, ἵνα, ὅταν ἀκούσῃς ὅτι τὰ σουδάρια ἔκειτο ἰδίᾳ, μὴ ἀνάσχῃ τῶν λεγόντων ὅτι ἐκλάπη· οὐ γὰρ οὕτως ἀνόητος ἦν ὁ κλέπτων, ὡς περὶ πρᾶγμα περιττὸν τοσαύτην ἀναλίσκειν σπουδήν. Τίνος γὰρ ἕνεκεν τὰ σουδάρια ἠφίει; πῶς δὲ ἂν ἔλαθε τοῦτο ποιῶν; Καὶ γὰρ πολὺν εἰκὸς ἦν αὐτὸν ἀναλῶσαι χρόνον, καὶ κατάφωρον γενέσθαι μέλλοντα καὶ βραδύνοντα.

Τί δήποτε δὲ καὶ χωρὶς τὰ ὀθόνια κεῖται, «καὶ τὸ σουδάριον χωρὶς ἐντετυλιγμένον»; Ἵνα μάθῃς ὅτι οὐκ ἦν σπευδόντων, οὐδὲ θορυβουμένων τὸ πρᾶγμα, τὸ χωρὶς μὲν ἐκεῖνα, χωρὶς δὲ ταῦτα ἐνθεῖναι καὶ ἐντυλῖξαι. Ἀπὸ τούτου τῇ ἀναστάσει ἐπίστευσαν. Διὰ τοῦτο μετὰ ταῦτα αὐτοῖς φαίνεται ὁ Χριστός, ἀπὸ τῆς ὄψεως πιστωθεῖσιν. Ὅρα γοῦν καὶ ἐνταῦθα τὸ ἄτυφον τοῦ Εὐαγγελιστοῦ, πῶς τὴν ἀκρίβειαν τῆς

---

14. Σουδάριον· πλατεῖα λωρὶς λευκῆς σενδόνης, ποὺ ἐχρησίμευε διὰ τὴν περιτύλιξιν τῆς κεφαλῆς τῶν νεκρῶν.

εὐαγγελιστὴς δὲν ἐστέρησε τὴν γυναῖκα ἀπὸ ἕνα τόσον μεγάλο ἐγκώμιον, οὔτε ἐθεώρησεν ἐντροπὴν τὸ νὰ πληροφορηθοῦν αὐτοὶ ἀπὸ αὐτὴν τὴν ἀνάστασίν του, πού, ξαγρυπνοῦσα, εἶδε πρὶν ἀπὸ αὐτοὺς τὰ γεγονότα˙ ἔτσι παντοῦ διαλάμπει ἡ φιλαλήθεια τοῦ χαρακτῆρος του.

Ὅταν λοιπὸν ἦλθε καὶ εἶπεν αὐτά, μόλις τὰ ἤκουσαν ἐκεῖνοι, μὲ πολλὴν βιασύνην ἔρχονται εἰς τὸ μνημεῖον καὶ βλέπουν «τὰ σενδόνια νὰ εὑρίσκωνται ἐκεῖ», πρᾶγμα ποὺ ἦτο δεῖγμα τῆς ἀναστάσεώς του˙ διότι, οὔτε θὰ ἦτο δυνατὸν νὰ κάμουν αὐτό, ἐὰν κάποιοι μετέθετον τὸ σῶμα, νὰ γυμνώσουν δηλαδὴ τὸ σῶμα, οὔτε ἐὰν τὸν ἔκλεπτον, θὰ ἦτο δυνατὸν νὰ φροντίσουν νὰ ἀφαιρέσουν τὸ σουδάριον[11] καὶ νὰ τὸν περιτυλίξουν καὶ πάλιν καὶ νὰ τοποθετήσουν τὸ σῶμα του «εἰς κάποιον τόπον», ἀλλὰ τί θὰ ἔκαμνον; Θὰ ἔπαιρναν τὸ σῶμα ὅπως ἦτο. Διὰ τοῦτο λοιπὸν προλαμβάνει ὁ Ἰωάννης καὶ λέγει ὅτι ἐτάφη μὲ πολλὴν σμύρναν, ποὺ συγκολλᾷ ὄχι ὀλιγώτερον ἀπὸ τὸν μόλυβδον τὰ σενδόνια μὲ τὸ σῶμα, ὥστε, ὅταν ἀκούσῃς ὅτι τὰ σουδάρια εὑρίσκοντο ἐκεῖ χωρὶς τὸ σῶμα, νὰ μὴ ἀνεχθῇς τὰ λεγόμενα ὅτι ἐκλάπη˙ διότι δὲν θὰ ἦτο τόσον ἀνόητος ὁ κλέπτης, ὥστε νὰ δείχνῃ τόσην φροντίδα διὰ ἕνα περιττὸν πρᾶγμα. Διότι διατί θὰ ἄφηνε τὰ σουδάρια; πῶς δὲ θὰ διέφευγε τὴν προσοχὴν τῶν φρουρῶν πράττων αὐτό; Καθ᾽ ὅσον πολὺ φυσικὸν ἦτο νὰ δαπανήσῃ χρόνον καὶ νὰ συλληφθῇ ἐπ᾽ αὐτοφώρῳ μὲ τὸ νὰ χάνῃ ἄσκοπα τὸν χρόνον του καὶ νὰ ἐπιβραδύνῃ.

Καὶ διατί τέλος πάντων εἶναι ἐκεῖ χωριστὰ τὰ σενδόνια «καὶ τὸ σουδάριον εὑρίσκεται τυλιγμένον ξεχωριστά»; Διὰ νὰ μάθῃς ὅτι αὐτὸ δὲν ἦτο ἐνέργεια ἀνθρώπων ποὺ ἐβιάζοντο καὶ ἦσαν κυριευμένοι ἀπὸ ταραχήν, τὸ νὰ θέσουν ξεχωριστὰ τὰ σενδόνια τυλιγμένα καὶ ξεχωριστὰ τὰ σουδάρια. Ἀπὸ αὐτὸ ἐπίστευσαν εἰς τὴν ἀνάστασιν. Διὰ τοῦτο καὶ μετὰ ἀπὸ αὐτὰ ἐμφανίζεται εἰς αὐτοὺς ὁ Χριστός, ἀφοῦ εἶχον βεβαιωθῇ μὲ τὰ ἴδια τὰ μάτια των. Πρόσεχε λοιπὸν καὶ ἐδῶ τὸ ἀκόμπαστον τοῦ εὐαγγελιστοῦ, πῶς δηλαδὴ ἀποδίδει εἰς τὸν Πέτρον τὴν ἀκρίβειαν τῆς ἐρεύνης.

ἐρεύνης τῷ Πέτρῳ μαρτυρεῖ. Προφθάσας γὰρ αὐτόν, καὶ ἰδὼν τὰ ὀθόνια κείμενα, οὐδὲν πλέον πολυπραγμονεῖ, ἀλλ' ἀφίσταται· ἐκεῖνος δὲ ὁ θερμός, ἐνδοτέρω γενόμενος, ἅπαντα κατώπτευσεν ἀκριβῶς, καί τι πλέον εἶδε, καὶ τότε οὗτος ἐπὶ τῇ θέᾳ παρεκλήθη· μετὰ γὰρ ἐκεῖνον εἰσελθών, τὰ ἐντάφια εἶδε κείμενα καὶ διῃρημένα· τὸ γὰρ διελεῖν, καὶ χωρὶς μὲν τοῦτο, χωρὶς δὲ ἐκεῖνο θεῖναι ἑλίξαντα, τινὸς ἦν μετ' ἐπιμελείας ποιοῦντος, καὶ οὐχ ὡς ἔτυχε θορυβουμένου.

5. Σὺ δέ, ὅταν ἀκούσῃς ὅτι γυμνὸς ὁ Δεσπότης ἀνέστη, παῦσαι τῆς πρὸς τὴν κηδείαν μανίας· τί γὰρ βούλεται ἡ περιττὴ αὕτη δαπάνη καὶ ἀνόνητος, πολλὴν μὲν φέρουσα τοῖς κηδεύουσι ζημίαν, τῷ δὲ ἀπελθόντι κέρδος οὐδέν, ἀλλά, εἰ χρή τι εἰπεῖν, καὶ βλάβην; Ἡ γὰρ πολυτέλεια τῆς ταφῆς τυμβωρυχίας αἰτία γέγονε πολλάκις, καὶ γυμνὸν καὶ ἄταφον ἐποίησεν ἐρρῖφθαι τὸν ἐπιμελῶς ταφέντα. Ἀλλ' ὢ τῆς κενοδοξίας! πόσην καὶ ἐν τῷ πένθει τὴν τυραννίδα ἐπιδείκνυται, πόσην τὴν ἄνοιαν! Πολλοὶ γοῦν, ἵνα μὴ τοῦτο γένηται, τὰς λεπτὰς ἐκείνας ὀθόνας διατεμόντες, καὶ πολλῶν τῶν ἀρωμάτων ἐμπλήσαντες, ὥστε διπλῇ γενέσθαι τοῖς ἐπηρεάζουσιν ἄχρηστα, οὕτω τῇ γῇ παραδεδώκασι. Ταῦτ' οὖν οὐ μαινομένων; ταῦτ' οὐ παραπαιόντων; φιλοτιμίαν ἐπιδείκνυσθαι, καὶ πάλιν αὐτὴν ἀφανίζειν; Ναί, φησίν· ἵνα μετὰ ἀσφαλείας κέηται παρὰ τῷ νεκρῷ, ταῦτα πάντα μηχανώμεθα. Τί οὖν; ἂν οἱ τυμβωρύχοι μὴ λάβωσιν, οἱ σῆτες οὐ λήψονται καὶ οἱ σκώληκες; Τί δέ; ἂν οἱ σῆτες καὶ οἱ σκώληκες μὴ λάβωσιν, ὁ χρόνος καὶ ὁ ἰχὼρ οὐκ ἀπολεῖ; Θῶμεν δὲ μὴ τυμβωρύ-

Διότι ἂν καὶ ἔφθασε πρὶν ἀπὸ τὸν Πέτρον καὶ εἶδε τὰ σενδόνια νὰ εὑρίσκωνται ἐκεῖ, δὲν ἀσχολεῖται ἐπὶ πλέον μὲ αὐτά, ἀλλὰ σταματᾷ ὡς ἐκεῖ˙ ἐκεῖνος ὅμως ὁ θερμός, εἰσελθὼν εἰς τὸ ἐσωτερικὸν τοῦ μνημείου, ἐξήτασεν ὅλα μὲ λεπτομέρειαν καὶ εἶδε κάτι περισσότερον, καὶ τότε παρηγορήθη μὲ ἐκεῖνα ποὺ εἶδε˙ διότι εἰσῆλθε μετὰ ἀπὸ ἐκεῖνον καὶ εἶδε τὰ ἐντάφια κείμενα ἐκεῖ καὶ χωριστὰ τὸ ἕνα ἀπὸ τὸ ἄλλον˙ τὸ νὰ τὰ χωρίσῃ δηλαδὴ κάποιος καὶ νὰ τὰ θέσῃ τὸ ἕνα χωριστὰ ἀπὸ τὸ ἄλλον, ἀφοῦ τὰ τυλίξῃ ἐκ νέου, ἦτο ἐνέργεια κάποιου ποὺ τὴν ἔκαμε μὲ πολλὴν ἐπιμέλειαν καὶ ὄχι τυχαῖα καὶ μὲ ταραχήν.

5. Σὺ ὅμως, ὅταν ἀκούσῃς ὅτι ὁ Κύριος ἀνέστη γυμνός, σταμάτησε τὴν μανίαν διὰ τὴν κηδείαν˙ διότι τί θέλει αὐτὴ ἡ περιττὴ καὶ ἀνώφελος δαπάνη, ποὺ προξενεῖ πολλὴν μὲν ζημίαν εἰς ἐκείνους ποὺ κάμνουν τὴν κηδείαν, εἰς ἐκεῖνον δὲ ποὺ ἔφυγεν ἀπὸ τὴν ζωὴν καμμίαν ὠφέλειαν, ἀλλά, ἐὰν πρέπει νὰ εἴπουμεν κάτι, καὶ βλάβην; Διότι ἡ πολυτέλεια τῆς ταφῆς ἀπέβη πολλὲς φορὲς ἀφορμὴ τυμβωρυχίας καὶ ἔγινεν αἰτία νὰ ριφθῇ γυμνὸς καὶ ἄταφος ἐκεῖνος ποὺ ἐτάφη μὲ τόσην ἐπιμέλειαν. Ἀλλὰ πόσον μεγάλη ματαιοδοξία! πόσην δεικνύει καὶ τὴν τυραννίδα εἰς τὸ πένθος καὶ πόσην τὴν ἀνοησίαν! Πολλοὶ βέβαια, διὰ νὰ μὴ συμβῇ αὐτό, διασχίζοντες τὰ λεπτὰ ἐκεῖνα σενδόνια, καὶ γεμίζοντες αὐτὰ μὲ πολλὰ ἀρώματα, ὥστε εἰς διπλοῦν νὰ γίνουν ἄχρηστα εἰς τοὺς τυμβωρύχους, ἔτσι παραδίδουν εἰς τὴν γῆν τὸ νεκρόν. Αὐτὰ λοιπὸν δὲν εἶναι γνωρίσματα μανιακῶν; αὐτὰ δὲν εἶναι δείγματα ἀνθρώπων ποὺ ἐνεργοῦν ἐσφαλμένα; νὰ ἐπιδεικνύουν φιλοτιμίαν καὶ πάλιν νὰ ἀφανίζουν αὐτήν; Ναί, λέγει˙ ὅλα αὐτὰ τὰ μηχανευώμεθα διὰ νὰ εἶναι ἀσφαλῆ τὰ ὅσα θάπτονται μαζὶ μὲ αὐτούς. Τί λοιπόν; ἂν οἱ τυμβωρύχοι δὲν τὰ λάβουν, δὲν θὰ τὰ φάγουν ὁ σκόρος καὶ τὰ σκωλήκια; Τί δέ; ἂν ὁ σκόρος καὶ τὰ σκωλήκια δὲν τὰ φάγουν, δὲν θὰ τὰ καταστρέψῃ ὁ χρόνος καὶ ἡ σῆψις; Ἂς ὑποθέσωμεν ὅτι τὰ ὅσα τοποθετοῦνται εἰς τοὺς νεκροὺς δὲν τὰ ἐξαφανίζουν οὔτε οἱ τυμβωρύχοι, οὔτε ὁ σκόρος, οὔτε τὰ σκωλήκια,

χους, μὴ σῆτας, μὴ σκώληκας, μὴ χρόνον, μὴ ἄλλο μηδὲν δαπανᾶν τὰ κείμενα, ἀλλὰ καὶ τὸ σῶμα ἀνέπαφον εἶναι μέχρι τῆς ἀναστάσεως, καὶ αὐτὰ δὴ ταῦτα καινὰ καὶ νεοπαγῆ καὶ λεπτὰ τηρεῖσθαι, τί πλέον ἐντεῦθεν τοῖς ἐπελθοῦσι γίνεται, ὅταν γυμνὸν μὲν τὸ σῶμα ἐγείρηται, ταῦτα δὲ ἐνταῦθα μένῃ, καὶ μηδὲν ἡμᾶς ὠφελῇ πρὸς τὰς εὐθύνας ἐκείνας;

Τίνος οὖν ἕνεκεν, φησίν, ἐπὶ τοῦ Χριστοῦ γέγονε; Μάλιστα μὲν μὴ παράβαλλε ταῦτα τοῖς ἀνθρωπίνοις (ἐπεὶ καὶ μύρον ἐξέχεεν ἡ πόρνη ἐπὶ τοὺς ἁγίους πόδας ἐκείνου), εἰ δὲ χρὴ καὶ περὶ τούτων εἰπεῖν, πρῶτον μὲν οὐκ εἰδότων τὸν περὶ ἀναστάσεως λόγον τῶν ποιούντων ταῦτα ἐγίνετο· (διὰ τοῦτό φησι· «Καθὼς ἔθος ἦν τοῖς Ἰουδαίοις»· οὐ γὰρ τῶν δώδεκα ἦσαν οἱ τὸν Χριστὸν τιμήσαντες, ἀλλ' ἐκεῖνοι οἱ μὴ σφόδρα αὐτὸν τιμῶντες. Οἱ γοῦν δώδεκα οὐχ οὕτως αὐτὸν ἐτίμων, ἀλλὰ θανάτῳ καὶ σφαγῇ, καὶ τοῖς ὑπὲρ αὐτοῦ κινδύνοις· ἦν μὲν γὰρ καὶ ἐκείνη τιμή, πολλῷ δὲ ἐλάττων ταύτης, ἧς εἶπον)· ἄλλως δέ, ὅπερ ἔφθην εἰπών, περὶ ἀνθρώπων ἡμῖν ὁ λόγος νῦν, τότε δὲ ταῦτα περὶ τὸν Δεσπότην ἐγίνετο. Καὶ ἵνα μάθῃς ὅτι τούτων οὐδεὶς τῷ Χριστῷ λόγος, εἶπε, «Πεινῶντά με εἴδετε, καὶ ἐθρέψατε· καὶ διψῶντα, καὶ ἐποτίσατε· καὶ γυμνόν, καὶ περιεβάλετε», καὶ οὐδαμοῦ εἶπε, 'Καὶ τεθνεῶτα, καὶ ἐθάψατε'. Καὶ ταῦτα λέγω, οὐ ταφὴν ἀναιρῶν, μὴ γένοιτο! ἀλλὰ τὴν ἀσωτίαν ἐκκόπτων καὶ τὴν ἄκαιρον φιλοτιμίαν· τὸ γὰρ πάθος, φησί, καὶ ἡ ὀδύνη, καὶ ἡ πρὸς τὸν ἀπελθόντα συμπάθεια ταῦτα πείθει. Οὐκ ἔστι ταῦτα συμπαθείας τῆς πρὸς τὸν ἀπελθόντα, ἀλλὰ κενοδοξίας· ἐπεί, εἰ βούλει συναλγῆσαι τῷ τεθνηκότι, δείκνυμί σοι ἑτέραν ὁδὸν κηδείας, καὶ διδάσκω σε ἱμάτια τιθέναι, τὰ συνανιστάμενα αὐτῷ, καὶ λαμπρὸν ἀποφαίνοντα·

15. Ματθ. 25, 36· 36.

ούτε ὁ χρόνος, ούτε τίποτε ἄλλο, ἀλλὰ καὶ τὸ σῶμα μένει ἀνέπαφον μέχρι τῆς ἀναστάσεως, καὶ βέβαια καὶ αὐτὰ διατηροῦνται καινούργια καὶ νεοκατασκευασμένα καὶ λεπτά· τί ἐπὶ πλέον κερδίζουν οἱ φεύγοντες ἀπὸ τὴν ἐδῶ ζωήν, ὅταν τὸ μὲν σῶμα ἐγείρεται γυμνὸν αὐτὰ δὲ μένουν ἐδῶ καὶ δὲν μᾶς ὠφελοῦν ὡς πρὸς τίποτε διὰ τὰς εὐθύνας ἐκείνας ποὺ θὰ μᾶς ζητηθοῦν ἐκεῖ;

Διατί λοιπόν, λέγει, συνέβη αὐτὸ εἰς τὸν ἐνταφιασμὸν τοῦ Χριστοῦ; Κατὰ πρῶτον βέβαια μὴ συγκρίνῃς αὐτὰ μὲ τὰ ἀνθρώπινα (διότι καὶ μύρον ἔχυσεν ἡ πόρνη ἐπάνω εἰς ἐκεῖνα τὰ ἅγια πόδια), ἐὰν ὅμως πρέπει καὶ δι' αὐτὰ νὰ ὁμιλήσωμεν, πρῶτον μὲν αὐτὰ ἔγιναν ἐπειδὴ δὲν ἐγνώριζον ἐκεῖνοι ποὺ τὰ ἔκαμαν αὐτὰ τὸν λόγον περὶ τῆς ἀναστάσεως· (διὰ τοῦτο λέγει· «Ὅπως ὑπῆρχε συνήθεια εἰς τοὺς Ἰουδαίους»· διότι ἐκεῖνοι ποὺ ἐτίμησαν τὸν Χριστὸν δὲν ἦσαν ἀπὸ τοὺς δώδεκα μαθητάς του, ἀλλ' ἐκεῖνοι ποὺ ἐτιμοῦσαν αὐτὸν ὄχι πάρα πολύ. Οἱ δώδεκα βέβαια δὲν ἐτιμοῦσαν αὐτὸν ἔτσι, ἀλλὰ μὲ θάνατον καὶ σφαγήν, καὶ τοὺς κινδύνους ὑπὲρ αὐτοῦ· ἦτο βέβαια καὶ ἐκείνη τιμή, ἀλλὰ πολὺ πιὸ κατωτέρα ἀπὸ αὐτὴν ποὺ ἀνέφερα)· ἐξ ἄλλου δέ, ὅπως προανέφερα, τώρα ὁ λόγος μας εἶναι διὰ τοὺς ἀνθρώπους, ἐνῷ τότε αὐτὰ ἐγίνοντο διὰ τὸν Κύριον. Καὶ διὰ νὰ μάθῃς ὅτι ὁ Χριστὸς δὲν κάμνει κανένα λόγον περὶ αὐτῶν, εἶπε· «Μὲ εἴδετε πεινασμένον καὶ μὲ ἐθρέψατε· διψασμένον καὶ μὲ ἐποτίσατε· γυμνὸν καὶ μὲ ἐνδύσατε»[15] καὶ πουθενὰ δὲν εἶπε, 'καὶ πεθαμένον καὶ μὲ ἐθάψατε'. Καὶ αὐτὰ τὰ λέγω, ὄχι διὰ νὰ καταργήσω τὴν ταφήν, μὴ γένοιτο! ἀλλὰ διὰ νὰ σταματήσω τὴν ἀσωτίαν καὶ τὴν ἄκαιρον φιλοδοξίαν· διότι, λέγει, αὐτὰ τὰ παρακινοῦν τὸ πάθος καὶ ἡ ὀδύνη καὶ ἡ συμπάθεια πρὸς τὸν ἀπελθόντα. Δὲν εἶναι αὐτὰ δείγματα συμπαθείας πρὸς τὸν ἀπελθόντα, ἀλλὰ ματαιοδοξίας· διότι, ἐὰν θέλῃς νὰ δείξῃς συμπόνια διὰ τὸν ἀποθανόντα, σοῦ δείχνω ἄλλην ὁδὸν κηδείας καὶ σὲ συμβουλεύω νὰ τὸν ἐνδύῃς μὲ ἐνδύματα ποὺ ἀνασταίνονται μαζὶ μὲ αὐτὸν καὶ τὸν καθιστοῦν λαμπρόν· διότι αὐτὰ τὰ ἐνδύματα οὔτε ἀπὸ τὸν

ταῦτα γὰρ τὰ ἱμάτια οὔτε ὑπὸ σητῶν ἀναλίσκεται, οὔτε ὑπὸ χρόνου δαπανᾶται, οὐδὲ ὑπὸ τυμβωρύχων κλέπτεται.

Ποῖα δὴ ταῦτά ἐστιν; Ἡ τῆς ἐλεημοσύνης περιβολή· αὕτη γὰρ μετ' αὐτοῦ ἀνίσταται ἡ στολή· ἐλεημοσύνης γὰρ σφραγὶς μετ' αὐτοῦ. Ἀπὸ τούτων λάμπουσι τῶν ἱματίων οἱ τότε ἀκούοντες· «Πεινῶντά με ἐθρέψατε». Ταῦτα ἐπισήμους ποιεῖ, ταῦτα περιφανεῖς, ταῦτα ἐν ἀσφαλείᾳ καθίστησι· τὰ δὲ νῦν οὐδὲν ἕτερόν ἐστιν, ἢ δαπάνη σητῶν, καὶ τράπεζα σκωλήκων. Καὶ ταῦτα λέγω, οὐ κηδεύειν κωλύων, ἀλλὰ μετὰ συμμετρίας τοῦτο ποιεῖν, ὥστε σκέπειν τὸ σῶμα, καὶ μὴ γυμνὸν παραδιδόναι τῇ γῇ· εἰ γὰρ ζῶντας μηδὲν ἔχειν πλέον κελεύει, ἀλλ' ἢ σκέπασμα, πολλῷ μᾶλλον τελευτήσαντας· οὐ γὰρ οὕτω τετελευτηκὸς τὸ σῶμα δεῖται ἱματίων, ὡς ζῶν καὶ ἐμπνέον· ζῶντες μὲν γάρ, καὶ ψύχους ἕνεκεν καὶ εὐσχημοσύνης δεόμεθα τῆς τῶν ἱματίων περιβολῆς, τελευτήσαντες δέ, τούτων μὲν οὐδενὸς ἕνεκεν, ἵνα δὲ μὴ γυμνὸν κέηται τὸ σῶμα, δεόμεθα τῶν ἐνταφίων, καὶ πρὸ τῶν ἐνταφίων δὲ ἔχομεν κάλυμμα κάλλιστον τὴν γῆν, καὶ τῇ τοιαύτῃ τῶν σωμάτων φύσει πρεπωδέστερον. Εἰ τοίνυν, ἔνθα τοσαῦται χρεῖαι, οὐδὲν δεῖ περιττὸν ἐπιζητεῖν πολλῷ μᾶλλον, ἔνθα οὐ τοσαύτη ἡ ἀνάγκη, ἄκαιρος ἡ φιλοτιμία.

6. Ἀλλ' οἱ ὁρῶντες γελάσονται, φησί. Μάλιστα μέν, κἂν ᾖ τις ὁ γελῶν, οὐ πολὺν δεῖ ποιεῖσθαι λόγον τοῦ οὕτω σφόδρα ἀνοηταίνοντος, νυνὶ δὲ πολλοὶ οἱ θαυμάζοντες μᾶλλον, καὶ τὴν φιλοσοφίαν δεχόμενοι τὴν ἡμετέραν· γέλωτος γὰρ ἄξια οὐ ταῦτα, ἀλλ' ἃ ποιοῦμεν νῦν, ὀδυρόμενοι, πενθοῦντες, συγκατο-

16. Αὐτόθι.

σκόρον φθείρονται οὔτε ἀπὸ τὸν χρόνον καταστρέφονται, οὔτε ἀπὸ τυμβωρύχους κλέπτονται.

Ποία λοιπὸν εἶναι αὐτά; Ἡ ἐνδυμασία τῆς ἐλεημοσύνης· διότι αὐτὴ ἡ στολὴ ἀνασταίνεται μαζὶ μὲ αὐτόν· καθ᾽ ὅσον ἡ σφραγὶς τῆς ἐλεημοσύνης εἶναι μαζὶ μὲ αὐτόν. Ἀπὸ αὐτὰ τὰ ἐνδύματα λάμπουν ἐκεῖνοι ποὺ θὰ ἀκούσουν τότε· «Μὲ εἴδετε πεινασμένον καὶ μὲ ἐθρέψατε»[16]. Αὐτὰ τοὺς καθιστοῦν σπουδαίους, αὐτὰ περιφανεῖς, αὐτὰ ἀσφαλεῖς, ἐνῷ τὰ ὅσα γίνονται τώρα δὲν εἶναι τίποτε ἄλλο, παρὰ πράγματα ποὺ δαπανῶνται ὑπὸ τοῦ σκόρου καὶ τράπεζα σκωλήκων. Καὶ αὐτὰ τὰ λέγω, ὄχι διὰ νὰ σᾶς ἐμποδίσω νὰ κηδεύετε τοὺς νεκρούς, ἀλλὰ νὰ τὸ κάμνετε αὐτὸ μὲ μέτρον, ὥστε νὰ καλύπτετε τὸ σῶμα καὶ ὄχι νὰ τὸ παραδίδετε γυμνὸν εἰς τὴν γῆν· διότι ἐὰν παραγγέλῃ ἐν ὅσῳ ζῶμεν νὰ μὴ ἔχωμεν τίποτε ἐπὶ πλέον, παρὰ σκέπασμα, πολὺ περισσότερον ὅταν ἀποθάνωμεν· καθ᾽ ὅσον τὸ σῶμα δὲν ἔχει τόσον ἀνάγκην ἀπὸ ἐνδύματα ὅταν εἶναι νεκρόν, ὅσον ὅταν ζῇ καὶ ἀναπνέῃ· διότι ἐν ὅσῳ ζῶμεν χρειαζόμεθα τὰ ἐνδύματα καὶ ἐξ αἰτίας τοῦ ψύχους καὶ ἐξ αἰτίας τῆς εὐπρεπείας, ὅταν ὅμως ἀποθάνωμεν, διὰ τίποτε ἀπὸ αὐτὰ δὲν τὰ χρειαζόμεθα, ἀλλὰ διὰ νὰ μὴ μένῃ γυμνὸν τὸ σῶμα, ἔχομεν ἀνάγκην ἀπὸ ἐντάφια, καὶ πρὸ τῶν ἐνταφίων δὲ ἔχομεν ἄριστον κάλυμμα τὴν γῆν καὶ ποὺ ταιριάζει πολὺ περισσότερον εἰς τὴν τέτοιαν φύσιν τῶν σωμάτων. Ἐὰν λοιπόν, ἐκεῖ ποὺ ὑπάρχουν τόσαι ἀνάγκαι, δὲν πρέπει νὰ ἐπιζητοῦμεν τίποτε τὸ περιττόν, πολὺ περισσότερον, ἐκεῖ ποὺ δὲν εἶναι τόση ἡ ἀνάγκη, εἶναι ἄκαιρος ἡ φιλοδοξία.

6. Ἀλλά, λέγει, ἐκεῖνοι ποὺ θὰ βλέπουν θὰ γελάσουν. Κατὰ πρῶτον μέν, καὶ ἂν ἀκόμη ὑπάρχῃ κάποιος ποὺ νὰ γελᾷ, δὲν πρέπει νὰ ὑπολογίζωμεν καὶ πολὺ ἐκεῖνον ποὺ δείχνει τόσον μεγάλην ἀνοησίαν, ἐνῷ τώρα εἶναι πολλοὶ ἐκεῖνοι ποὺ θαυμάζουν μᾶλλον καὶ δέχονται τὴν ἰδικήν μας κατ᾽ αὐτὸν τὸν τρόπον φιλοσοφημένην ἀντιμετώπισιν τοῦ πράγματος· διότι διὰ γέλια δὲν εἶναι αὐτά, ἀλλ᾽ ἐκεῖνα ποὺ κάμνομεν τώρα, ποὺ θρηνοῦμεν, πενθοῦμεν καὶ θά-

ρύπτοντες ἑαυτοὺς τοῖς ἀπελθοῦσι. Ταῦτα καὶ γέλωτος καὶ κολάσεως ἄξια, τὸ δὲ φιλοσοφεῖν καὶ ἐν τούτοις καὶ ἐν τῇ τῶν ἱματίων συμμετρίᾳ, στεφάνους καὶ ἐπαίνους ἡμῖν προξενεῖ, καὶ πάντες ἡμᾶς κροτήσουσι, καὶ θαυμάσονται τοῦ Χριστοῦ τὴν δύναμιν, καὶ ἐροῦσι· 'Βαβαί, πόση ἡ τοῦ σταυρωθέντος ἰσχύς! ἔπεισε τοὺς ἀπολλυμένους καὶ φθειρομένους ὅτι οὐκ ἔστι θάνατος ὁ θάνατος· οὐ τοίνυν τὰ τῶν ἀπολλυμένων ποιοῦσιν, ἀλλὰ τὰ τῶν προπεμπόντων εἰς ἀποδημίαν ἀμείνω. Ἔπεισεν αὐτοὺς ὅτι τὸ σῶμα τὸ φθαρτὸν τοῦτο καὶ γήϊνον ἱμάτιον ἐνδύσεται, τῶν σηρικῶν καὶ χρυσοπάστων πολὺ λαμπρότερον, τὴν ἀφθαρσίαν. Διό περ οὐδὲ πολλὴν περὶ τὴν ταφὴν ποιοῦνται σπουδήν, ἀλλ' ἐντάφιον ἡγοῦνται θαυμαστόν, βίον ἐνάρετον'. Ταῦτα, ἂν φιλοσοφοῦντας ἴδωσιν, ἐροῦσιν· ἂν δὲ κατακαμπτομένους, γυναικιζομένους, χοροὺς περιϊστῶντας θρηνουσῶν γυναικῶν, γελάσονται, καὶ κωμῳδήσουσι, καὶ μυρία κατηγορήσουσι, διασύροντες τὴν εἰκῆ δαπάνην, τὴν ματαιοπονίαν· καὶ γὰρ ταῦτα ἀκούομεν κατηγορούντων πάντων. Καὶ μάλα εἰκότως· ποίαν γὰρ ἕξομεν ἀπολογίαν, ὅταν τὸ μὲν σῶμα εἰς ἰχῶρας καὶ σκώληκας δαπανώμενον καλλωπίζωμεν, τὸν δὲ Χριστὸν περιορῶμεν διψῶντα, γυμνὸν περιϊόντα καὶ ξένον;

Παυσώμεθα τοίνυν τῆς ματαίας ταύτης σπουδῆς· κηδεύσωμεν τοὺς ἀπελθόντας, ὡς καὶ ἡμῖν καὶ ἐκείνοις συμφέρει πρὸς δόξαν Θεοῦ· πολλὴν ὑπὲρ αὐτῶν ἐπιτελέσωμεν ἐλεημοσύνην· συμπέμψωμεν αὐτοῖς ἐφόδια κάλλιστα· εἰ γὰρ μνήμη θαυμαστῶν ἀνδρῶν τετελευτηκότων προέστη τῶν ζώντων («ὑπερασπιῶ», γάρ, φησί, «τῆς πόλεως ταύτης δι' ἐμὲ καὶ διὰ Δαυῒδ τὸν παῖδά μου», πολλῷ μᾶλλον ἐλεημοσύνη

16. Δ' Βασ. 19, 34.

Καὶ διὰ ποῖον λόγον δὲν ἐμφανίζεται εἰς αὐτὸν ἀμέσως, ἀλλὰ μετὰ ἀπὸ ὀκτὼ ἡμέρας; Διὰ νὰ κυριευθῇ ἀπὸ πιὸ μεγαλυτέραν ἐπιθυμίαν καὶ νὰ γίνῃ μελλοντικὰ πιστότερος κατηχούμενος ὑπὸ τῶν μαθητῶν κατὰ τὸ διάστημα ποὺ θὰ ἐμεσολαβοῦσε καὶ ἀκούων τὰ ἴδια λόγια ἀπὸ αὐτούς. Ἀπὸ ποῦ δὲ τὸ ἐγνώριζεν ὅτι καὶ ἡ πλευρά του ἠνοίχθη. Τὸ ἤκουσεν ἀπὸ τοὺς μαθητάς. Πῶς λοιπὸν τὸ μὲν ἕνα ἐπίστευσε, τὸ δὲ ἄλλο δὲν τὸ ἐπίστευσε; Διότι αὐτὸ ἦτο πολὺ παράδοξον καὶ θαυμαστόν. Πρόσεχε δὲ σὲ παρακαλῶ τὴν φιλαλήθειαν τῶν Ἀποστόλων, πῶς δὲν κρύπτουν τὰ ἐλαττώματα, οὔτε τὰ ἰδικά των, οὔτε τῶν ἄλλων, ἀλλὰ τὰ περιγράφουν μὲ ὅλην τὴν ἀλήθειαν. Ἐμφανίζεται δὲ πάλιν ὁ Ἰησοῦς καὶ δὲν περιμένει νὰ ζητηθῇ αὐτὸ ἀπὸ ἐκεῖνον, οὔτε νὰ ἀκούσῃ κάτι παρόμοιον, ἀλλὰ χωρὶς νὰ εἰπῇ τίποτε, ὁ ἴδιος τὸν προλαβαίνει καὶ ἐκπληρώνει ἐκεῖνο ποὺ ἐπιθυμοῦσε, δεικνύων, ὅτι καὶ ὅταν ἔλεγεν αὐτὰ πρὸς τοὺς μαθητάς, ἐκεῖνος ἦτο παρών· καθ' ὅσον ἐχρησιμοποίησε τὰ ἴδια τὰ λόγια καὶ κατὰ τρόπον πάρα πολὺ ἐπιτιμητικὸν καὶ εἰς τὴν συνέχειαν μὲ τρόπον διδακτικόν· διότι ἀφοῦ εἶπε «Φέρε τὸν δάκτυλόν σου καὶ ἴδε τὰ χέρια μου καὶ βάλε τὸ χέρι σου εἰς τὴν πλευράν μου», ἐπρόσθεσε· «Καὶ μὴ γίνεσαι ἄπιστος, ἀλλὰ πιστός». Βλέπεις ὅτι ἡ ἀμφιβολία ἦτο ἀποτέλεσμα ἀπιστίας; ἀλλὰ αὐτὸ συνέβαινε πρὶν λάβουν τὸ Πνεῦμα μου· μετὰ ἀπὸ αὐτὰ ὅμως δὲν συνέβαινε πλέον αὐτό, ἀλλ' εἰς τὸ ἑξῆς ἦσαν ὁλοκληρωμένοι. Καὶ δὲν τὸν ἐπετίμησε μὲ αὐτὰ μόνον τὰ λόγια, ἀλλὰ καὶ μὲ τὰ ὅσα λέγει εἰς τὴν συνέχειαν. Διότι, ὅταν ἐκεῖνος τὰ ἐπληροφορήθη καὶ ἀνέπνευσε καὶ ἀνεφώνησεν, «Ὁ Κύριός μου καὶ ὁ Θεός μου», λέγει· «Ἐπειδὴ μὲ εἶδες, Θωμᾶ, ἐπίστευσες· μακάριοι εἶναι ἐκεῖνοι ποὺ δὲν μὲ εἶδον καὶ ἐπίστευσαν»· διότι αὐτὸ εἶναι τὸ γνώρισμα τῆς πίστεως, τὸ νὰ ἀποδέχεται κανεὶς ἐκεῖνα ποὺ δὲν βλέπονται· διότι «ἡ πίστις κάμνει πραγματικὰ ἐκεῖνα ποὺ ἐλπίζομεν καὶ βέβαια ἐκεῖνα ποὺ δὲν βλέπομεν»[1].

Ἐνταῦθα δὲ οὐ τοὺς μαθητὰς μακαρίζει μόνους, ἀλλὰ καὶ τοὺς μετ' ἐκείνους πιστεύσαντας. Καίτοι, φησίν οἱ μαθηταὶ εἶδον, καὶ ἐπίστευσαν· ἀλλ' οὐδὲν τοιοῦτον ἐζήτησαν, ἀλλ' ἀπὸ τῶν σουδαρίων εὐθέως τὸν περὶ ἀναστάσεως ἐδέξαντο λόγον, καὶ πρὶν ἢ τὸ σῶμα θεάσασθαι, τὴν πίστιν ἐπεδείξαντο πᾶσαν. Ὅταν οὖν λέγῃ τις νυνί, "Ἐβουλόμην κατὰ τοὺς καιροὺς ἐκείνους εἶναι, καὶ ὁρᾶν τὸν Χριστὸν θαυματουργοῦντα", ἐννοείτω ὅτι «μακάριοι οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες». Ἄξιον δὲ διαπορῆσαι, πῶς σῶμα ἄφθαρτον τύπους ἐδείκνυτο τῶν ἥλων, καὶ ἁπτὸν ἦν θνητῇ χειρί. Ἀλλὰ μὴ θορυβηθῇς· συγκαταβάσεως γὰρ ἦν τὸ γινόμενον· τὸ γὰρ οὕτω λεπτὸν καὶ κοῦφον, ὡς κεκλεισμένων εἰσελθεῖν τῶν θυρῶν, παχύτητος πάσης ἀπήλλακτο· ἀλλ' ὥστε πιστευθῆναι τὴν ἀνάστασιν τοῦτο δείκνυται, καὶ ὥστε μαθεῖν ὅτι αὐτὸς ἦν ὁ σταυρωθείς, καὶ οὐκ ἄλλος ἀντ' αὐτοῦ ἀνέστη. Διὰ τοῦτο ἀνέστη, ἔχων τὰ σημεῖα τοῦ σταυροῦ, καὶ τρώγει διὰ τοῦτο. Οἱ γοῦν Ἀπόστολοι τοῦτο ἄνω καὶ κάτω σημεῖον ἐποιοῦντο τῆς ἀναστάσεως, λέγοντες· «Οἵτινες συνεφάγομεν αὐτῷ καὶ συνεπίομεν».

Ὥσπερ οὖν ἐπὶ τῶν κυμάτων περιπατοῦντα θεωροῦντες πρὸ τοῦ σταυροῦ, οὐ λέγομεν ἄλλης φύσεως τὸ σῶμα ἐκεῖνο, ἀλλὰ τῆς ἡμετέρας, οὕτω, μετὰ τὴν ἀνάστασιν αὐτὸν ὁρῶντες τοὺς τύπους ἔχοντα, οὐκ ἐροῦμεν αὐτὸν φθαρτὸν εἶναι λοιπόν· διὰ γὰρ τὸν μαθητὴν ταῦτα ἐπεδείκνυτο. «Πολλὰ δὲ καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς». Ἐπειδὴ γὰρ ἐλάττονα τῶν ἄλλων οὗτος εἶπεν ὁ Εὐαγγελιστής, λέγει ὅτι οὐδὲ οἱ λοιποὶ πάντες πάντα εἶπον, ἀλλ' ὅσα ἱκανὰ ἦν πρὸς πίστιν ἐφελκύσασθαι τοὺς ἀκούοντας· ἐπεί, «εἰ πάντα», φησίν, «ἐγέγραπτο, οὐδὲ τὸν κόσμον οἶμαι χωρῆσαι τὰ βιβλία».

2. Ὅθεν δῆλον ὅτι οὐ φιλοτιμίας ἕνεκεν, ἅπερ ἔγραψαν εἶπον, ἀλλὰ τοῦ χρησίμου μόνον· οἱ γὰρ τὰ πλείονα ἀφέντες

2. Πράξ. 10, 41.
3. Ἰω. 21, 25.

Ἐδῶ δὲ δὲν μακαρίζει μόνον τοὺς μαθητάς, ἀλλά καὶ ἐκείνους ποὺ θὰ πιστεύσουν μετὰ ἀπὸ ἐκείνους. Καὶ ὅμως, λέγει, οἱ μαθηταὶ εἶδον καὶ ἐπίστευσαν· ἀλλ' ὅμως δὲν ἐζήτησαν κανὲν ἀποδεικτικὸν σημεῖον, ἀλλὰ ἀπὸ τὰ σοδάρια ἀμέσως ἐδέχθησαν τὴν εἴδησιν περὶ τῆς ἀναστάσεως, καὶ πρὶν ἰδοῦν τὸ σῶμα, ἔδειξαν ὅλην τὴν πίστιν των. Ὅταν λοιπὸν κανεὶς λέγῃ τώρα, '"Ηθελον νὰ ἐζοῦσα κατὰ τοὺς χρόνους ἐκείνους καὶ νὰ ἔβλεπον τὸν Χριστὸν νὰ θαυματουργῇ', ἃς σκεφθῇ ὅτι «μακάριοι εἶναι ἐκεῖνοι ποὺ δὲν μὲ εἶδον καὶ ἐπίστευσαν». Εἶναι δὲ ἄξιον ἀπορίας, πῶς σῶμα ἄφθαρτον ἐδείκνυε τὰ ἀποτυπώματα τῶν καρφιῶν καὶ ἠμποροῦσε νὰ τὸ ἐγγίσῃ χέρι. Ἀλλὰ μὴ θορυβηθῇς· καθ' ὅσον αὐτὸ συνέβη κατὰ συγκατάβασιν· διότι τὸ τόσον λεπτὸν καὶ ἐλαφρὸν σῶμα, ποὺ εἰσῆλθεν ἐνῷ αἱ θύραι ἦσαν κλεισταί, ἦτο ἀπηλλαγμένον ἀπὸ κάθε ὑλικὴν σύστασιν· ἀλλὰ δεικνύεται αὐτὸ διὰ νὰ γίνῃ πιστευτὴ ἡ ἀνάστασις καὶ διὰ νὰ μάθουν ὅτι αὐτὸς ἦτο ὁ σταυρωθείς, καὶ δὲν ἀνεστήθη ἄλλος ἀντ' αὐτοῦ. Διὰ τοῦτο ἀνεστήθη, ἔχων τὰ σημάδια τοῦ σταυροῦ, καὶ διὰ τοῦτο τρώγει. Πράγματι οἱ Ἀπόστολοι αὐτὸ ἐπρόβαλλον συνεχῶς ὡς ἀπόδειξιν τῆς ἀναστάσεως, λέγοντες· «Ἡμεῖς οἱ ὁποῖοι ἐφάγομεν μαζί του καὶ ἐπίομεν»[2].

Ὅπως ἀκριβῶς λοιπὸν βλέποντές τον πρὸ τοῦ σταυροῦ νὰ περιπατῇ ἐπάνω εἰς τὰ κύματα, δὲν λέγομεν ὅτι τὸ σῶμα ἐκεῖνο ἦτο ἄλλης φύσεως, ἀλλὰ τῆς ἰδικῆς μας, ἔτσι, βλέποντες αὐτὸν μετὰ τὴν ἀνάστασιν νὰ ἔχῃ τὰ ἀποτυπώματα τοῦ σταυροῦ, δὲν θὰ εἰποῦμεν πλέον ὅτι αὐτὸς εἶναι φθαρτός· διότι αὐτὰ τὰ ἔδειχνε διὰ τὸν μαθητήν. «Πολλὰ δὲ ἄλλα θαύματα ἔκαμεν ὁ Ἰησοῦς». Ἐπειδὴ δηλαδὴ αὐτὸς ὁ εὐαγγελιστὴς ἀνέφερεν ὀλιγώτερα ἀπὸ ἐκεῖνα ποὺ ἀνέφεραν οἱ ἄλλοι, λέγει ὅτι οὔτε ὅλοι οἱ ἄλλοι τὰ ἀνέφερον ὅλα, ἀλλ' ὅσα ἦσαν ἱκανὰ νὰ προσελκύσουν τοὺς ἀκροατὰς εἰς τὴν πίστιν· «Ἐὰν ὅλα», λέγει, «εἶχον γραφῆ, νομίζω ὅτι δὲν θὰ ἐχωροῦσε στὰ βιβλία οὔτε ὅλος ὁ κόσμος»[3].

2. Ἄρα εἶναι φανερὸν ὅτι δὲν τὰ εἶπαν ἀπὸ φιλοδοξίαν ἐκεῖνα ποὺ ἔγραψαν, ἀλλὰ μόνον ἐξ αἰτίας τῆς χρη-

πῶς ἂν ταῦτα διὰ φιλοτιμίαν ἔγραψαν; Τίνος οὖν ἕνεκεν οὐ πάντα ἀπῆλθον; Μάλιστα μὲν διὰ τὸ πλῆθος, ἔπειτα δὲ κἀκεῖνο ἐνενόουν, ὅτι ὁ μὴ πιστεύσας τοῖς εἰρημένοις, οὐδὲ τοῖς πλείοσι προσέξει, ὁ δὲ ταῦτα δεξάμενος οὐδὲν δεήσεται ἑτέρου εἰς τὸν τῆς πίστεως λόγον. Ἐμοὶ δὲ ἐνταῦθα τέως δοκεῖ τὰ μετὰ τὴν ἀνάστασιν λέγειν σημεῖα· διό φησιν· «Ἐνώπιον τῶν μαθητῶν αὐτοῦ»· ὥσπερ γὰρ πρὸ τῆς ἀναστάσεως ἔδει γενέσθαι πολλά, ἵνα πιστεύσωσιν ὅτι Υἱός ἐστι Θεοῦ, οὕτω καὶ μετὰ τὴν ἀνάστασιν, ἵνα καταδέξωνται ὅτι ἀνέστη. Διὰ τοῦτο καὶ προσέθηκεν, «Ἐνώπιον τῶν μαθητῶν αὐτοῦ», ἐπειδὴ μόνος αὐτοῖς συνεγένετο μετὰ τὴν ἀνάστασιν. Διὸ καὶ ἔλεγεν· «Ὁ κόσμος οὐκ ἔτι με θεωρεῖ». Εἶτα, ἵνα μάθῃς ὅτι τῶν μαθητῶν ἕνεκεν μόνον ἐγίνετο τὰ γινόμενα, ἐπήγαγεν· «Ἵνα καὶ πιστεύσαντες ζωὴν αἰώνιον ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ», κοινῇ πρὸς τὴν φύσιν διαλεγόμενος, καὶ δηλῶν ὅτι οὐκ ἐκείνῳ τῷ πιστευομένῳ, ἀλλ' ἡμῖν αὐτοῖς τὰ μέγιστα χαριζόμενος. «Ἐν τῷ ὀνόματι αὐτοῦ»· τουτέστι, 'δι' αὐτοῦ'· αὐτὸς γάρ ἐστιν ἡ ζωή.

«Μετὰ ταῦτα ἐφανέρωσεν ἑαυτὸν τοῖς μαθηταῖς ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος». Ὁρᾷς ὅτι οὐ συνεχῶς αὐτοῖς ἐπιχωριάζει, οὐδ' ὥσπερ ἔμπροσθεν; Ἐφάνη γοῦν τῇ ἑσπέρᾳ, καὶ ἀπέπτη, εἶτα μετὰ ὀκτὼ ἡμέρας πάλιν ἅπαξ, καὶ πάλιν ἀπέπτη, εἶτα μετὰ ταῦτα ἐπὶ τῆς θαλάσσης, καὶ πάλιν μετὰ πολλοῦ τοῦ φόβου. Τί δέ ἐστι τὸ «ἐφανέρωσε»; Ἐκ τούτου δῆλον ὅτι οὐχ ἑωρᾶτο, εἰ μὴ συγκατέβη, διὰ τὸ λοιπὸν ἄφθαρτον εἶναι τὸ σῶμα καὶ ἀκήρατον. Τίνος δὲ ἕνεκεν ἐμνήσθη τοῦ τόπου; Δεικνὺς ὅτι τὸ πλέον ἀφεῖλε τοῦ δέους, ὡς λοιπὸν αὐτοὺς καὶ προκύπτειν τῆς οἰκίας καὶ πανταχοῦ περιϊέναι· οὐκ ἔτι γὰρ ἐπὶ τῆς οἰκίας συγκεκλει-

4. Ἰω. 14, 19.

σιμότητος αὐτῶν˙ διότι ἐκεῖνοι ποὺ παρέλειψαν τὰ περισσότερα, πῶς θὰ ἦτο δυνατὸν νὰ τὰ ἔγραφον αὐτὰ ἀπὸ φιλοδοξίαν; Διὰ ποῖον λόγον λοιπὸν δὲν τὰ ἀνέφερον ὅλα; Κυρίως μὲν ἐξ αἰτίας τοῦ πλήθους αὐτῶν, ἔπειτα δὲ ἐσκέπτοντο καὶ ἐκεῖνο, ἐκεῖνος ποὺ δὲν θὰ πιστεύσῃ εἰς τὰ ὅσα ἐλέχθησαν, οὔτε θὰ προσέξῃ τὰ περισσότερα, ἐνῷ ἐκεῖνος ποὺ θὰ δεχθῇ αὐτά, τίποτε ἄλλο δὲν θὰ χρειασθῇ διὰ νὰ πιστεύσῃ. Ἐγὼ νομίζω ἐδῶ ὅτι ἐννοεῖ τὰ θαύματα ποὺ ἔκαμε μετὰ τὴν ἀνάστασιν˙ διὰ τοῦτο λέγει˙ «Ἐνώπιον τῶν μαθητῶν του»˙ διότι, ὅπως ἀκριβῶς πρὸ τῆς ἀναστάσεως ἔπρεπε νὰ γίνουν πολλά, διὰ νὰ πιστεύσουν ὅτι εἶναι Υἱὸς τοῦ Θεοῦ, ἔτσι καὶ μετὰ τὴν ἀνάστασιν, διὰ νὰ παραδεχθοῦν ὅτι ἀνεστήθη. Διὰ τοῦτο καὶ ἐπρόσθεσεν, «Ἐνώπιον τῶν μαθητῶν του», ἐπειδὴ μόνον αὐτοὺς συναναστρέφετο μετὰ τὴν ἀνάστασιν. Διὰ τοῦτο καὶ ἔλεγεν˙ «Ὁ κόσμος δὲν μὲ βλέπει πλέον»[4]. Ἔπειτα, διὰ νὰ μάθῃς ὅτι, τὰ ὅσα ἐγίνοντο, ἐγίνοντο μόνον ἐξ αἰτίας τῶν μαθητῶν, ἐπρόσθεσεν˙ «Ὥστε πιστεύσαντες νὰ ἔχετε ζωὴν αἰώνιον εἰς τὸ ὄνομα αὐτοῦ», ὁμιλῶν γενικῶς πρὸς τὴν ἰδικήν μας φύσιν καὶ διὰ νὰ δείξῃ ὅτι τὰ ἀνέφερεν ὄχι χάριν τοῦ πιστευομένου, ἀλλὰ χάριν ἡμῶν τῶν ἰδίων. «Ἐν τῷ ὀνόματι αὐτοῦ»˙ δηλαδὴ 'δι' αὐτοῦ'˙ διότι αὐτὸς εἶναι ἡ ζωή.

«Μετὰ ἀπὸ αὐτὰ ἐφανερώθη εἰς τοὺς μαθητάς του εἰς τὴν λίμνην τῆς Τιβεριάδος». Βλέπεις ὅτι δὲν συναναστρέφεται συνεχῶς αὐτούς, οὔτε ὅπως ἀκριβῶς προηγουμένως; Ἐφανερώθη λοιπὸν τὴν ἑσπέραν καὶ ἔφυγεν, ἔπειτα μετὰ ἀπὸ ὀκτὼ ἡμέρας ἐφανερώθη πάλιν ἄλλην μίαν φορὰν καὶ πάλιν ἔφυγεν, ἔπειτα μετὰ ἀπὸ αὐτὰ ἐφανερώθη εἰς τὴν λίμνην, καὶ πάλιν ἐφοβήθησαν πολὺ οἱ μαθηταί. Τί σημαίνει δὲ τὸ «ἐφανέρωσεν»; Ἀπὸ αὐτὸ εἶναι φανερὸν ὅτι δὲν ἦτο ὁρατός, ἐὰν δὲν ἔκαμνε παραχώρησιν, ἐξ αἰτίας τῆς ἀνθρωπίνης ἀδυναμίας, ἐπειδὴ πλέον τὸ σῶμα του ἦτο ἄφθαρτον καὶ δὲν ἐπεδέχετο βλάβην. Διατί δὲ ἐνεθυμήθη τὸν τόπον; Διὰ νὰ δείξῃ ὅτι ἀφήρησεν ἀπὸ τοὺς μαθητὰς τὸ μεγαλύτερον μέρος τοῦ φόβου, ὥστε πλέον καὶ ἀπὸ τὴν οἰκίαν νὰ βγαίνουν καὶ νὰ πηγαίνουν παντοῦ˙ διότι

σμένοι ἦσαν, ἀλλ' ἐπὶ τὴν Γαλιλαίαν ᾔεσαν, τὸν κίνδυνον ἐκλίποντες τῶν Ἰουδαίων. Ἔρχεται τοίνυν ὁ Σίμων ἁλιεῦσαι. Ἐπειδὴ γὰρ οὔτε αὐτὸς αὐτοῖς συνεχῶς συνῆν, οὔτε τὸ Πνεῦμα δοθὲν ἦν, οὔτ' ἔτι ἐγκεχειρισμένοι τότε ἐτύγχανον, οὐδὲν ἔχοντες πράττειν, τὴν τέχνην μετῄεσαν. «Καὶ ἦσαν Σίμων ὁμοῦ καὶ Θωμᾶς καὶ Ναθαναήλ, ὁ ὑπὸ τοῦ Φιλίππου κληθείς, καὶ οἱ υἱοὶ Ζεβεδαίου, καὶ ἄλλοι δύο». Οὐδὲν οὖν ἔχοντες πράττειν ἐπὶ τὴν ἁλείαν ᾔεσαν, καὶ ἐν νυκτὶ τοῦτο αὐτὸ ἐποίουν διὰ τὸ περιδεεῖς εἶναι. Τοῦτο καὶ ὁ Λουκᾶς φησιν· ἀλλ' οὐκ ἔστι τοῦτο ἐκεῖνο, ἀλλ' ἕτερον. Οἱ δὲ ἄλλοι μαθηταὶ εἵποντο διὰ τὸ συνδεδέσθαι λοιπὸν ἀλλήλοις, καὶ ἅμα βουλόμενοι θεάσασθαι τὴν ἁλείαν καὶ τὴν σχολὴν εὖ θέσθαι.

Κάμνουσι τοίνυν, καὶ ταλαιπωρουμένοις ἐφίσταται ὁ Ἰησοῦς, καὶ οὐκ εὐθέως ἑαυτὸν δείκνυσιν, ὥστε καὶ εἰς διάλεξιν ἐλθεῖν. Λέγει οὖν αὐτοῖς· «Μή τι προσφάγιον ἔχετε;»,. Τέως ἀνθρωπινώτερον διαλέγεται, ὡς μέλλων τι ὠνεῖσθαι παρ' αὐτῶν. Ὡς δὲ ἀνένευσαν μηδὲν ἔχειν, ἐκέλευσε βαλεῖν εἰς τὰ δεξιά· καὶ βαλόντες ἐπέτυχον τῆς ἄγρας. Ὡς δὲ ἐπέγνωσαν αὐτόν, πάλιν τὰ ἰδιώματα τῶν οἰκείων ἐπιδείκνυνται τρόπων οἱ μαθηταί, Πέτρος καὶ Ἰωάννης· ὁ μὲν γὰρ θερμότερος, ὁ δὲ ὑψηλότερος ἦν· καὶ ὁ μὲν ὀξύτερος ἦν, ὁ δὲ διορατικώτερος. Διὰ τοῦτο ὁ μὲν Ἰωάννης πρῶτος ἐπέγνω τὸν Ἰησοῦν, ὁ δὲ Πέτρος πρῶτος ἦλθε πρὸς αὐτόν· καὶ γὰρ οὐ τὰ τυχόντα γενόμενα ἦν σημεῖα. Τίνα δὲ ἦν τὰ γινόμενα; Πρῶτον μὲν τὸ πολλοὺς συλληφθῆναι τοὺς ἰχθύας· ἔπειτα τὸ μὴ σχισθῆναι τὸ δίκτυον· εἶτα τό, πρὶν ἐπιβῆναι, εὑρεθῆναι τοὺς ἄνθρακας, καὶ τὸν ἰχθὺν ἐπικείμενον καὶ

---

5. Λουκᾶ 24, 37 - 38.

δὲν ἦσαν πλέον κλεισμένοι εἰς τὴν οἰκίαν, ἀλλὰ μετέβησαν εἰς τὴν Γαλιλαίαν, ἀποφεύγοντες τὸν κίνδυνον ἐκ μέρους τῶν Ἰουδαίων. Ἔρχεται λοιπὸν ὁ Σίμων νὰ ἀλιεύσῃ. Ἐπειδὴ λοιπὸν οὔτε ὁ ἴδιος ὁ Κύριος συνανεστρέφετο συνεχῶς αὐτούς, οὔτε τὸ Πνεῦμα εἶχε δοθῆ, οὔτε ἀκόμη τότε ἀνέλαβον ἐπισήμως τὸ ἔργον των, μὴ ἔχοντες νὰ κάμουν τίποτε, ἀσκοῦσαν τὴν τέχνην των. «Καὶ ἦσαν μαζὶ ὁ Σίμων, ὁ Θωμᾶς καὶ ὁ Ναθαναήλ, ποὺ ἐκλήθη ἀπὸ τὸν Φίλιππον, καὶ οἱ υἱοὶ τοῦ Ζεβεδαίου καὶ ἄλλοι δύο». Μὴ ἔχοντες λοιπὸν τίποτε νὰ κάμουν ἠσχολοῦντο μὲ τὴν ἀλιείαν καὶ αὐτὸ τὸ ἔκαμνον κατὰ τὴν νύκτα ἐπειδὴ ἀκόμη ἦσαν κυριευμένοι ἀπὸ τὸν φόβον. Αὐτὸ τὸ ἀναφέρει καὶ ὁ Λουκᾶς[3]· ἀλλ᾽ ἐκεῖνο ποὺ ἀναφέρει ἐκεῖνος δὲν εἶναι αὐτό, ἀλλὰ κάποιο ἄλλο. Οἱ δὲ ἄλλοι μαθηταὶ ἀκολουθοῦσαν ἐπειδὴ εἶχον πλέον συνδεθῆ μεταξύ των καὶ συγχρόνως διὰ νὰ παρακολουθήσουν τὴν ἀλιείαν καὶ νὰ διαθέσουν καλῶς τὸν ἐλεύθερον χρόνον των.

Ἐνῷ λοιπὸν ἐπέστρεφον κατάκοποι καὶ ταλαιπωρημένοι, παρουσιάζεται ὁ Ἰησοῦς καὶ δὲν φανερώνει ἀμέσως τὸν ἑαυτόν του, ὥστε νὰ συνομιλήσῃ μαζί των. Λέγει λοιπὸν εἰς αὐτούς· «Μήπως ἔχετε κανένα προσφάγιον;». Κατ᾽ ἀρχὴν συνομιλεῖ μαζί των μὲ πιὸ ἀνθρώπινον τρόπον, ὡσὰν νὰ ἐπρόκειτο νὰ ἀγοράσῃ κάτι ἀπὸ αὐτούς. Μόλις δὲ εἶπαν ὅτι δὲν ἔχουν τίποτε, τοὺς εἶπε νὰ ρίψουν τὰ δίκτυα εἰς τὰ δεξιὰ τοῦ πλοίου· καὶ ἀφοῦ τὰ ἔρριψαν ἐπέτυχον νὰ πιάσουν πολλὰ ψάρια. Μόλις δὲ τὸν ἐγνώρισαν, πάλιν οἱ μαθηταὶ Πέτρος καὶ Ἰωάννης δείχνουν τὰ ἰδιαίτερα γνωρίσματα τοῦ χαρακτῆρος των· διότι ὁ μὲν Πέτρος ἦτο θερμότερος, ἐνῷ ὁ Ἰωάννης πνευματικὰ ἀνώτερος· καὶ ὁ μὲν πρῶτος ἦτο πιὸ ὁρμητικός, ἐνῷ ὁ ἄλλος πιὸ διορατικός. Διὰ τοῦτο ὁ μὲν Ἰωάννης πρῶτος ἐγνώρισε τὸν Ἰησοῦν, ἐνῷ ὁ Πέτρος πρῶτος ἦλθε πρὸς αὐτόν· καθ᾽ ὅσον δὲν ἦσαν τυχαῖα τὰ θαύματα ποὺ ἔγιναν. Ποῖα δὲ ἦσαν τὰ ὅσα συνέβησαν; Πρῶτον μὲν τὸ ὅτι ἐπιάσθησαν πολλὰ ψάρια· ἔπειτα τὸ ὅτι δὲν ἐσχίσθη τὸ δίκτυον· ὕστερα τὸ ὅτι εὑρέθησαν τὰ ἀναμμένα κάρβουνα πρὶν ἀποβιβασθοῦν ἀπὸ τὸ

ἄρτον. Οὐκ ἔτι γὰρ ἐξ ὕλης ὑποκειμένης ἐποίει, ὥσπερ διά τινα οἰκονομίαν ἐποίει πρὸ τοῦ σταυροῦ. Ὡς οὖν ἐπέγνω αὐτόν, πάντα ἔρριψε, καὶ τοὺς ἰχθῦς καὶ τὰ δίκτυα, καὶ διεζώσατο ὁ Πέτρος. Ὁρᾷς καὶ τὴν αἰδῶ καὶ τὸν πόθον; Καίτοι ἀπὸ διακοσίων πηχῶν ἦσαν, ἀλλ' οὐδὲ οὕτως ἐκαρτέρησε τῷ πλοίῳ πρὸς αὐτὸν ἐλθεῖν, ἀλλὰ νηχόμενος παρεγένετο.

Τί οὖν ὁ Ἰησοῦς; «Δεῦτε», φησίν, «ἀριστήσατε». Καὶ οὐδεὶς ἐτόλμα ἐρωτῆσαι αὐτόν»· οὐκ ἔτι γὰρ τὴν αὐτὴν παρρησίαν εἶχον, οὐδὲ ὁμοίως ἐθάρρουν, οὐδὲ ἤρχοντο πρὸς αὐτὸν διὰ λόγου λοιπόν, ἀλλὰ μετὰ σιγῆς καὶ δέους πολλοῦ καὶ αἰδοῦς ἐκαθέζοντο προσέχοντες πρὸς αὐτόν· «ᾔδεισαν μὲν γὰρ ὅτι ὁ Κύριός ἐστι». Καὶ διὰ τοῦτο οὐκ ἠρώτων, «Τίς εἶ;», τὴν δὲ μορφὴν ἀλλοιοτέραν ὁρῶντες, καὶ πολλῆς ἐκπλήξεως γέμουσαν, σφόδρα ἦσαν καταπεπληγμένοι, καὶ ἐβούλοντό τι περὶ αὐτῆς ἐρωτᾶν, ἀλλὰ τὸ δέος, καὶ τὸ εἰδέναι αὐτοὺς ὅτι οὐχ ἕτερός τις ἦν, ἀλλ' αὐτός, ἐπεῖχον τὴν ἐρώτησιν, καὶ μόνον ἤσθιον, ἅπερ αὐτοῖς ἐδημιούργησε μετὰ πλείονος ἐξουσίας. Ἐνταῦθα δὲ οὐκ ἔτι ἀναβλέπει εἰς τὸν οὐρανόν, οὐδὲ τὰ ἀνθρώπινα ἐκεῖνα ποιεῖ, δεικνὺς ὅτι κἀκεῖνα συγκαταβάσεως ἕνεκεν ἐγένετο. Ὅτι δὲ οὐδὲ συνεχῶς ἐπεχωρίαζεν, οὐδὲ ὁμοίως, λέγει ὅτι «τρίτον τοῦτο ἐφάνη αὐτοῖς, ὅτε ἠγέρθη ἐκ νεκρῶν». Καὶ κελεύει ἐκ τῶν ὀψαρίων ἐνεγκεῖν, δεικνὺς ὅτι τὸ δρώμενον οὐκ ἦν φάντασμα. Ἀλλ' ἐνταῦθα μὲν οὐ λέγει ὅτι ἔφαγε μετ' αὐτῶν, ὁ δὲ Λουκᾶς ἀλλαχοῦ αὐτόν φησιν ὅτι «συναλιζόμενος αὐτοῖς ἦν». Τὸ δὲ πῶς οὐχ ἡμέτερον εἰπεῖν· τρόπῳ γάρ τινι παραδοξοτέρῳ ταῦτα ἐγίνετο, οὐχ ὡς τῆς φύσεως δεομένης βρωμάτων

θ. Πράξ. 1, 4.

πλοῖον καὶ τὸ ψάρι ἐπάνω εἰς τὰ κάρβουνα καὶ ἄρτος. Διότι δὲν τὰ ἐδημιούργει πλέον ἀπὸ προϋπάρχουσαν ὕλην, ὅπως ἀκριβῶς τὸ ἔκαμνεν αὐτὸ πρὸ τοῦ σταυροῦ. Μόλις λοιπὸν τὸν ἐγνώρισε, τὰ ἔρριψεν ὁ Πέτρος ὅλα, καὶ τὰ ψάρια καὶ τὰ δίκτυα, καὶ ἐφόρεσε τὸν χιτῶνα του. Βλέπεις καὶ τὴν ἐντροπὴν καὶ τὸν πόθον του; Ἂν καὶ εὑρίσκοντο μακρυὰ ἀπὸ τὴν ὄχθην διακοσίους πήχεις, ἀλλ' οὔτε ἔτσι ἐπερίμενε νὰ ἔλθῃ πρὸς αὐτὸν μὲ τὸ πλοῖον, ἀλλ' ἔφθασε κολυμβῶν.

Τί λέγει λοιπὸν ὁ Ἰησοῦς; «Ἐλᾶτε», λέγει, «νὰ προγευματίσετε. Καὶ κανεὶς δὲν ἐτολμοῦσε νὰ τὸν ἐρωτήσῃ»· διότι δὲν εἶχον πλέον τὴν ἰδίαν παρρησίαν, οὔτε τὸ ἴδιο θάρρος, οὔτε τὸν ἐπλησίαζον πλέον ὁμιλοῦντες πρὸς αὐτόν, ἀλλὰ μὲ σιωπὴν καὶ πολὺν φόβον καὶ συνεσταλμένοι ἐκάθηντο καὶ τὸν ἐπρόσεχον· διότι «ἐγνώριζον ὅτι εἶναι ὁ Κύριος». Καὶ διὰ τοῦτο δὲν ἐρωτοῦσαν «Ποῖος εἶναι;», ἐπειδὴ ὅμως ἔβλεπον τὴν μορφήν του διαφορετικὴν καὶ νὰ προξενῇ μεγάλην ἔκπληξιν, εἶχον ἐκπλαγῇ πάρα πολύ, καὶ ἤθελον νὰ τὸν ἐρωτήσουν δι' αὐτήν, ἀλλὰ ὁ φόβος καὶ τὸ ὅτι ἐγνώριζον ὅτι δὲν εἶναι κάποιος ἄλλος, ἀλλὰ ὁ ἴδιος, τοὺς ἔκαμνε ν' ἀποφύγουν τὴν ἐρώτησιν, καὶ μόνον ἔτρωγον τὰ ὅσα τοὺς ἐδημιούργησε μὲ πολὺ μεγάλην ἐξουσίαν. Ἐδῶ δὲ δὲν στρέφει πλέον τὸ βλέμμα του εἰς τὸν οὐρανόν, οὔτε κάμνει ἐκεῖνα τὰ ἀνθρώπινα, δεικνύων ὅτι καὶ ἐκεῖνα ἔγιναν ἀπὸ συγκατάβασιν. Ἐπειδὴ δὲ δὲν συνανεστρέφετο συνεχῶς αὐτούς, οὔτε ὅμοια μὲ πρῶτα, λέγει ὅτι «αὐτὴ ἦτο ἡ τρίτη φανέρωσίς του εἰς αὐτοὺς ἀπὸ τότε ποὺ ἀνεστήθη ἐκ νεκρῶν». Καὶ τοὺς λέγει νὰ φέρουν ἀπὸ τὰ ψάρια ποὺ ἔπιασαν, δεικνύων ὅτι δὲν ἦτο φάντασμα ἐκεῖνο ποὺ ἔβλεπον. Ἀλλ' ἐδῶ μὲν δὲν λέγει ὅτι ἔφαγε μαζί των, ἐνῷ ὁ Λουκᾶς εἰς ἄλλην περίπτωσιν λέγει ὅτι «συνανεστρέφετο καὶ συνέτρωγε μαζί των»[8]. Τὸ πῶς ἐγίνετο αὐτὸ ὅμως δὲν ἠμποροῦμεν ἡμεῖς νὰ τὸ εἰποῦμεν· διότι αὐτὰ ἐγίνοντο μὲ κάποιον παραδοξότερον τρόπον, ὄχι ἐπειδὴ εἶχεν ἡ φύσις του πλέον ἀνάγκην ἀπὸ τροφήν, ἀλλὰ τὸ

λοιπόν, ἀλλὰ συγκαταβάσεως πρὸς ἀπόδειξιν τῆς ἀναστάσεως γινομένης.

3. Τάχα, ταῦτα ἀκούοντες, διεθερμάνθητε, καὶ τοὺς συνόντας αὐτῷ τότε ἐμακαρίσατε, καὶ τοὺς μέλλοντας συνέσεσθαι κατὰ τὴν ἡμέραν τῆς κοινῆς ἀναστάσεως. Οὐκοῦν ἅπαντα πράττωμεν, ὥστε τὸ πρόσωπον ἐκεῖνο τὸ θαυμαστὸν ἰδεῖν· εἰ γὰρ νῦν ἀκούοντες οὕτως ἐκκαιόμεθα καὶ ἐπιθυμοῦμεν κατ' ἐκείνας γενέσθαι τὰς ἡμέρας, ἃς ἐπὶ τῆς γῆς διέτριβε καὶ φωνῆς ἀκοῦσαι, καὶ ὄψιν ἰδεῖν, καὶ προσελθεῖν, καὶ ἅψασθαι, καὶ διακονῆσαι, ἐννόησον ἡλίκον αὐτόν ἐστιν ἰδεῖν οὐκ ἔτι ἐν θνητῷ σώματι, οὐδὲ ἀνθρώπινα ποιοῦντα, ἀλλ' ὑπὸ ἀγγέλων δορυφορούμενον, ἐν ἀκηράτῳ καὶ αὐτοὺς ὄντας, καὶ ἐκεῖνον βλέποντας, καὶ τῆς ἄλλης εὐημερίας ἀπολαύοντας, τῆς πάντα νικώσης λόγον. Διὸ δή, παρακαλῶ, πάντα πράττωμεν, ὥστε μὴ τῆς τοσαύτης ἐκπεσεῖν δόξης· οὐδὲν γὰρ δύσκολον, ἐὰν θέλωμεν, οὐδὲν φορτικόν, ἐὰν προσέχωμεν· «εἰ γὰρ ὑπομένομεν, καὶ συμβασιλεύσομεν». Τί οὖν ἐστιν, «Ὑπομένομεν»; Εἰ τὰς θλίψεις φέρομεν, εἰ τοὺς διωγμούς, εἰ τὴν στενὴν βαδίζομεν ὁδόν· ἡ γὰρ στενὴ τῇ φύσει μέν ἐστιν ἐπίμοχθος, τῇ προαιρέσει δὲ τῇ ἡμετέρᾳ κούφη γίνεται τῇ τῶν μελλόντων ἐλπίδι· «τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως, καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται, μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα».

Μεταστήσωμεν τοίνυν τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανόν, καὶ διὰ παντὸς ἐκεῖνα φανταζώμεθα, καὶ βλέπωμεν· ἂν γὰρ ἐν ἐκείνοις ἀεὶ διατρίβωμεν, οὐ πρὸς τὰ ἡδέα τὰ ἐνταῦθα πεισόμεθά τι, οὐ τὰ λυπηρὰ βαρέως οἴσομεν, ἀλλὰ καὶ τούτων καὶ τῶν ὁμοίων καταγελασόμεθα, καὶ οὐδὲν ἡμᾶς οὔτε δου-

---

7. Β΄ Τιμ. 2, 12.
8. Β΄ Κορ. 4, 17 - 18.

ἔκαμνεν ἀπὸ συγκατάβασιν πρὸς ἀπόδειξιν τῆς ἀναστάσεώς του.

3. Ἴσως, ἀκούοντες αὐτά, νὰ ἐκυριεύθητε ἀπὸ εὐσεβῆ πόθον καὶ νὰ ἐμακαρίσατε ἐκείνους ποὺ τὸν συναναστρέφοντο τότε καὶ ἐκείνους ποὺ πρόκειται νὰ τὸν συναναστραφοῦν κατὰ τὴν ἡμέραν τῆς κοινῆς ἀναστάσεως. Λοιπὸν ὅλα ἂς τὰ κάμνωμεν, ὥστε νὰ ἰδοῦμεν ἐκεῖνο τὸ θαυμαστὸν πρόσωπον· διότι, ἐὰν τώρα ἀκούοντες αὐτὰ κυριευώμεθα ἀπὸ τόσον πόθον καὶ ἐπιθυμοῦμεν νὰ ἐζούσαμεν κατὰ τὰς ἡμέρας ἐκείνας ποὺ ἔζῃ ἐπάνω εἰς τὴν γῆν καὶ νὰ ἠκούομεν τὴν φωνήν του καὶ νὰ τὸν ἐβλέπομεν καὶ νὰ τὸν ἐπλησιάζομεν καὶ νὰ τὸν ἐγγίζομεν καὶ νὰ τὸν ὑπηρετούσαμεν, σκέψου πόσον μεγάλο πρᾶγμα εἶναι νὰ τὸν ἰδοῦμεν ὄχι μὲ θνητὸν σῶμα, οὔτε νὰ κάμνῃ πράγματα ἀνθρώπινα, ἀλλὰ νὰ περιβάλλεται ἀπὸ ἀγγέλους καὶ νὰ εἴμεθα καὶ ἡμεῖς μὲ ἄφθαρτον σῶμα καὶ νὰ τὸν βλέπωμεν καὶ ν' ἀπολαμβάνωμεν ὅλην τὴν ἄλλην μακαριότητα, ποὺ δὲν ἠμπορεῖ νὰ ἐκφρασθῇ μὲ κανένα λόγον. Διὰ τοῦτο λοιπὸν παρακαλῶ ὅλα νὰ τὰ κάμνωμεν, ὥστε νὰ μὴ χάσωμεν τὴν τόσον μεγάλην ἐκείνην δόξαν· διότι τίποτε δὲν εἶναι δύσκολον, ἐὰν θέλωμεν, οὔτε βαρύ, ἐὰν προσέχωμεν· διότι, «ἐὰν τὰ ὑπομένωμεν, θὰ συμβασιλεύσωμεν»[7]. Τί σημαίνει λοιπὸν «Ὑπομένομεν»; Ἐὰν ὑπομένωμεν τὰς θλίψεις, τοὺς διωγμούς, ἐὰν βαδίζωμεν τὴν στενὴν ὁδόν· διότι ἡ στενὴ ὁδὸς ὡς πρὸς τὴν φύσιν της εἶναι κοπιαστική, ἀλλὰ μὲ τὴν ἰδικήν μας θέλησιν γίνεται ἐλαφριὰ μὲ τὴν ἐλπίδα τῶν μελλοντικῶν ἀγαθῶν· «διότι ἡ στιγμιαία ἐλαφρὰ θλῖψις μας, προετοιμάζει διὰ μᾶς αἰώνιον βάρος δόξης, καθ' ὅσον τὸ βλέμμα μας προσηλώνεται ὄχι εἰς ἐκεῖνα ποὺ βλέπομεν, ἀλλ' εἰς ἐκεῖνα ποὺ δὲν βλέπονται»[8].

Ἂς στρέφωμεν λοιπὸν τοὺς ὀφθαλμούς μας εἰς τὸν οὐρανὸν καὶ ἂς σκεπτώμεθα συνεχῶς ἐκεῖνα καὶ ἂς τὰ βλέπωμεν· διότι ἐὰν καταγινώμεθα συνεχῶς μὲ ἐκεῖνα, δὲν θὰ πάθωμεν κανένα κακὸν ἀπὸ τὰ ἐδῶ εὐχάριστα, δὲν θὰ ὑπομείνωμεν μὲ δυσκολίαν τὰ δυσάρεστα, ἀλλὰ καὶ αὐτὰ καὶ τὰ παρόμοια αὐτῶν θὰ τὰ περιφρονήσωμεν, καὶ τίποτε

λῶσαι, οὔτε ἐπᾶραι δυνήσεται, μόνον ἂν τὸν πόθον ἐκεῖ τείνωμεν, ἂν πρὸς τὴν ἀγάπην ἐκείνην βλέπωμεν. Καὶ τί λέγω, οὐκ ἀλγήσομεν τοῖς παροῦσι δεινοῖς; Οὔτε γὰρ ὁρᾶν δόξομεν αὐτὰ λοιπόν. Τοιοῦτον γάρ ἐστιν ὁ ἔρως. Τοὺς γοῦν μὴ συμπαρόντας ἡμῖν, ἀλλ' ἀπόντας, ποθουμένους δέ, καθ' ἑκάστην φανταζόμεθα τὴν ἡμέραν· μεγάλη γὰρ τῆς ἀγάπης ἡ τυραννίς, πάντων ἀφίστησι, καὶ τῷ ποθουμένῳ προσδεσμεῖ τὴν ψυχήν. Ἂν οὕτω τὸν Χριστὸν ἀγαπήσωμεν, πάντα τὰ ἐνταῦθα σκιά, πάντα εἰκὼν φανεῖται καὶ ὄναρ. Ἐροῦμεν καὶ ἡμεῖς· «Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; Θλῖψις ἢ στενοχωρία;». Οὐκ εἶπε 'χρήματα ἢ πλοῦτος ἢ κάλλος', (ταῦτα γὰρ σφόδρα εὐτελῆ καὶ καταγέλαστα), ἀλλὰ τὰ δοκοῦντα εἶναι βαρέα τέθεικε, λιμούς, διωγμούς, θανάτους.

Εἶτα ἐκεῖνος μὲν ὡς οὐδὲν ὄντα καὶ ταῦτα διέπτυσεν, ἡμεῖς δὲ διὰ χρήματα χωριζόμεθα τῆς ζωῆς τῆς ἡμετέρας, καὶ τοῦ φωτὸς ἀποσχιζόμεθα. Καὶ Παῦλος μὲν οὐ θάνατον, οὐδὲ ζωήν, οὐδὲ ἐνεστῶτα, οὐ μέλλοντα, οὐ κτίσιν ἑτέραν προτιμᾷ τῆς εἰς αὐτὸν ἀγάπης, ἡμεῖς δέ, χρυσίον ὀλίγον ἂν ἄδωμεν, ἐκκαιόμεθα, καὶ τοὺς αὐτοῦ πατοῦμεν νόμους. Εἰ δὲ οὐκ ἀνεκτὰ ταῦτα λεγόμενα, πολλῷ μᾶλλον ἐκεῖνα μὴ γινόμενα· τὸ γὰρ δεινὸν τοῦτό ἐστιν, ὅτι, ἀκούοντες μέν, φρίττομεν, πράττοντες δέ οὐ φρίττομεν, ἀλλὰ καὶ ὄμνυμεν εὐκόλως, καὶ ἐπιορκοῦμεν, καὶ ἁρπάζομεν, καὶ τόκους ἀπαιτοῦμεν, καὶ σωφροσύνης ἀμελοῦμεν, καὶ εὐχῆς ἀκριβεστάτης ἀφεστήκαμεν, καὶ τὰ πλείονα παραβαίνομεν τῶν ἐπιταγμάτων, καὶ χρημάτων ἕνεκεν τῶν μελῶν τῶν ἡμετέρων οὐδένα ποιούμεθα λόγον· ὁ γὰρ χρημάτων ἐρῶν μυρία τὸν πλησίον δια-

9. Ρωμ. 8, 35.

οὔτε θὰ μᾶς ὑποδουλώσῃ, οὔτε θὰ ἠμπορέσῃ νὰ μᾶς ὁδηγήσῃ εἰς ἔπαρσιν, ἀρκεῖ μόνον νὰ στρέφωμεν τὸν πόθον μας πρὸς τὰ ἐκεῖ, ἀρκεῖ νὰ ἔχωμεν ἐστραμμένον τὸ βλέμμα μας πρὸς τὴν ἀγάπην ἐκείνην. Καὶ διατί λέγω δὲν θὰ πονέσωμεν ἀπὸ τὰ δεινὰ τῆς παρούσης ζωῆς; Διότι θὰ νομίζωμεν εἰς τὸ ἑξῆς ὅτι οὔτε κἂν τὰ βλέπομεν. Καθ' ὅσον τέτοιαν δύναμιν ἔχει ὁ ἔρως. Ἐκείνους δηλαδὴ ποὺ δὲν εὑρίσκονται κοντά μας, ἀλλ' εἶναι ἀπόντες καὶ τοὺς ποθοῦμεν, τοὺς σκεπτόμεθα καθημερινά· διότι εἶναι μεγάλη ἡ τυραννὶς τῆς ἀγάπης, ὅλα τὰ παραμερίζει καὶ δένει τὴν ψυχὴν μὲ ἐκεῖνο ποὺ ποθοῦμεν. Ἂν ἔτσι ἀγαπήσωμεν τὸν Χριστόν, ὅλα τὰ τῆς ἐδῶ ζωῆς θὰ φανοῦν σκιά, ὅλα εἰκὼν καὶ ὄνειρον. Θὰ εἰποῦμεν καὶ ἡμεῖς· «Ποῖος θὰ μᾶς χωρίσῃ ἀπὸ τὴν ἀγάπην τοῦ Χριστοῦ; Θλῖψις ἢ στενοχωρία;»[9]. Δὲν εἶπε 'χρήματα ἢ πλοῦτος ἢ κάλλος' (διότι αὐτὰ εἶναι πάρα πολὺ ἀσήμαντα καὶ ἄξια γέλωτος), ἀλλὰ ἀνέφερεν ἐκεῖνα ποὺ φαίνονται βαρέα, τοὺς λιμούς, τοὺς διωγμούς, τοὺς θανάτους.

Ἔπειτα ἐκεῖνος μὲν καὶ αὐτὰ τὰ περιεφρόνησεν ὡσὰν νὰ μὴ εἶναι τίποτε, ἡμεῖς δὲ ἐξ αἰτίας τῶν χρημάτων ἀποχωριζόμεθα ἀπὸ τὴν ζωήν μας καὶ ἀπομακρυνόμεθα ἀπὸ τὸ φῶς μας. Καὶ ὁ μὲν Παῦλος δὲν προτιμᾷ ἀπὸ τὴν ἀγάπην του εἰς αὐτὸν οὔτε τὸν θάνατον, οὔτε τὴν ζωήν, οὔτε τὰ τῆς παρούσης ζωῆς οὔτε τὰ τῆς μελλούσης, οὔτε κάποιαν ἄλλην κτίσιν, ἡμεῖς ὅμως, ἐὰν ἰδοῦμεν ὀλίγον χρυσόν, κυριευόμεθα ἀπὸ μεγάλον πόθον δι' αὐτὸν καὶ καταπατοῦμεν τοὺς νόμους αὐτοῦ. Ἐὰν δὲ αὐτὰ λεγόμενα δὲν εἶναι ἀνεκτά, πολὺ περισσότερον ἐκεῖνα ἐὰν δὲν γίνωνται· διότι αὐτὸ εἶναι τὸ φοβερόν, ὅτι ὅταν μὲν τὰ ἀκούωμεν αὐτά, φρίττομεν, ὅταν δὲ τὰ πράττωμεν, δὲν φρίττομεν, ἀλλὰ καὶ ὁρκιζώμεθα εὔκολα καὶ ἐπιορκοῦμεν καὶ ἁρπάζομεν καὶ τόκους ἀπαιτοῦμεν καὶ παραμελοῦμεν τὴν σωφροσύνην καὶ ἀπεμακρύνθημεν ἀπὸ τὴν πραγματικὴν προσευχὴν καὶ παραβαίνομεν τὰς περισσοτέρας ἀπὸ τὰς ἐντολὰς καὶ ἐξ αἰτίας τῶν χρημάτων δείχνομεν τελείαν ἀδιαφορίαν διὰ τὰ ἰδικά μας μέλη· διότι ἐκεῖνος ποὺ ἀγαπᾷ τὰ χρήμα-

θήσει κακά, καὶ ἑαυτὸν μετ' ἐκείνου· καὶ γὰρ ὀργιεῖται ῥᾳδίως, καὶ λοιδορήσεται, καὶ μωρὸν καλέσει, καὶ ὀμεῖται, καὶ ἐπιορκήσει, καὶ οὐδὲ τοῦ παλαιοῦ τὰ μέτρα διατηρήσει νόμου· οὐ γὰρ ἀγαπήσει τὸν πλησίον ὁ τὸ χρυσίον ἀγαπῶν· καίτοι γε καὶ ἡμεῖς καὶ τοὺς ἐχθροὺς κελευόμεθα διὰ τὴν βασιλείαν φιλεῖν. Εἰ γάρ, τὰ παλαιὰ ἐπιτάγματα πληροῦντες, οὐ δυνησόμεθα ἐπιβῆναι τῆς βασιλείας τῶν οὐρανῶν ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ἡμῶν πλέον ἐκείνων, οἱ καὶ ἐκεῖνα παραβαίνοντες τίνος τευξόμεθα ἀπολογίας; Ὁ χρημάτων ἐρῶν οὐ μόνον ἐχθροὺς οὐκ ἀγαπήσει, ἀλλὰ καὶ φίλοις ὡς ἐχθροῖς χρήσεται.

4. Καὶ τί λέγω φίλους; Καὶ γὰρ αὐτὴν πολλάκις τὴν φύσιν ἠγνόησαν οἱ χρημάτων ἐρῶντες. Ὁ τοιοῦτος οὐ συγγένειαν οἶδεν, οὐ συνηθείας μέμνηται, οὐχ ἡλικίαν αἰδεῖται, οὐ φίλον ἔχει τινά, ἀλλὰ πρὸς πάντας ἀπεχθῶς διακείσεται, καὶ πρὸ τῶν ἄλλων πάντων πρὸς ἑαυτὸν οὐ μόνον τῷ ἀπολλύναι τὴν ψυχὴν τὴν ἑαυτοῦ, ἀλλὰ καὶ τῷ μυρίαις ἑαυτὸν κατατείνειν φροντίσι, καὶ μόχθοις, καὶ λύπαις· καὶ γὰρ ἀποδημίας, καὶ ἀπεχθείας, καὶ κινδύνους, καὶ ἐπιβουλάς, καὶ πᾶν ὁτιοῦν ὑποστήσεται, μόνον ἵνα τὴν ῥίζαν τῶν κακῶν ἔχῃ παρ' ἑαυτῷ, καὶ πολὺ ἀριθμῇ χρυσίον. Τί τοίνυν γένοιτ' ἂν τῆς νόσου ταύτης χαλεπώτερον; Καὶ γὰρ καὶ τρυφῆς, καὶ ἡδονῆς ἁπάσης ἐστέρηται (δι' ἣν πολλὰ ἁμαρτάνουσιν ἄνθρωποι), καὶ δόξης, καὶ τιμῆς· ὁ γὰρ χρημάτων ἐρῶν καὶ ὑποπτεύει μυρίους, καὶ κατηγόρους ἔχει πολλούς, καὶ τοὺς βασκαίνοντας, καὶ τοὺς διαβάλλοντας, καὶ τοὺς ἐπιβουλεύοντας· οἱ μὲν γὰρ ἀδικούμενοι μισοῦσιν, ἅτε κα-

τα θὰ προξενήση ἄπειρα κακὰ εἰς τὸν πλησίον, καὶ μαζὶ μὲ ἐκεῖνον καὶ εἰς τὸν ἑαυτόν του· καθ' ὅσον θὰ ὀργισθῇ εὔκολα καὶ θὰ τὸν ὑβρίση καὶ θὰ τὸν ἀποκαλέση μωρὸν καὶ θὰ ὁρκισθῇ καὶ θὰ ἐπιορκήση καὶ οὔτε τοῦ παλαιοῦ νόμου τὸ μέτρον θὰ τηρήση· διότι δὲν θ' ἀγαπήση τὸν πλησίον ἐκεῖνος ποὺ ἀγαπᾷ τὸν χρυσόν· καὶ ὅμως ἡμεῖς λαμβάνομεν ἐντολὴν καὶ τοὺς ἐχθρούς μας ν' ἀγαπῶμεν χάριν τῆς βασιλείας. Διότι, ἐάν, ἐκτελοῦντες τὰ παλαιὰ προστάγματα, δὲν θὰ ἠμπορέσωμεν νὰ εἰσέλθωμεν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἐὰν δὲν ξεπεράση ἡ δικαιοσύνη μας τὴν δικαιοσύνην ἐκείνων, ἐκεῖνοι ποὺ καὶ ἐκεῖνα παραβαίνουν ποίαν δικαιολογίαν θὰ ἔχουν; Ἐκεῖνος ποὺ ἀγαπᾷ τὰ χρήματα, ὄχι μόνον δὲν θ' ἀγνοήση τοὺς ἐχθρούς του, ἀλλὰ καὶ τοὺς φίλους θὰ τοὺς μεταχειρισθῇ ὡς ἐχθρούς.

4. Καὶ διατί λέγω τοὺς φίλους; Καθ' ὅσον ἐκεῖνοι ποὺ ἀγαποῦν τὰ χρήματα πολλὲς φορὲς καὶ τὴν ἰδίαν τὴν φύσιν των ἠγνόησαν. Ὁ παρόμοιος ἄνθρωπος δὲν γνωρίζει οὔτε συγγένειαν, οὔτε ἐνθυμεῖται τὴν οἰκειότητα μὲ τοὺς ἄλλους, οὔτε σέβεται τὴν ἡλικίαν, οὔτε ἔχει κανένα φίλον, ἀλλὰ πρὸς ὅλους θὰ συμπεριφερθῇ ἐχθρικά, καὶ πρὶν ἀπὸ ὅλους πρὸς τὸν ἑαυτόν του, ὄχι μόνον μὲ τὸ ὅτι θὰ καταστρέψη τὴν ψυχήν του, ἀλλὰ καὶ μὲ τὸ ὅτι θὰ φορτώση τὸν ἑαυτόν του μὲ ἀπείρους φροντίδας καὶ κόπους καὶ λύπας· καθ' ὅσον καὶ ἀποδημίας θὰ ὑποστῇ καὶ ἐχθρότητας καὶ κινδύνους καὶ ἐπιβουλὰς καὶ ὁ,τιδήποτε ἄλλο, ἀρκεῖ μόνον νὰ ἔχη πλησίον του τὴν ρίζαν τῶν κακῶν καὶ ν' ἀριθμῇ πολὺν χρυσόν. Τί λοιπὸν θὰ ἠμποροῦσε νὰ ὑπάρξη φοβερώτερον ἀπὸ τὴν ἀσθένειαν αὐτήν; Καθ' ὅσον στερεῖται καὶ τῶν ἀπολαύσεων καὶ ὅλης τῆς ἡδονῆς (χάριν τῆς ὁποίας οἱ ἄνθρωποι διαπράττουν πολλὰς ἁμαρτίας) καὶ δόξης καὶ τιμῆς· διότι ἐκεῖνος ποὺ ἀγαπᾷ τὰ χρήματα ὑποπτεύεται ἀπείρους ἀνθρώπους καὶ ἔχει πολλοὺς κατηγόρους καὶ ἐκείνους ποὺ φθονοῦν καὶ ἐκείνους ποὺ συκοφαντοῦν καὶ ἐκείνους ποὺ ἐπιβουλεύονται· ἐκεῖνοι δηλαδὴ ποὺ ἀδικοῦνται μισοῦν, ἐπειδὴ ἔπαθον κακά, ἐκεῖνοι **δὲ**

κῶς παθόντες, οἱ δὲ μηδέπω παθόντες, δεδοικότες μὴ πάθωσι, καὶ συναλγοῦντες τοῖς πεπονθόσιν, ἐπιδείκνυται πόλεμον τὸν αὐτόν, οἱ δὲ μείζους καὶ δυνατώτεροι, δακνόμενοι καὶ ἀγανακτοῦντες ὑπὲρ τῶν ταπεινοτέρων, ἔτι δὲ καὶ βασκαίνοντες, ὁμοίως εἰσὶν ἐχθροὶ καὶ μισοῦσι.

Καὶ τί λέγω τοὺς ἀνθρώπους; Ὅταν γὰρ καὶ τὸν Θεὸν ἐκπεπολεμωμένον ἔχῃ τις, τίς αὐτῷ λοιπὸν ἐλπὶς ἔσται; ποία παραμυθία; τίς παραψυχή; Ὁ χρημάτων ἐρῶν οὐ χρῆσθαι αὐτοῖς δυνήσεταί ποτε, ἀλλὰ δοῦλος ἔσται καὶ φύλαξ, οὐ δεσπότης· πλείονα γὰρ ἀεὶ ποιεῖν σπουδάζων, οὐδαμοῦ ἀναλίσκειν ἐθελήσει, συγκόψει δὲ ἑαυτόν, καὶ πάντων πενήτων πενέστερος διακείσεται, ὡς οὐδαμοῦ τῆς ἐπιθυμίας ἱστάμενος. Καίτοι γε χρήματα, οὐχ ἵνα φυλάξωμεν, ἀλλ' ἵνα χρώμεθα, γεγόνασιν· εἰ δὲ μέλλοιμεν αὐτὰ κατορύττειν ἑτέροις, τί γένοιτ' ἂν ἡμῶν ἀθλιώτερον, οἳ περιτρέχομεν τὰ πάντα συλλαβεῖν σπουδάζοντες, ἵνα ἀποκλείσωμεν ἔνδον, καὶ τὴν κοινὴν ἐκκόψωμεν χρῆσιν;

Ἔστι καὶ ἑτέρα νόσος ταύτης οὐχ ἥττων· οἱ μὲν γὰρ εἰς τὴν γῆν κατορύττουσιν, οἱ δὲ εἰς τὴν γαστέρα, καὶ ἡδονὴν καὶ μέθην, μετὰ τῆς ἀδικίας καὶ τὴν τῆς ἀσελγείας προστιθέντες ἑαυτοῖς κόλασιν. Καὶ οἱ μὲν παρασίτοις καὶ κόλαξιν, οἱ δὲ κύβοις καὶ πόρναις, οἱ δὲ ἑτέραις τοιαύταις λειτουργοῦσι δαπάναις, μυρίας τέμνοντες ἑαυτοῖς εἰς γέενναν φερούσας ὁδούς, τὴν ὀρθὴν καὶ νενομισμένην ἀφέντες, τὴν πρὸς τὸν οὐρανὸν φέρουσαν, καίτοι γε οὐχὶ κέρδος μόνον, ἀλλὰ καὶ ἡδονὴν μείζονα τῶν εἰρημένων ἔχει· ὁ μὲν γὰρ πόρναις διδοὺς καταγέλαστος ἔσται καὶ αἰσχρός, καὶ πολλοὺς ἕξει πολέμους, καὶ βραχεῖαν τὴν ἡδονήν, μᾶλλον

πού ἀκόμη δὲν ἔπαθον τίποτε, φοβοῦνται μήπως πάθουν καὶ δεικνύοντες συμπόνοιαν διὰ τοὺς παθόντας, ἐξαπολύουν τὸν ἴδιον πόλεμον ἐναντίον των, οἱ δὲ μεγαλύτεροι καὶ δυνατώτεροι, ἐπειδὴ θίγονται καὶ ἀγανακτοῦν διὰ τοὺς κατωτέρους των καὶ ἐπὶ πλέον τοὺς φθονοῦν, καθ' ὅμοιον τρόπον εἶναι ἐχθροί των καὶ τοὺς μισοῦν.

Καὶ διατί λέγω τοὺς ἀνθρώπους; Διότι ὅταν κανεὶς καὶ τὸν Θεὸν ἔχῃ κάμει πολέμιόν του, ποία πλέον ἐλπὶς θὰ ὑπάρξῃ δι' αὐτόν; ποία παρηγορία; ποία ἀνακούφισις; Ἐκεῖνος πού ἀγαπᾷ τὰ χρήματα δὲν θὰ ἠμπορέσῃ ποτὲ νὰ χρησιμοποιήσῃ αὐτά, ἀλλὰ θὰ εἶναι δοῦλος καὶ φύλακας, καὶ ὄχι κύριος' διότι φροντίζων πάντοτε νὰ τὰ κάμῃ περισσότερα, δὲν θὰ θελήσῃ νὰ ἐξοδεύῃ αὐτὰ διὰ τίποτε, θὰ καταστρέψῃ τὸν ἑαυτόν του καὶ θὰ καταστῇ πτωχότερος ἀπὸ ὅλους τοὺς πτωχούς, καθ' ὅσον μὲ κανένα τρόπον δὲν σταματᾷ τὴν ἐπιθυμίαν του. Καὶ βέβαια τὰ χρήματα ἔγιναν ὄχι διὰ νὰ τὰ φυλάξωμεν, ἀλλὰ διὰ νὰ τὰ χρησιμοποιοῦμεν' ἐὰν ὅμως πρόκειται νὰ τὰ φυλάσσωμεν δι' ἄλλους, τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ ἀθλιώτερον ἀπὸ ἡμᾶς, οἱ ὁποῖοι καταβάλλομεν κάθε φροντίδα διὰ νὰ τὰ συγκεντρώσωμεν καὶ νὰ τὰ κλείσωμεν μέσα εἰς τὴν οἰκίαν μας καὶ νὰ ἀποκλείσωμεν τὴν κοινὴν χρῆσιν αὐτῶν;

Ὑπάρχει καὶ ἄλλη ἀσθένεια ὄχι κατωτέρα ἀπὸ αὐτήν' διότι οἱ μὲν τὰ κρύπτουν εἰς τὴν γῆν, οἱ δὲ τὰ δαπανοῦν διὰ τὴν κοιλίαν, τὴν ἡδονὴν καὶ τὴν μέθην, προσθέτοντες εἰς τοὺς ἑαυτούς των μαζὶ μὲ τὴν ἀδικίαν καὶ τὴν τιμωρίαν τῆς ἀσελγείας. Καὶ ἄλλοι μὲν εἰς τοὺς παρασίτους καὶ τοὺς κόλακας, ἄλλοι δὲ εἰς τοὺς κύβους καὶ τὰς πόρνας καὶ ἄλλοι τὰ δαπανοῦν εἰς ἄλλας παρομοίου εἴδους δαπάνας, χαράσσοντες διὰ τοὺς ἑαυτούς των ἀπείρους ὁδοὺς πού ὁδηγοῦν εἰς τὴν γέενναν, ἀφήσαντες κατὰ μέρος τὴν ὀρθὴν καὶ νόμιμον ὁδὸν πού ὁδηγεῖ εἰς τὸν οὐρανόν, ἂν καὶ βέβαια ἔχει ὄχι μόνον κέρδος, ἀλλὰ καὶ ἡδονὴν μεγαλυτέραν ἀπὸ ἐκείνας πού ἐλέχθησαν' διότι ἐκεῖνος μὲν πού τὰ δίδει εἰς τὰς πόρνας θὰ εἶναι ἄξιος διὰ γέλια καὶ αἰσχρός, καὶ θὰ ἔχῃ πολλοὺς ἐχθροὺς καὶ σύντομον τὴν ἡδονήν,

δὲ οὐδὲ βραχεῖαν· ὅσα γὰρ ἂν δῷ ταῖς ἑταιριζομέναις γυναιξίν, οὐδεμίαν χάριν αὐτῷ εἴσονται· «πίθος γὰρ τετρημένος ἐστὶν οἶκος ἀλλότριος». Καὶ ἄλλως δέ, ἰταμὸν τὸ γένος ἐκεῖνο, καὶ τῷ ᾅδῃ προσεοικέναι αὐτῆς τὸν ἔρωτα παρέβαλεν ὁ Σολομῶν, καὶ τότε ἵσταται μόνον, ὅταν πάντων γυμνωθέντα ἴδῃ τὸν ἐραστήν, μᾶλλον δὲ οὐδὲ τότε ἵσταται, ἀλλὰ καὶ ἐπικαλλωπίζεται μειζόνως, καὶ ἐπεμβαίνει κειμένῳ, καὶ πολὺν κατ' αὐτοῦ κινεῖ γέλωτα, καὶ τοσαῦτα αὐτὸν ἐργάζεται κακά, ὅσα οὐδὲ ἐπελθεῖν λόγῳ δυνατόν.

'Αλλ' οὐχ ἡ ἡδονὴ τῶν σωζομένων τοιαύτη· οὔτε γὰρ ἀντεραστὴν ἔχει τις ἐνταῦθα, ἀλλὰ πάντες χαίρουσι, καὶ ἀγάλλονται, οἵ τε εὖ πάσχοντες, οἵ τε δρῶντες. Οὐ θυμός, οὐκ ἀθυμία, οὐκ αἰσχύνη καὶ ὄνειδος τὴν τοῦ τοιούτου πολιορκεῖ ψυχήν, ἀλλὰ πολλὴ μὲν εὐφροσύνη τοῦ συνειδότος, πολλὴ δὲ ἡ τῶν μελλόντων ἐλπίς· λαμπρὰ δὲ ἡ δόξα καὶ πολλὴ ἡ περιφάνεια, καὶ πλείων πάντων ἡ παρὰ τοῦ Θεοῦ εὔνοια καὶ ἀσφάλεια· καὶ κρημνὸς οὐδὲ εἷς, οὐδὲ ὑποψία, ἀλλὰ λιμὴν ἀκύμαντος καὶ γαλήνη.

Ταῦτα οὖν ἅπαντα ἐννοοῦντες, καὶ ἡδονὴν ἡδονῇ παραβάλλοντες, ἑλώμεθα τὴν βελτίω, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. 'Αμήν.

μᾶλλον δὲ οὔτε σύντομον· διότι ὅσα καὶ ἂν δώσῃ κανεὶς εἰς τὰς πόρνας γυναῖκας, δὲν θὰ τοῦ ὀφείλουν καμμίαν χάριν· «διότι πιθάρι τρυπημένον εἶναι ὁ ξένος οἶκος»[10]. Ἐξ ἄλλου δὲ τὸ φῦλον ἐκεῖνο εἶναι θρασὺ καὶ ὁ Σολομῶν παρέβαλε τὸν ἔρωτα τῆς πόρνης μὲ τὸν Ἅδην, καὶ τότε μόνον σταματᾷ, ὅταν ἰδῇ τὸν ἐραστήν της γυμνὸν ἀπὸ ὅλα, μᾶλλον δὲ οὔτε τότε σταματᾷ, ἀλλὰ καὶ καλλωπίζεται περισσότερον, καὶ ὁρμᾷ ἐπάνω του, ἐνῷ αὐτὸς εἶναι κάτω πεσμένος, καὶ προκαλεῖ ἐναντίον του πολὺν γέλωτα, καὶ τόσα πολλὰ κακὰ προξενεῖ εἰς αὐτόν, ὅσα ποὺ δὲν εἶναι δυνατὸν νὰ τὰ περιγράψῃ κανεὶς μὲ λόγια.

Ἀλλὰ δὲν εἶναι παρομοία ἡ ἡδονὴ ἐκείνων ποὺ σώζονται· διότι οὔτε ἀντεραστὴν ἔχει κανεὶς ἐδῶ, ἀλλὰ ὅλοι χαίρονται καὶ ἀγάλλονται, καὶ ἐκεῖνοι ποὺ εὐημεροῦν καὶ ἐκεῖνοι ποὺ τοὺς βλέπουν. Οὔτε θυμός, οὔτε λύπη, οὔτε ἐντροπὴ καὶ ὄνειδος πολιορκεῖ τὴν ψυχὴν τοῦ ἀνθρώπου αὐτοῦ τοῦ εἴδους, ἀλλὰ ἀφ᾽ ἑνὸς μὲν εἶναι πολλὴ ἡ εὐφροσύνη τῆς συνειδήσεως, ἀφ᾽ ἑτέρου δὲ ὑπάρχει ἡ ἐλπὶς διὰ τὰ μελλόντικὰ ἀγαθά· εἶναι λαμπρὰ ἡ δόξα καὶ πολλὴ ἡ περιφάνεια καὶ ἀπὸ ὅλα περισσοτέρα ἡ εὔνοια καὶ ἡ ἀσφάλεια ἐκ μέρους τοῦ Θεοῦ· καὶ δὲν ὑπάρχει κανεὶς κρημνός, οὔτε ὑποψία, ἀλλὰ λιμὴν ἀκύμαντος καὶ γαλήνη.

Σκεπτόμενοι λοιπὸν ὅλα αὐτά, καὶ συγκρίνοντες τὴν μίαν ἡδονὴν μὲ τὴν ἄλλην, ἂς προτιμήσωμεν τὴν καλυτέραν, διὰ νὰ ἐπιτύχωμεν καὶ τὰ μελλοντικὰ ἀγαθὰ μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

10. Παροιμ. 23, 27.

ΟΜΙΛΙΑ ΠΗ΄

Ἰω. 21, 15 - 24

«Ὅτε οὖν ἠρίστησαν, λέγει ὁ Ἰησοῦς τῷ Σίμωνι Πέτρῳ· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με πλέον τούτων; Λέγει αὐτῷ· Ναί, Κύριε, σὺ οἶδας ὅτι φιλῶ σε».

1. Πολλὰ μὲν ἔστι καὶ ἕτερα τὰ δυνάμενα δοῦναι παρρησίαν ἡμῖν πρὸς τὸν Θεὸν καὶ δεῖξαι λαμπροὺς καὶ εὐδοκίμους, τὸ δὲ μάλιστα πάντων παρέχον ἡμῖν τὴν ἄνωθεν εὔνοιαν ἡ περὶ τοὺς πλησίον ἐστὶ κηδεμονία· ὅπερ οὖν καὶ ὁ Χριστὸς ἀπαιτεῖ τὸν Πέτρον. Ἐπειδὴ γὰρ τέλος εἶχεν αὐτοῖς τὰ τῆς ἐδωδῆς, «λέγει τῷ Σίμωνι Πέτρῳ ὁ Ἰησοῦς· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με πλέον τούτων; Λέγει αὐτῷ· Ναί, Κύριε, σὺ οἶδας ὅτι φιλῶ σε. Λέγει αὐτῷ· Βόσκε τὰ πρόβατά μου». Καὶ τί δήποτε, τοὺς ἄλλους παραδραμών, τούτῳ περὶ τούτων διαλέγεται; Ἔκκριτος ἦν τῶν Ἀποστόλων, καὶ στόμα τῶν μαθητῶν, καὶ κορυφὴ τοῦ χοροῦ· διὰ τοῦτο καὶ Παῦλος, ἀνέβη τότε αὐτὸν ἱστορῆσαι παρὰ τοὺς ἄλλους. Ἅμα δὲ καὶ δεικνὺς αὐτῷ ὅτι χρὴ θαρρεῖν λοιπόν, ὡς τῆς ἀρνήσεως ἐξεληλαμένης, ἐγχειρίζεται τὴν προστασίαν τῶν ἀδελφῶν. Καὶ τὴν μὲν ἄρνησιν οὐ προφέρει, οὐδὲ ὀνειδίζει τὸ γεγονός, λέγει δὲ ὅτι, 'εἰ φιλεῖς με, προΐστασο τῶν ἀδελφῶν, καὶ τὴν θερμὴν ἀγάπην, ἣν διὰ πάντων ἐπεδείκνυσο, καὶ ἐφ' ᾗ ἠγαλλιάσω, νῦν δεῖξον, καὶ τὴν ψυχήν, ἣν ἔλεγες

ΟΜΙΛΙΑ ΠΗ΄

'Ιω. 21, 15-24

«Ὅταν λοιπὸν ἐτελείωσε τὸ πρόγευμα, λέγει ὁ Ἰησοῦς εἰς τὸν Σίμωνα Πέτρον· Σίμων υἱὲ τοῦ Ἰωνᾶ, μὲ ἀγαπᾷς περισσότερον ἀπὸ αὐτούς; Λέγει εἰς αὐτόν· Ναί, Κύριε, σὺ γνωρίζεις ὅτι σὲ ἀγαπῶ».

1. Πολλὰ μὲν εἶναι καὶ ἄλλα ἐκεῖνα ποὺ ἠμποροῦν νὰ μᾶς δώσουν παρρησίαν πρὸς τὸν Θεόν, καὶ νὰ μᾶς καταστήσουν λαμπροὺς καὶ διακεκριμένους, ἐκεῖνο ὅμως ποὺ κατ' ἐξοχὴν περισσότερον ἀπὸ ὅλα μᾶς παρέχει τὴν οὐράνιον εὔνοιαν εἶναι ἡ φροντὶς διὰ τὸν πλησίον, πρᾶγμα βέβαια ποὺ καὶ ὁ Χριστὸς ἀπαιτεῖ ἀπὸ τὸν Πέτρον. Ὅταν δηλαδὴ ἐτελείωσαν τὸ πρόγευμα αὐτοί, «λέγει ὁ Ἰησοῦς εἰς τὸν Σίμωνα Πέτρον· Σίμων υἱὲ τοῦ Ἰωνᾶ, μὲ ἀγαπᾷς περισσότερον ἀπὸ αὐτούς; Λέγει εἰς αὐτόν· Ναὶ Κύριε, σὺ γνωρίζεις ὅτι σὲ ἀγαπῶ. Λέγει εἰς αὐτόν· Βόσκε τὰ πρόβατά μου». Καὶ διατί ἄρά γε, παραβλέψας τοὺς ἄλλους, συνομιλεῖ μὲ αὐτὸν δι' αὐτὰ τὰ πράγματα; Ἦτο ξεχωριστὸς μεταξὺ τῶν Ἀποστόλων καὶ στόμα τῶν μαθητῶν καὶ κορυφαῖος τοῦ χοροῦ· διὰ τοῦτο καὶ ὁ Παῦλος ἀνέβη τότε εἰς τὰ Ἱεροσόλυμα διὰ νὰ ἐκθέσῃ τὰ γεγονότα εἰς αὐτὸν παρὰ εἰς τοὺς ἄλλους. Συγχρόνως δὲ δεικνύων εἰς τὸν Πέτρον ὅτι πρέπει νὰ ἔχῃ θάρρος εἰς τὸ ἑξῆς, ἀφοῦ ἡ ἄρνησίς του ἀπεκατεστάθη, ἐμπιστεύεται εἰς αὐτὸν τὴν προστασίαν τῶν ἀδελφῶν. Καὶ τὴν μὲν ἄρνησιν δὲν τὴν ἀναφέρει, οὔτε κατηγορεῖ τὸ γεγονός, λέγει δέ, ἐὰν μὲ ἀγαπᾷς, γίνε προστάτης τῶν ἀδελφῶν, καὶ τὴν θερμὴν ἀγάπην ποὺ ἔδειχνες μὲ κάθε τρόπον, καὶ διὰ τὴν ὁποίαν ἔνοιωθες ἀγαλλίασιν, τώρα δεῖξε την, καὶ τὴν ψυ-

θήσειν ὑπὲρ ἐμοῦ, ταύτην ὑπὲρ τῶν προβάτων ἐπίδος τῶν ἐμῶν'. Ἐπεὶ οὖν, ἅπαξ ἐρωτηθεὶς καὶ δεύτερον, αὐτὸν τὸν τὰ ἀπόρρητα τῆς καρδίας εἰδότα μάρτυρα ἐκάλεσεν, εἶτα ἠρωτήθη καὶ τρίτον, καὶ συνεταράχθη, πάλιν δεδοικὼς τὰ πρότερα (καὶ γὰρ τότε διϊσχυριζόμενος ἠλέγχετο μετὰ ταῦτα), διὰ τοῦτο πάλιν ἐπ' αὐτὸν καταφεύγει· τὸ γὰρ εἰπεῖν, «Σὺ οἶδας πάντα», τουτέστι, 'τὰ παρόντα καὶ τὰ μέλλοντα'.

Ὁρᾷς πῶς ἐγένετο βελτίων καὶ σωφρονέστερος, οὐκ αὐθαδιαζόμενος λοιπὸν καὶ ἀντιλέγων; Διὰ γὰρ τοῦτο ἐταράχθη, 'μή ποτε ἐγὼ μὲν νομίζω φιλεῖν, οὐ φιλῶ δέ· ὥσπερ καὶ πρότερον πολλὰ νομίζων καὶ διϊσχυριζόμενος ἠλεγχόμην ὕστερον'. Τρίτον δὲ ἐρωτᾷ, καὶ τρίτον ἐπιτάττει τὰ αὐτά, δεικνὺς ὅσου τιμᾶται τὴν προστασίαν τῶν οἰκείων προβάτων, καὶ ὅτι τοῦτο μάλιστα τῆς εἰς αὐτὸν ἀγάπης σημεῖον. Εἰπὼν δὲ αὐτῷ περὶ τῆς εἰς αὐτὸν ἀγάπης, προαγορεύει αὐτῷ καὶ τὸ μαρτύριον, ὅπερ ἔμελλεν ὑπομένειν, ἐμφαίνων ὅτι οὐ ἀπιστῶν αὐτῷ ἔλεγεν ἅπερ ἔλεγεν, ἀλλὰ καὶ σφόδρα πιστεύων, τῆς δὲ εἰς αὐτὸν ἀγάπης τὸ δεῖγμα δεῖξαι βουλόμενος, καὶ παιδεῦσαι ἡμᾶς ποίῳ δεῖ τρόπῳ μάλιστα αὐτὸν ἀγαπᾶν· διό φησιν· «Ὅτε ἦς νεώτερος, ἐζώννυες σεαυτόν, καὶ περιεπάτεις ὅπου ἤθελες· ὅταν δὲ γηράσῃς, ἄλλοι σε ζώσουσι, καὶ οἴσουσιν ὅπου οὐ θέλεις». Καὶ μὴν τοῦτο ἤθελε καὶ ἐπεθύμει, δι' ὃ καὶ δῆλον αὐτῷ τοῦτο πεποίηκεν. Ἐπειδὴ γὰρ ἄνω καὶ κάτω ἔλεγε, «Τὴν ψυχήν μου ὑπὲρ σοῦ θήσω», καὶ «κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν, οὐ μή σε ἀπαρνήσομαι», ἀπέδωκεν αὐτῷ τὴν ἐπιθυμίαν.

Τί οὖν ἐστι τὸ «ὅπου οὐ θέλεις»; Τῆς φύσεως λέγει τὸ συμπαθές, καὶ τῆς σαρκὸς τὴν ἀνάγκην, καὶ ὅτι ἄκουσα

1. Ἰω. 13, 37.
2. Αὐτόθι
3. Ματθ. 26, 35.

χήν, πού ἔλεγες ὅτι θὰ θυσιάσῃς πρὸς χάριν μου, αὐτὴν δῶσε την ὑπὲρ τῶν ἰδικῶν μου προβάτων'. Ἀφοῦ λοιπόν, ἐρωτηθεὶς μίαν καὶ δευτέραν φοράν, ἐπεκαλέσθῃ ὡς μάρτυρα αὐτόν πού ἐγνώριζε τὰ ἀπόρρητα τῆς καρδίας, εἰς τὴν συνέχειαν ἠρωτήθῃ καὶ τρίτην φορὰν καὶ συνεταράχθη, πάλιν φοβούμενος τὰ προηγούμενα (καθ' ὅσον τότε ἐπιμένων εἰς τὴν γνώμην του[1], ἀπεδεικνύετο εἰς τὴν συνέχειαν μὴ ἱκανὸς νὰ τὴν πραγματοποιήσῃ), διὰ τοῦτο πάλιν καταφεύγει εἰς αὐτόν· διότι οἱ λόγοι του, «Σὺ τὰ γνωρίζεις ὅλα», σημαίνει 'τὰ παρόντα καὶ τὰ μέλλοντα'.

Βλέπεις πῶς ἔγινε καλύτερος καὶ σωφρονέστερος, χωρὶς πλέον νὰ αὐθαδιάζῃ καὶ νὰ ἀντιλέγῃ; Διότι διὰ τοῦτο ἐταράχθη, 'μήπως ἐγὼ μὲν νομίζω ὅτι σὲ ἀγαπῶ, ἀλλὰ δὲν σὲ ἀγαπῶ· ὅπως καὶ προηγουμένως ἐνόμιζα πολλὰ πράγματα καὶ ἐπέμενον εἰς τὴν γνώμην μου, ἀλλ' ἀπεδεικνύετο ὅτι δὲν ἠμποροῦσα νὰ τὰ πραγματοποιήσω'. Διὰ τρίτην φορὰν τὸν ἐρωτᾷ καὶ διὰ τρίτην φορὰν διατάσσει τὰ ἴδια, δεικνύων πόσην σημασίαν δίδει εἰς τὴν προστασίαν τῶν προβάτων καὶ ὅτι αὐτὸ πρὸ πάντων εἶναι δεῖγμα τῆς ἀγάπης εἰς αὐτόν. Ἀφοῦ δὲ εἶπεν εἰς αὐτὸν περὶ τῆς ἀγάπης εἰς αὐτόν, προλέγει εἰς αὐτὸν καὶ τὸ μαρτύριον, πού ἐπρόκειτο νὰ ὑποστῇ, ἀποδεικνύων εἰς αὐτόν, ὅτι, ἐκεῖνα πού ἔλεγε, τὰ ἔλεγεν ὄχι ἐπειδὴ δὲν ἐπίστευεν εἰς αὐτόν, ἀλλὰ καὶ πιστεύων πάρα πολύ, καὶ ἐπειδὴ ἤθελε νὰ δείξῃ εἰς ἡμᾶς ὑπόδειγμα τῆς ἀγάπης πρὸς αὐτὸν καὶ νὰ μᾶς διδάξῃ μὲ ποῖον τρόπον κυρίως πρέπει νὰ ἀγαπῶμεν αὐτόν· διὰ τοῦτο λέγει· «Ὅταν ἦσουν νεώτερος, ἔζωνες τὸν ἑαυτόν σου καὶ ἐπήγαινες ὅπου ἤθελες· ὅταν δὲ θὰ γηράσῃς, ἄλλοι θὰ σὲ ζώσουν καὶ θὰ σὲ φέρουν ὅπου δὲν θέλεις». Καὶ βέβαια αὐτὸ ἤθελε καὶ ἐπιθυμοῦσε, διὰ τοῦτο καὶ ἐφανέρωσεν αὐτὸ εἰς αὐτόν. Ἐπειδὴ δηλαδὴ συνεχῶς ἔλεγε, «Τὴν ζωήν μου θὰ θυσιάσω διὰ σένα»[2], καὶ «ἂν ἀκόμη χρειασθῇ νὰ πεθάνω μαζί σου, δὲν θὰ σὲ ἀπαρνηθῶ»[3], ἐπραγματοποίησε τὴν ἐπιθυμίαν του.

Τί σημαίνει λοιπὸν τὸ «ὅπου σὺ θέλεις»; Ἐννοεῖ τὴν συμπάθειαν τῆς φύσεως καὶ τῆς σαρκὸς τὴν ἀνάγκην καὶ

ἀπορρήγνυται τοῦ σώματος ἡ ψυχή. Ὥστε, εἰ καὶ τὰ τῆς προαιρέσεως ἔρρωτο, ἀλλ' ὅμως καὶ οὕτως ἡ φύσις ἠλέγχετο· οὐδεὶς γὰρ ἀπαθῶς τὸ σῶμα ἀποτίθεται, τοῦτο τοῦ Θεοῦ (ὅπερ καὶ ἔμπροσθεν ἔφην) συμφερόντως οἰκονομήσαντος, ὥστε μὴ πολλοὺς γίνεσθαι τοὺς βιαίους θανάτους· εἰ γάρ, τούτων ὄντων, ἴσχυσεν ὁ διάβολος τοῦτο ἐργάσασθαι, καὶ μυρίους ἐπὶ κρημνοὺς ἤγαγε καὶ βόθρους, εἰ μὴ τοσαύτη ἦν ἡ ἐπιθυμία τῇ ψυχῇ τοῦ σώματος, κἂν ἀπὸ τῆς τυχούσης ἀθυμίας ταχέως ἂν οἱ πολλοὶ πρὸς τοῦτο ὥρμησαν. Τὸ οὖν «ὅπου οὐ θέλεις» τὴν φυσικὴν δηλοῦντός ἐστι συμπάθειαν. Πῶς δέ, εἰπών, «Ὅτε ἦς νεώτερος», πάλιν λέγει, «Ὅταν δὲ γηράσῃς»; Τοῦτο γὰρ δεικνύντος ἐστὶν οὐκ ὄντα τότε νέον (οὐδὲ γὰρ ἦν), ἀλλ' οὐδὲ γεγηρακώς, ἀλλ' ἀνὴρ τέλειος. Τίνος οὖν ἕνεκεν ἀνέμνησεν αὐτὸν τοῦ προτέρου βίου; Δηλῶν ὅτι τοιαῦτα τὰ αὐτοῦ· 'ἐν μὲν γὰρ τοῖς βιωτικοῖς ὁ μὲν νέος χρήσιμος, ὁ δὲ γεγηρακὼς ἄχρηστος, ἐν δὲ τοῖς ἐμοῖς, φησίν, οὐχ οὕτως, ἀλλά, ὅταν ἐπέλθῃ τὸ γῆρας, τότε ἡ ἀριστεία λαμπροτέρα, τότε ἡ ἀνδραγαθία περιφανεστέρα, οὐδὲν ἀπὸ τῆς ἡλικίας κωλυομένη'.

Ταῦτα δὲ ἔλεγεν, οὐ καταπληττόμενος αὐτόν, ἀλλὰ διεγείρων· ᾔδει γὰρ αὐτοῦ τὸν πόθον, καὶ ὅτι τοῦτο πάλαι ὤδινε τὸ καλόν· ὁμοῦ δὲ καὶ τὸν τρόπον δηλοῖ τοῦ θανάτου. Ἐπειδὴ γὰρ ὁ Πέτρος διὰ παντὸς ἐβούλετο εἶναι ἐν τοῖς ὑπὲρ αὐτοῦ κινδύνοις, 'θάρρει', φησίν· 'οὕτω γὰρ ἐμπλήσω σου τὴν ἐπιθυμίαν, ὥστε, ἅπερ οὐκ ἔπαθες, νέος ὤν, ταῦτά σε δεῖ παθεῖν γεγηρακότα'. Εἶτα, ἐγείρων τὸν ἀκροατὴν ὁ Εὐαγγελιστής, ἐπήγαγε· «Ταῦτα δὲ ἔλεγε, σημαίνων ποίῳ θανάτῳ δοξάσει τὸν Θεόν». Οὐκ εἶπεν, 'Ἀποθανεῖται', ἀλλὰ

ὅτι ἡ ψυχὴ ἀποχωρίζεται ἀπὸ τὸ σῶμα χωρὶς νὰ τὸ θέλῃ. Ὥστε, ἂν καὶ ἡ θέλησίς του ἦτο ρωμαλέα, ἀλλ' ὅμως καὶ ἔτσι ἡ φύσις ἀπεδεικνύετο ἀνίσχυρος· διότι κανεὶς δὲν ἐγκαταλείπει τὸ σῶμα μὲ ἀπάθειαν, καθ' ὅσον ὁ Θεὸς (ὅπως καὶ προηγουμένως εἶπον) τὸ ἐρρύθμισε σύμφωνα μὲ τὰ συμφέροντά μας, ὥστε νὰ μὴ συμβαίνουν πολλοὶ βίαιοι θάνατοι· διότι, ἐὰν ὁ διάβολος κατώρθωσε νὰ τὸ ἐπιτύχῃ αὐτό, ἂν καὶ τὰ πράγματα ἔχουν ἔτσι, καὶ ὡδήγησε ἀπείρους εἰς κρημνοὺς καὶ θάραθρα, ἐὰν δὲν ἦτο τόσον μεγάλη ἡ ἐπιθυμία τοῦ σώματος διὰ τὴν ψυχήν, τότε ἀπὸ τὴν τυχαίαν λύπην οἱ περισσότεροι θὰ ὡρμοῦσαν εἰς τὸ νὰ πράξουν αὐτό. Τὸ «ὅπου οὐ θέλεις» λοιπὸν φανερώνει τὴν φυσικὴν συμπάθειαν. Πῶς δέ, εἰπών, «Ὅταν ἦσουν νεώτερος», πάλιν λέγει, «ὅταν δὲ γηράσῃς»; Μὲ αὐτὸ βέβαια δείχνει ὅτι τότε δὲν ἦτο νέος, (καὶ πράγματι δὲν ἦτο), ὅμως οὔτε καὶ γέρων ἦτο, ἀλλὰ ἄνδρας τέλειος. Διὰ ποῖον λοιπὸν λόγον ὑπενθύμισεν εἰς αὐτὸν τὸν προηγούμενον βίον του; Διὰ νὰ δείξῃ ὅτι αὐτὰ εἶναι τὰ γνωρίσματα αὐτῆς τῆς ἡλικίας· 'διότι εἰς μὲν τὰ βιωτικὰ πράγματα ὁ μὲν νέος εἶναι χρήσιμος, ὁ δὲ γέρων ἄχρηστος, εἰς δὲ τὰ πράγματα ποὺ ἔχουν σχέσιν μὲ ἐμένα, λέγει, δὲν ἔχουν τὰ πράγματα ἔτσι, ἀλλά, ὅταν ἔλθῃ τὸ γῆρας, τότε ἡ ἀνδρεία εἶναι λαμπροτέρα, τότε ἡ ἀνδραγαθία περιφανεστέρα, μὴ ἐμποδιζομένη ὡς πρὸς τίποτε ἀπὸ τὴν ἡλικίαν'.

Αὐτὰ δὲ τὰ ἔλεγεν, ὄχι διὰ νὰ ἐμβάλῃ φόβον εἰς αὐτόν, ἀλλὰ διὰ νὰ τὸν διεγείρῃ· διότι ἐγνώριζε τὸν πόθον αὐτοῦ καὶ ὅτι δι' αὐτὸ τὸ καλὸν ἀγωνιοῦσε πρὸ πολλοῦ· συγχρόνως δὲ δείχνει καὶ τὸν τρόπον τοῦ θανάτου. Ἐπειδὴ δηλαδὴ ὁ Πέτρος ἤθελε συνεχῶς νὰ εὑρίσκεται εἰς κινδύνους ὑπὲρ αὐτοῦ, 'ἔχε θάρρος', λέγει· διότι ἔτσι θὰ πραγματοποιήσω τὴν ἐπιθυμίαν σου, ὥστε, ἐκεῖνα ποὺ δὲν ἔπαθες ὅταν ἦσουν νέος, αὐτὰ πρέπει νὰ τὰ πάθῃς ὅταν θὰ γηράσῃς' Ἔπειτα, διεγείρων ὁ εὐαγγελιστὴς τὸν ἀκροατήν, ἐπρόσθεσεν· «Αὐτὰ δὲ τὰ ἔλεγε διὰ νὰ δείξῃ μὲ ποῖον θάνατον θὰ δοξάσῃ τὸν Θεόν». Δὲν εἶπε, 'θ' ἀποθάνῃ', ἀλλὰ «θὰ δοξάσῃ τὸν Θεόν», διὰ νὰ μάθῃς ὅτι τὸ νὰ πάθῃ

«δοξάσει τὸν Θεόν», ἵνα μάθῃς ὅτι τὸ παθεῖν ὑπὲρ τοῦ Χριστοῦ, δόξα τοῦ πάσχοντος καὶ τιμή. «Καὶ ταῦτα εἰπών», φησί, «λέγει· Ἀκολούθει μοι». Ἐντεῦθεν πάλιν τὸ κηδεμονικὸν αἰνίττεται, καὶ τὸ σφόδρα πρὸς αὐτὸν οἰκείως διακεῖσθαι. Εἰ δὲ λέγοι τις, 'Πῶς οὖν ὁ Ἰάκωβος τὸν θρόνον ἔλαβε τῶν Ἱεροσολύμων;', ἐκεῖνο ἂν εἴποιμι, ὅτι τοῦτον οὐ τοῦ θρόνου, ἀλλὰ τῆς οἰκουμένης ἐχειροτόνησε διδάσκαλον. «Στραφεὶς οὖν ὁ Πέτρος βλέπει τὸν μαθητήν, ὃν ἠγάπα ὁ Ἰησοῦς, ἀκολουθοῦντα, ὃς καὶ ἀνέπεσεν ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ· καὶ λέγει· Κύριε, οὗτος δὲ τί;».

2. Τίνος ἕνεκεν ἀνέμνησεν ἡμᾶς τῆς ἀνακλίσεως ἐκείνης; Οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν, ἀλλὰ δεικνὺς ὅσην ὁ Πέτρος τὴν παρρησίαν ἔσχε μετὰ τὴν ἄρνησιν· ὁ γὰρ τότε μὴ τολμῶν ἐρωτῆσαι, ἀλλ' ἑτέρῳ ταῦτα ἐπιτρέπων, οὗτος καὶ τὴν προστασίαν ἐνεπιστεύθη τῶν ἀδελφῶν. Καὶ οὐ μόνον ἑτέρῳ τὰ καθ' ἑαυτὸν οὐκ ἐπιτρέπει, ἀλλὰ καὶ αὐτὸς ὑπὲρ ἑτέρου προσάγει τῷ διδασκάλῳ πεῦσιν λοιπόν· καὶ Ἰωάννης μὲν σιγᾷ, ἐκεῖνος δὲ διαλέγεται. Δείκνυσι δὲ καὶ ἐνταῦθα τὴν ἀγάπην, ἣν πρὸς αὐτὸν εἶχε· καὶ γὰρ σφόδρα ἐφίλει τὸν Ἰωάννην ὁ Πέτρος· καὶ τοῦτο καὶ ἐκ τῶν μετὰ ταῦτα δῆλον· καὶ διὰ τοῦ Εὐαγγελίου δὲ παντὸς δείκνυται τούτων ὁ σύνδεσμος, καὶ ἐν ταῖς Πράξεσιν. Ἐπεὶ οὖν μεγάλα αὐτῷ προεῖπε, καὶ τὴν οἰκουμένην ἐνεχείρισε, καὶ τὸ μαρτύριον προανεφώνησε, καὶ ἀγάπην ἐμαρτύρησε πλείονα τῶν ἄλλων, βουλόμενος καὶ τοῦτον λαβεῖν κοινωνόν, φησίν· «Οὗτος δὲ τί;» οὐ τὴν αὐτὴν ἡμῖν ὁδὸν ἥξει; Καὶ καθάπερ τότε αὐτός, μὴ δυνάμενος ἐρωτῆσαι, τοῦτον προβάλλεται, οὕτω καὶ νῦν, ἀποδιδοὺς αὐτῷ τὴν ἀμοιβήν, καὶ νομίσας αὐτὸν βούλεσθαι

κανεὶς ὑπὲρ τοῦ Χριστοῦ, ἀποτελεῖ δόξαν καὶ τιμὴν δι' ἐκεῖνον ποὺ πάσχει. «Καὶ ἀφοῦ», λέγει, «εἶπεν αὐτά, λέγει· Ἀκολούθει μοι». Ἐδῶ πάλιν ὑπαινίσσεται τὴν φροντίδα καὶ τὴν πάρα πολὺ μεγάλην οἰκειότητά του πρὸς αὐτόν. Ἐὰν δὲ ἤθελεν εἰπεῖ κάποιος, 'Πῶς λοιπὸν ὁ Ἰάκωβος ἔλαβε τὸν θρόνον τῶν Ἱεροσολύμων;' ἐκεῖνο θὰ ἠμποροῦσα νὰ εἰπῶ, ὅτι αὐτὸν δὲν τὸν ἐχειροτόνησε διδάσκαλον τοῦ θρόνου, ἀλλὰ τῆς οἰκουμένης. «Στραφεὶς λοιπὸν ὁ Πέτρος βλέπει τὸν μαθητήν, ποὺ ἀγαποῦσεν ὁ Ἰησοῦς, νὰ τὸν ἀκολουθῇ, καὶ ὁ ὁποῖος ἦτο ἐκεῖνος ποὺ ἔπεσε κατὰ τὸ δεῖνον εἰς τὸ στῆθος τοῦ Ἰησοῦ, καὶ λέγει· Κύριε, εἰς αὐτὸν τί θὰ συμβῇ;».

2. Διὰ ποῖον λόγον ὑπενθύμισεν εἰς ἡμᾶς τὸ γεγονὸς ἐκεῖνο κατὰ τὸ ὁποῖον ἔπεσεν εἰς τὸ στῆθος τοῦ Ἰησοῦ; Ὄχι ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλλὰ διὰ νὰ δείξῃ πόσην παρρησίαν εἶχεν ὁ Πέτρος μετὰ τὴν ἄρνησιν· διότι ἐκεῖνος ποὺ τότε δὲν ἐτολμοῦσε νὰ ἐρωτήσῃ, ἀλλ' ἀνέθετεν αὐτὸ εἰς ἄλλον, αὐτὸς ἀνελάμβανε καὶ τὴν προστασίαν τῶν ἀδελφῶν. Καὶ ὄχι μόνον δὲν ἀναθέτει εἰς ἄλλον τὰ ὅσα τὸν ἀφοροῦν, ἀλλὰ καὶ ὁ ἴδιος πλέον ἐρωτᾷ τὸν διδάσκαλον δι' ἄλλον· καὶ ὁ μὲν Ἰωάννης σιωπᾷ, ἐνῷ ἐκεῖνος συνομιλεῖ. Δείχνει δὲ καὶ ἐδῶ τὴν ἀγάπην ποὺ εἶχε πρὸς αὐτόν· καθ' ὅσον ὁ Πέτρος ἀγαποῦσε πάρα πολὺ τὸν Ἰωάννην· καὶ αὐτὸ γίνεται φανερὸν καὶ ἀπὸ ἐκεῖνα ποὺ ἀκολουθοῦν εἰς τὴν συνέχειαν· καὶ δι' ὅλου τοῦ εὐαγγελίου δεικνύεται ὁ στενὸς δεσμὸς αὐτῶν, καθὼς καὶ εἰς τὰς Πράξεις. Ἐπειδὴ λοιπὸν προεῖπε δι' αὐτὸν μεγάλα πράγματα καὶ τοῦ ἐνεπιστεύθη τὴν οἰκουμένην καὶ προεῖπε καὶ τὸ μαρτύριόν του καὶ ἔδειξεν ὅτι ἡ ἀγάπη του εἶναι περισσοτέρα ἀπὸ τὴν ἀγάπην τῶν ἄλλων, θέλων καὶ αὐτὸν νὰ λάβῃ κοινωνόν, λέγει· «Αὐτὸς δὲ τί θὰ πάθῃ;» δὲν θὰ ἀκολουθήσῃ τὴν ἰδίαν μὲ ἐμένα ὁδόν; Καὶ ὅπως ἀκριβῶς τότε αὐτός, ἐπειδὴ δὲν ἠμποροῦσε νὰ ἐρωτήσῃ, προτρέπει αὐτόν, ἔτσι καὶ τώρα, ἀνταποδίδων εἰς αὐτὸν τὴν ἀμοιβὴν καὶ ἐπειδὴ ἐνόμισεν ὅτι αὐτὸς θέλει νὰ ἐρωτήσῃ τὰ σχετικὰ μὲ τὸν

ἐρωτᾶν τὰ κατ' αὐτόν, εἶτα μὴ θαρρεῖν, αὐτὸς ἀνεδέξατο τὴν ἐρώτησιν.

Τί οὖν ὁ Χριστός; «Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ;». Ἐπειδὴ σφόδρα κηδόμενος ἔλεγε, καὶ μὴ βουλόμενος αὐτοῦ διασπασθῆναι, δεικνὺς ὁ Χριστὸς ὅτι, ὅσον ἂν ἀγαπήσῃ, τὴν ἀγάπην τὴν αὐτοῦ οὐ φθάνει, φησίν, «Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ;», διὰ τούτων παιδεύων ἡμᾶς μὴ ἀσχάλλειν, μηδὲ πολυπραγμονεῖν μηδὲν πέρα τῶν δοκούντων αὐτῷ. Ἐπειδὴ γὰρ ἀεὶ ὁ Πέτρος εἰς τὰς τοιαύτας ἐρωτήσεις θερμὸς ἦν καὶ προεπήδα, ἐκκόπτων αὐτοῦ πάλιν τὴν θερμότητα, καὶ παιδεύων περαιτέρω μὴ περιεργάζεσθαι τοῦτό φησιν. «Ἐξῆλθεν οὖν ὁ λόγος οὗτος εἰς τοὺς ἀδελφούς», (ἤγουν τοὺς μαθητάς), «ὅτι ἐκεῖνος οὐκ ἀποθνήσκει. Οὐκ εἶπε δὲ ὁ Ἰησοῦς ὅτι οὐκ ἀποθνήσκει, ἀλλ' ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ;». Μὴ γὰρ δὴ νομίσῃς, φησίν, ἑνὶ τρόπῳ με τὰ καθ' ὑμᾶς διοικεῖν. Τοῦτο δὲ ἐποίει τῆς ἀκαίρου συμπαθείας τῆς πρὸς ἀλλήλους ἕνεκεν. Ἐπειδὴ γὰρ ἔμελλον τῆς οἰκουμένης τὴν ἐπιτροπὴν ἀναδέξασθαι, οὐκ ἔδει συμπεπλέχθαι λοιπὸν ἀλλήλοις· ἢ γὰρ ἂν μεγάλη τοῦτο τῇ οἰκουμένῃ γέγονε ζημία. Διό περ αὐτῷ φησιν· "Ἔργον ἐνεχειρίσθης, αὐτὸ σκόπει, καὶ ἄνυε, καὶ ἄθλει, καὶ ἀγωνίζου. Τί γάρ, εἰ καὶ βούλομαι αὐτὸν μένειν ἐνταῦθα; σὺ τὰ σεαυτοῦ σκόπει καὶ μερίμνα'.

Σὺ δέ μοι κἀνταῦθα τὸ ἄτυφον ἐννόησον τοῦ Εὐαγγελιστοῦ· εἰπὼν γὰρ τὴν δόξαν τῶν μαθητῶν, διορθοῦται αὐτήν, ὡς οὐ συνεωρακότων αὐτῶν ὅπερ εἶπεν· «οὐ γὰρ εἶπε», φησίν, «ὁ Ἰησοῦς ὅτι οὐκ ἀποθανεῖται, ἀλλ' ὅτι, ἐὰν αὐτὸν θέλω μένειν. Οὗτός ἐστιν ὁ μαθητής, ὁ μαρτυρῶν περὶ τούτων καὶ γράψας ταῦτα· καὶ οἴδαμεν ὅτι ἀληθής ἐστιν ἡ

ἑαυτόν του, ἀλλὰ δὲν εἶχε τὸ θάρρος, ἀνέλαβεν αὐτὸς τὴν ἐρώτησιν.

